ΙΩΑΝΝΗΣ ΧΡΥΣΟΣΤΟΜΟΣ

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

25

Υ Π Ο Μ Ν Η Μ Α

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ

(ΟΜΙΛΙΕΣ ΙS΄-ΛΔ΄)

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

(ΛΟΓΟΙ Α΄-Ζ΄)

Ε Ι Σ Α Γ Ω Γ Η

ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ

Ἀπὸ τὴν

ΒΑΣΙΛΕΙΑ ΚΥΡΙΑΚΙΔΟΥ

Θεολόγο

Ἐπόπτης Ἐκδόσεως

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας

Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1988

ΕΙΣΑΓΩΓΗ

Στὸν παρόντα τόμο δημοσιεύονται οἱ ὑπόλοιπες 19 Ὁμιλίες τοῦ ἱεροῦ Χρυσοστόμου *Εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴν* καθὼς καὶ οἱ 7 ὁμιλίες αὐτοῦ *Εἰς τὸν πτωχὸν Λάζαρον*. Ἡ εἰσαγωγὴ γιὰ τὸ σύνολο τῶν ὁμιλιῶν Εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολὴ δημοσιεύεται στὸν 24ο τόμο.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ, ΟΜΙΛΙΕΣ Α΄-Ζ΄

Τὴν πρώτη ἡμέρα τοῦ ἔτους 387 ὁ ἱερὸς Χρυσόστομος ἐξεφώνησε στὴν Ἀντιόχεια τὴν *Ὁμιλία εἰς τὰς Καλάνδας*, δηλαδὴ στὴν πρωτοχρονιά, κατὰ τὴν ὁποία ἑορταζόταν τὰ Σατουρνάλια, ἡ βακχικοῦ χαρακτῆρος ἑορτὴ τοῦ Ἡφαίστου.

Ἡ πρώτη ἀπὸ τὶς ὁμιλίες τῆς ὁμάδας ποὺ περιέχονται σ' αὐτὸ τὸ μέρος τοῦ τόμου ἀναφέρει ὅτι τὴν χθεσινὴ ἡμέρα τὴν σατανικὴ ἑορτὴ οἱ ἀκροατὲς μετέβαλαν σὲ πνευματικὴ ἑορτή. Ὁ τίτλος αὐτῆς τῆς ὁμιλίας, «Μετὰ τὰς Καλάνδας τῇ ἑξῆς ἐν Ἀντιοχείᾳ λεχθεὶς» (λόγος), μαζὶ μὲ τὶς πρῶτες φράσεις της, δείχνει ὅτι ἐκφωνήθηκε τὴν ἑπομένη ἡμέρα ἀπὸ τὴν ὁμιλία εἰς τὰς Καλάνδας, δηλαδὴ τὴν 2 Ἰανουαρίου 387 στὴν Ἀντιόχεια.

Ἡ ἐμπειρία τῆς προηγούμενης ἡμέρας μὲ τὰ βακχικὰ ἔκτροπα τῶν κοσμικῶν καὶ τὴ νηφαλιότητα τῶν πιστῶν ἦταν εὔλογο νὰ δώσῃ τὸ θέμα καὶ στὴν παροῦσα ὁμιλία. «Φέρε οὖν καὶ σήμερον κατὰ μέθης ὁπλίσωμεν τὴν γλῶσσαν»[1]. Ἡ μέθη βέβαια, ποὺ φέρει τόσα ἔκτροπα, σχετίζεται μὲ τὴν τρυφὴ καὶ τὶς διασκεδάσεις, κι' ἔτσι ὁ ὁμιλητὴς ὁδηγεῖται στὴν παραβολὴ τοῦ Πλουσίου καὶ τοῦ Λαζάρου, ποὺ ἔχει συντεθῆ μὲ τὰ στοιχεῖα τῆς ἀνέχειας καὶ τῆς σπατάλης[2].

1. Ὁμιλία 1,1. 2. Λουκᾶ 16,19–31.

Τὸ ἀντικείμενο τῆς παραβολῆς ἀποτελεῖ θέμα ποὺ δεσπόζει σὲ ὅλες τὶς ὁμιλίες, ἐκτὸς ἀπὸ τὴν πέμπτη ὅπως θὰ δοῦμε, ἀλλοῦ κυριαρχικῶς καὶ ἀλλοῦ συνοδευτικῶς.

Οἱ ἑπτὰ ὁμιλίες τῆς ὁμάδας αὐτῆς ἐκφωνήθηκαν στὴ σειρά, ὄχι βέβαια πάντοτε συνεχῶς, ἀλλὰ μερικὲς φορὲς διακεκομμένως· πάντως ὅμως σὲ σύντομο σχετικῶς χρονικὸ διάστημα.

Ἡ δεύτερη ὁμιλία ἐκφωνήθηκε λίγες ἡμέρες μετὰ τὴν πρώτη. Τὸ εἰσηγητικὸ θέμα μὲ τὸ ὁποῖο ξεκινάει εἶναι ὅτι «αἱ ψυχαὶ τῶν βιοθανάτων οὐ γίνονται δαίμονες». Βιοθάνατοι εἶναι αὐτοὶ ποὺ πεθαίνουν μὲ βίαιο θάνατο, φονευόμενοι. Ὁ Χρυσόστομος διδάσκει σχετικὰ ὅτι τὴν ἄποψι ὅτι οἱ βιοθάνατοι γίνονται δαίμονες ὑπέβαλε στὴ σκέψι πολλῶν ὁ διάβολος μὲ τὴν ἐπιδίωξι νὰ σταματήσῃ τὴν εὐλάβεια τῶν Χριστιανῶν πρὸς τοὺς μάρτυρες τῆς χριστιανικῆς πίστεως, τοὺς κατ' ἐξοχὴν βιοθανάτους[3]. Ἀλλὰ βέβαια τὸ κύριο θέμα καὶ σ' αὐτὴν εἶναι ἡ παραβολὴ περὶ τῆς μερίδας τοῦ Λαζάρου καὶ τοῦ Πλουσίου, καθὼς καὶ ἡ ἐλεημοσύνη καὶ ἡ κρίσις.

Ἡ τρίτη ὁμιλία κυριαρχεῖται πάλι ἀπὸ τὸ θέμα τοῦ Λαζάρου, μὲ ἰδιαίτερη ἔμφασι στὴν πλευρὰ τῆς θεοδικίας· «διατί οἱ μὲν δίκαιοι κινδύνοις πολλάκις περιπίπτουσιν, οἱ δὲ ἁμαρτωλοὶ τούτοις διαφεύγουσιν;». Εἶναι φυσικὰ τὸ θέμα τῆς θεοδικίας.

Τὸ δευτερεῦον θέμα τῆς τέταρτης ὁμιλίας εἶναι τὸ φαινόμενο κατὰ τὸ ὁποῖο τὸ συνειδὸς μᾶς ὑπενθυμίζει παλαιὰ ἁμαρτήματα. Ὅσο σκάβομε στὸ πνευματικὸ μεταλλεῖο τόσο περισσότερο θεῖα νοήματα ἀναβλύζουν[4]. Κύριο θέμα παραμένει ἡ παραβολὴ τοῦ Πλουσίου καὶ τοῦ Λαζάρου.

Μὲ τὴν πέμπτη ὁμιλία δὲν συμβαίνει τὸ ἴδιο. Στὴν προηγούμενη εἶχε εἰπεῖ «τῆς τοῦ Λαζάρου παραβολῆς τὸ τέλος ἀνάγκη τήμερον ἀποδοῦναι»[5]. Θὰ ἐνόμιζε κανεὶς ἀπ' αὐτὰ τὰ λόγια ὅτι τὸ θέμα θὰ ἔπαιρνε ἐδῶ κάποιο τέλος. Ὁ Χρυσόστομος ὅμως διαπίστωσε ὅτι ὑπῆρχαν μερικὲς πτυχές, ποὺ χρειάζονταν κάποια πε-

3. Ὁμιλία 2,2.
4. Ὁμιλία 4,1.
5. Ὁμιλία 4,1.

ρισσότερη ἀνάπτυξι. Δὲν ἐθεώρησε ὅμως σκόπιμο νὰ τὸ κάμη αὐτὸ μὲ τὴν ἀμέσως ἑπόμενη ὁμιλία, τὴν πέμπτη, καὶ τοῦτο γιὰ νὰ μὴ κουράση τοὺς ἀκροατές του, μὲ τὸ ἴδιο συνεχῶς θέμα· «ἵνα μὴ προσκορὴς ὑμῖν ὁ λόγος γένηται». Ἀναβάλλει λοιπὸν τὴν συνέχισι καὶ τώρα ἀσχολεῖται μὲ ἄλλη ὑπόθεσι περὶ τῶν κεκοιμημένων[6], ἂν καὶ ἡ διαπραγμάτευσις αὐτὴ δὲν εἶναι ἐντελῶς ξένη πρὸς τὴ σειρά.

Μὲ τὴν ἕκτη ὁμιλία ἐπιστρέφει στὸ κύριο θέμα τῆς παραβολῆς ποὺ εἰσάγεται μὲ τὸν σχολιασμὸ τοῦ πρόσφατου τότε σεισμοῦ. Ὁ σεισμὸς ἔδειξε τὴ δύναμι καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ. «Εἴδετε Θεοῦ δύναμιν; εἴδετε Θεοῦ φιλανθρωπίαν; Δύναμιν ὅτι ἐτίναξε τὴν οἰκουμένην, φιλανθρωπίαν ὅτι πίπτουσαν αὐτὴν ἔστησεν»[7].

Στὴν ἑβδόμη καὶ τελευταία ὁμιλία τὸ θέμα εἰσάγεται μὲ τὴν παρατήρησι τῆς νέας συμμετοχῆς χριστιανικοῦ λαοῦ στὶς ἱπποδρομίες, ποὺ ἐπιτιμᾶται ἔντονα καὶ συνεχίζεται μὲ τὴν ἀνάπτυξι τοῦ λογίου περὶ τῆς στενῆς πύλης. Συνδέεται ἔπειτα μὲ αὐτὸ ἡ παραβολὴ τοῦ Πλουσίου καὶ τοῦ Λαζάρου, ἡ ὁποία ἔχει ἐδῶ ἐντελῶς βοηθητικὴ θέσι. Αὐτὴ ἡ ὁμιλία δὲν φαίνεται ν' ἀποτελῆ συνέχεια τῶν προηγουμένων· εἶναι μᾶλλον ἀνεξάρτητη καὶ συνδέθηκε μὲ αὐτὲς ἐκδοτικῶς ἀπὸ τοὺς παλαιοὺς συλλογεῖς λόγω τῆς παρουσίας τῆς παραβολῆς αὐτῆς πρὸς τὸ τέλος.

Ἀπὸ ἄποψι οὐσίας τοῦ περιεχομένου τῶν ὁμιλιῶν θ' ἀναφέρουμε δύο ἀξιόλογα σημεῖα.

Τὸ πρῶτο εἶναι σχετικὸ μὲ τὴ γνώμη τοῦ Χρυσοστόμου περὶ τῶν πλουσίων, ἡ ὁποία βέβαια εἶναι συναρτημένη μὲ τὴν κακὴ διαγωγὴ τοῦ πλουσίου τῆς παραβολῆς. Οἱ πλούσιοι εἶναι εἶδος ληστῶν ποὺ ἐνεδρεύουν στοὺς δρόμους γιὰ ν' ἁρπάξουν τὰ πράγματα τῶν περαστικῶν, τὰ ὁποῖα κρύβουν σὲ σπήλαια. Ἑπομένως ἂς μὴ τοὺς καλοτυχίζουμε. «Μὴ τοίνυν μακαρίζωμεν αὐτοὺς διὰ τὰ παρόντα, ἀλλὰ ταλανίζωμεν διὰ τὰ μέλλοντα, διὰ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον»[8]. Σύμφωνα μὲ τὴ διατύπωσί του πλούσιος δὲν εἶναι ἐκεῖνος ποὺ κατέχει πολλὰ ἀλλ' ἐκεῖνος ποὺ δὲν χρειάζεται

7. Ὁμιλία 6,1. 8. Ὁμιλία 1,12.

πολλά· καὶ πτωχὸς δὲν εἶναι ἐκεῖνος ποὺ δὲν ἔχει τίποτε, ἀλλ' ἐκεῖνος ποὺ ἐπιθυμεῖ πολλά. Αὐτὸς εἶναι ὁ ὁρισμὸς τῆς πενίας καὶ τοῦ πλούτου[9]. Ἀλλὰ βέβαια αὐτὸς ὁ ὁρισμὸς δικαιώνει καὶ τὸν πλοῦτο, ὅταν ὁ κάτοχός του ἐνεργῇ σὰν οἰκονόμος τοῦ Θεοῦ.

Τὸ δεύτερο σημεῖο εἶναι σχετικὸ μὲ τὴν τύχη τῶν πτωχῶν καὶ τῶν πλουσίων, τῶν δικαίων καὶ τῶν ἀδίκων, τώρα καὶ στὰ μετὰ θάνατον. Εἶναι τὸ περίφημο πρόβλημα τῆς θεοδικίας, ποὺ διήκει διὰ μέσου ὅλων τῶν σελίδων τούτων τῶν ὁμιλιῶν. Ὅποιοι ἀπολμβάνουν ἐδῶ βίο γεμᾶτο τρυφή, ἄνεσι, ἀδιαφορία καὶ ἀδικία, στὸ μέλλον θὰ βροῦν τὴ στέρησι, τὴν ἀνέχεια, τὴν τιμωρία· καὶ ἀντιστρόφως. Ὑπάρχει μιὰ ἀντιρροπία ἀνάμεσα στὴν ἐδῶ εὐπρέπεια καὶ στὴν κατὰ τὸ μέλλον ἀπόλαυσι τῶν πνευματικῶν ἀγαθῶν, καθὼς καὶ ἀνάμεσα στὴν ἐδῶ ἀταξία καὶ στὴν κατὰ τὸ μέλλον τιμωρία[10].

Τὸ κείμενο τῶν ὁμιλιῶν λαμβάνεται ἀπὸ τὴν PG 48, 963–1052.

9. Ὁμιλία 2,1.

10. Βλ. ἰδίως Ὁμιλία 3,6. 3,9

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ
(ΟΜΙΛΙΕΣ ΙS'–ΛΔ')

ΟΜΙΛΙΑ ΙΣΤ'

(Ἑβρ. 9,15–23)

«Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν, ὅπως θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. Ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι
5 *τοῦ διεθεμένου· διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διεθέμενος. Ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται».*

1. Εἰκὸς ἦν πολλοὺς τῶν ἀσθενεστέρως διακειμένων καὶ ἀπὸ τοῦ τετελευτηκέναι τὸν Χριστὸν μάλιστα ἀπιστεῖν ταῖς ἐπαγγελίαις
10 *αὐτοῦ. Ὁ τοίνυν Παῦλος τὴν τοιαύτην ὑπόνοιαν ἐκ περιουσίας ἀνατρέπων, τοῦτο τίθησι τὸ ὑπόδειγμα, ἀπὸ τῆς κοινῆς συνηθείας λαβών. Ποῖον δὴ τοῦτο; Δι' αὐτὸ μὲν οὖν τοῦτο χρὴ θαρρεῖν, φησί. Διὰ τί; Ὅτι οὐ ζώντων τῶν διαθεμένων, ἀλλ' ἀποθανόντων, τότε βέβαιοί εἰσιν αἱ διαθῆκαι, καὶ τὴν ἰσχὺν λαμβάνουσι. Διὸ καὶ οὕτως*
15 *ἄρχεται λέγων, καὶ διὰ τοῦτό φησι· «Καινῆς Διαθήκης μεσίτης ἐστίν». Ἡ διαθήκη πρὸς τῇ ἐσχάτῃ ἡμέρᾳ γίνεται τῆς τελευτῆς. Τοιαύτη δέ ἐστιν ἡ διαθήκη, τοὺς μὲν κληρονόμους ἔχει, τοὺς δὲ ἀποκληρονόμους. Οὕτω καὶ ἐνταῦθα περὶ μὲν τῶν κληρονόμων φησίν ὁ Χριστός· «θέλω ἵν', ὅπου ἐγώ εἰμι, καὶ οὗτοι ὦσι». Καὶ*
20 *πάλιν περὶ τῶν ἀποκληρονόμων ἄκουε αὐτοῦ λέγοντος· «οὐ περὶ πάντων ἐρωτῶ, ἀλλὰ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ».*

Ἡ διαθήκη πάλιν τὰ μὲν τοῦ διαθεμένου ἔχει, τὰ δὲ τῶν δε-

1. Ἰω. 17,24.
2. Ἰω. 17,20.

ΟΜΙΛΙΑ ΙΣΤ'

(Ἑβρ. 9,15–23)

Καὶ γι' αὐτὸ ὁ Χριστὸς εἶναι μεσίτης νέας διαθήκης, ὥστε, μετὰ τὸν θάνατο ποὺ συνέβηκε γιὰ τὴ συγχώρησι τῶν παραβάσεων ποὺ ἔγιναν κατὰ τὴν πρώτη διαθήκη, νὰ λάβουν τὴν ἐπαγγελία τῆς αἰώνιας κληρονομιᾶς οἱ προσκεκλημένοι καὶ πιστοί. Διότι ὅπου ὑπάρχει διαθήκη, γιὰ νὰ εἶναι ἔγκυρη καὶ βεβαία πρέπει νὰ ἔχῃ πεθάνει ὁ διαθέτης, ἀφοῦ δὲν ἰσχύει ὅσο ζῇ ἀκόμη ὁ διαθέτης. Γι' αὐτὸ οὔτε ἡ πρώτη διαθήκη ἐγκαινιάσθηκε χωρὶς αἷμα.

1 Ἦταν φυσικὸ πολλοὶ ἀπὸ ἐκείνους ποὺ ἦταν ἀσθενέστεροι ὡς πρὸς τὴν πίστι καὶ ἐξ αἰτίας τοῦ ὅτι εἶχε πεθάνει ὁ Χριστὸς νὰ ἀμφιβάλλουν ἀκόμη περισσότερο γιὰ τὴν ἐκπλήρωσι τῶν ὑποσχέσεών του. Ὁ Παῦλος λοιπὸν γιὰ ν' ἀνατρέψῃ πάσῃ θυσίᾳ αὐτὴν τὴν ὑπόνοια παραθέτει αὐτὸ τὸ παράδειγμα, λαμβάνοντάς το ἀπὸ τὰ ὅσα συνηθίζονται μεταξὺ τῶν ἀνθρώπων. Ποιό λοιπὸν εἶναι αὐτό; Ἐξ αἰτίας αὐτοῦ λοιπὸν πρέπει νὰ ἔχετε θάρρος, λέγει. Γιατί; Διότι τότε οἱ διαθῆκες εἶναι ἔγκυρες καὶ ἔχουν ἰσχύ, ὄχι ὅταν ζοῦν οἱ διαθέτες, ἀλλὰ ἀφοῦ ἔχουν πεθάνει. Γι' αὐτὸ καὶ ἀρχίζει ἔτσι τὴν ὁμιλία του καὶ ἐξ αἰτίας αὐτοῦ λέγει· «ὁ Χριστὸς εἶναι μεσίτης νέας διαθήκης». Ἡ διαθήκη γίνεται πρὸς τὸ τέλος τῆς ζωῆς. Καὶ εἶναι τέτοια ἡ διαθήκη, ὥστε ἄλλους τοὺς κάμνει κληρονόμους, ἐνῶ ἄλλους τοὺς ἀποκληρώνει. Ἔτσι καὶ ἐδῶ λέγει ὁ Χριστὸς γιὰ τοὺς κληρονόμους· «θέλω ὅπου εἶμαι ἐγὼ νὰ εἶναι κι' αὐτοί»[1]. Καὶ πάλι ἄκουε αὐτὸν τί λέγει γιὰ ἐκείνους ποὺ ἀποκλείει ἀπὸ τὴν κληρονομία· «δὲν σὲ παρακαλῶ γιὰ ὅλους, ἀλλὰ γιὰ ἐκείνους ποὺ θὰ πιστέψουν διὰ τοῦ κηρύγματος τῶν μαθητῶν μου σὲ μένα»[2].

Ἡ διαθήκη πάλι περιέχει καὶ τὶς ἐπιθυμίες τοῦ διαθέτη καὶ τὶς

χομένων· ὥστε τὰ μὲν αὐτοὺς λαβεῖν, τὰ δὲ ποιῆσαι. Οὕτω καὶ ἐνταῦθα· μετὰ γὰρ τὸ ἐπαγγείλασθαι μυρία, ἀπαιτεῖ καὶ τὰ παρ' αὐτῶν, λέγων· «ἐντολὴν καινὴν δίδωμι ὑμῖν». Πάλιν ὀφείλει ἡ διαθήκη μάρτυρας ἔχειν· καὶ ἄκουε αὐτοῦ πάλιν λέγοντος· «ἐγώ εἰμι ὁ
5 *μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με Πατήρ»· καὶ πάλιν· «ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ», περὶ τοῦ Παρακλήτου λέγων· καὶ τοὺς δώδεκα ἀποστόλους ἀπέστειλε λέγων· διαμαρτύρασθε ἐνώπιον τοῦ Θεοῦ. Καὶ διὰ τοῦτό φησιν, «Διαθήκης Καινῆς μεσίτης ἐστί».*

10 *Τί ἐστι «μεσίτης»; Ὁ μεσίτης οὐκ ἔτι ἐστὶ κύριος τοῦ πράγματος οὗ ἐστι μεσίτης, ἀλλ' ἕτερον μὲν τὸ πρᾶγμα, ἕτερος δὲ ὁ μεσίτης· οἷον, μεσίτης γάμου γίνεται, οὐχ ὁ γαμῶν, ἀλλ' ὁ τῷ μέλλοντι ἄγεσθαι συμπράττων. Οὕτω δὴ καὶ ἐνταῦθα μεσίτης ὁ Υἱὸς ἐγένετο τοῦ Πατρὸς καὶ ἡμῶν. Οὐκ ἤθελεν ἡμῖν ἀφεῖναι ὁ Πατὴρ τὴν*
15 *κληρονομίαν ταύτην, ἀλλ' ὠργίζετο πρὸς ἡμᾶς καὶ ἐχαλέπαινεν ὡς πρὸς ἀπηλλοτριωμένους· μεσίτης τοίνυν ἐγένετο ἡμῶν καὶ αὐτοῦ καὶ ἔπεισεν αὐτόν. Καὶ ὅρα πῶς μεσίτης ἐγένετο, λόγους ἀπήγαγε καὶ ἤγαγε, τὰ παρὰ τοῦ Πατρὸς ἡμῖν διαπορθμεύων καὶ τὸν θάνατον προστιθείς· προσκεκρουκότες ἦμεν, ἀποθανεῖν ὠφείλομεν,*
20 *ἀπέθανεν ὑπὲρ ἡμῶν καὶ ἐποίησεν ἡμᾶς ἀξίους τῆς διαθήκης. Ταύτῃ τοι καὶ βεβαία ἐστὶν ἡ διαθήκη, ἢ οὐκ εἰς ἀναξίους λοιπὸν γέγονε.*

Παρὰ μὲν οὖν τὴν ἀρχήν, ἅτε ὡς Πατὴρ πρὸς υἱοὺς διέθετο· ἐπειδὴ δὲ ἀνάξιοι γεγόναμεν, οὐκέτι διαθήκης, ἀλλὰ τιμωρίας ἔδει.
25 *Τί τοίνυν μέγα φρονεῖς, φησίν, ἐπὶ τῷ νόμῳ; Εἰς τοσαύτην γὰρ ἡμᾶς κατέστησεν ἁμαρτίαν, ὡς μὴ ἂν σωθῆναί ποτε· εἰ μὴ ὁ Δεσπότης ἡμῶν ὑπὲρ ἡμῶν ἀπέθανεν, οὐκ ἂν ἴσχυσεν ὁ νόμος· ἀσθενὴς γὰρ ἦν. Οὐκέτι δὲ αὐτὸ ἀπὸ τῆς κοινῆς συνηθείας βεβαιοῖ μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ Παλαιᾷ συμβεβηκότων· ὃ μάλιστα*

3. Ἰω. 13,34.
4. Ἰω. 8,18.
5. Ἰω. 15,26.

ὑποχρεώσεις τῶν κληρονόμων· ἑπομένως ἡ διαθήκη ἀναφέρει καὶ αὐτὰ ποὺ θὰ λάβουν οἱ κληρονόμοι καὶ ἐκεῖνα ποὺ εἶναι ὑποχρεωμένοι νὰ ἐκτελέσουν. Ἔτσι κι' ἐδῶ· μετὰ τὸ πλῆθος τῶν ὑποσχέσεων ποὺ δίνει, ζητᾶ καὶ ἀπ' αὐτοὺς νὰ ἐκπληρώσουν τὶς ὑποχρεώσεις τους, λέγοντας· «σᾶς δίνω καινούργια ἐντολή»[3]. Ἐπίσης πρέπει ἡ διαθήκη νὰ ἔχη μάρτυρες· καὶ ἄκουσε πάλι τί λέγει ὁ Χριστὸς στὴν περίπτωσι αὐτή· «ἐγὼ εἶμαι ποὺ δίνω μαρτυρία γιὰ τὸν ἑαυτό μου, καὶ ἐπίσης δίνει μαρτυρία γιὰ μένα καὶ ὁ Πατέρας ποὺ μὲ ἔστειλε στὸν κόσμο»[4]· καὶ πάλι λέγει· «ἐκεῖνος θὰ δώση μαρτυρία γιὰ μένα»[5], μιλώντας γιὰ τὸν Παράκλητο. Καὶ τοὺς δώδεκα ἀποστόλους τοὺς ἔστειλε γιὰ τὸ κήρυγμα, λέγοντάς τους· «γίνετε μάρτυρές μου ἐνώπιον τοῦ Θεοῦ». Γι' αὐτὸ λέγει, «εἶναι μεσίτης νέας διαθήκης».

Τί σημαίνει «μεσίτης»; Ὁ μεσίτης δὲν εἶναι πλέον κύριος τοῦ πράγματος, τοῦ ὁποίου εἶναι μεσίτης, ἀλλὰ ἄλλο εἶναι τὸ πρᾶγμα, καὶ ἄλλος ὁ μεσίτης· γιὰ παράδειγμα, μεσίτης γάμου γίνεται ὄχι ἐκεῖνος ποὺ συνάπτει γάμο, ἀλλ' αὐτὸς ποὺ βοηθᾶ ἐκεῖνον ποὺ πρόκειται νὰ συνάψη τὸν γάμο. Ἔτσι λοιπὸν καὶ ἐδῶ ὁ Υἱὸς ἔγινε μεσίτης ἀνάμεσα στὸν Πατέρα καὶ σ' ἐμᾶς. Δὲν ἤθελε ὁ Πατέρας νὰ μᾶς ἀφήση αὐτὴν τὴν κληρονομία, ἀλλ' ἦταν ὠργισμένος ἐναντίον μας καὶ φερόταν μὲ ἀγανάκτησι σὰν νὰ ἤμασταν ἀποκληρωμένοι· ἔγινε λοιπὸν μεσίτης ὁ Χριστὸς ἀνάμεσα σ' ἐμᾶς καὶ σ' αὐτὸν καὶ τὸν ἔπεισε. Καὶ πρόσεχε πῶς ἔγινε μεσίτης· προσευχήθηκε γιὰ μᾶς πρὸς τὸν Πατέρα καὶ ἔφερε ἀπὸ ἐκεῖνον πρὸς ἐμᾶς τοὺς λόγους του, προσθέτοντας στὸ τέλος καὶ τὸν θάνατό του· εἴχαμε συγκρουσθῆ μὲ τὸν Θεό, γι' αὐτὸ ἔπρεπε νὰ πεθάνουμε· πέθανε ὅμως ἐκεῖνος γιὰ μᾶς καὶ μᾶς ἔκανε ἄξιους τῆς διαθήκης. Μ' αὐτὸν λοιπὸν τὸν τρόπο ἔγινε ἔγκυρη ἡ διαθήκη, καὶ ἡ ὁποία ἔτσι δὲν ἔγινε πρὸς ἀνάξιους.

Ἀπὸ τὴν ἀρχὴ δηλαδὴ ἔκανε τὴν διαθήκη του σὰν πατέρας πρὸς τὰ παιδιά του· ἐπειδὴ ὅμως φανήκαμε ἀνάξιοι, μᾶς χρειαζόταν ὄχι διαθήκη, ἀλλὰ τιμωρία. Γιατί λοιπὸν ὑπερηφανεύεσαι, λέγει, γιὰ τὸν νόμο;-Διότι σὲ τόσο μεγάλη ἁμαρτία μᾶς ὡδήγησε, ὥστε δὲν θὰ μπορούσαμε νὰ σωθοῦμε ποτέ· ἐὰν ὁ Κύριός μας δὲν πέθαινε γιὰ μᾶς, δὲν θὰ μποροῦσε νὰ μᾶς σώση ὁ νόμος· διότι ἦταν ἀνίσχυρος. Καὶ αὐτὸ τὸ βεβαιώνει ὄχι μόνο ἀπὸ αὐτὸ ποὺ συμβαίνει συνήθως μεταξὺ τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνα ποὺ συνέβηκαν

αὐτοὺς ἐπήγετο. Ἀλλ' οὐδείς, φησίν, ἦν ὁ τετελευτηκὼς ἐκεῖ· πῶς οὖν ἐκείνη βεβαία; Διὰ τοῦ αὐτοῦ τρόπου, φησί. Πῶς; Καὶ γὰρ ἐκεῖ αἷμα, ὥσπερ ἐνταῦθα αἷμα. Εἰ δὲ μὴ τὸ τοῦ Χριστοῦ αἷμα, μὴ θαυμάσῃς· τύπος γὰρ ἦν· διὸ καὶ λέγει, «ὅθεν οὐδὲ ἡ πρώτη χωρὶς αἵ-
5 *ματος ἐγκεκαίνισται». Τί ἐστιν, «ἐγκεκαίνισται»; βεβαία γέγονεν, ἐκυρώθη. «Ὅθεν», τουτέστι διὰ τοῦτο, φησίν, ἔδει τῆς διαθήκης τὸ σύμβολον εἶναι καὶ τῆς τελευτῆς.*

2. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ἐρραντίζετο τῆς διαθήκης; «Λαληθείσης γάρ, φησί, «πάσης τῆς ἐντολῆς κατὰ νόμον ὑπὸ
10 *Μωϋσέως παντὶ τῷ λαῷ λαβὼν τὸ αἷμα τῶν μόσχων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντιζε, λέγων· Τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός». Τίνος οὖν ἕνεκεν, εἰπέ μοι, τὸ βιβλίον ραντίζεται τῆς διαθήκης καὶ ὁ λαός; Ἡ τοῦ τιμίου αἵματος ἄνωθεν σχημα-*
15 *τιζομένου τύπος τις ἐκεῖνο τὸ αἷμα καὶ τὰ ἄλλα ἐγίνετο. Τί δήποτε δὲ καὶ μετὰ ὑσσώπου; Ὅτι πυκνὸν καὶ ἁπαλὸν ὑπάρχον, κρατητικὸν τοῦ αἵματος ἦν. Τί δαὶ τὸ ὕδωρ; Καὶ τοῦτο ὡς χαρακτηρίζον τὴν δι' ὕδατος κάθαρσιν. Τί δὲ τὸ ἔριον; Καὶ τοῦτο παρελαμβάνετο, ὥστε κατέχεσθαι τὸ αἷμα. Δείκνυσιν ἐνταῦθα τὸ αὐτὸ ὂν καὶ αἷμα*
20 *καὶ ὕδωρ· τὸ γὰρ βάπτισμα αὐτοῦ τοῦ πάθους ἐστὶ σύμβολον.*

«Καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισε. Καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις». Διὰ τί τὸ «σχεδὸν» εἶπε; διὰ τί αὐτὸ ἐκόλασεν; Ἐπειδὴ ἐκεῖνα οὐχ ἦν
25 *καθαρισμὸς τέλειος, οὐδὲ ἄφεσις τελεία, ἀλλὰ ἡμιτελὴς καὶ ἐν ἐλαχίστῳ μέρει· ἐνταῦθα δέ· «τοῦτο τὸ αἷμα», φησί, «τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν». Ποῦ τοίνυν τὸ βιβλίον ἐκάθαρε τὰς διανοίας αὐτῶν; Αὐτοὶ ἄρα ἦσαν βιβλία τῆς Καινῆς Διαθήκης. Ποῦ δὲ τὰ σκεύη τῆς λειτουργίας; Αὐτοί εἰσι.*

6. Ματθ. 26,28.

στὴν Παλαιὰ Διαθήκη, πρᾶγμα ποὺ κατ' ἐξοχὴν ἔπειθε αὐτούς. Ἀλλὰ κανείς, λέγει, δὲν εἶχε πεθάνει ἐκεῖ. Πῶς λοιπὸν ἡ διαθήκη ἐκείνη εἶναι ἔγκυρη; Μὲ τὸν ἴδιο τρόπο, λέγει. Πῶς; Καθόσον καὶ ἐκεῖ ὑπῆρχε αἷμα, ὅπως ἀκριβῶς καὶ ἐδῶ. Ἐὰν ὅμως δὲν ἦταν τὸ αἷμα τοῦ Χριστοῦ, μὴν ἀπορήσῃς· διότι ἦταν τύπος τοῦ αἵματος τοῦ Χριστοῦ· γι' αὐτὸ λέγει, «ἑπομένως οὔτε ἡ πρώτη διαθήκη εἶχε ἐγκαινιασθῆ χωρὶς αἷμα». Τί σημαίνει, «ἐγκαινιάσθηκε»; Βεβαιώθηκε, ἔγινε ἔγκυρη. Ἄρα γι' αὐτό, δηλαδὴ γι' αὐτὸν τὸν λόγο, λέγει, χρειαζόταν νὰ ὑπάρχῃ τὸ σύμβολο τῆς διαθήκης καὶ τοῦ θανάτου.

2. Ἀλήθεια, πές μου, γιὰ ποιόν λόγο ραντιζόταν μὲ αἷμα τὸ βιβλίο τῆς διαθήκης; Διότι, λέγει, «ἀφοῦ δόθηκαν ὅλες οἱ ὁδηγίες, ὅσον ἀφορᾶ τὸν νόμο, ἀπὸ τὸν Μωϋσῆ σὲ ὅλον τὸν λαό, πῆρε τότε τὸ αἷμα τῶν μοσχαριῶν μαζὶ μὲ νερὸ καὶ κόκκινο μαλλὶ καὶ ὕσσωπο, καὶ ράντισε καὶ τὸ βιβλίο τοῦ νόμου καὶ ὅλον τὸν λαό, λέγοντας· 'αὐτὸ εἶναι τὸ αἷμα τῆς διαθήκης, τὴν ὁποία μοῦ παρήγγειλε ὁ Θεὸς νὰ κάνω μ' ἐσᾶς». Γιὰ ποιό λόγο λοιπόν, πές μου, ραντίζεται τὸ βιβλίο τῆς διαθήκης καὶ ὁ λαός; Ἐπειδὴ τὸ αἷμα ἐκεῖνο ὅπως καὶ τὰ ὑπόλοιπα ἦταν τύπος τοῦ τιμίου αἵματος τοῦ Χριστοῦ ποὺ δινόταν ἀπὸ τὸν οὐρανό. Καὶ γιατί ὁ ραντισμὸς γινόταν μὲ ὕσσωπο; Ἐπειδὴ ὁ ὕσσωπος εἶναι πυκνὸς καὶ ἀπαλὸς καὶ μπορεῖ νὰ κρατᾶ τὸ αἷμα. Καὶ τί χρειαζόταν τὸ νερό; Κι' αὐτὸ χρησιμοποιήθηκε γιὰ νὰ δηλώσῃ τὸν καθαρισμὸ ποὺ γίνεται μὲ τὸ νερό. Τί χρειαζόταν ἐπίσης τὸ μαλλί; Καὶ αὐτὸ χρησιμοποιοῦνταν γιὰ νὰ κατακρατῆ τὸ αἷμα. Δείχνει ἐδῶ ὅτι εἶναι τὸ ἴδιο πρᾶγμα τὸ αἷμα καὶ τὸ νερό· διότι τὸ βάπτισμα συμβολίζει τὸ ἴδιο τὸ πάθος.

«Ἀλλὰ καὶ τὴ σκηνὴ τοῦ μαρτυρίου καὶ ὅλα τὰ σκεύη τῆς λατρείας τὰ ράντισε κατὰ τὸν ἴδιο τρόπο μὲ αἷμα». Καὶ σχεδὸν μὲ αἷμα καθαρίζονται ὅλα σύμφωνα μὲ τὸν νόμο, καὶ χωρὶς αἱματοχυσία δὲν γίνεται ἄφεσις ἁμαρτιῶν. Γιατὶ εἶπε τὸ «σχεδόν»; Γιατί τὸ περιώρισε; Ἐπειδὴ ὅλα ἐκεῖνα δὲν ἦταν καθαρισμὸς τέλειος, οὔτε ἄφεσις τελεία, ἀλλ' ἦταν ἡμιτελὴς καὶ γινόταν σ' ἐλάχιστο μέρος· ἐνῶ ἐδῶ λέγει· «αὐτὸ εἶναι τὸ αἷμα μου τῆς Καινῆς Διαθήκης, τὸ ὁποῖο χύνεται γιὰ τὴν ἄφεσι τῶν ἁμαρτιῶν»[6]. Ποῦ λοιπὸν τὸ βιβλίο καθάριζε τὶς διάνοιες αὐτῶν; Ἄρα αὐτοὶ ἦταν βιβλία τῆς Καινῆς Διαθήκης. Ποὺ εἶναι ἐπίσης τὰ σκεύη τῆς λατρείας; Αὐτοὶ οἱ ἴδιοι εἶναι. Ποῦ

Ποῦ δὲ ἡ σκηνή; Αὐτοί εἰσι πάλιν· «ἐνοικήσω γὰρ ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω», φησίν.

Ἀλλ' οὐκ ἐρίῳ κοκκίνῳ οὐδὲ ὑσσώπῳ ἐρράντισεν ἐνταῦθα. Τί δήποτε; Οὐ γὰρ σωματικὸς ὁ καθαρισμὸς ἦν, ἀλλὰ πνευματι-
5 *κός, καὶ τὸ αἷμα πνευματικόν. Πῶς; Οὐκ ἀπὸ σώματος γὰρ ἔρρει ἀλόγων, ἀλλὰ σώματος ἀπὸ Πνεύματος κατασκευασθέντος. Τούτῳ ἡμᾶς οὐ Μωϋσῆς, ἀλλ' ὁ Χριστὸς ἐρράντισε τῷ αἵματι, διὰ τοῦ λόγου τοῦ λεχθέντος, «τοῦτο τὸ αἷμα τῆς Καινῆς Διαθήκης εἰς ἄφεσιν ἁμαρτιῶν». Οὗτος ὁ λόγος ἀντὶ ὑσσώπου τῷ αἵματι ἐμβα-*
10 *φείς, πάντας περιρραίνει. Κἀκεῖ μὲν τὸ σῶμα ἔξωθεν ἐκαθαίρετο· σωματικὸς γὰρ ὁ καθαρισμὸς ἦν· ἐνταῦθα δέ, ἐπειδὴ πνευματικός ἐστιν ὁ καθαρισμός, εἰς τὴν ψυχὴν εἰσέρχεται καὶ καθαίρει, οὐχ ἁπλῶς περιρραινόμενος, ἀλλὰ πηγάζων ἐν ταῖς ἡμετέραις ψυχαῖς. Ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. Καὶ ἐπ' ἐκείνων μὲν αὐτὴν τὴν*
15 *ἐπιφάνειαν ἔρραινε, καὶ πάλιν ἀπενίπτετο ὁ ραντιζόμενος· οὐ γὰρ δὴ ἡμαγμένος ἀεὶ περιῄει· ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως, ἀλλ' αὐτῇ τῇ οὐσίᾳ ἀναμίγνυται τὸ αἷμα ρωμαλέαν αὐτὴν ποιοῦν καὶ ἁγνήν, καὶ πρὸς αὐτὸ τὸ ἀμήχανον κάλλος ἄγον. Δείκνυσι δὴ λοιπὸν τὸν θάνατον οὐ μόνον βεβαιώσεως, ἀλλὰ καὶ καθαρμοῦ αἴτιον. Ἐπειδὴ*
20 *γὰρ ἡ τελευτὴ μιαρὸν πρᾶγμα ἐδόκει εἶναι, καὶ μάλιστα ἡ διὰ σταυροῦ, λέγει ὅτι ἐκάθαρε, καὶ ἐκάθαρε τιμίαν κάθαρσιν καὶ ἐπὶ μείζοσι· διὰ τοῦτο αἱ θυσίαι προὔλαβον, διὰ τὸ αἷμα τοῦτο· διὰ τοῦτο ἀμνοί, διὰ τοῦτο ἅπαντα ἐγένετο.*

«Ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τού-
25 *τοις καθαρίζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας». Καὶ πῶς ἐστιν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς; τίνα δὲ καλεῖ τὰ «ἐν τοῖς οὐρανοῖς» νῦν; Ἆρα τὸν οὐρανόν; ἀλλὰ τοὺς ἀγγέλους; Οὐδὲν τούτων, ἀλλὰ τὰ ἡμέτερα. Ἄρα «ἐν τοῖς οὐρανοῖς» τὰ ἡμέτερα καὶ ἐπουράνια, κἂν ἐν τῇ γῇ ἐπιτελῆται. Ἐπεὶ καὶ ἄγγε-*
30 *λοι ἐν τῇ γῇ εἰσιν, ἀλλ' ἐπουράνιοι λέγονται· καὶ τὰ Χερουβὶμ ἐπὶ*

7. Β' Κορ. 6,16.

εἶναι καὶ ἡ σκηνή; Αὐτοὶ εἶναι πάλι· διότι λέγει, «θὰ κατοικήσω μέσα τους καὶ θὰ περπατήσω ἀνάμεσά τους»[7].

Ἐδῶ ὅμως ὁ ραντισμὸς δὲν ἔγινε οὔτε μὲ κόκκινο μαλλί, οὔτε μὲ ὕσσωπο. Γιατί ἄραγε; Διότι ἡ κάθαρσις δὲν ἦταν σωματική, ἀλλὰ πνευματική, καὶ τὸ αἷμα ἦταν πνευματικό. Πῶς; Διότι δὲν ἔρρεε ἀπὸ σῶμα ἀλόγων, ἀλλὰ ἀπο σῶμα ποὺ κατασκευάσθηκε ἀπὸ τὸ ἅγιο Πνεῦμα. Μ' αὐτὸ τὸ αἷμα μᾶς ράντισε ὄχι ὁ Μωϋσῆς, ἀλλὰ ὁ Χριστός, μὲ τὰ λόγια ποὺ εἶπε· «αὐτὸ εἶναι τὸ αἷμα μου τῆς Καινῆς Διαθήκης ποὺ χύνεται γιὰ ἄφεσι τῶν ἁμαρτιῶν». Αὐτὸς ὁ λόγος βαμμένος μὲ τὸ αἷμα, ἀντὶ ὑσσώπου, τοὺς καθαρίζει ὅλους τελείως. Καὶ ἐκεῖ τὸ σῶμα καθαριζόταν ἐξωτερικά· διότι ὁ καθαρισμὸς ἦταν σωματικός· ἐνῶ ἐδῶ, ἐπειδὴ ὁ καθαρισμὸς εἶναι πνευματικός, μπαίνει μέσα στὴν ψυχὴ καὶ δὲν τὴν ραντίζει ἁπλῶς ἐξωτερικά, ἀλλὰ τὴν καθαρίζει, σὰν μιὰ πηγὴ ποὺ πηγάζει μέσα στὶς ψυχές μας. Γνωρίζουν οἱ μυημένοι αὐτὰ ποὺ λέγω. Στὴν περίπτωσι βέβαια ἐκείνων τὸ αἷμα ράντιζε μόνο τὴν ἐπιφάνεια καὶ πάλι νιβόταν ὁ ραντιζόμενος· διότι δὲν κυκλοφοροῦσε πάντοτε ραντισμένος μὲ τὸ αἷμα· στὴν περίπτωσι ὅμως τῆς ψυχῆς δὲν συμβαίνει τὸ ἴδιο, ἀλλὰ τὸ αἷμα ἀναμιγνύεται μὲ τὴν ἴδια τὴν οὐσία τῆς ψυχῆς, τὴν κάμνει ρωμαλέα καὶ ἁγνὴ καὶ τὴν ὁδηγεῖ πρὸς αὐτὸ τὸ ἴδιο τὸ ἀκατάληπτο κάλλος. Πράγματι λοιπὸν παρουσιάζει τὸν θάνατο ὄχι μόνο σὰν αἰτία ἐγκυρότητας τῆς διαθήκης, ἀλλὰ καὶ καθαρισμοῦ. Ἐπειδὴ δηλαδὴ ὁ θάνατος θεωροῦνταν ὅτι εἶναι ἀκάθαρτο πρᾶγμα καὶ μάλιστα ὁ σταυρικὸς θάνατος, λέγει ὅτι μᾶς καθάρισε ἀπὸ τὴν ἁμαρτία, καὶ μᾶς καθάρισε τέλεια καὶ γιὰ πράγματα μεγαλύτερα· γι' αὐτὸ προηγήθηκαν οἱ θυσίες ἐκεῖνες, γιὰ τὸ αἷμα αὐτό· γι' αὐτὸ σφάζονταν ἀμνοὶ καὶ γι' αὐτὸ γίνονταν ὅλα τὰ ἄλλα.

«Ἦταν λοιπὸν ἀνάγκη ἐκεῖνα ποὺ ἦταν τύπος τῶν οὐρανίων πραγμάτων νὰ καθαρίζωνται μὲ τέτοιο τρόπο, ἐνῶ τὰ ἐπουράνια μὲ τελειότερες θυσίες ἀπὸ αὐτές». Καὶ πῶς εἶναι τύποι τῶν οὐρανίων πραγμάτων; Καὶ ποιά εἶναι αὐτά, τὰ ὁποῖα ἐδῶ ὀνομάζει οὐράνια; Μήπως ἐννοεῖ τὸν οὐρανό; μήπως τοὺς ἀγγέλους; Τίποτε ἀπὸ αὐτά, ἀλλὰ τὰ δικά μας. Ἐπομένως τὰ δικά μας βρίσκονται στοὺς οὐρανοὺς καὶ εἶναι ἐπουράνια, ἔστω κι' ἂν πραγματοποιοῦνται στὴ γῆ. Διότι καὶ οἱ ἄγγελοι βρίσκονται στὴ γῆ, ἀλλ' ὀνομάζονται ἐπουράνιοι· καὶ τὰ χερουβὶμ φανερώθηκαν στὴ γῆ, ἀλλ' εἶναι ἐπουράνια.

τῆς γῆς ἐφάνη, ἀλλ' ἐπουράνιά ἐστι. Καὶ τί λέγω ἐφάνη; Ἐπὶ τῆς γῆς μὲν οὖν διάγει, ὥσπερ οὖν ἐν τῷ παραδείσῳ. Ἀλλ' οὐδὲν ἐκώλυσε τοῦτο· ἐπουρανία γὰρ καὶ οὕτως ἐστί. Καὶ ἡμῶν τὸ πολίτευμά ἐστιν ἐν οὐρανοῖς, καίτοι ἐνταῦθα πολιτευόμεθα. «Αὐτὰ δὲ τὰ ἐπουράνια»· τουτέστι, τὴν φιλοσοφίαν τὴν παρ' ἡμῖν, τοὺς ἐκεῖ κεκλημένους. «Κρείττοσι θυσίαις παρὰ ταύτας». Τὸ κρεῖττον καλοῦ τινός ἐστι κρεῖττον· ἄρα καλὰ γεγόνασι, καὶ τὰ ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς. Οὐκ ἂν γὰρ οὐδὲ τὰ ὑποδείγματα πονηρὰ ἦν, ἐπεὶ κἀκεῖνα ἂν εἴη πονηρὰ ὧν ἐστιν ὑποδείγματα.

Εἰ τοίνυν ἐπουράνιοι ἡμεῖς καὶ τοιαύτης οὐσίας ἐτύχομεν, φρίξωμεν· μηκέτι μένωμεν ἐν τῇ γῇ· ἔξεστι γὰρ μὴ εἶναι ἐν τῇ γῇ καὶ νῦν τὸν βουλόμενον. Τὸ γὰρ εἶναι ἐν τῇ γῇ καὶ μὴ εἶναι, τρόπῳ καὶ προαιρέσει γίνεται· οἷόν τι λέγω· Ὁ Θεὸς λέγεται εἶναι ἐν τῷ οὐρανῷ· διὰ τί; οὐ τόπῳ ἀποκλειόμενος, μὴ γένοιτο, οὐδὲ τὴν γῆν ἔρημον τῆς αὐτοῦ παρουσίας ἀφείς, ἀλλὰ τῇ σχέσει καὶ τῇ οἰκειώσει τῇ πρὸς τοὺς ἀγγέλους. Ἂν τοίνυν καὶ ἡμεῖς ἐγγὺς ὦμεν τοῦ Θεοῦ, ἐν οὐρανῷ ἐσμεν. Τί γάρ μοι μέλει τοῦ οὐρανοῦ, ὅταν ὁρῶ τὸν Δεσπότην τοῦ οὐρανοῦ, ὅταν αὐτὸς οὐρανὸς γένωμαι; «Ἐλευσόμεθα», γάρ φησιν, «ἐγὼ καὶ ὁ Πατήρ μου καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». Ποιήσωμεν οὖν ἡμῶν τὴν ψυχὴν οὐρανόν. Φαιδρός ἐστιν ὁ οὐρανὸς τῇ φύσει· οὐδὲ γὰρ ἐν χειμῶνι μέλας γίνεται· οὐ γὰρ αὐτὸς μεταβάλλει τὴν ὄψιν, ἀλλ' αἱ νεφέλαι συνδραμοῦσαι καλύπτουσιν αὐτόν. Ὁ οὐρανὸς ἥλιον ἔχει· ἔχομεν καὶ ἡμεῖς ἥλιον δικαιοσύνης. Εἶπον, 'ἔξεστι γενέσθαι ὡς οὐρανόν'· καὶ ὁρῶ ὅτι καὶ βελτίονα γενέσθαι τοῦ οὐρανοῦ ἔξεστι. Πῶς; Ὅταν τὸν Δεσπότην τοῦ ἡλίου ἔχωμεν. Ὁ οὐρανὸς πάντοθέν ἐστι καθαρὸς καὶ ἀκηλίδωτος, οὐκ ἐν χειμῶνι, οὐκ ἐν νυκτὶ μεταβάλλεται. Μὴ τοίνυν μηδὲ ἡμεῖς μήτε ἐν ταῖς θλίψεσι, μήτε ἐν ταῖς μεθοδείαις τοῦ διαβόλου τοῦτο πάσχωμεν, ἀλλὰ μένωμεν ἀκηλίδωτοι καὶ καθαροί. Ὁ οὐρανός ἐστιν ὑψηλὸς καὶ πολὺ τῆς γῆς ἀπέχων. Τοῦτο καὶ ἡμεῖς ποιήσωμεν, ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς καὶ πρὸς τὸ ὕψος ἀρθῶμεν ἐκεῖνο.

8. Ἰω. 14,23.

Καὶ γιατί λέγω 'φανερώθηκαν'; Πράγματι ζοῦν ἐπάνω στὴ γῆ, ὅπως ἀκριβῶς στὸν παράδεισο. Καὶ σὲ τίποτε δὲν τοὺς ἐμπόδισε αὐτό· διότι ἐπουράνια εἶναι καὶ αὐτὴ ἔτσι ὅπως εἶναι. Καὶ τὸ δικό μας πολίτευμα εἶναι στοὺς οὐρανούς, ἂν καὶ ζοῦμε ἐπάνω στὴ γῆ. «Αὐτὰ λοιπὸν τὰ ἐπουράνια»· δηλαδή, ὁ ὅλος ἐνάρετος τρόπος τῆς ζωῆς μας, ὅλοι αὐτοὶ ποὺ ἔχουν προσκληθῆ γιὰ τὸν οὐρανό. «Πρέπει νὰ καθαρίζωνται μὲ τελειότερες θυσίες ἀπὸ αὐτές». Τὸ τελειότερο εἶναι ἀνώτερο ἀπὸ κάποιο ποὺ εἶναι καλό· ἐπομένως καλὰ ἔχουν γίνει καὶ ἐκεῖνα ποὺ χρησιμοποιήθηκαν σὰν τύποι τῶν οὐρανίων. Πράγματι δὲν θὰ ἦταν δυνατὸ τὰ ὑποδείγματα νὰ εἶναι κακά, διότι τότε θὰ ἦταν κακὰ κι' ἐκεῖνα τῶν ὁποίων αὐτὰ εἶναι ὑποδείγματα.

3. Ἐὰν λοιπὸν ἐμεῖς εἴμαστε ἐπουράνιοι καὶ ἀξιωθήκαμε τέτοιας περιουσίας, ἂς φρίξουμε· ἂς μὴ μένουμε πιὰ στὴ γῆ· διότι εἶναι δυνατὸ καὶ τώρα ὅποιος θέλει νὰ μὴ μένη στὴ γῆ. Καθόσον τὸ νὰ μένη κανεὶς στὴ γῆ καὶ τὸ νὰ μὴ μένη ἐξαρτᾶται ἀπὸ τὸν τρόπο τῆς ζωῆς καὶ τὴν προαίρεσι· ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Ὁ Θεὸς λέγεται ὅτι εἶναι στὸν οὐρανό· γιατί; Ὄχι τάχα ὅτι περιορίζεται σὲ τόπο, μὴ γένοιτο, οὔτε ὅτι ἄφησε τὴ γῆ ἔρημη ἀπὸ τὴν παρουσία του, ἀλλ' ἐξ αἰτίας τῆς σχέσεως καὶ τῆς οἰκειότητας ποὺ ἔχει πρὸς τοὺς ἀγγέλους. Ἂν λοιπὸν καὶ ἐμεῖς πλησιάσουμε τὸν Θεό, θὰ εἴμαστε στὸν οὐρανό. Ἀλήθεια, τί μ' ἐνδιαφέρει ὁ οὐρανός, ὅταν βλέπω τὸν Δεσπότη τοῦ οὐρανοῦ, ὅταν ὁ ἴδιος γίνωμαι οὐρανός; Διότι λέγει, «θὰ ἔρθουμε ἐγὼ καὶ ὁ Πατέρας μου καὶ θὰ κατοικήσουμε μαζί του»[8]. Ἂς κάνουμε λοιπὸν τὴν ψυχή μας οὐρανό. Εἶναι λαμπρὸς ὁ οὐρανὸς ἐκ φύσεως· ἀφοῦ οὔτε κατὰ τὸν χειμῶνα γίνεται μαῦρος· διότι δὲν μεταβάλλει αὐτὸς τὴν ὄψι του, ἀλλὰ τὰ σύννεφα συγκεντρώνονται καὶ τὸν καλύπτουν. Ὁ οὐρανὸς ἔχει τὸν ἥλιο· ἔχουμε κι' ἐμεῖς τὸν ἥλιο τῆς δικαιοσύνης. Εἶπα, ὅτι εἶναι δυνατὸ νὰ γίνουμε σὰν τὸν οὐρανό· καὶ βλέπω ὅτι μποροῦμε νὰ γίνουμε καὶ καλύτεροι ἀπὸ τὸν οὐρανό. Πῶς; Ὅταν ἔχουμε τὸν Κύριο τοῦ ἡλίου. Ὁ οὐρανὸς ἀπὸ παντοῦ εἶναι καθαρὸς καὶ ἀκηλίδωτος, δὲν μεταβάλλεται οὔτε κατὰ τὸν χειμῶνα, οὔτε κατὰ τὴν νύχτα· κι' ἐμεῖς ἂς μὴ μᾶς μεταβάλλουν οὔτε οἱ θλίψεις, οὔτε τὰ τεχνάσματα τοῦ διαβόλου, ἀλλὰ ἂς μένουμε ἀκηλίδωτοι καὶ καθαροί. Ὁ οὐρανὸς εἶναι ὑψηλὸς καὶ ἀπέχει πολὺ ἀπὸ τὴ γῆ· αὐτὸ ἂς κάνουμε κι' ἐμεῖς· ἂς ἀπομακρυνθοῦμε ἀπὸ τὴ γῆ καὶ ἂς ὑψωθοῦμε πρὸς ἐκεῖνο τὸ ὕψος.

Καὶ ποῦ τῆς γῆς ἑαυτοὺς ἀποστήσωμεν; Ὅταν τὰ οὐράνια φανταζώμεθα. Ὁ οὐρανὸς ἀνώτερός ἐστι καὶ ὑετῶν καὶ χειμώνων καὶ ὑπ' οὐδενὸς ἁλίσκεται· τοῦτο καὶ ἡμεῖς δυνησόμεθα, ἐὰν θέλωμεν. Οὗτος δοκεῖ μέν, οὐ μέντοι πάσχει· μὴ τοίνυν μηδὲ ἡμεῖς, κἂν 5 δοκῶμεν πάσχειν, πάσχωμεν. Ὥσπερ γὰρ ἐν τῷ χειμῶνι οἱ μὲν πολλοὶ τὸ κάλλος αὐτοῦ οὐκ ἴσασιν, ἀλλὰ νομίζουσιν αὐτὸν τρέπεσθαι, οἱ δὲ φιλοσοφοῦντες ἴσασιν ὅτι οὐδὲν ἔπαθεν· οὕτω καὶ περὶ ἡμῶν ἐν ταῖς θλίψεσιν, οἱ μὲ πολλοὶ νομίζουσιν ἡμᾶς συμμεταβεβλῆσθαι καὶ αὐτῆς ἡμῶν ἧφθαι τῆς καρδίας τὴν θλῖψιν· οἱ δὲ φιλό-10 σοφοι ἴσασιν ὅτι οὐχ ἥψατο ἡμῶν. Γενώμεθα τοίνυν οὐρανός, ἀνέλθωμεν εἰς τὸ ὕψος ἐκεῖνο, καὶ οὕτως ὀψόμεθα τοὺς ἀνθρώπους μυρμήκων οὐδὲν διαφέροντας· οὐ τοὺς πένητας λέγω μόνον, οὐδὲ τοὺς πλουσίους, ἀλλὰ κἂν στρατηγός τις ᾖ, κἂν βασιλεύς, οὐκ ὀψόμεθα ἐκεῖ τὸν βασιλέα, οὐδὲ τὸν ἰδιώτην, οὐκ εἰσόμεθα τί μὲν 15 χρυσός, τί δὲ ἄργυρος, τί δὲ ἱμάτιον σηρικὸν ἢ πορφυροῦν· πάντα ὥσπερ μυίας ὀψόμεθα, ἐὰν ἐν ἐκείνῳ τῷ ὕψει καθίσωμεν· οὐδεὶς θόρυβος ἐκεῖ, οὐδεμία ταραχή, οὐδὲ κραυγή.

Καὶ πῶς ἔνι, φησίν, εἰς ἐκεῖνο ἀρθῆναι τὸ ὕψος, ἐπὶ τῆς γῆς περιπατοῦντα; Λόγῳ μὲν οὐ λέγω τοῦτο ἁπλῶς· ἀλλ' εἰ βούλει, 20 ἐγώ σοι δείκνυμι ἔργῳ τοὺς εἰς τὸ ὕψος ἐκεῖνο φθάσαντας. Τίνας δὴ τούτους; Τοὺς περὶ Παῦλον λέγω, οἵτινες ἐν τῇ γῇ ὄντες, ἐν τῷ οὐρανῷ διέτριβον. Καὶ τί λέγω ἐν τῷ οὐρανῷ; Ὑψηλότεροι ἦσαν τοῦ οὐρανοῦ, καὶ τοῦ ἄλλου οὐρανοῦ, καὶ πρὸς αὐτὸν ἀνῆλθον τὸν Θεόν. «Τίς γὰρ ἡμᾶς χωρίσει, φησίν, ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; 5 Θλῖψις ἢ στενοχωρία ἢ λιμὸς ἢ διωγμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;». Καὶ πάλιν, «μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα». Ὁρᾷς ὅτι οὐδὲ ἑώρα τὰ ἐνταῦθα; Ἵνα δέ σοι δείξω ὅτι τῶν οὐρανῶν ἀνώτερος ἦν, ἄκουε αὐτοῦ λέγοντος· «πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωή, οὔτε ἐνεστῶτα οὔτε μέλ-

9. Ρωμ. 8,35.
10. Β' Κορ. 4,18.

Καὶ πῶς θὰ ἀπομακρυνθοῦμε ἀπὸ τὴ γῆ; Μὲ τὸ νὰ σκεπτώμαστε τὰ οὐράνια. Ὁ οὐρανὸς βρίσκεται πάνω ἀπὸ τὶς βροχὲς καὶ τοὺς χειμῶνες κι' ἀπὸ κανέναν δὲν νικιέται. Αὐτὸ θὰ μπορέσουμε κι' ἐμεῖς νὰ τὸ κάνουμε, ἐὰν θέλουμε. Ὁ οὐρανὸς φαίνεται μόνο ὅτι πάσχει, στὴν πραγματικότητα ὅμως εἶναι ἀπαθής. Ἂς μὴ πάσχουμε λοιπὸν κι' ἐμεῖς, ἔστω κι' ἂν φαίνεται ὅτι πάσχουμε. Ὅπως δηλαδὴ κατὰ τὴν διάρκεια τοῦ χειμῶνα οἱ πολλοὶ ἄνθρωποι δὲν διακρίνουν τὸ κάλλος τοῦ οὐρανοῦ, ἀλλὰ νομίζουν ὅτι ἔχει μεταβληθῆ, ἐνῶ ἐκεῖνοι ποὺ φιλοσοφοῦν τὰ πράγματα γνωρίζουν ὅτι δὲν ἔπαθε τίποτε· ἔτσι καὶ γιὰ μᾶς κατὰ τὸ διάστημα τῶν θλίψεων, οἱ πολλοὶ πιστεύουν ὅτι μαζὶ μ' αὐτὲς ἔχουμε ἀλλάξει κι' ὅτι ἔχει ἀγγίξει τὴν καρδιά μας ἡ θλῖψις· ἐκεῖνοι ὅμως ποὺ φιλοσοφοῦν τὰ πράγματα γνωρίζουν ὅτι δὲν μᾶς ἔχει ἀγγίξει. Ἂς γίνουμε λοιπὸν οὐρανός, ἂς ἀνεβοῦμε σ' ἐκεῖνο τὸ ὕψος καὶ τότε θὰ δοῦμε ὅτι οἱ ἄνθρωποι καθόλου δὲν διαφέρουν ἀπὸ τὰ μυρμήγκια· δὲν ἐννοῶ μόνο τοὺς φτωχούς, οὔτε τοὺς πλουσίους, ἀλλά, κι' ἂν ἀκόμα κάποιος εἶναι στρατηγὸς ἢ βασιλιάς, δὲν θὰ διακρίνουμε ἐκεῖ τὸν βασιλιὰ οὔτε τὸν ἰδιώτη, δὲν θὰ ἐνδιαφερθοῦμε γιὰ τὸ ποιό εἶναι ἀπὸ χρυσάφι καὶ ποιό ἀπὸ ἄργυρο, ποιό ἔνδυμα εἶναι ἀπὸ μετάξι καὶ ποιό ἀπὸ πορφύρα· ὅλα θὰ τὰ δοῦμε σὰν μύγες, ἐὰν ἀνεβοῦμε σ' ἐκεῖνο τὸ ὕψος· δὲν ὑπάρχει ἐκεῖ κανένας θόρυβος, καμμία ταραχή, οὔτε κραυγή.

Καὶ πῶς εἶναι δυνατό, λέγει, νὰ φθάσω σ' ἐκεῖνο τὸ ὕψος, ἐφ' ὅσον περπατῶ ἐπάνω στὴ γῆ; Δὲν θὰ σοῦ τὸ πῶ αὐτὸ ἁπλῶς μὲ λόγια, ἀλλὰ ἐὰν θέλῃς θὰ σοῦ δείξω στὴν πρᾶξι ἐκείνους ποὺ ἔφθασαν σ' ἐκεῖνο τὸ ὕψος. Ποιοί λοιπὸν εἶναι αὐτοί; Ὁ Παῦλος καὶ ὅλοι οἱ γύρω ἀπὸ αὐτόν· αὐτοί, ἂν καὶ ἦταν στὴ γῆ, ζοῦσαν στὸν οὐρανό. Καὶ γιατί λέγω, ζοῦσαν στὸν οὐρανό; Ἦταν πιὸ πάνω ἀπὸ τὸν οὐρανό, πιὸ πάνω κι' ἀπὸ τὸν ἄλλο οὐρανό, κι' ἀνέβηκαν μέχρι τὸν ἴδιο τὸν Θεό. Διότι λέγει, «ποιός θὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχώρια ἢ πεῖνα ἢ διωγμὸς ἢ γύμνια ἢ κίνδυνος ἢ μάχαιρα»[9]; Καὶ πάλι· «ἂς μὴν εἴμαστε προσηλωμένοι σ' αὐτὰ ποὺ βλέπουμε, ἀλλὰ σ' ἐκεῖνα ποὺ δὲν βλέπουμε»[10]. Βλέπεις ὅτι δὲν ἔδινε καμμιὰ σημασία στὰ γήϊνα; Καὶ γιὰ νὰ σοῦ δείξω ὅτι ἦταν πιὸ πάνω ἀπὸ τοὺς οὐρανούς, ἄκουσε αὐτὸν ποὺ λέγει· «εἶναι ἀπόλυτη ἡ πεποίθησίς μου, ὅτι οὔτε ὁ θάνατος οὔτε ἡ ζωή, οὔτε τὰ παρόντα

λοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ».

4. Ὁρᾷς πῶς πάντα παραδραμὼν ὁ λογισμός, ἀνώτερον αὐτὸν ἐποίησεν, οὐ ταύτης μόνον τῆς κτίσεως, οὐδὲ τούτων τῶν οὐρα-
5 *νῶν, ἀλλὰ και εἴ τινες ἕτεροι ἦσαν; Εἶδες ὕψος διανοίας; εἶδες ὁ σκηνοποιὸς οἷος ἐγένετο ἐπειδὴ ἠθέλησεν, ὁ ἐπ' ἀγορᾶς τὸν ἅπαντα βίον διαγαγών; Οὐδὲν γάρ ἐστι κώλυμα, οὐκ ἔστι, πάντας ὑπερβαλέσθαι, εἴγε βουλοίμεθα. Εἰ γὰρ τέχνας οὕτω κατορθοῦμεν ὑπερβαινούσας τοὺς πολλούς, πολλῷ μᾶλλον ὃ μὴ τοσούτου δεῖται πό-*
10 *νου. Τί γάρ, εἰπέ μοι, χαλεπώτερον τοῦ διὰ σχοίνου τεταμένης βαδίζειν, καθάπερ ἐπὶ ἰσοπέδου, καὶ ἄνω περιπατοῦντα ὑποδύεσθαι καὶ ἀποδύεσθαι καθάπερ ἐπὶ κλίνης καθήμενον; Οὐχὶ οὕτω φρικτὸν ἡμῖν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς μηδὲ θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι καὶ τρέμειν καὶ πρὸς τὴν ὄψιν αὐτήν; Τί δέ, εἰπέ μοι,*
15 *χαλεπώτερον τοῦ κοντὸν ἐπὶ τοῦ προσώπου λαβεῖν, εἶτα ἐπιθέντα ἄνω παιδίον μυρία ποιεῖν καὶ τέρπειν τοὺς θεατάς; τί δὲ χαλεπώτερον τοῦ σφαιρίζειν ἐν ξίφεσι; τί δὲ βαρύτερον, εἰπέ μοι, τοῦ τὸ βάθος τοῦ πελάγους διευρευνᾶσθαι; Καὶ μυρίας ἑτέρας ἄν τις ἔχοι τέχνας εἰπεῖν· ἀλλὰ πάντων τούτων εὐκολωτέρα ἡ ἀρετή, ἐὰν θέλω-*
20 *μεν, καὶ τὸ εἰς τὸν οὐρανὸν ἀναβῆναι· θελῆσαι γὰρ δεῖ μόνον ἐνταῦθα, καὶ πάντα ἕπεται. Οὐκ ἔστι γὰρ εἰπεῖν, οὐ δύναμαι· τοῦτο γὰρ κατηγορῆσαί ἐστι τοῦ Δημιουργοῦ· εἰ γὰρ ἀδυνάτους ἡμᾶς ἐποίησεν, εἶτα ἐπιτάττει, κατηγορία αὐτοῦ ἐστι.*

Πῶς οὖν, φησί, πολλοὶ οὐ δύνανται; Ὅτι οὐ θέλουσι. Πόθεν
25 *δὲ οὐ θέλουσιν; Ἀπὸ ῥᾳθυμίας· ὥστε, εἰ θελήσουσι, πάντως δυνήσονται. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι· «θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν», ἐπειδὴ ᾔδει ὅτι πάντες ἠδύναντο εἶναι ὡς καὶ αὐτός· οὐδὲ γὰρ ἄν, εἴγε ἀδύνατον, ἦν, τοῦτο εἶπε. Θέλεις γενέ-*

11. Ρωμ. 8,38–39.
12. Α' Κορ. 7,7.

οὔτε τὰ μελλοντικά, οὔτε ἡ ἐξύψωσις οὔτε ἡ ταπείνωσις, οὔτε ὁποιαδήποτε ἄλλη κτίσις θὰ μπορέση νὰ μᾶς χωρίση ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ»[11].

4. Βλέπεις, πῶς, ἀφοῦ ὅλα τὰ παρέβλεψε ὁ λογισμός, τὸν ἀνέβασε ὑψηλότερα, ὄχι μόνο ἀπὸ αὐτὴν τὴν κτίσι, οὔτε ἀπὸ αὐτοὺς τοὺς οὐρανούς, ἀλλὰ καὶ ἀπὸ τὸ ἂν ὑπῆρχαν ἀκόμη καὶ μερικοὶ ἄλλοι; Εἶδες ὕψος σκέψεως; εἶδες ποιός ἔγινε ὁ σκηνοποιὸς ἐπειδὴ τὸ θέλησε, αὐτὸς ποὺ πέρασε ὅλη τὴ ζωή του στὴν ἀγορά; Πραγματικὰ δὲν ὑπάρχει κανένα ἐμπόδιο, δὲν ὑπάρχει· μποροῦμε ὅλους νὰ τοὺς ξεπεράσουμε, ἐὰν βέβαια τὸ θελήσουμε. Διότι, ἐὰν στὶς τέχνες, ποὺ ξεπερνοῦν τὴ δύναμι τῶν πολλῶν, τόσα κατορθώνουμε, πολὺ περισσότερο θὰ ἐπιτύχουμε σ' αὐτὸ ποὺ δὲν χρειάζεται τόσο κόπο. Ἀλήθεια, πές μου, τί εἶναι δυσκολώτερο ἀπὸ τὸ νὰ βαδίζη κάποιος ἐπάνω σὲ τεντωμένο σχοινί, σὰν νὰ βρίσκεται ἐπάνω σὲ ἐπίπεδη ἐπιφάνεια, καὶ ἐνῶ βαδίζει ἐπάνω σ' αὐτὸ βάζει καὶ βγάζει τὰ παπούτσια του, σὰν νὰ κάθεται ἐπάνω στὸ κρεββάτι; Δὲν μᾶς φαίνεται τόσο φοβερὴ ἡ πρᾶξις, ὥστε δὲν θέλουμε οὔτε νὰ τὴν δοῦμε, ἀλλὰ φοβόμαστε καὶ τρέμουμε καὶ μόνο ποὺ τὴν βλέπουμε; Πές μου πάλι, τί εἶναι φοβερώτερο ἀπὸ τὸ νὰ βάλη κανεὶς ἕνα κοντάρι ἐπάνω στὸ πρόσωπό του, κι' ἔπειτα, ἀφοῦ βάλη ἐπάνω ἕνα παιδί, νὰ κάνη πάρα πολλὰ νούμερα εὐχαριστώντας ἔτσι τοὺς θεατές; Τί εἶναι ἐπίσης πιὸ ἐπικίνδυνο ἀπὸ τὸ νὰ παίζη κανεὶς μὲ τὰ σπαθιὰ καὶ νὰ πηδᾶ ἐπάνω σ' αὐτά; Καὶ τί εἶναι πιὸ ὀδυνηρό, πές μου, ἀπὸ τὸ νὰ διερευνᾶ κανεὶς τὸ βάθος τοῦ πελάγους; Καὶ πάρα πολλὲς ἄλλες τέχνες θὰ μποροῦσε κανεὶς ν' ἀναφέρη· ἀλλ' ὅμως, ἐὰν θέλουμε, εὐκολώτερη ἀπὸ ὅλες αὐτὲς εἶναι ἡ ἀρετὴ καὶ τὸ νὰ ἀνεβοῦμε στὸν οὐρανό· διότι μόνο θέλησις χρειάζεται ἐδῶ καὶ ὅλα τὰ ἄλλα ἔρχονται σὰν φυσικὸ ἐπακόλουθο. Πραγματικὰ δὲν μπορεῖ νὰ πῆ κανεὶς 'δὲν μπορῶ'· καθόσον αὐτὸ ἀποτελεῖ κατηγορία ἐναντίον τοῦ Δημιουργοῦ· διότι, ἐὰν μᾶς ἔπλασε ἀδύνατους κι' ἔπειτα μᾶς διατάσσει νὰ κατορθώσουμε τὰ ἀδύνατα, αὐτὸ ἀποτελεῖ κατηγορία ἐναντίον του.

Πῶς λοιπόν, λέγει, πολλοὶ δὲν μποροῦν νὰ τὰ κατορθώσουν; Ἐπειδὴ δὲν θέλουν. Καὶ γιατί δὲν θέλουν; Ἐξ αἰτίας τῆς τεμπελιᾶς τους. Ὥστε, ἐὰν θελήσουν, ὁπωσδήποτε θὰ μπορέσουν. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι σὰν κι' ἐμένα»[12], ἐπειδὴ γνώριζε ὅτι ὅλοι μποροῦσαν νὰ εἶναι σὰν κι' αὐτόν·

σθαι ἐνάρετος; τῆς ἀρχῆς ἐπιλαβοῦ μόνον. Εἰπὲ δή μοι, ἐν ταῖς τέχναις ἁπάσαις, ὅταν θέλωμεν ἐν αὐταῖς γενέσθαι, ἀρκούμεθα τῷ θέλειν, ἢ καὶ ἁπτόμεθα τῶν πραγμάτων; Οἷόν τι λέγω· Βούλεταί τις γενέσθαι κυβερνήτης· οὐ λέγει, 'θέλω', καὶ τούτῳ ἀρκεῖται,
5 ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. Θέλει γενέσθαι ἔμπορος· οὐ λέγει, 'θέλω', μόνον, ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. Ἀποδημῆσαι πάλιν θέλει, καὶ οὐ λέγει, 'θέλω', ἀλλὰ καὶ τοῦ πράγματος ἅπτεται. Εἶτα ἐν πᾶσιν οὐκ ἀρκεῖ τὸ θελῆσαι μόνον, ἀλλὰ καὶ τὸ ἔργον προσθεῖναι δεῖ, εἰς δὲ τὸν οὐρανὸν βουλόμενος ἀνελθεῖν, λέγεις,
10 'θέλω', μόνον; Πῶς οὖν, φησίν, ἔλεγες, ὅτι τὸ θέλειν ἀρκεῖ; Τὸ θέλειν μετὰ τῶν ἔργων, τὸ ἀντιλαμβανόμενον τοῦ πράγματος, τὸ πονέσαντα. Ἔχομεν γὰρ συνεργοῦντα καὶ συμπράττοντα τὸν Θεόν· μόνον ἑλώμεθα, μόνον ὡς ἔργῳ προσενεχθῶμεν τῷ πράγματι, μόνον μεριμνήσωμεν, μόνον εἰς νοῦν βαλώμεθα, καὶ πάντα ἕπεται.
15 Ἐὰν δὲ καθεύδωμεν καὶ ῥέγχοντες προσδοκῶμεν εἰσιέναι εἰς τὸν οὐρανόν, πότε δυνησόμεθα τὴν κληρονομίαν τῶν οὐρανῶν κατασχεῖν;

Βουληθῶμεν οὖν, παρακαλῶ, βουληθῶμεν. Τί πάντα πρὸς τὸν παρόντα βίον ἐμπορευόμεθα, ὃν αὔριον ἀπολείψομεν; Ἑλώμε-
20 θα τοίνυν τὴν ἀρετὴν τὴν εἰς τὸν πάντα αἰῶνα ἡμῖν διαρκέσουσαν· ἐν ᾧ ἐσόμεθα διηνεκῶς καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσομεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ καὶ τὰ ἑξῆς.

διότι δὲν θὰ τὸ ἔλεγε αὐτό, ἐὰν φυσικὰ ἦταν ἀδύνατο. Θέλεις νὰ γίνης ἐνάρετος; Κάνε μόνο τὴν ἀρχή. Ἀλήθεια, πές μου, στὴν περίπτωσι ὅλων τῶν τεχνῶν, ὅταν θέλουμε ν' ἀσχοληθοῦμε μ' αὐτές, ἀρκούμαστε μόνο στὴ θέλησι, ἢ καὶ ἐπιδιδόμαστε μὲ δραστηριότητα στὰ ἔργα; Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Θέλει κάποιος νὰ γίνη κυβερνήτης· δὲν λέγει, 'θέλω', κι' ἀρκεῖται σ' αὐτό, ἀλλὰ καὶ ἐπιδίδεται δραστήρια στὸ ἔργο. Θέλει νὰ γίνη κάποιος ἔμπορος· δὲν λέγει, μόνο 'θέλω', ἀλλὰ καὶ ἐπιδίδεται στὸ ἔργο. Θέλει πάλι κάποιος νὰ ταξιδέψη· δὲν λέγει, 'θέλω', ἀλλὰ καὶ ἐπιχειρεῖ τὸ ἔργο αὐτό. Ἔπειτα, σ' ὅλες τὶς περιπτώσεις δὲν ἀρκεῖ μόνο τὸ νὰ θέλης, ἀλλὰ πρέπει νὰ προστεθῆ καὶ τὸ ἔργο, ἐνῶ ἐδῶ θέλοντας ν' ἀνεβῆς στὸν οὐρανό, λές, 'θέλω', μόνο; Πῶς τότε, λέγει, ἔλεγες, ὅτι ἀρκεῖ τὸ νὰ θέλη κανείς; Ἡ θέλησις πρέπει νὰ συνοδεύεται ἀπὸ τὰ ἔργα, πρέπει καὶ νὰ ἐπιχειρῆται τὸ πρᾶγμα, πρέπει καὶ νὰ κοπιάση κανείς. Ἔχουμε βέβαια συνεργὸ καὶ συμβοηθὸ τὸν Θεό· μόνο νὰ τὸ ἐπιχειρήσουμε, μόνο νὰ καταπιαστοῦμε μ' αὐτὸ τὸ ἔργο, μόνο νὰ ἐνδιαφερθοῦμε, μόνο νὰ τὸ βάλουμε στὸ μυαλό μας, καὶ ὅλα τὰ ἄλλα ἀκολουθοῦν. Ἐὰν ὅμως κοιμώμαστε καὶ περιμένουμε ροχαλίζοντας νὰ μποῦμε στὸν οὐρανό, πότε θὰ μπορέσουμε νὰ κατακτήσουμε τὴν κληρονομία τῶν οὐρανῶν;

Ἂς θελήσουμε, λοιπόν, παρακαλῶ, ἂς θελήσουμε. Γιατί ὅλα νὰ τὰ κάμνουμε γιὰ τὴ ζωὴ αὐτή, τὴν ὁποία αὔριο θὰ τὴν ἐγκαταλείψουμε; Ἂς προτιμήσουμε λοιπὸν τὴν ἀρετή, ποὺ θὰ διαρκῆ στὸν αἰῶνα τὸν ἅπαντα, μέσα στὸν ὁποῖο θὰ ζοῦμε διαρκῶς καὶ θὰ ἀπολαύσουμε τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ τὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία καὶ τὰ λοιπά.

ΟΜΙΛΙΑ ΙΖ'

(Ἑβρ. 9,24–10,7)

«Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι, τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ Ἅγια τῶν ἁγίων
5 *κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ· ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νυνὶ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται».*

1. Μέγα ἐφρόνουν οἱ Ἰουδαῖοι ἐπὶ τῷ ναῷ καὶ τῇ σκηνῇ· διὸ
10 *ἔλεγον· «ναὸς Κυρίου, ναὸς Κυρίου». Οὔτε γὰρ ἀλλαχοῦ γῆς κατεσκευάσθη τοιοῦτος ναός, οὐ πολυτελείας ἕνεκεν, οὐ κάλλους, οὐχ ἑτέρου τινός. Ὁ γὰρ διαταξάμενος Θεὸς ἐκέλευσεν αὐτὸν μετὰ φιλοτιμίας γενέσθαι πολλῆς, ἐπειδὴ κἀκεῖνοι τοῖς σωματικοῖς μᾶλλον ἐφείλκοντο καὶ ἐπεσπῶντο. Πλίνθους γὰρ εἶχε χρυσᾶς ἐν τοῖς τοί-*
15 *χοις· καὶ ἔξεστι τῷ βουλομένῳ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν καὶ ἐν τῷ Ἰεζεκιὴλ τοῦτο καταμαθεῖν, καὶ ὅσα χρυσοῦ τάλαντα ἀνηλώθη τότε. Ἡ δὲ δευτέρα λαμπροτέρα γέγονεν οἰκοδομία καὶ κάλλους ἕνεκεν καὶ τῶν ἄλλων ἁπάντων. Καὶ οὐ τούτῳ μόνον σεμνὸς ἦν, ἀλλὰ καὶ τῷ εἶναι εἷς καὶ τῷ πάντας τῷ κάλλει ἐφέλκεσθαι· ἀπὸ*
20 *γὰρ τῶν περάτων τῆς γῆς ἐκεῖ ἤρχοντο, εἴτε ἀπὸ Βαβυλῶνος, εἴτε ἀπὸ Αἰθιοπίας. Καὶ τοῦτο δηλῶν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν ἔλεγεν· «ἦσαν δὲ ἐκεῖ κατοικοῦντες Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται,*

ΟΜΙΛΙΑ ΙΖ΄

(Ἑβρ. 9,24–10,7)

«Διότι ὁ Χριστὸς δὲν μπῆκε σὲ χειροποίητα ἅγια, ποὺ εἶναι ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλὰ στὸν ἴδιο τὸν οὐρανό, γιὰ νὰ παρουσιασθῆ τώρα μπροστὰ στὸν Θεὸ γιὰ μᾶς. Οὔτε γιὰ νὰ προσφέρη πολλὲς φορὲς τὸν ἑαυτό του θυσία, ὅπως ὁ ἀρχιερεὺς τῶν Ἰουδαίων μπαίνει στὰ ἅγια τῶν ἁγίων κάθε χρόνο μὲ αἷμα ξένο· διότι, ἂν δὲν ἦταν ἀρκετὴ ἡ μία θυσία του, ἔπρεπε αὐτὸς πολλὲς φορὲς νὰ πάθη ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος· ἐνῶ τώρα φανερώθηκε μιὰ γιὰ πάντα μετὰ τὸ τέλος τῶν αἰώνων, γιὰ νὰ καταργήση τὴν ἁμαρτία μὲ τὴ θυσία του».

1. Μεγάλη ὑπερηφάνεια ἔνοιωθαν οἱ Ἰουδαῖοι γιὰ τὸν ναὸ καὶ τὴ σκηνή· γι' αὐτὸ ἔλεγαν· «ναὸς Κυρίου, ναὸς Κυρίου». Διότι σὲ κανένα ἄλλο μέρος τῆς γῆς δὲν κατασκευάσθηκε τέτοιος ναός, οὔτε ὡς πρὸς τὴν πολυτέλεια, οὔτε ὡς πρὸς τὴν ὡραιότητα, οὔτε ὡς πρὸς ὁ,τιδήποτε ἄλλο. Καθόσον ὁ Θεὸς ποὺ ἔδωσε τὴν ἐντολὴ κατασκευῆς τοῦ ναοῦ, πρόσταξε νὰ κατασκευασθῆ μὲ πολὺ ζῆλο καὶ γενναιοδωρία, ἐπειδὴ κι' ἐκεῖνοι περισσότερο προσελκύονταν καὶ εὐχαριστοῦνταν ἀπ' αὐτὰ ποὺ ἔβλεπαν μὲ τὰ σωματικά τους μάτια. Οἱ τοῖχοι ἦταν ντυμένοι μὲ χρυσό· καὶ εἶναι δυνατὸ σὲ ὅποιον θέλει νὰ τὸ ἐξακριβώση ἀπὸ τὸ δεύτερο βιβλίο τῶν Βασιλειῶν καὶ ἀπὸ τὸν προφήτη Ἰεζεκιήλ, καὶ πόσα τάλαντα χρυσοῦ ξοδεύθηκαν τότε. Ἡ δεύτερη ἀνοικοδόμησις ὑπῆρξε λαμπρότερη, καὶ ἐξ αἰτίας τοῦ κάλλους καὶ ἐξ αἰτίας ὅλων τῶν ἄλλων. Καὶ δὲν ἦταν σεβαστὸς μόνο γι' αὐτό, ἀλλὰ καὶ ἐπειδὴ ἦταν ἕνας, ποὺ προσείλκυε ὅλους μὲ τὴν ὡραιότητά του· πράγματι ἐκεῖ ἔρχονταν ἀπὸ τὰ πέρατα τῆς γῆς, καὶ ἀπὸ τὴν Βαβυλώνα, καὶ ἀπὸ τὴν Αἰθιοπία. Καὶ αὐτὸ φανερώνοντας ὁ Λουκᾶς στὶς Πράξεις ἔλεγε· «ἦταν ἐκεῖ ἐγκαταστημένοι

καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον τε καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην». Οἱ οὖν πανταχοῦ τῆς οἰκουμένης ὄντες ἐκεῖ συνήεσαν καὶ πολὺ τὸ ὄνομα τοῦ ναοῦ 5 ἦν.

Τί οὖν ὁ Παῦλος ποιεῖ; Ὥσπερ ἐπὶ τῶν θυσιῶν, οὕτω καὶ ἐνταῦθα ποιεῖ· ὡς γὰρ ἐκεῖ τὸν θάνατον ἀντέστησε τοῦ Χριστοῦ, οὕτω καὶ ἐνταῦθα τὸν οὐρανὸν ὅλον ἀνθίστησι τῷ ναῷ. Οὐ τούτῳ δὲ μόνον τὸ διάφορον ἔδειξεν, ἀλλὰ καὶ τῷ προσθεῖναι τὸν ἱερέα ἐγ-10 γύτερον γενόμενον τοῦ Θεοῦ· «ἐμφανισθῆναι», γάρ, φησί, «τῷ προσώπῳ τοῦ Θεοῦ». Ὥστε οὐ τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ τῇ εἰσόδῳ τὸ πρᾶγμα σεμνὸν ἐποίησεν. Οὐ γὰρ ἁπλῶς, ὥσπερ ἐνταῦθα, διὰ συμβόλων, ἀλλ' αὐτὸν ὁρᾷ τὸν Θεὸν ἐκεῖ. Ὁρᾷς ὅτι συγκαταβάσεως ἕνεκεν πανταχοῦ τὰ ταπεινὰ εἴρηται; Τί δὴ θαυμάζεις λοι-15 πὸν εἰ ἐντυγχάνει, ὅπου γε αὐτὸν ἵστησιν ὡς ἀρχιερέα; Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, φησίν, ὥσπερ ὁ ἀρχιερεύς, εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ. «Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθε», φησίν, «ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν». Ἄρα ἐκεῖνά ἐστιν ἀληθινά, ταῦτα δὲ τύποι· καὶ γὰρ ὁ ναὸς 20 οὕτω κατεσκεύαστο, ὥσπερ ὁ οὐρανὸς τοῦ οὐρανοῦ. Τί λέγεις; Ἐὰν μὴ εἰσέλθῃ εἰς τὸν οὐρανόν, οὐκ ἐμφανίζεται ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν; Ὁρᾷς ὅτι τῆς σαρκός ἐστι ταῦτα πάντα;

«Καὶ ἐμφανισθῆναι», φησί, «τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν». Τί ἐστιν, «ὑπὲρ ἡμῶν»; Μετὰ θυσίας ἀνῆλθε, φησί, δυνα-25 μένης ἐξιλεώσασθαι τὸν Πατέρα. Διὰ τί, εἰπέ μοι; Μὴ γὰρ αὐτὸς ἦν ὁ ἐχθρός; Οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, αὐτὸς οὐκ ἦν ἐχθρός· ὅτι γὰρ οἱ ἄγγελοι ἐχθροὶ ἦσαν, ἄκουσον τί φησιν. «Εἰρηνοποίησε τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν τοῖς οὐρανοῖς»· ὥστε καλῶς εἶπεν, ὅτι καὶ αὐτὸς «εἰσῆλθεν εἰς τὸν οὐρανόν», νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ 30 Θεοῦ ὑπὲρ ἡμῶν. Νῦν ἐμφανίζεται, ἀλλ' ὑπὲρ ἡμῶν. «Οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια

1. Πράξ. 2,9–10.
2. Κολοσ. 1,20.

Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖτες, καὶ αὐτοὶ ποὺ κατοικοῦν τὴ Μεσοποταμία, τὴν Ἰουδαία καὶ τὴν Καππαδοκία, τὸν Πόντο καὶ τὴν Ἀσία, τὴν Φρυγία καὶ τὴν Παμφυλία, τὴν Αἴγυπτο καὶ τὰ μέρη τῆς Λιβύης, ποὺ εἶναι κοντὰ στὴν Κυρήνη»[1]. Οἱ Ἰουδαῖοι λοιπὸν ποὺ κατοικοῦσαν σ' ὅλα τὰ μέρη τῆς οἰκουμένης συγκεντρώνονταν ἐκεῖ, καὶ ἦταν πολὺ ξακουστὸ τὸ ὄνομα τοῦ ναοῦ.

Τί λοιπὸν κάνει ὁ Παῦλος; Ὅπως στὸ θέμα τῶν θυσιῶν, ἔτσι κάμνει καὶ ἐδῶ. Διότι ὅπως ἐκεῖ ἀντιπαρέβαλε πρὸς τὶς θυσίες τὸν θάνατο τοῦ Χριστοῦ, ἔτσι κι' ἐδῶ συγκρίνει ὅλον τὸν οὐρανὸ μὲ τὸν ναό. Καὶ ὄχι μόνο ὡς πρὸς αὐτὸ ἔδειξε τὴ διαφορά, ἀλλὰ καὶ μὲ τὸ νὰ προσθέση ὅτι ὁ ἱερεὺς βρίσκεται πλησιέστερα πρὸς τὸν Θεό· διότι λέγει· «γιὰ νὰ παρουσιασθῇ ἐνώπιον τοῦ Θεοῦ». Ὥστε παρουσίασε τὸ πρᾶγμα πιὸ σεβαστό, ὄχι μόνο μὲ τὸν οὐρανό, ἀλλὰ καὶ μὲ τὴν εἴσοδο μέσα σ' αὐτὸν τοῦ ἱερέως. Πράγματι ὄχι ἁπλῶς, ὅπως ἐδῶ, μὲ σύμβολα, ἀλλὰ βλέπει ἐκεῖ τὸν ἴδιο τὸν Θεό. Βλέπεις ὅτι παντοῦ ἀπὸ συγκατάβασι ἔχουν λεχθῆ τὰ ταπεινὰ λόγια; Γιατί λοιπὸν ἀπορεῖς ποὺ πρεσβεύει στὸν Θεό, τὴ στιγμὴ ποὺ τὸν παρουσιάζει ὡς ἀρχιερέα; Καθόσον, λέγει, δὲν εἰσέρχεται γιὰ νὰ προσφέρη πολλὲς φορὲς τὸν ἑαυτό του, ὅπως ὁ ἀρχιερεὺς εἰσερχόταν στὰ ἅγια κάθε χρόνο μὲ ξένο αἷμα. Διότι λέγει, «δὲν μπῆκε σὲ χειροποίητα ἅγια ὁ Χριστός, ποὺ εἶναι ἀντίτυπα τῶν ἀληθινῶν». Ἄρα ἐκεῖνα εἶναι ἀληθινά, ἐνῶ αὐτὰ τύποι· πράγματι ὁ ναὸς ἔτσι κατασκευάσθηκε, ὅπως ἀκριβῶς ὁ οὐρανὸς τοῦ οὐρανοῦ. Τί λέγεις; Ἐὰν δὲν μπῆ στὸν οὐρανὸ δὲν παρουσιάζεται ἐνώπιον τοῦ Θεοῦ, «αὐτὸς ποὺ εἶναι παντοῦ παρὼν καὶ πληροῖ τὰ πάντα»; Βλέπεις ὅτι ὅλα αὐτὰ εἶναι ἀνθρώπινα λόγια;

«Καὶ θὰ ἐμφανισθῇ», λέγει, «ἐνώπιον τοῦ Θεοῦ ὑπὲρ ἡμῶν». Τί σημαίνει, «ὑπὲρ ἡμῶν»; Ἀνέβηκε στὸν οὐρανὸ μὲ θυσία, λέγει, ποὺ μποροῦσε νὰ ἐξιλεώση τὸν Πατέρα. Πές μου, γιατί; Μήπως αὐτὸς ἦταν ὁ ἐχθρός; Οἱ ἄγγελοι ἦταν ἐχθροί, αὐτὸς δὲν ἦταν ἐχθρός. Τὸ ὅτι βέβαια οἱ ἄγγελοι ἦταν ἐχθροί, ἄκουσε τί λέγει· «ἔφερε εἰρήνη σ' αὐτὰ ποὺ βρίσκονται στὴ γῆ καὶ σ' αὐτὰ ποὺ εἶναι στοὺς οὐρανούς»[2]· ὥστε σωστὰ εἶπε, ὅτι καὶ αὐτὸς «εἰσῆλθε στὸν οὐρανό, γιὰ νὰ παρουσιασθῇ τώρα ἐνώπιον τοῦ Θεοῦ γιὰ χάρι μας». Τώρα ἐμφανίζεται, ἀλλὰ γιὰ νὰ πρεσβεύῃ γιὰ μᾶς. «Οὔτε γιὰ νὰ προσφέρη πολλὲς φορὲς τὸν ἑαυτό του, ὅπως ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ

τῶν ἁγίων κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ». Ὁρᾶς πόσαι αἱ διαφοραί; Τοῦ πολλάκις τὸ ἅπαξ, τοῦ ἐν αἵματι ἀλλοτρίῳ τὸ ἐν ἰδίῳ. Πολὺ τὸ μέσον. Αὐτὸς οὖν καὶ ἱερεῖον καὶ ἱερεύς. «Ἐπεὶ ἔδει αὐτόν», φησί, «πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου». Ἐνταῦθά 5 τι δόγμα ἀνακαλύπτει, καί φησιν, ὅτι εἰ θυσίας προσενεγκεῖν ἔδει πολλάκις, ἔδει πολλάκις καὶ σταυρωθῆναι. «Νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων». Διὰ τί, «ἐπὶ συντελείᾳ τῶν αἰώνων»; Μετὰ τὰ πολλὰ ἁμαρτήματα. Εἰ μὲν οὖν παρὰ τὴν ἀρχὴν ἐγένοντο, εἶτα οὐδεὶς ἐπίστευσεν, ἦν ἂν τὸ τῆς οἰκονομίας ἀνόνητον· οὐκ ἔδει γὰρ 10 δεύτερον ἀποθανεῖν τὸν Χριστόν, ὥστε καὶ οὕτω κατορθωθῆναι τὸ σπουδαζόμενον· ἐπειδὴ δὲ ὕστερον πολλὰ ἦν τὰ ἁμαρτήματα, εἰκότως τότε ἐφάνη. Ὃ καὶ ἀλλαχοῦ λέγει· «ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις». «Νῦν δέ», φησίν, «ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ 15 πεφανέρωται. Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις».

2. Δείξας ὅτι οὐκ ἔδει πολλάκις ἀποθανεῖν, νῦν δείκνυσι καὶ διὰ τί ἅπαξ ἀπέθανεν· ὅτι ἑνὸς θανάτου ἀντίλυτρον ἐγένετο· «ἀπέκειτο», φησί, «τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν». Τοῦτο οὖν τό, 20 «ἅπαξ ἀπέθανεν», ὑπὲρ ἀνθρώπων πάντων. Τί οὖν; Οὐκέτι ἀποθνήσκομεν τὸν θάνατον ἐκεῖνον; Ἀποθνήσκομεν μέν, ἀλλ' οὐ μένομεν ἐν αὐτῷ· ὅπερ οὐδὲ ἀποθανεῖν ἐστι. Θανάτου γὰρ τυραννὶς καὶ θάνατος ὄντως ἐκεῖνός ἐστιν, ὅταν μηκέτι συγχωρηθῇ ὁ ἀποθανὼν εἰς ζωὴν ἐπανελθεῖν· ὅταν δὲ μετὰ τὸ ἀποθανεῖν ζήσῃ, καὶ 25 ζωὴν βελτίονα, οὐ θάνατος τοῦτό ἐστιν, ἀλλὰ κοίμησις. Ἐπεὶ οὖν ἔμελλε πάντας κατέχειν ὁ θάνατος, διὰ τοῦτο ἀπέθανεν, ἵνα ἡμᾶς ἀπαλλάξῃ. «Οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθείς». Ὑπὸ τίνος προσενεχθείς; Ὑφ' ἑαυτοῦ δηλονότι. Ἐνταῦθα οὐδὲ ἱερέα δείκνυσιν αὐτὸν μόνον, ἀλλὰ καὶ θῦμα καὶ ἱερεῖον. Εἶτα προστίθησι τὴν αἰ-30 τίαν τοῦ, «προσενεχθείς». «Ἅπαξ», φησί, «προσενεχθεὶς εἰς τὸ

3. Ρωμ. 5,20–21.

ἅγια τῶν ἁγίων κάθε χρόνο μὲ ξένο αἷμα». Βλέπεις πόσες εἶναι οἱ διαφορές; Ἀντὶ νὰ εἰσέρχεται πολλὲς φορές, εἰσῆλθε μία φορά, ἀντὶ μὲ ξένο αἷμα, μὲ τὸ δικό του αἷμα. Εἶναι πολὺ μεγάλη ἡ διαφορὰ μεταξὺ αὐτῶν. Αὐτὸς λοιπὸν εἶναι καὶ σφάγιο καὶ ἱερεύς. «Ἐπειδὴ ἔπρεπε αὐτός», λέγει, «πολλὲς φορὲς νὰ πάθη ἀπὸ τότε ποὺ ἔγινε ὁ κόσμος». Ἐδῶ κάποιο δόγμα ἀνακαλύπτει, καὶ λέγει, ὅτι, ἐὰν ἔπρεπε πολλὲς φορὲς νὰ προσφέρη θυσίες, ἔπρεπε καὶ πολλὲς φορὲς νὰ σταυρωθῆ. «Τώρα ὅμως μιὰ φορὰ μετὰ τὸ τέλος τῶν αἰώνων». Γιατί, «μετὰ τὸ τέλος τῶν αἰώνων»; Μετὰ τὰ πολλὰ ἁμαρτήματα. Ἐὰν δηλαδὴ αὐτὰ συνέβαιναν ἀπὸ τὴν ἀρχή, καὶ ἔπειτα δὲν πίστευε κανείς, θὰ ἦταν ἀνώφελη ἡ οἰκονομία τοῦ Θεοῦ· διότι δὲν ἔπρεπε γιὰ δεύτερη φορὰ νὰ πεθάνη ὁ Χριστός, γιὰ νὰ πραγματοποιήση ἔτσι τὸ σχέδιό του· ἐπειδὴ ὅμως ἀργότερα αὐξήθηκαν πολὺ τὰ ἁμαρτήματα, εὔλογα τότε παρουσιάσθηκε. Πρᾶγμα ποὺ καὶ ἀλλοῦ λέγει· «ὅπου περίσσευσε ἡ ἁμαρτία, δόθηκε ἀφθονώτερη ἡ χάρις»[3]. «Τώρα ὅμως» λέγει «φανερώθηκε μιὰ γιὰ πάντα στὸ τέλος τῶν αἰώνων, γιὰ νὰ καταργήση τὴν ἁμαρτία μὲ τὴ θυσία του. Καὶ ὅπως εἶναι ὡρισμένο γιὰ τοὺς ἀνθρώπους μιὰ φορὰ νὰ πεθάνουν, καὶ μετὰ ἀκολουθεῖ κρίσις».

2. Ἀφοῦ ἔδειξε ὅτι δὲν ἔπρεπε πολλὲς φορὲς νὰ πεθάνη, τώρα δείχνει καὶ γιατί μιὰ φορὰ πέθανε· διότι ἔφθανε ὁ ἕνας θάνατός του νὰ μᾶς ἐξαγοράση. «Ἦταν ὡρισμένο», λέγει, «γιὰ τοὺς ἀνθρώπους νὰ πεθάνουν μιὰ φορά». Αὐτὸ λοιπὸν τό, «μία φορὰ πέθανε», ἔγινε πρὸς χάριν ὅλων τῶν ἀνθρώπων. Τί λοιπόν; Δὲν πεθαίνουμε πιὰ τὸν θάνατο ἐκεῖνο; Πεθαίνουμε βέβαια, ἀλλὰ δὲν παραμένουμε σ' αὐτὸν τὸν θάνατο, πρᾶγμα ποὺ δὲν εἶναι θάνατος. Διότι τυραννία θανάτου καὶ πραγματικὸς θάνατος εἶναι ἐκεῖνος, ὅταν δὲν ἐπιτρέπεται σ' ἐκεῖνον ποὺ ἔχει πεθάνει νὰ ἐπανέλθη στὴ ζωή· ὅταν ὅμως ζήση μετὰ τὸν θάνατο, καὶ μάλιστα ζωὴ καλύτερη, αὐτὸ δὲν εἶναι θάνατος, ἀλλὰ κοίμησις. Ἐπειδὴ λοιπὸν ἐπρόκειτο ὅλους νὰ τοὺς κυριεύση ὁ θάνατος, γι' αὐτὸ πέθανε ὁ Κύριος, γιὰ νὰ μᾶς ἀπαλλάξη ἀπὸ τὸν θάνατο. Ἔτσι καὶ ὁ Χριστὸς μιὰ φορὰ ὡδηγήθηκε στὸν θάνατο. Ἀπὸ ποιόν ὡδηγήθηκε στὸν θάνατο; Ἀπὸ τὸν ἑαυτό του φυσικά. Ἐδῶ δὲν τὸν παρουσιάζει μόνο ἱερέα, ἀλλὰ καὶ θῦμα καὶ σφάγιο. Ἔπειτα προσθέτει τὴν αἰτία γιὰ τὴν ὁποία «θυσιάσθηκε». «Μία φορά», λέγει, «θυσιάσθηκε, γιὰ νὰ ἀναλάβη αὐτὸς τὶς ἁμαρ-

*πολλῶν ἀνενεγκεῖν ἁμαρτίας». Διὰ τί δὲ «πολλῶν» εἶπε, καὶ μὴ 'πάντων'; Ἐπειδὴ μὴ πάντες ἐπίστευσαν. Ὑπὲρ ἁπάντων μὲν γὰρ ἀπέθανεν, εἰς τὸ σῶσαι πάντας, τὸ αὐτοῦ μέρος· ἀντίρροπος γὰρ ἦν ὁ θάνατος ἐκεῖνος τῆς πάντων ἀπωλείας· οὐ πάντων δὲ τὰς ἁμαρ-
5 τίας ἀνήνεγκε, διὰ τὸ μὴ θελῆσαι αὐτούς.*

*Τί δέ ἐστιν, «ἀνενεγκεῖν ἁμαρτίας»; Ὥσπερ ἐπὶ τῆς προσφορᾶς ἧς ἀναφέρομεν, προσφέρομεν καὶ τὰ ἁμαρτήματα λέγοντες, εἴτε ἑκόντες εἴτε ἄκοντες ἡμάρτομεν, συγχώρησον· τουτέστι, μεμνήμεθα αὐτῶν πρῶτον, καὶ τότε τὴν συγχώρησιν αἰτοῦμεν· οὕτω δὴ καὶ
10 ἐνταῦθα γέγονε. Ποῦ τοῦτο πεποίηκεν ὁ Χριστός; Ἄκουσον αὐτοῦ λέγοντος· «καὶ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν». Ἰδοὺ ἀνήνεγκε τὰ ἁμαρτήματα· ἦρεν αὐτὰ ἀπὸ τῶν ἀνθρώπων καὶ ἀνήνεγκε τῷ Πατρί, οὐχ ἵνα τι ὁρίσῃ κατ' αὐτῶν, ἀλλ' ἵνα αὐτὰ ἀφῇ. «Ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται», φησί, «τοῖς αὐτὸν ἀπεκδεχμένοις εἰς
15 σωτηρίαν». Τί ἐστιν, «χωρὶς ἁμαρτίας»; Οὐχ ἁμαρτίας αἴρων, οὐδὲ δι' ἁμαρτίας ἐκ δευτέρου ἥξει, ἵνα πάλιν ἀποθάνῃ· οὐδὲ γὰρ ὃ ἅπαξ ἀπέθανεν, ὀφείλων ἀποθανεῖν ἀπέθανεν. Πῶς ὀφθήσεται; Κολάζων, φησί. Ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλὰ τὸ φαιδρόν; «Χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν»· ὡς
20 μηκέτι λοιπὸν δεηθῆναι θυσίας, ὥστε σῶσαι αὐτούς, ἀλλ' ἀπὸ ἔργων τοῦτο ποιεῖν. «Σκιὰν γὰρ ἔχων», φησίν, «ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων»· τουτέστιν, οὐκ αὐτὴν τὴν ἀλήθειαν. Ἕως μὲν γὰρ ἂν ὡς ἐν γραφῇ περιάγῃ τις τὰ χρώματα, σκιά τίς ἐστιν· ὅταν δὲ τὸ ἄνθος ἐπαλείψῃ τις καὶ ἐπι-
25 χρίσῃ τὰ χρώματα, τότε εἰκὼν γίνεται. Τοιοῦτόν τι καὶ ὁ νόμος ἦν. «Σκιὰν» γάρ, φησίν, «ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων»· τουτέστι, τῆς θυσίας, τῆς ἀφέσεως. «Κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκές, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι· ἐπεὶ
30 οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν συνείδησιν*

τίες τῶν πολλῶν». Γιατί ὅμως εἶπε «τῶν πολλῶν», καὶ ὄχι 'ὅλων'; Ἐπειδὴ δὲν ἐπίστευσαν ὅλοι. Πέθανε δηλαδὴ γιὰ χάρι ὅλων, γιὰ νὰ σώση ὅλους ἐκείνους ποὺ τὸν ἐπίστευσαν· διότι ὁ θάνατος ἐκεῖνος ἦταν ἀντίρροπος τῆς ἀπωλείας ὅλων, δὲν ἐβάσταξε ὅμως τί ἁμαρτιες ὅλων, ἐπειδὴ δὲν τὸ θέλησαν ὅλοι.

Τί σημαίνει «ἀνενεγκεῖν ἁμαρτίας»; Ὅπως ἀκριβῶς μὲ τὴν προσφορὰ ποὺ κάνουμε, λέμε καὶ τὰ ἁμαρτήματα, λέγοντας, «εἴτε ἁμαρτήσαμε ἑκούσια, εἴτε ἀκούσια, συγχώρησέ μας»· δηλαδή, θυμώμαστε πρῶτα τὶς ἁμαρτίες καὶ ἔπειτα ζητοῦμε τὴ συχώρησι· τὸ ἴδιο λοιπὸν ἔγινε καὶ ἐδῶ. Ποῦ τὸ ἔκαμε αὐτὸ ὁ Χριστός; Ἄκουσε τὸν ἴδιο ποὺ λέγει· «καὶ γιὰ χάρι τους ἐγὼ ἁγιάζω τὸν ἑαυτό μου»[4]. Νά, ἀνέλαβε τὰ ἁμαρτήματα· τὰ πῆρε ἀπὸ τοὺς ἀνθρώπους, καὶ τὰ πρόσφερε στὸν Πατέρα, ὄχι γιὰ νὰ ὁρίση κάτι ἐναντίον τους, ἀλλὰ γιὰ νὰ τὰ συγχωρήση. «Γιὰ δεύτερη φορὰ θὰ ἐμφανισθῆ, – ὄχι βέβαια», λέγει, «γιὰ νὰ ἀναλάβη ἁμαρτίες–, σ' ἐκείνους ποὺ τὸν περιμένουν γιὰ νὰ τοὺς σώση». Τί σημαίνει, «χωρὶς ἁμαρτίας»; Ὄχι γιὰ νὰ σηκώση ἁμαρτίες, οὔτε θὰ ἔλθη γιὰ δεύτερη φορὰ γιὰ ἁμαρτίες, γιὰ νὰ πεθάνη πάλι· διότι οὔτε αὐτὸ ποὺ μιὰ φορὰ πέθανε, πέθανε ἐπειδὴ ὤφειλε νὰ πεθάνη. Πῶς θὰ παρουσιασθῆ; Γιὰ νὰ τιμωρήση, λέγει. Ὅμως δὲν εἶπε αὐτό, ἀλλὰ τὸ χαρούμενο· «θὰ ἐμφανισθῆ, –ὄχι γιὰ τὶς ἁμαρτίες–, σ' ἐκείνους ποὺ τὸν περιμένουν γιὰ νὰ τοὺς σώση. Ὥστε δὲν θὰ χρειασθῆ θυσία γιὰ τὴ σωτηρία τους, ἀλλὰ θὰ τὸ κάνη αὐτὸ μὲ βάσι τὰ ἔργα τους. «Διότι, ἀφοῦ ὁ νόμος», λέγει, «εἶχε σκιὰ τῶν μελλοντικῶν ἀγαθῶν καὶ ὄχι τὴν ἴδια τὴν εἰκόνα τῶν πραγμάτων»· δηλαδή, ὄχι τὴν ἴδια τὴν ἀλήθεια. Ὅσο δηλαδὴ κάποιος περιγράφει μὲ τὴν πέννα του τὰ χρώματα, τὸ περιγραφόμενο εἶναι κάποια σκιά, ὅταν ὅμως ἐπαλείψη κάποιος τὸ ἄνθος καὶ θέση ἐπάνω σ' αὐτὸ τὰ χρώματα, τότε γίνεται εἰκόνα. Κάτι τέτοιο ἦταν καὶ ὁ νόμος. Διότι λέγει, «ὁ νόμος εἶχε σκιὰ τῶν μελλοντικῶν ἀγαθῶν, ὄχι ὅμως τὴν ἴδια τὴν εἰκόνα τῶν πραγμάτων»· δηλαδή, τῆς θυσίας, τῆς ἀφέσεως. «Καὶ δὲν μπορεῖ ποτὲ νὰ κάνη τέλειους αὐτοὺς ποὺ πλησιάζουν τὸ θυσιαστήριο μὲ τὶς ἴδιες θυσίες ποὺ προσφέρουν συνεχῶς κάθε χρόνο· διότι, ἂν οἱ θυσίες αὐτὲς εἶχαν τὴ δύναμι νὰ τελειοποιήσουν τοὺς ἀνθρώπους, δὲν θὰ ἔπαυαν νὰ προσφέρωνται, διότι ἐκεῖνοι ποὺ καταφεύγουν στὴ λατρεία αὐτὴ θὰ εἶχαν συναίσθησι τῆς ἁμαρτωλότητάς τους, ἀφοῦ θὰ εἶχαν καθαρι-

ἔχειν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους, ἀλλ' ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ' ἐνιαυτόν. Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον, λέγει· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κα-
5 *τηρτίσω μοι· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας. Τότε εἶπον· ἰδοὺ ἥκω (ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ) τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. Ἀνωτέρω λέγων, ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας, αἵτινες κατὰ νόμον προσφέρονται· τότε εἶ-*
10 *πον, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον στήσῃ». Ὁρᾷς πάλιν τὴν περιουσίαν; Μία, φησίν, αὕτη ἡ θυσία, ἐκεῖναι δὲ πολλαί· διὰ γὰρ τοῦτο οὐκ ἰσχυραί, ἐπειδὴ πολλαί.*

3. Τί γὰρ ἔδει πολλῶν, εἰπέ μοι, τῆς μιᾶς ἀρκούσης, ὥστε αἱ
15 *πολλαὶ καὶ τὸ ἀεὶ προσφέρεσθαι, τὸ μηδέποτε αὐτοὺς καθαίρεσθαι δεικνύουσιν. Ὥσπερ γὰρ φάρμακον, ὅταν ᾖ ἰσχυρὸν καὶ ὑγιείας ποιητικὸν καὶ δυνατὸν πᾶσαν ἀπαλλάξαι τὴν νόσον, ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ποιεῖ· ὅπερ ἐὰν ἅπαξ ἐπιτεθὲν τὸ πᾶν ἐργάσηται, δείκνυσιν αὐτοῦ τὴν ἰσχὺν τῷ μηκέτι ἐπιτίθεσθαι, καὶ τοῦτο αὐτοῦ ἐστιν ἔρ-*
20 *γον τὸ μηκέτι ἐπιτίθεσθαι· ἐὰν δὲ ἀεὶ ἐπιτιθῆναι, δῆλον ὅτι τοῦ μηδὲν ἰσχυκέναι ἐστὶ σημεῖον· φαρμάκου γὰρ ἀρετὴ τὸ ἅπαξ ἐπιτεθῆναι καὶ μὴ πολλάκις· οὕτω δὴ καὶ ἐνταῦθα· τί δήποτε γὰρ ταῖς αὐταῖς θυσίαις ἀεὶ θεραπεύονται; Εἰ γὰρ πάντων ἦσαν ἀπηλλαγμένοι τῶν ἁμαρτημάτων, οὐκ ἂν καθ' ἑκάστην ἡμέραν προσεφέροντο*
25 *αἱ θυσίαι· καὶ γὰρ ἦσαν ὡρισμέναι, ὥστε ἀεὶ προσφέρεσθαι ὑπὲρ τοῦ λαοῦ παντός, καὶ ἐν ἑσπέρᾳ καὶ ἐν ἡμέρᾳ. Ὥστε κατηγορία ἁμαρτημάτων, καὶ οὐ λύσις ἁμαρτημάτων ἦν τὸ γινόμενον· κατηγορία ἀσθενείας, οὐκ ἰσχύος ἐπίδειξις. Ἐπειδὴ γὰρ ἡ πρώτη οὐδὲν*

σθῆ μιὰ φορὰ μὲ τὶς θυσίες αὐτὲς ἀπὸ τὴν ἐνοχή τους. Ὅμως μὲ τὶς θυσίες αὐτὲς γίνεται ἀνάμνησις τῶν ἁμαρτιῶν κάθε χρόνο σ' ἐκείνους ποὺ τὶς προσφέρουν. Διότι εἶναι ἀδύνατο αἷμα ταύρων καὶ τράγων νὰ ἀφαιρῆ ἁμαρτίες. Γι' αὐτὸ ἐρχόμενος ὁ Κύριος στὸν κόσμο, λέγει· 'θυσία καὶ προσφορὰ δὲν θέλησες, ἀλλὰ μοῦ ἑτοίμασες σῶμα γιὰ νὰ σοῦ τὸ προσφέρω θυσία· δὲν σοῦ ἄρεσαν τὰ ὁλοκαυτώματα καὶ οἱ θυσίες ποὺ προσφέρονται γιὰ τὴ συγχώρησι τῶν ἁμαρτιῶν. Τότε εἶπα· νὰ ἦλθα (ὅπως εἶναι γραμμένο στὴν ἐπικεφαλίδα βιβλίου τῆς Π. Δ.γιὰ μένα) γιὰ νὰ κάνω, Θεέ, τὸ θέλημά σου'. Ἀφοῦ εἶπε πρῶτα, ὅτι δὲν θέλησες θυσία καὶ προσφορὰ καὶ ὁλοκαυτώματα καὶ θυσίες γιὰ τὴ συγχώρησι τῶν ἁμαρτιῶν, οὔτε εὐαρεστήθηκες σ' αὐτὲς τὶς θυσίες, ποὺ προσφέρονται σύμφωνα μὲ τὸν νόμο, τότε εἶπε, 'νὰ ἦλθα, Θεέ, γιὰ νὰ κάνω τὸ θέλημά σου'. Ἀναιρεῖ τὸ πρῶτο, γιὰ νὰ στερεώση τὸ δεύτερο. Βλέπεις πάλι τὴν ὑπεροχή; Αὐτὴ ἡ θυσία, λέγει, εἶναι μία, ἐνῶ ἐκεῖνες εἶναι πολλές· γι' αὐτὸ καὶ δὲν εἶναι ἰσχυρές. Ἐπειδὴ εἶναι πολλές.

3. Τί χρειαζόταν οἱ πολλές, πές μου, ἀφοῦ ἡ μία ἦταν ἀρκετή; Ὥστε ἡ ὕπαρξις τῶν πολλῶν θυσιῶν καὶ ἡ συνεχὴς προσφορά τους δείχνουν, ὅτι ποτὲ αὐτοὶ δὲν καθαρίσθηκαν. Διότι, ὅπως ἀκριβῶς τὸ φάρμακο, ὅταν εἶναι ἰσχυρὸ καὶ ἱκανὸ νὰ χαρίση καὶ πάλι τὴν ὑγεία καὶ δυνατὸ ν' ἀπομακρύνη ὅλη τὴν ἀσθένεια, ἐὰν χρησιμοποιηθῆ μιὰ φορὰ κατορθώνει τὸ πᾶν. Ἂν αὐτὸ λοιπὸν χρησιμοποιηθῆ μιὰ φορὰ καὶ κατορθώση τὸ πᾶν, δείχνει τὴν ἀποτελεσματικότητά του, ὥστε νὰ μὴν ξαναχρησιμοποιηθῆ, καὶ αὐτὸ εἶναι ἔργο δικό του, τὸ νὰ μὴν ξαναχρησιμοποιηθῆ. Ἐὰν ὅμως χρησιμοποιῆται διαρκῶς, αὐτὸ εἶναι ἀπόδειξις τῆς ἀδυναμίας του νὰ παράσχη τὴ θεραπεία· διότι γνώρισμα τοῦ φαρμάκου εἶναι νὰ χρησιμοποιῆται μιὰ φορὰ καὶ ὄχι πολλές· ἔτσι λοιπὸν καὶ ἐδῶ. Γιατί δηλαδὴ ἀσχολοῦνται διαρκῶς μὲ τὶς ἴδιες θυσίες; Διότι, ἐὰν μὲ τὶς θυσίες εἶχαν ἀπαλλαχθῆ ἀπ' ὅλα τὰ ἁμαρτήματα, δὲν θὰ προσφέρονταν οἱ θυσίες καθημερινά· καθόσον ὑπῆρχαν ὡρισμένες ποὺ προσφέρονταν καθημερινὰ ὑπὲρ ὁλοκλήρου τοῦ λαοῦ, καὶ τὴν ἑσπέρα καὶ τὸ πρωί. Ὥστε αὐτὸ ποὺ γινόταν ἦταν ὁμολογία τῆς ὑπάρξεως καὶ ὄχι τῆς ἐξαλείψεως τῶν ἁμαρτημάτων· ἦταν ὁμολογία ἀδυναμίας, ὄχι ἐπίδειξις δυνάμεως. Πράγματι ἐπειδὴ ἡ πρώτη δὲν εἶχε καμμία ἰσχύ, προσφερόταν ἡ δεύτερη· καὶ ἐπειδὴ καὶ αὐτὴ δὲν ὠφελοῦσε καθόλου,

ἴσχυεν, ἡ δευτέρα προσεφέρετο· καὶ ἐπειδὴ οὐδὲν αὕτη ἤνυεν, ἑτέρα πάλιν· ὥστε ἔλεγχος ἁμαρτημάτων ἦν. Τὸ μὲν οὖν προσφέρεσθαι ἔλεγχος ἁμαρτημάτων, τὸ δὲ ἀεί, ἔλεγχος ἀσθενείας.

Ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον· ἅπαξ προσηνέχθη, καὶ εἰς τὸ 5 *ἀεὶ ἤρκεσε. Καὶ καλῶς εἶπεν «ἐκεῖνα ἀντίτυπα»· ἄρα τύπον ἔχει μόνον, οὐχὶ δὲ καὶ τὴν ἰσχύν· ὥσπερ ἐπὶ τῶν εἰκόνων τύπον ἔχει τοῦ ἀνθρώπου ἡ εἰκών, οὐχὶ τὴν ἰσχύν. Ὥστε τὸ ἀληθὲς καὶ ὁ τύπος κοινωνοῦσιν ἀλλήλοις· ὁ γὰρ τύπος ἴσος, ἡ δὲ ἰσχὺς οὐκέτι. Οὕτω δὴ καὶ ἐπὶ τοῦ οὐρανοῦ, καὶ ἐπὶ τῆς σκηνῆς· ὁ μὲν γὰρ τύπος* 10 *ἴσος ἦν, ἅγια γὰρ ἦν· ἡ δὲ δύναμις καὶ τὰ ἄλλα, οὐ τὰ αὐτά. Τί ἐστιν, «εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται»; Τί ἐστιν «ἀθέτησις»; Τουτέστι, καταφρόνησις· οὐκέτι γὰρ παρρησίαν ἔχει ἡ ἁμαρτία· ἠθέτηται γάρ. Πῶς; Ὀφείλουσα μὲν ἀπολαβεῖν κόλασιν, οὐκ ἀπολαβοῦσα δέ· τουτέστι, βίαν ἔπαθεν· ὅτε* 15 *προσεδόκησε πάντας ἀνελεῖν, τότε ἀνῃρέθη. «Διὰ τῆς θυσίας αὐτοῦ», φησί, «πεφανέρωται»· τουτέστιν, ἐφανερώθη τῷ Θεῷ καὶ προσῆλθε. Μὴ οὖν, ἐπειδὴ ὁ ἱερεὺς πολλάκις τοῦτο ἐποίει τοῦ ἐνιαυτοῦ, νομίσῃς ὅτι ἁπλῶς καὶ οὐχὶ δι' ἀσθένειαν, τοῦτο ἐγίνετο· εἰ γὰρ μὴ δι' ἀσθένειαν, τί καὶ ἐγίνετο; μὴ ὄντων γὰρ τραυμάτων,* 20 *οὐδὲ φαρμάκων λοιπὸν δεῖ τῷ ἐπιμελουμένῳ. Διὰ τοῦτο προσέταξε, φησίν, ἀεὶ προσφέρεσθαι διὰ τὸ ἀσθενές, καὶ ὥστε ἀνάμνησιν ἁμαρτιῶν γίνεσθαι.*

Τί οὖν; ἡμεῖς καθ' ἑκάστην ἡμέραν οὐ προσφέρομεν; Προσφέρομεν μέν, ἀλλ' ἀνάμνησιν ποιούμενοι τοῦ θανάτου αὐτοῦ· καὶ 25 *μία ἐστὶν αὕτη, καὶ οὐ πολλαί. Πῶς μία, καὶ οὐ πολλαί; Ἐπειδὴ ἅπαξ προσηνέχθη, ὥσπερ ἐκείνη ἡ εἰς τὰ Ἅγια τῶν ἁγίων. Τοῦτο ἐκείνης τύπος ἐστί, καὶ αὕτη ἐκείνης· τὸν γὰρ αὐτὸν ἀεὶ προσφέρομεν, οὐ νῦν μὲν ἕτερον πρόβατον, αὔριον δὲ ἕτερον, ἀλλ' ἀεὶ τὸ αὐτό· ὥστε μία ἐστὶν ἡ θυσία. Ἐπεὶ τῷ λόγῳ τούτῳ, ἐπειδὴ πολ-* 30 *λαχοῦ προσφέρεται, καὶ πολλοὶ Χριστοί; Ἀλλ' οὐδαμῶς, ἀλλ' εἷς πανταχοῦ ὁ Χριστός, καὶ ἐνταῦθα πλήρης ὤν, καὶ ἐκεῖ πλήρης, ἓν*

ἀκολουθοῦσε πάλι ἄλλη· ὥστε αὐτὲς ἦταν ἀπόδειξις ὑπάρξεως ἁμαρτημάτων. Ἡ προσφορά τους δηλαδὴ ἦταν ἀπόδειξις ὑπάρξεως ἁμαρτημάτων, ἐνῶ ἡ συνεχὴς προσφορὰ ἦταν ἀπόδειξις τῆς ἀδυναμίας τους.

Μὲ τὸν Χριστὸ ὅμως συνέβηκε τὸ ἀντιθετο· μιὰ φορὰ θυσιάσθηκε καὶ ἡ θυσία του ἰσχύει γιὰ πάντα. Καὶ σωστὰ εἶπε, ὅτι ἐκεῖνα εἶναι ἀντίτυπα· ἄρα τὸν τύπο μόνο ἔχουν, ὄχι ὅμως καὶ τὴν ἰσχύ. Ὅπως ἀκριβῶς στὴν περίπτωσι τῶν εἰκόνων, ἡ εἰκόνα ἔχει τὸν τύπο τοῦ ἀνθρώπου, ὄχι ὅμως τὴν ἰσχύ. Ὥστε τὸ ἀληθινὸ καὶ ὁ τύπος ἔχουν κοινὰ σημεῖα μεταξύ τους· διότι ὁ τύπος μοιάζει μὲ τὸ πραγματικό, δὲν ἔχει ὅμως τὴ δύναμί του. Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὸν οὐρανὸ καὶ τὴ σκηνή· ὁ τύπος δηλαδὴ ἦταν ἴσος, διότι ἦταν ἅγιος, ἐνῶ ἡ δύναμις καὶ τὰ ἄλλα δὲν ἦταν τὰ ἴδια. Τί σημαίνει, «εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται»; Τί σημαίνει «ἀθέτησις»; Δηλαδή, καταφρόνησις· δὲν ἔχει δηλαδὴ παρρησία πιὰ ἡ ἁμαρτία, διότι ἔχει καταφρονηθῆ. Πῶς; Ἐνῶ ἔπρεπε νὰ δεχθῆ τιμωρία, ὅμως δὲν τὴν ἔλαβε· δηλαδή, ἐκβιάσθηκε. Τότε ποὺ περίμενε ὅλους νὰ τοὺς κυριεύση, τότε κατανικήθηκε. «Μὲ τὴ θυσία του», λέγει, «ἔχει φανερωθῆ»· δηλαδή, φανερώθηκε στὸν Θεὸ καὶ παρουσιάσθηκε ἐνώπιόν του γιὰ μᾶς. Μὴ λοιπόν, ἐπειδὴ ὁ ἱερεὺς τὸ ἔκαμνε αὐτὸ πολλὲς φορὲς κάθε χρόνο, νομίσης ὅτι αὐτὸ γινόταν ἔτσι ἁπλῶς καὶ ὄχι ἐξ αἰτίας ἀδυναμίας· ἐὰν δηλαδὴ δὲν γινόταν ἐξ αἰτίας ἀδυναμίας, γιατί γινόταν; Διότι ἐφ' ὅσον δὲν ὑπάρχουν τραύματα, δὲν πρέπει κανεὶς νὰ φροντίζη γιὰ φάρμακα. Γι' αὐτό, λέγει, παρήγγειλε ὁ Θεὸς νὰ προσφέρωνται πάντα, ἐξ αἰτίας τῆς ἀδυναμίας τους, ὥστε νὰ γίνεται καὶ ἀνάμνησις τῶν ἁμαρτιῶν τους.

Τί λοιπόν; Ἐμεῖς δὲν προσφέρουμε κάθε ἡμέρα; Βεβαίως προσφέρουμε, ἀλλὰ τὸ κάνουμε γιὰ νὰ θυμώμαστε τὸν θάνατο τοῦ Χριστοῦ· καὶ ἡ προσφορὰ αὐτὴ εἶναι μία καὶ ὄχι πολλές. Πῶς εἶναι μία καὶ ὄχι πολλές; Ἐπειδὴ μία φορὰ προσφέρθηκε, ὅπως ἀκριβῶς ἐκείνη ἡ θυσία ποὺ γινόταν στὰ ἅγια τῶν ἁγίων. Αὐτὸ εἶναι τύπος ἐκείνης καὶ αὐτὴ ἐκείνης· διότι πάντοτε προσφέρουμε τὸν ἴδιο, ὄχι σήμερα ἄλλο πρόβατο, καὶ αὔριο ἄλλο, ἀλλὰ πάντα τὸ ἴδιο· ὥστε μία εἶναι ἡ θυσία. Μήπως, σύμφωνα μὲ τὸν λόγο αὐτό, ἐπειδὴ προσφέρεται σὲ πολλὰ μέρη, εἶναι πολλοὶ καὶ οἱ Χριστοί; Ὄχι βέβαια, ἀλλὰ ἕνας εἶναι παντοῦ ὁ Χριστός, καὶ ἐδῶ εἶναι ὁλόκληρος,

σῶμα. Ὥσπερ οὖν πολλαχοῦ προσφερόμενος ἓν σῶμά ἐστι, καὶ οὐ πολλὰ σώματα, οὕτω καὶ μία θυσία. Ὁ ἀρχιερεὺς ἡμῶν ἐκεῖνός ἐστιν ὁ τὴν θυσίαν τὴν καθαίρουσαν ἡμᾶς προσενεγκών. Ἐκείνην προσφέρομεν καὶ νῦν, τὴν τότε προσενεχθεῖσαν, τὴν ἀνάλωτον.
5 *Τοῦτο εἰς ἀνάμνησιν γίνεται τοῦ τότε γενομένου· «τοῦτο γὰρ ποιεῖτε», φησίν, «εἰς τὴν ἐμὴν ἀνάμνησιν». Οὐκ ἄλλην θυσίαν, καθάπερ ὁ ἀρχιευρεὺς τότε, ἀλλὰ τὴν αὐτὴν ἀεὶ ποιοῦμεν· μᾶλλον δὲ ἀνάμνησιν ἐργαζόμεθα θυσίας.*

4. Ἀλλ' ἐπειδὴ τῆς θυσίας ταύτης ἐμνήσθην, βούλομαι μικρὰ
10 *πρὸς ὑμᾶς εἰπεῖν τοὺς μεμυημένους, μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν καὶ τὴν ὠφέλειαν· οὐ γὰρ ἡμέτερά ἐστιν, ἀλλὰ τοῦ θείου Πνεύματος τὰ λεγόμενα. Τί οὖν ἐστι; Πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ παντὸς ἐνιαυτοῦ, ἄλλοι δὲ δίς, ἄλλοι δὲ πολλάκις. Πρὸς οὖν ἅπαντας ἡμῖν ὁ λόγος ἐστίν, οὐ πρὸς*
15 *τοὺς ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους· ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. Τί οὖν; Τίνας ἀποδεξόμεθα; τοὺς ἅπαξ; τοὺς πολλάκις; τοὺς ὀλιγάκις; Οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις, ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ καθαρᾶς*
20 *καρδίας, τοὺς μετὰ βίου ἀλήπτου. Οἱ τοιοῦτοι ἀεὶ προσίτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ. Τί δήποτε; Ὅτι κρῖμα ἑαυτοῖς λαμβάνουσι, καὶ κατάκριμα καὶ κόλασιν καὶ τιμωρίαν.*

Καὶ μὴ θαυμάσῃς· ὥσπερ γὰρ ἡ τροφὴ οὖσα θρεπτική, ἐὰν εἰς κακόσιτον ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει καὶ γίνεται
25 *νόσου ἀφορμή, οὕτω δὴ καὶ ταῦτα τὰ τῶν φρικτῶν μυστηρίων. Τραπέζης ἀπολαύεις πνευματικῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ τὸ στόμα; Μύρῳ χρίεις, καὶ πάλιν δυσωδίας πληροῖς; Εἰπέ μοι, παρακαλῶ, μετ' ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων, τὰς τεσσαράκοντα ἡμέρας οἴει ἀρκεῖν σοι πρὸς καθαρμὸν*
30 *τῶν ἁμαρτημάτων παντὸς τοῦ χρόνου; καὶ πάλιν, ἑβδομάδος πα-*

5. Λουκᾶ 22,19.

καὶ ἐκεῖ ὁλόκληρος, ἕνα σῶμα. Ὅπως ἀκριβῶς λοιπὸν ἂν καὶ προσφέρεται σὲ πολλὰ μέρη εἶναι ἕνα σῶμα καὶ ὄχι πολλὰ σώματα, ἔτσι καὶ ἡ θυσία εἶναι μία. Ὁ δικός μας ἀρχιερεὺς εἶναι ἐκεῖνος ποὺ πρόσφερε τὴ θυσία, ποὺ μᾶς καθαρίζει ἀπὸ τὶς ἁμαρτίες. Ἐκείνη τὴ θυσία προσφέρουμε καὶ τώρα, ἐκείνη ποὺ προσφέρθηκε τότε, τὴν ἀναλλοίωτη. Αὐτὸ γίνεται σὲ ἀνάμνησι ἐκείνου ποὺ ἔγινε τότε. Διότι λέγει, «αὐτὸ κάμνετε γιὰ νὰ μὲ θυμᾶσθε»[5]. Ὄχι ἄλλη θυσία, ὅπως ὁ ἀρχιερεὺς τότε, ἀλλὰ πάντοτε τελοῦμε τὴν ἴδια· ἢ καλύτερα κάμνουμε ἀνάμνησι τῆς θυσίας.

4. Ἀλλ' ἐπειδὴ μνημόνευσα τὴ θυσία αὐτή, θέλω νὰ πῶ λίγα σὲ σᾶς τοὺς μυημένους, λίγα βέβαια ὡς πρὸς τὴν ἔκτασι, μεγάλα ὅμως ὡς πρὸς τὴ δύναμι καὶ τὴν ὠφέλεια· διότι δὲν εἶναι δικά μας λόγια αὐτὰ ποὺ θὰ λεχθοῦν, ἀλλὰ τοῦ θείου Πνεύματος. Ποιά λοιπὸν εἶναι αὐτά; Πολλοὶ μεταλαβαίνουν τὴ θυσία αὐτὴ μιὰ φορὰ τὸν χρόνο, ἐνῶ ἄλλοι δυὸ καὶ ἄλλοι πολλὲς φορές. Ὁ λόγος αὐτὸς ἀπευθύνεται πρὸς ὅλους μας, ὄχι μόνο σ' αὐτοὺς ποὺ εἶναι ἐδῶ, ἀλλὰ καὶ σ' ἐκείνους ποὺ ζοῦν στὴν ἔρημο· διότι ἐκεῖνοι μεταλαβαίνουν μία φορὰ τὸν χρόνο, καὶ πολλὲς φορὲς καὶ κάθε δύο ἔτη. Τί λοιπόν; ποιούς θ' ἀποδεχθοῦμε; αὐτοὺς ποὺ μεταλαβαίνουν μιὰ φορά; αὐτοὺς ποὺ πολλές; αὐτοὺς ποὺ λίγες; Οὔτε αὐτοὺς ποὺ μεταλαβαίνουν μία φορά, οὔτε αὐτοὺς ποὺ πολλές, οὔτε αὐτοὺς ποὺ λίγες, ἀλλὰ ἐκείνους ποὺ μεταλαβαίνουν μὲ καθαρὴ συνείδησι, μὲ καθαρὴ καρδιὰ καὶ μὲ βίο ἀνεπίληπτο. Ὅσοι εἶναι τέτοιοι, ἂς πλησιάζουν πάντοτε· ἐνῶ ὅσοι δὲν εἶναι τέτοιοι, ἂς μὴ προσέρχωνται οὔτε μία φορά. Γιατί ἄραγε; Διότι λαμβάνουν γιὰ τοὺς ἑαυτούς τους καταδίκη καὶ κατάκρισι καὶ κόλασι καὶ τιμωρία.

Καὶ μὴν ἀπορῇς· ὅπως δηλαδὴ ἡ τροφή, ποὺ ἀπὸ τὴ φύσι της εἶναι θρεπτική, ἐὰν εἰσέλθῃ σὲ δυσκολοχώνευτο μέρος, καταστρέφει καὶ διαφθείρει τὰ πάντα καὶ γίνεται πρόξενος ἀσθενείας, ἔτσι ἀκριβῶς συμβαίνει καὶ μ' αὐτὰ τὰ φρικτὰ μυστήρια. Συμμετέχεις σὲ τραπέζι πνευματικό, σὲ τραπέζι βασιλικό, καὶ μολύνεις πάλι μὲ βόρβορο τὸ στόμα σου; Τὸ χρίεις μὲ μύρο, καὶ τὸ γεμίζεις πάλι μὲ δυσωδία; Πές μου, παρακαλῶ, μεταλαβαίνοντας μετὰ ἀπὸ ἕνα χρόνο, νομίζεις ὅτι σοῦ ἀρκοῦν οἱ σαράντα ἡμέρες γιὰ τὸν καθαρισμὸ τῶν ἁμαρτημάτων ὁλοκλήρου τοῦ χρόνου; καὶ πάλι, μετὰ τὴν πάροδο μιᾶς ἑβδομάδας, ἐπιστρέψεις ξανὰ στὰ προηγούμενα; Πές μου

ρελθούσης, ἐκδίδως σαυτὸν τοῖς προτέροις; Εἰπὲ δή μοι, ἐὰν ὑγιάνας τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πάλιν σαυτὸν τοῖς σιτίοις ἐκδῷς ἐκείνοις τοῖς νοσοποιοῖς, οὐχὶ καὶ τὸν πρότερον κόπον ἀπώλεσας; Εὔδηλον ὅτι. Εἰ γὰρ τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. Οἷόν τι λέγω· Φύσει βλέπομεν, καὶ ὑγιεῖς ἔχομεν ὀφθαλμοὺς κατὰ φύσιν· ἀλλὰ πολλάκις ἀπὸ καχεξίας βλάπτεται ἡμῶν τὸ ὀπτικόν. Εἰ τοίνυν τὰ ἐκ φύσεως μεθίσταται, οὐχὶ μάλιστα τὰ ἐκ προαιρέσεως;

Τεσσαράκοντα ἡμέρας ἀπονέμεις τῇ ὑγιείᾳ τῆς ψυχῆς, τάχα δὲ οὐδὲ τεσσαράκοντα, καὶ προσδοκᾷς ἐξιλεώσασθαι τὸν Θεόν; Παίζεις, ἄνθρωπε. Ταῦτα λέγω, οὐχὶ τῆς μιᾶς καὶ ἐνιαυσιαίου προσόδου κωλύων ὑμᾶς, ἀλλὰ βουλόμενος μᾶλλον διαπαντὸς ὑμᾶς προσιέναι τοῖς ἁγίοις. Διὰ τοῦτο καὶ ὁ ἱερεὺς ἐπιφωνεῖ τότε τοὺς ἁγίους καλῶν, καὶ διὰ τῆς φωνῆς ταύτης μωμοσκοπῶν ἅπαντας, ὥστε μὴ προσελθεῖν τινα ἀπαράσκευον. Καθάπερ γὰρ ἐπὶ ποίμνης, ἔνθα πολλὰ μὲν ὑγιαίνει πρόβατα, πολλὰ δὲ ψώρας ἀναπέπλησται, ἀνάγκη ταῦτα διείργεσθαι ἀπὸ τῶν ὑγιαινόντων· οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ, ἐπειδὴ τὰ μὲν ἔστιν ὑγιεινὰ πρόβατα, τὰ δὲ κεκακωμένα, διὰ τῆς φωνῆς ταύτης διείργει ταῦτα ἐκείνων περιιὼν πανταχοῦ διὰ τῆς κραυγῆς ταύτης τῆς φρικωδεστάτης ὁ ἱερεύς, καὶ τοὺς ἁγίους καλῶν καὶ ἕλκων. Ἐπειδὴ γὰρ οὐκ ἔνι ἄνθρωπον ὄντα εἰδέναι τὰ τοῦ πλησίον· «τίς γὰρ οἶδεν ἀνθρώπων», φησί, «τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;», ταύτην ἀφίησι τὴν φωνὴν μετὰ τὸ τὴν θυσίαν ἀπαρτισθῆναι πᾶσαν, ὥστε μηδένα ἁπλῶς καὶ ὡς ἔτυχεν, ἐπὶ τὴν πηγὴν ἐλθεῖν τὴν πνευματικήν. Καὶ γὰρ ἐπὶ τῆς ποίμνης (οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ ὑποδείγματι πάλιν χρήσασθαι) τὰ μὲν νοσερὰ ἔνδον ἀποκλείομεν καὶ ἐν σκότῳ κατέχομεν καὶ ἑτέρας μεταδίδομεν τροφῆς, οὔτε ἀέρος καθαροῦ, οὔτε πόας εἰλικρινοῦς, οὔτε πηγῆς τῆς ἔξω συγχωροῦντες μεταλαβεῖν. Καὶ ἐνταῦθα τοίνυν αὕτη ἡ φωνή· ἀντὶ δεσμοῦ τινός ἐστιν. Οὐκ ἔχεις εἰπεῖν, 'Οὐκ ᾔδειν, ἠγνόουν ὅτι κίνδυνος ἕπεται τῷ πράγματι'· μάλιστα μὲν οὖν καὶ ὁ Παῦλος τοῦτο διεμαρτύρατο.

6. Α' Κορ. 2,11.

λοιπόν, ἐάν, ἀφοῦ ξαναπέκτησες τὴν ὑγεία σου μετὰ ἀπὸ σαράντα ἡμερῶν ἀσθένεια, ἐπιστρέφης πάλι σ' ἐκεῖνες τὶς τροφὲς ποὺ σοῦ προξένησαν τὴν ἀσθένεια, δὲν ἔχασες καὶ τὸν προηγούμενο κόπο; Εἶναι ὁλοφάνερο ὅτι τὸν ἔχασες. Ἐφόσον τὰ φυσικὰ πράγματα εἶναι μεταβλητά, πολὺ περισσότερο εἶναι τὰ τῆς προαιρέσεως. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Ἐκ φύσεως βλέπουμε καὶ ἔχουμε ὑγιεῖς ὀφθαλμοὺς ἐκ φύσεως· ἀλλὰ πολλὲς φορὲς ἀπὸ κάποια ἀσθένεια βλάπτεται ἡ ὅρασίς μας. Ἐὰν λοιπὸν ἐκεῖνα ποὺ εἶναι ἐκ φύσεως τέτοια, μεταβάλλωνται, δὲν θὰ εἶναι πολὺ περισσότερο μεταβλητὰ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ τὴν προαίρεσί μας;

Σαράντα ἡμέρες διαθέτεις γιὰ τὴν ὑγεία τῆς ψυχῆς, καὶ ἴσως οὔτε σαράντα, καὶ περιμένεις νὰ ἐξιλεώσης τὸν Θεό; Παίζεις, ἄνθρωπε. Αὐτὰ τὰ λέγω, ὄχι γιὰ νὰ σᾶς ἐμποδίσω ἀπὸ τὴν προσέλευσί σας μία φορὰ τὸν χρόνο, ἀλλ' ἐπειδὴ θέλω διαρκῶς νὰ προσέρχεσθε στὴ μετάληψι τῶν ἁγίων. Γι' αὐτὸ καὶ ὁ ἱερεὺς προσφωνεῖ τότε καὶ καλεῖ τοὺς ἁγίους, καὶ μὲ τὰ λόγια αὐτὰ ἐπικρίνει ὅλους, ὥστε κανεὶς νὰ μὴ προσέλθη ἀπροετοίμαστος. Διότι, ὅπως στὸ κοπάδι ἐκεῖνο, στὸ ὁποῖο ὑπάρχουν πολλὰ πρόβατα ὑγιῆ καὶ πολλὰ γεμᾶτα μὲ ψώρα, πρέπει νὰ διαχωρισθοῦν αὐτὰ ἀπὸ τὰ ὑγιῆ, ἔτσι καὶ στὴν Ἐκκλησία, ἐπειδὴ ἄλλα πρόβατα εἶναι ὑγιῆ καὶ ἄλλα ὑποφέρουν ἀπὸ κάποια ἀσθένεια, μὲ τὰ λόγια αὐτὰ διαχωρίζει αὐτὰ ἀπὸ ἐκεῖνα, ἀφήνοντας ὁ ἱερεὺς ν' ἀκουσθῆ παντοῦ ἡ φοβερὴ αὐτὴ κραυγή, καλώντας ἔτσι καὶ προσελκύοντας τοὺς πιστούς. Ἐπειδὴ δηλαδὴ δὲν εἶναι δυνατὸ στὸν ἄνθρωπο νὰ γνωρίζη τὰ τοῦ πλησίον του, διότι λέγει, «ποιός ἀπὸ τοὺς ἀνθρώπους γνωρίζει τὰ ἐσωτερικὰ τοῦ ἀνθρώπου, παρὰ μόνο το πνεῦμα τοῦ ἀνθρώπου, ποὺ ὑπάρχει μέσα του;»[6], αὐτὰ τὰ λόγια λέγει μετὰ τὴν ὁλοκλήρωσι ὅλης τῆς θυσίας, ὥστε κανεὶς νὰ μὴν προσέλθη στὴν πηγὴ τὴν πνευματικὴ ἔτσι ἁπλῶς καὶ στὴν τύχη. Διότι καὶ στὴν ποίμνη (τίποτε δὲν μᾶς ἐμποδίζει νὰ χρησιμοποιήσουμε πάλι τὸ ἴδιο παράδειγμα) τὰ ἀσθενῆ πρόβατα τὰ κλείνουμε μέσα καὶ τὰ κρατοῦμε σὲ σκοτεινὸ μέρος, δίνοντάς τα ἄλλη τροφὴ καὶ μὴ ἐπιτρέποντάς τα ν' ἀπολαύσουν οὔτε καθαρὸ ἀέρα, οὔτε ἁπλῆ πρασινάδα, οὔτε νὰ πιοῦν νερὸ ἀπὸ ἐξωτερικὴ πηγή. Καὶ ἐδῶ λοιπὸν αὐτὰ τὰ λόγια ὑπάρχουν σὰν κάποιο ἐμπόδιο. Δὲν μπορεῖς νὰ πῆς, δὲν ἤξερα, ἀγνοοῦσα ὅτι ἀκολουθεῖ κάποιος κίνδυνος· καὶ βέβαια αὐτὸ τὸ διεκήρυξε ὁ Παῦλος. Ἀλλὰ θὰ

Ἀλλ' ἐρεῖς ὅτι, οὐκ ἀνέγνων; Οὐκ ἔστι τοῦτο ἀπολογία, ἀλλὰ καὶ ἔγκλημα· καθ' ἑκάστην ἡμέραν εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν, καὶ ἔτι τοῦτο ἀγνοεῖς;

5. Πλὴν ἀλλ' ἵνα μηδὲ τοῦτο ἔχῃς προφασίζεσθαι, τούτου χάριν 5 μεγάλῃ τῇ φωνῇ, φρικτῇ τῇ βοῇ, καθάπερ τις κῆρυξ τὴν χεῖρα αἴρων εἰς τὸ ὕψος, ὑψηλὸς ἑστώς, πᾶσι κατάδηλος γεγονώς, καὶ μέγα ἐπ' ἐκείνῃ τῇ φρικτῇ ἡσυχίᾳ ἀνακραυγάζων, τοὺς μὲν καλεῖ, τοὺς δὲ ἀπείργει ὁ ἱερεύς, οὐ τῇ χειρὶ τοῦτο ποιῶν, ἀλλὰ τῇ γλώττῃ τῆς χειρὸς τρανότερον. Ἡ γὰρ φωνὴ ἐκείνη εἰς τὴν ἀκοὴν ἐμπί- 10 πτουσα τὴν ἡμετέραν, καθάπερ χεὶρ τοὺς μὲν ὠθεῖ καὶ ἐκβάλλει, τοὺς δὲ εἰσάγει καὶ παρίστησιν. Εἰπὲ δή μοι, παρακαλῶ, ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσιν οὐχὶ ἕστηκεν ὁ κῆρυξ βοῶν μέγα καὶ ὑψηλόν, 'Εἴ τις τούτου κατηγορεῖ', λέγων, 'μὴ δοῦλός ἐστι, μὴ κλέπτης, μὴ τρόπων πονηρῶν;' Καίτοι τὰ ἀγωνίσματα ἐκεῖνα οὔτε 15 ψυχῆς ἐστιν, οὔτε τρόπου ἀγαθοῦ, ἀλλὰ ῥώμης καὶ σώματος. Εἰ τοίνυν ἔνθα σωμάτων ἐστὶν ἄσκησις, πολλὴ προαιρέσεως ἐξέτασις γίνεται, πόσῳ μᾶλλον ἐνταῦθα, ἔνθα τὸ πᾶν ψυχὴ ἀθλεῖ; Ἕστηκε τοίνυν καὶ νῦν ὁ παρ' ἡμῖν κῆρυξ, οὐ τῆς κεφαλῆς ἕκαστον κατέχων καὶ παράγων, ἀλλὰ πάντας ὁμοῦ τῆς κεφαλῆς τῆς ἔνδον κατέ- 20 χων· οὐκ ἐφίστησιν ἄλλους αὐτοῖς κατηγόρους, ἀλλ' αὐτοὺς ἑαυτοῖς· οὐ γὰρ λέγει, 'Μή τις τούτου κατηγορεῖ;' ἀλλὰ τί; 'Εἴ τις ἑαυτοῦ κατηγορεῖ'. Ὅταν γὰρ εἴπῃ, «τὰ ἅγια τοῖς ἁγίοις», τοῦτο λέγει· 'Εἴ τις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω'. Οὐχ ἁπλῶς φησιν, ἁμαρτημάτων καθαρός, ἀλλ', «ἅγιος»· τὸν γὰρ ἅγιον οὐχ ἡ τῶν ἁμαρτη- 25 μάτων ἀπαλλαγὴ ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τοῦ Πνεύματος παρουσία καὶ ὁ τῶν ἀγαθῶν ἔργων πλοῦτος.

Οὐ βούλομαι μόνον, φησί, βορβόρου ἀπηλλάχθαι ὑμᾶς, ἀλλὰ καὶ λευκοὺς εἶναι καὶ ὡραίους. Εἰ γὰρ ὁ Βαβυλώνιος βασιλεύς, ἀπὸ τῆς αἰχμαλωσίας ἐκλεγόμενος τοὺς νεανίσκους, καλοὺς τῷ εἴ- 30 δει καὶ ὡραίους τῇ ὄψει ἐξελέξατο, πολλῷ μᾶλλον ἡμᾶς παρισταμένους τῇ τραπέζῃ τῇ βασιλικῇ, καλοὺς τῷ εἴδει εἶναι δεῖ τῷ τῆς

πῆς ὅτι, δὲν τὸ διάβασα; Δὲν εἶναι αὐτὸ δικαιολογία, ἀλλὰ καὶ ἄξιο κατηγορίας· κάθε ἡμέρα εἰσέρχεται στὴν ἐκκλησία καὶ ἀκόμα τὸ ἀγνοεῖς;

5. Πλὴν ὅμως, γιὰ νὰ μὴν ἔχης οὔτε αὐτὴν τὴν πρόφασι, γι' αὐτὸ μὲ μεγάλη φωνή, μὲ φρικτὴ κραυγή, σὰν κάποιος κήρυκας, σηκώνοντας τὸ χέρι ψηλά, στέκεται ὄρθιος, καὶ ἀφοῦ γίνη θεατὸς ἀπὸ ὅλους, κραυγάζοντας δυνατὰ μέσα σ' ἐκείνη τὴν μεγάλη ἡσυχία, ἄλλους τοὺς καλεῖ καὶ ἄλλους τοὺς ἐμποδίζει ὁ ἱερεύς, χωρὶς νὰ τὸ κάνη αὐτὸ μὲ τὸ χέρι, ἀλλὰ μὲ τὴ γλῶσσα, πετυχαίνοντάς το ἔτσι καλύτερα καὶ ἀπὸ τὸ χέρι. Διότι ἡ φωνὴ ἐκείνη μπαίνοντας στὴν ἀκοή μας, σὰν χέρι ἄλλους τοὺς ἀπωθεῖ καὶ τοὺς βγάζει ἔξω, καὶ ἄλλους τοὺς εἰσάγει καὶ τοὺς ὁδηγεῖ στὴ θεία κοινωνία. Πές μου λοιπόν, σὲ παρακαλῶ, στοὺς Ὀλυμπιακοὺς ἀγῶνες δὲν σηκώνεται ὁ κήρυκας καὶ φωνάζει μὲ μεγάλη καὶ δυνατὴ φωνή, 'Μήπως κανεὶς κατηγορεῖ τὸν ἀθλητή, καὶ λέγει, ὅτι εἶναι δοῦλος, ἢ κλέφτης, ἢ ἔχει ἄθλιο χαρακτῆρα;' ἂν καὶ βέβαια τὰ ἀγωνίσματα ἐκεῖνα δὲν εἶναι ἀγωνίσματα ψυχῆς, οὔτε ἐνάρετου χαρακτῆρα, ἀλλὰ φυσικῆς δυνάμεως καὶ σώματος. Ἐὰν λοιπὸν στὴν περίπτωσι τῆς σωματικῆς ἀσκήσεως γίνεται τόση ἐξέτασις τοῦ χαρακτῆρα, πόσο μᾶλλον ἐδῶ, ποὺ οἱ ἀγῶνες εἶναι πνευματικοί; Σηκώθηκε λοιπὸν καὶ τώρα ὁ κήρυκας ὁ δικός μας, χωρὶς νὰ κρατᾶ καὶ νὰ ὁδηγῆ τὸν καθένα χωριστὰ ἀπὸ τὸ κεφάλι, ἀλλὰ συγκρατώντας ὅλους μαζὶ ἐσωτερικὰ μὲ τὴν πίστι· δὲν ὁρίζει ἄλλους κατηγόρους, ἀλλὰ τοὺς ἴδιους τοὺς ἑαυτούς τους· διότι δὲν λέγει, 'Μήπως κανεὶς κατηγορεῖ αὐτόν;' ἀλλὰ τί; «Ἐὰν κάποιος κατηγορῆ τὸν ἑαυτό του». Διότι, ὅταν λέγη «τὰ ἅγια τοῖς ἁγίοις», αὐτὸ ἐννοεῖ· ὅποιος δὲν εἶναι ἅγιος, ἃς μὴν πλησιάση. Δὲν λέγει ἁπλῶς, 'καθαρὸς ἀπὸ ἁμαρτίες', ἀλλά, «ἅγιος»· διότι τὸν ἅγιο δὲν τὸν κάνει μόνο ἡ ἀπαλλαγὴ ἀπὸ τὶς ἁμαρτίες, ἀλλὰ καὶ ἡ παρουσία τοῦ Πνεύματος καὶ ὁ πλοῦτος τῶν ἀγαθῶν ἔργων.

Δὲν θέλω μόνο, λέγει, νὰ εἶσθε ἀπαλλαγμένοι ἀπὸ τὸν βόρβορο, ἀλλὰ νὰ εἶσθε καὶ λευκοὶ καὶ ὡραῖοι. Διότι, ἐὰν ὁ βασιλιὰς τῆς Βαβυλώνας διαλέγοντας ἀπὸ τοὺς νέους τῆς αἰχμαλωσίας προτιμοῦσε τους ἄριστους στὴν μορφὴ καὶ ὡραίους στὴν ὄψι, πολὺ περισσότερο ἐμεῖς, ποὺ πλησιάζουμε στὴν τράπεζα τὴ βασιλική, πρέπει νὰ εἴμαστε ὡραῖοι στὴν ψυχή, νὰ εἶναι χρυσὸς ὁ στολισμός μας,

ψυχῆς, τὸν κόσμον ἔχοντας χρυσοῦν, τὴν στολὴν καθαράν, τὰ ὑποδήματα βασιλικά, τὸ πρόσωπον τῆς ψυχῆς εὔμορφον, τὸν κόσμον αὐτῇ περικεῖσθαι τὸν χρυσοῦν, τὴν ζώνην τῆς ἀληθείας. Ὁ τοιοῦτος προσίτω, καὶ ποτηρίων ἁπτέσθω βασιλικῶν. Εἰ δέ τις ῥάκια 5 ἠμφιεσμένος, ῥυπῶν, αὐχμῶν ἐπεισιέναι τῇ βασιλικῇ βούλοιτο τραπέζῃ, ὅρα ὅσα πείσεται, οὐκ ἀρκουσῶν τῶν τεσσαράκοντα ἡμερῶν τὰ ἐν παντὶ τῷ χρόνῳ πεπλημμελημένα ἀπολούσασθαι. Εἰ γὰρ ἡ γέεννα οὐκ ἀρκεῖ, καίτοι γε αἰώνιος οὖσα (διὰ τοῦτο γὰρ καὶ αἰώνιός ἐστι), πολλῷ μᾶλλον ὁ βραχὺς οὗτος χρόνος. Οὐ γὰρ μετά- 10 νοιαν ἰσχυρὰν ἐπεδειξάμεθα, ἀλλ' ἀσθενῆ. Τοὺς εὐνούχους μάλιστα δεῖ παρεστάναι τῷ βασιλεῖ· εὐνούχους λέγω, τοὺς τὴν διάνοιαν λευκούς, μηδένα ἔχοντας ῥύπον μηδὲ σπῖλον, ὑψηλοὺς τῇ διανοίᾳ, τὸ ὄμμα ἥμερον τῆς ψυχῆς ἔχοντας καὶ ὀξυδερκές, εὐπερίστροφον καὶ γοργόν, ἀλλὰ μὴ ὑπνηλὸν μηδὲ ὕπτιον, ἐλευθερίας γέμον πολ- 15 λῆς, πόρρω ἀναισχυντίας γε μὴν καὶ ἰταμότητος, ἐγρηγορός, ὑγιές, μήτε στυγνὸν σφόδρα καὶ κατηφές, μήτε διακεχυμένον καὶ ὑγρόν. Τοῦτον ἡμεῖς κύριοι δημιουργῆσαι τὸν ὀφθαλμὸν καὶ ὀξυδερκῆ ποιῆσαι καὶ καλόν. Ὅταν γὰρ αὐτὸν μὴ πρὸς τὸν καπνὸν ἄγωμεν, μηδὲ πρὸς τὴν κόνιν (τοιαῦτα γὰρ πάντα τὰ ἀνθρώπινα πράγματα), 20 ἀλλὰ πρὸς τὴν αὔραν τὴν λεπτήν, πρὸς τὸν κοῦφον ἀέρα, πρὸς τὰ μετέωρα καὶ ὑψηλὰ καὶ ἡσυχίας γέμοντα πολλῆς καὶ καθαρότητος καὶ πολλῆς τῆς τέρψεως, ἀνακτησόμεθα ταχέως αὐτὸν καὶ ῥώσομεν ἐντρυφῶντα τῇ τοιαύτῃ θέᾳ.

Εἶδες πλεονεξίαν καὶ πλοῦτον πολὺν ἔχοντά τινα; Μὴ ἐπα- 25 γάγῃς ἐκεῖ τὸν ὀφθαλμόν σου· βόρβορός ἐστι τὸ πρᾶγμα, καπνός ἐστιν, ἀτμὸς πονηρός, σκότος καὶ στενοχωρία πολλή, καὶ φροντίδων πνιγμός. Εἶδες δικαιοσύνην ἀσκοῦντα ἄνθρωπον, ἀρκούμενον τοῖς αὐτοῦ καὶ πολλὴν ἔχοντα τὴν εὐρυχωρίαν τῆς ἀνέσεως, οὐδὲν μεριμνῶντα, οὐδὲν φροντίζοντα τῶν ἐνταῦθα; Στῆσον αὐτὸν ἐκεῖ, 30 καὶ μετεώρισον· καὶ πολλῷ καλλίονα αὐτὸν ἐργάσῃ καὶ λαμπρότερον, οὐ τοῖς τῆς γῆς ἄνθεσιν εὐωχῶν, ἀλλὰ τοῖς τῆς ἀρετῆς,

καθαρὴ ἡ στολή μας, βασιλικὰ τὰ ὑποδήματά μας, ὄμορφο τὸ πρόσωπο τῆς ψυχῆς μας, περιβάλλοντάς την μὲ τὸν χρυσὸ στολισμό, μὲ τὴν ζώνη τῆς ἀλήθειας. Ὅποιος εἶναι τέτοιος, ἂς πλησιάζη καὶ ἂς ἀγγίζη τὰ βασιλικὰ ποτήρια. Ἐὰν ὅμως κάποιος θελήση, ντυμένος μὲ ράκη καὶ γεμᾶτος ἀκαθαρσίες, νὰ πλησιάση μὲ τὴ ρυπαρότητα αὐτὴ τὴν τράπεζα τὴν βασιλική, κοίταξε πόσα θὰ πάθη, ποὺ δὲν θὰ ἀρκέσουν οἱ σαράντα ἡμέρες γιὰ νὰ ξεπλύνουν τὰ σφάλματα ποὺ διαπράχθηκαν κατὰ τὴν διάρκεια ὅλου τοῦ χρόνου. Διότι, ἐὰν ἡ γέεννα δὲν ἀρκῆ, ἂν καὶ εἶναι βέβαια αἰώνια (καὶ γι' αὐτὸ ἀσφαλῶς εἶναι αἰώνια), πολὺ περισσότερο δὲν ἀρκεῖ ὁ σύντομος αὐτὸς χρόνος. Διότι δὲν ἐπιδείξαμε ἰσχυρὴ μετάνοια, ἀλλὰ ἀσθενῆ. Οἱ εὐνοῦχοι κυρίως πρέπει νὰ στέκωνται δίπλα στὸν βασιλιᾶ· εὐνούχους ὀνομάζω τοὺς λευκοὺς στὴ διάνοια, ποὺ δὲν ἔχουν κανένα ρύπο ἢ κηλίδα, τοὺς λαμπροὺς στὴ διάνοια, ποὺ ἔχουν ἥμερο τὸ βλέμμα τῆς ψυχῆς καὶ ὀξυδερκές, διαπεραστικὸ καὶ γοργό, καὶ ὄχι νυσταλέο οὔτε νωθρό, γεμᾶτο ἀπὸ πολλὴ ἐλευθερία, μακριὰ ὁπωσδήποτε ἀπὸ ἀδιάντροπες καὶ αἰσχρές πράξεις, ξύπνιο, ὑγιές, ποὺ δὲν εἶναι οὔτε ὑπερβολικὰ σκυθρωπὸ καὶ μελαγχολικό, οὔτε ὅμως καὶ ὑπερβολικὰ χαρούμενο καὶ φιλήδονο. Αὐτὸν τὸν ὀφθαλμὸ ἐμεῖς εἴμαστε ἱκανοὶ νὰ τὸν δημιουργήσουμε καὶ νὰ τὸν κάνουμε ὀξυδερκῆ καὶ καλό. Ὅταν δηλαδὴ δὲν τὸν ὁδηγοῦμε πρὸς τὸν καπνό, οὔτε πρὸς τὴ σκόνι (διότι τέτοια εἶναι ὅλα τὰ ἀνθρώπινα πράγματα), ἀλλὰ πρὸς τὴν αὔρα τὴ λεπτή, πρὸς τὸν καθαρὸ ἀέρα, πρὸς τὰ μετέωρα καὶ ὑψηλά, ποὺ εἶναι γεμᾶτα ἀπὸ ἡσυχία πολλὴ καὶ καθαρότητα καὶ ἀπὸ πολλὴ εὐφροσύνη, γρήγορα θὰ τὸν ἀναζωογονήσουμε καὶ θὰ τὸν δυναμώσουμε μὲ τὴν εὐχαρίστησι ποὺ προσφέρει ἕνα τέτοιο θέαμα.

Εἶδες κάποιον νὰ ἔχη πλεονεξία καὶ πλοῦτο πολύν; Μὴ στρέψης ἐκεῖ τὸ βλέμμα σου· βόρβορος εἶναι τὸ πρᾶγμα αὐτό, καπνὸς εἶναι, ἀτμὸς πονηρός, σκοτάδι καὶ στενοχώρια πολλή, καὶ ἀποπνικτικὲς φροντίδες. Εἶδες ἄνθρωπο ποὺ εἶναι δίκαιος, ποὺ ἀρκεῖται στὰ δικά του, ποὺ εἶναι εὐχαριστημένος μ' αὐτὰ ποὺ ἔχει, καὶ ποὺ δὲν ἐνδιαφέρεται καὶ δὲν φροντίζει καθόλου γιὰ τὰ ἐδῶ; Ἐκεῖ στρέψε καὶ κάρφωσε τὸν ὀφθαλμό σου· καὶ θὰ τὸν κάμης τότε πολὺ καλύτερο καὶ λαμπρότερο, ὥστε νὰ νοιώθη εὐχαρίστησι ὄχι μὲ τὰ λουλούδια τῆς γῆς, ἀλλὰ μὲ τὰ ἄνθη τῆς ἀρετῆς, τὴ σωφροσύνη, τὴν ἐπιεί-

σωφροσύνῃ, ἐπιεικείᾳ, καὶ τοῖς ἄλλοις ἅπασιν. Οὐδὲν γὰρ οὕτω ταράττει ὀφθαλμόν, ὡς συνειδὸς πονηρόν· «ἐταράχθη», φησίν, «ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου»· οὐδὲν οὕτω σκοτοῖ. Ταύτης αὐτὸν ἀπάλλαξον τῆς ἐπηρείας, καὶ φαιδρὸν ἐργάσῃ καὶ ἰσχυρόν, ἀεὶ τρε-
5 *φόμενον ἐλπίσιν ἀγαθαῖς.*

Γένοιτο δὲ πάντας ἡμᾶς, καὶ τοῦτον καὶ τὰς ἄλλας τῆς ψυχῆς ἐνεργείας κατασκευάσαι τοιαύτας, οἵας ὁ Χριστὸς βούλεται· ἵνα τῆς ἐπικειμένης ἡμῖν κεφαλῆς ἄξιοι γενόμενοι, ἀπέλθωμεν ἔνθα θέλει. Φησὶ γάρ· «θέλω ἵν', ὅπου ἐγώ εἰμι, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα
10 *τὴν δόξαν τὴν ἐμὴν ὁρῶσιν»· ἧς γένοιτο ἀπολαῦσαι πάντας ἡμᾶς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

7. Ψαλμ. 6,8.
8. Ἰω. 17,24.

κεια, καὶ ὅλα τὰ ἄλλα. Διότι τίποτε δὲν ταράσσει τόσο τὸν ὀφθαλμό, ὅσο ἡ πονηρὴ συνείδησις. «Ταράχθηκε», λέγει, «ἀπὸ τὸν θυμὸ ὁ ὀφθαλμός μου»[7]· τίποτε δὲν τὸν σκοτίζει τόσο. Ἀπάλλαξέ τον ἀπὸ αὐτὴν τὴν φοβερὴ ἐπίδρασι, καὶ θὰ τὸν κάνης λαμπρὸ καὶ ἰσχυρό, ποὺ νὰ τρέφεται πάντα μὲ ἀγαθὲς ἐλπίδες.

Εὔχομαι ὅλοι μας, καὶ τὸν ὀφθαλμό μας καὶ τὶς ἄλλες διαθέσεις τῆς ψυχῆς νὰ τὶς κάνουμε τέτοιες, ὅπως τὶς θέλει ὁ Χριστός, ὥστε, ἀφοῦ γίνουμε ἄξιοι τῆς κεφαλῆς ποὺ βρίσκεται ἀπὸ ἐπάνω μας, νὰ πᾶμε ἐκεῖ ποὺ θέλει αὐτός. Διότι λέγει· «θέλω, ὅπου εἶμαι ἐγώ, κι' ἐκεῖνοι νὰ εἶναι μαζί μου, γιὰ νὰ βλέπουν τὴ δόξα μου»[8], τὴν ὁποία μακάρι ὅλοι ἐμεῖς ν' ἀπολαύσουμε, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΗ'

(Ἑβρ. 10,8–18)

«Ἀνώτερον λέγων, ὅτι θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας, οὐδὲ εὐδόκησας, αἵτινες κατὰ νόμον προσφέρονται· τότε εἴρηκεν· ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτον, ἵνα τὸ δεύτερον
5 *στήσῃ. Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέραν λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνε-*
10 *κὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ».*

1. Ἐν μὲν τοῖς ἔμπροσθεν ἔδειξεν ἀνωφελεῖς τὰς θυσίας οὔσας πρὸς τὴν τελείαν καθαρότητα, καὶ τύπον οὔσας, καὶ πολὺ λειπομένας. Ἐπεὶ οὖν ἀντέπιπτεν αὐτῷ τοῦτο, εἰ τύποι εἰσί, πῶς τῆς ἀλη-
15 *θείας ἐλθούσης, οὐκ ἐπαύσαντο οὐδὲ ὑπεχώρησαν, ἀλλ' ἐπιτελοῦνται; Αὐτὸ δὲ τοῦτο ἐνταῦθα ἐργάζεται, δεικνὺς ὅτι οὐκέτι τελοῦνται· οὐδὲ ὡς τύπος, οὐ γὰρ αὐτὰς προσίεται ὁ Θεός. Καὶ τοῦτο οὐκ ἀπὸ τῆς Καινῆς πάλιν, ἀλλ' ἀπὸ τῶν προφητῶν δείκνυσιν, ἄνωθεν τὴν ἰσχυροτάτην παράγων μαρτυρίαν, ὅτι λήγει καὶ παύεται, καὶ εἰκῇ*
20 *πάντα πράττουσιν, ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτοντες. Καὶ δείκνυσιν ἐκ περιουσίας οὐ νῦν αὐτὰς πεπαυμένας, ἀλλὰ καὶ παρ' αὐτὴν τοῦ Χριστοῦ τὴν παρουσίαν, μᾶλλον δέ, καὶ πρὸ τῆς αὐτοῦ*

ΟΜΙΛΙΑ ΙΗ'

(Ἑβρ. 10,8–18)

«Ἀφοῦ πρῶτα εἶπε, θυσία καὶ προσφορὰ καὶ ὁλοκαυτώματα καὶ θυσίες γιὰ τὴν ἐξάλειψι τῶν ἁμαρτιῶν δὲν θέλησες, οὔτε εὐαρεστήθηκες μ' αὐτὲς τὶς θυσίες ποὺ προσφέρονται σύμφωνα μὲ τὸν νόμο, τότε εἶπε· νά, ἦλθα, Θεέ, γιὰ νὰ κάνω τὸ θέλημά σου. Ἀναιρεῖ τὸ πρῶτο, γιὰ νὰ στηρίξη τὸ δεύτερο. Σύμφωνα μὲ τὸ θέλημα αὐτὸ τοῦ Θεοῦ εἴμαστε ἁγιασμένοι, μὲ τὴν προσφορὰ καὶ τὴ θυσία τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ, ποὺ ἔγινε μιὰ γιὰ πάντα. Καὶ κάθε ἱερεὺς στέκεται μπροστὰ στὸ θυσιαστήριο καὶ λειτουργεῖ καθημερινά, προσφέροντας τὶς ἴδιες πολλὲς φορὲς θυσίες, οἱ ὁποῖες ποτὲ δὲν μποροῦν νὰ ἐξαλείψουν ἁμαρτίες· ἐνῶ αὐτός, ἀφοῦ πρόσφερε μία θυσία γιὰ τὴν ἄφεσι τῶν ἁμαρτιῶν, κάθησε γιὰ πάντα στὰ δεξιὰ τοῦ Θεοῦ, καὶ περιμένει μέχρι ποὺ νὰ τεθοῦν οἱ ἐχθροί του κάτω ἀπὸ τὰ πόδια του».

1. Μὲ τὰ προηγούμενα ἔδειξε ὅτι οἱ θυσίες εἶναι ἀνωφελεῖς ὡς πρὸς τὴν τελεία καθαρότητα, καὶ ὅτι εἶναι τύπος, καὶ ὑστεροῦν κατὰ πολύ. Ἐπειδὴ ὅμως ἐρχόταν σὲ ἀντίθεσι αὐτὸ μ' ἐκεῖνο, ἐὰν δηλαδὴ εἶναι τύποι, πῶς, ἀφοῦ ἦλθε ἡ ἀλήθεια, δὲν ἔπαυσαν οὔτε ὑποχώρησαν, ἀλλὰ ἐπιτελοῦνται; Αὐτὸ ἀκριβῶς κάνει ἐδῶ, καὶ δείχνει ὅτι δὲν τελοῦνται πιά· οὔτε ὡς τύπος, διότι δὲν τὶς δέχεται ὁ Θεός. Καὶ αὐτὸ πάλι τὸ ἀποδεικνύει ὄχι ἀπὸ τὴν Καινὴ Διαθήκη, ἀλλὰ ἀπὸ τοὺς προφῆτες, παρουσιάζοντας ἀπὸ τὴν ἀρχὴ τὴν ἰσχυρότατη μαρτυρία, ὅτι λήγει καὶ τελειώνει, καὶ ὅτι ἄδικα ὅλα τὰ κάνουν, ἐρχόμενοι διαρκῶς σὲ σύγκρουσι πρὸς τὸ ἅγιο Πνεῦμα. Καὶ δείχνει περίτρανα ὅτι δὲν ἔπαυσαν αὐτὲς σήμερα, ἀλλὰ ἀπὸ τότε ποὺ παρουσιάσθηκε ὁ Χριστός, ἢ καλύτερα καὶ πρὶν ἀπὸ τὴν παρουσία του, καὶ

παρουσίας, καὶ πῶς οὐ τελευταῖον ἔλυσεν αὐτὰς ὁ Χριστός, ἀλλὰ πρότερον ἐλύθησαν, καὶ τότε ἦλθε· πρότερον ἐπαύθησαν, καὶ τότε αὐτὸς παρεγένετο. Ἵνα γὰρ μὴ λέγωσι, καὶ χωρὶς ταύτης τῆς θυσίας ἠδυνάμεθα εὐαρεστῆσαι τῷ Θεῷ, καὶ δι' ἐκείνων ἀνέμεινεν 5 αὐτὰς ἐλεγχθῆναι, καὶ τότε αὐτὸς παρεγένετο· «θυσίαν» γάρ, φησί, «καὶ προσφορὰν οὐκ ἠθέλησας».

Πάντα ἀνεῖλε διὰ τούτου· καὶ γενικῶς εἰπών, λέγει καὶ ἰδικῶς· «ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας». Προσφορὰ δὲ πᾶν τὸ ἐκτὸς τῆς θυσίας ἦν. «Τότε εἶπον· ἰδοὺ ἥκω». 10 Περὶ τίνος τοῦτο εἴρηται; Περὶ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ περὶ τοῦ Χριστοῦ. Ἐνταῦθα οὐδὲν αἰτιᾶται τοὺς προσφέροντας, δεικνὺς ὅτι οὐ διὰ τὰς πονηρίας αὐτῶν οὐ δέχεται, καθάπερ ἑτέρωθί φησιν, ἀλλὰ διὰ τὸ λοιπὸν ἐληλέγχθαι τὸ πρᾶγμα καὶ πεφανερῶσθαι οὐδεμίαν ἔχον ἰσχύν, οὐδὲ καιρόν τινα προσήκοντα. Τί οὖν τοῦτο πρὸς 15 τὸ πολλάκις προσφέρεσθαι τὰς θυσίας; Οὐκ ἀπὸ τοῦ πολλάκις μόνον δῆλον, φησίν, ὅτι ἀσθενεῖς εἰσι καὶ ὅτι οὐδὲν ἤνυσαν, ἀλλὰ καὶ ἀπὸ τοῦ μὴ προσίεσθαι αὐτὰς τὸν Θεόν, ὡς ἀνονήτους καὶ ἀνωφελεῖς. Τοῦτο αὐτὸ δηλῶν καὶ ἀλλαχοῦ φησιν, ὅτι, «εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν». Ἄρα καὶ διὰ τούτου δηλοῖ ὅτι οὐ θέλει. Ἄρα οὖν 20 οὐχ αἱ θυσίαι τὸ θέλημα τοῦ Θεοῦ, ἀλλ' ἡ τῶν θυσιῶν ἀναίρεσις· οὐκοῦν παρὰ τὸ θέλημα θύουσι.

Τί ἐστι, «τοῦ ποιῆσαι τὸ θέλημά σου»; Τοῦ ἐμαυτόν, φησί, ἐκδοῦναι· τοῦτο τοῦ Θεοῦ θέλημα. «Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν». Ἔτι διὰ τούτου καὶ ἄλλως δείκνυσιν, ὅτι οὐχ αἱ θυσίαι 25 τοὺς ἀνθρώπους καθαίρουσιν, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ. Ἄρα οὖν τὸ θύειν οὐ θέλημα τοῦ Θεοῦ. Καὶ τί θαυμάζεις, εἰ νῦν οὐ θέλημά ἐστι τοῦ Θεοῦ, ὅπου γε μηδὲ ἐξ ἀρχῆς θέλημα ἦν; «Τίς γὰρ ἐξεζήτησε ταῦτα», φησίν, «ἐκ τῶν χειρῶν ὑμῶν»; Πῶς οὖν αὐτὸς ἐπέταξε; Συγκαταβαίνων· ὥσπερ καὶ ὁ Παῦλος φαίνεται λέγων· 30 ««θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ»· καὶ πάλιν παραινῶν ἀλλαχοῦ φησι· «βούλομαι νεωτέρας γαμεῖν,

1. Ψαλμ. 50,18.
2. Ψαλμ. 50,18.
3. Ἡσ. 1,12.
4. Α' Κορ. 7,7.
5. Α' Τιμ. 5,14.

ὅτι δὲν κατήργησε αὐτὲς τελευταῖα ὁ Χριστός, ἀλλὰ πρῶτα ἔπαυσε ἡ ἰσχύς τους καὶ ἔπειτα ἦλθε· προηγουμένως καταργήθηκαν, καὶ τότε ἦλθε αὐτός. Γιὰ νὰ μὴ λένε λοιπὸν ὅτι καὶ χωρὶς αὐτὴ τὴ θυσία μπορούσαμε νὰ εὐαρεστήσουμε τὸν Θεό, περίμενε καὶ ἀπὸ ἐκείνους νὰ καταφρονηθοῦν καὶ τότε ἦλθε αὐτός· διότι λέγει, «θυσία καὶ προσφορὰ δὲν θέλησες»[1].

Ὅλα τὰ ἀνέτρεψε μ' αὐτό· καὶ ἀφοῦ μίλησε γενικά, ὁμιλεῖ καὶ εἰδικά. Δὲν σοῦ ἄρεσαν τὰ ὁλοκαυτώματα καὶ οἱ θυσίες ποὺ προσφέρονται γιὰ τὴ συγχώρησι τῶν ἁμαρτιῶν. Προσφορὰ ἦταν κάθε τι ποὺ πρόσφερναν ἐκτὸς τῆς θυσίας. «Τότε εἶπα· νά, ἦλθα». Γιὰ ποιόν ἔχει λεχθῆ αὐτό; Γιὰ κανέναν ἄλλον, παρὰ μόνο γιὰ τὸν Χριστό. Ἐδῶ δὲν κατηγορεῖ αὐτοὺς ποὺ προσφέρουν τὶς θυσίες, δείχνοντας μὲ αὐτὸ ὅτι δὲν τὶς δέχεται ὄχι γιὰ τὶς πονηρίες τους, ὅπως σὲ ἄλλο μέρος λέγει, ἀλλ ἐπειδὴ καταργήθηκε πλέον ἡ θυσία καὶ ἀποδείχθηκε ὅτι δὲν ἔχει καμμία ἰσχύ, οὔτε καὶ ἁρμόζει στὴν παροῦσα περίστασι. Ποιά σχέσι ἔχει αὐτὸ πρὸς τὸ ὅτι πολλὲς φορὲς προσφέρονταν οἱ θυσίες; Δὲν γίνεται φανερό, λέγει, ὅτι εἶναι ἀσθενεῖς καὶ ὅτι καθόλου δὲν ὠφέλησαν μόνο ἀπὸ τὸ ὅτι πολλὲς φορὲς προσφέρονταν, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι δὲν τὶς ἀποδέχεται ὁ Θεός, διότι εἶναι περιττὲς καὶ ἀνωφελεῖς. Αὐτὸ ἀκριβῶς γιὰ νὰ δηλώση καὶ ἀλλοῦ λέγει, «ἐὰν ἤθελες θυσία, θὰ μποροῦσα νὰ σοῦ τὴν προσφέρω»[2]. Ἄρα καὶ μ' αὐτὸ δηλώνει ὅτι δὲν θέλει. Ἑπομένως δὲν εἶναι οἱ θυσίες τὸ θέλημα τοῦ Θεοῦ, ἀλλὰ ἡ κατάργησις τῶν θυσιῶν καὶ συνεπῶς παρὰ τὸ θέλημά του θυσιάζουν.

Τί σημαίνει, «τοῦ ποιῆσαι τὸ θέλημά σου»; Νὰ παραδώσω, λέγει, τὸν ἑαυτό μου· αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ. «Σύμφωνα μὲ τὸ θέλημα αὐτὸ τοῦ Θεοῦ εἴμαστε ἁγιασμένοι». Ἀκόμη μ' αὐτὸ δείχνει καὶ μὲ ἄλλον τρόπο, ὅτι δὲν καθαρίζουν οἱ θυσίες τοὺς ἀνθρώπους, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ. Ἄρα λοιπὸν ἡ προσφορὰ τῶν θυσιῶν δὲν εἶναι θέλημα τοῦ Θεοῦ. Καὶ γιατί ἀπορεῖς, ἐὰν τώρα δὲν εἶναι αὐτὸ θέλημα τοῦ Θεοῦ, τὴ στιγμὴ ποὺ οὔτε ἀπὸ τὴν ἀρχὴ ἦταν θέλημά του; Διότι, λέγει, «ποιός ζήτησε αὐτὰ ἀπὸ τὰ χέρια σας;»[3]. Πῶς τότε αὐτὸς τὰ παρήγγειλε; Ἀπὸ συγκατάβασι, ὅπως καὶ ὁ Παῦλος φαίνεται νὰ λέγη· «θέλω ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως καὶ ἐγὼ ἐγκρατεῖς»[4]· καὶ πάλι συμβουλεύοντας ἀλλοῦ λέγει· «θέλω οἱ νεώτερες χῆρες νὰ παντρεύωνται, νὰ τεκνογονοῦν»[5]. Δύο θελήματα ἀναφέρει, ἀλλὰ δὲν εἶναι καὶ τὰ δύο δικά του, ἔστω κι' ἂν τὰ

τεκνογονεῖν». Δύο θελήματα τίθησιν, ἀλλ' οὐ τὰ δύο αὐτοῦ ἐστιν, εἰ καὶ ἐπιτάττει· ἀλλὰ τοῦτο μὲν αὐτοῦ, διὸ καὶ χωρὶς αἰτίας τίθησιν· ἐκεῖνο δὲ οὐκ αὐτοῦ, εἰ καὶ βούλεται, διὸ καὶ μετὰ αἰτίας πρόσκειται. Πρότερν γὰρ κατηγορήσας αὐτῶν, ὅτι κατεστρηνίασαν τοῦ
5 *Χριστοῦ, τότε φησί· «βούλομαι νεωτέρας γαμεῖν, τεκνογονεῖν». Οὕτω δὴ καὶ ἐνταῦθα συγκαταβαίνων οἰκονομεῖ· οὐκ αὐτοῦ θέλημα ἦν προηγούμενον τὸ τὰς θυσίας γίνεσθαι. Οὕτω καὶ περὶ τοῦ θανάτου λέγων· «οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν αὐτόν»· καὶ ἀλλαχοῦ λέγει, ὅτι οὐ μόνον*
10 *ἠβουλήθη, ἀλλὰ καὶ ἐπεθύμησε τοῦτο· καίτοι γε ἐναντία ταῦτα ἀλλήλοις· ἐπιθυμία γὰρ ἐπιτεταμένη ἡ βούλησίς ἐστι. Πῶς οὖν οὐ θέλων, ἀλλαχοῦ ἐπιθυμεῖς, ὃ τοῦ σφόδρα θέλειν ἐστὶ σημεῖον;*

Τοῦτο δὴ καὶ ἐνταῦθα ἔστιν εἰπεῖν. «Ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμέν», φησί. Πῶς δὲ ἡγιασμένοι, αὐτὸς ἑρμηνεύσει ἐπά-
15 *γων· «διὰ τῆς προσφορᾶς τοῦ σώματος Ἰησοῦ Χριστοῦ ἐφάπαξ. Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ' ἡμέρα λειτουργῶν, καὶ τὰς αὐτὰς πολλάκις φροσφέρων θυσίας». Ἄρα τὸ ἑστάναι τοῦ λειτουργεῖν ἐστι σημεῖον· οἰκοῦν τὸ καθῆσθαι τοῦ λειτουργεῖσθαι· «οὗτος δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν*
20 *ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος, ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. Μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον». Εἶπεν, ὅτι ἐκεῖναι οὐ προσφέρονται· συνελογίσατο ἀπὸ τῶν ἐγγράφων, ἀπὸ τῶν ἀγράφων· ἄλλως δὲ καὶ ῥητὸν*
25 *παρέστησε προφητικὸν λέγον, «ὅτι θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας». Εἶπεν, ὅτι ἀφῆκε τὰς ἁμαρτίας. Πάλιν καὶ τοῦτο ἀπὸ ἐγγράφου μαρτυρίας πιστοῦται· «μαρτυρεῖ γὰρ ἡμῖν», φησί, «τὸ Πνεῦμα τὸ ἅγιον. Μετὰ γὰρ τὸ εἰρηκέναι, αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι πρὸς αὐτούς, μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, δι-*
30 *δοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν*

6. Ἰεζ. 39,11.

παραγγέλλη· ἀλλὰ τὸ πρῶτο εἶναι δικό του, γι' αὐτὸ καὶ χωρὶς παραίνεσι τὸ λέγει· ἐνῶ τὸ ἄλλο δὲν εἶναι δικό του, ἂν καὶ τὸ θέλει, καὶ γι' αὐτὸ καὶ τὸ παραθέτει συμβουλευτικά. Ἀφοῦ δηλαδὴ προηγουμένως τοὺς κατέκρινε, ὅτι φέρθηκαν ὑβριστικὰ πρὸς τὸν Χριστό, τότε λέγει· «θέλω οἱ νεώτερες νὰ παντρεύωνται, νὰ τεκνογονοῦν». Ἔτσι λοιπὸν καὶ ἐδῶ ἀπὸ συγκατάβασι τὸ ἐπιτρέπει ὁ Θεός· δὲν ἦταν δικό του θέλημα ἀπὸ τὴν ἀρχὴ ἡ προσφορὰ τῶν θυσιῶν. Κατὰ τὸν ἴδιο τρόπο καὶ γιὰ τὸν θάνατο λέγει· «δὲν θέλω τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, μήπως ἐπιστρέψη αὐτὸς καὶ ζήση»[6]· καὶ ἀλλοῦ λέγει, ὅτι ὄχι μόνο τὸ θέλησε αὐτό, ἀλλὰ καὶ τὸ ἐπιθύμησε· ἂν καὶ εἶναι ἀντίθετα αὐτὰ μεταξύ τους· διότι ἐπιθυμία σφοδρὴ εἶναι ἡ βούλησις. Πῶς λοιπὸν ἐνῶ δὲν θέλεις, ἀλλοῦ ἐπιθυμεῖς, πρᾶγμα ποὺ εἶναι ἀπόδειξις τῆς σφοδρῆς θελήσεως;

Αὐτὸ λοιπὸν μποροῦμε νὰ ποῦμε καὶ ἐδῶ. «Σύμφωνα μὲ τὸ θέλημα αὐτὸ τοῦ Θεοῦ ἔχουμε ἁγιασθῆ», λέγει. Πῶς ὅμως ἔχουμε ἁγιασθῆ, αὐτὸς θὰ μᾶς τὸ ἑρμηνεύση μὲ τὰ ὅσα προσθέτει· «ἔχουμε ἁγιασθῆ μὲ τὴν προσφορὰ τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ποὺ ἔγινε μιὰ γιὰ πάντα. Καὶ κάθε ἱερεὺς τοῦ νόμου στέκεται κάθε ἡμέρα μπροστὰ στὸ θυσιαστήριο καὶ λειτουργεῖ, προσφέροντας πολλὲς φορὲς τὶς ἴδιες θυσίες». Ἄρα τὸ ὅτι στέκεται μπροστὰ στὸ θυσιαστήριο εἶναι ἀπόδειξις προσφορᾶς θυσίας· καὶ συνεπῶς τὸ ὅτι κάθεται εἶναι ἀπόδειξις τοῦ ὅτι περιμένει προσφορὰ θυσίας. Ὁ Χριστὸς ὅμως, ἀφοῦ πρόσφερε μία θυσία γιὰ τὴν ἄφεσι τῶν ἁμαρτιῶν, κάθησε μιὰ γιὰ πάντα στὰ δεξιὰ τοῦ Θεοῦ, καὶ στὸ ἑξῆς περιμένει, μέχρι ποὺ νὰ τεθοῦν οἱ ἐχθροί του κάτω ἀπὸ τὰ πόδια του. Διότι μὲ μιὰ προσφορὰ τελειοποίησε μιὰ γιὰ πάντα αὐτοὺς ποὺ ἁγιάζονται μὲ τὴ θυσία του. Μᾶς τὸ ἐπιβεβαιώνει αὐτὸ καὶ τὸ Πνεῦμα τὸ ἅγιο. Εἶπε ὁ Παῦλος ὅτι δὲν προσφέρονται πιὰ ἐκεῖνες οἱ θυσίες· καὶ μᾶς τὸ ἀπέδειξε αὐτὸ μὲ τὶς γραφὲς ἢ χωρὶς αὐτές· ἐξάλλου παρουσίασε καὶ λόγο προφητικὸ ποὺ λέγει, «θυσία καὶ προσφορὰ δὲν θέλησες». Εἶπε, ὅτι συγχώρησε τὶς ἁμαρτίες. Καὶ αὐτὸ πάλι ἐπιβεβαιώνεται ἀπὸ γραπτὴ μαρτυρία· διότι μᾶς τὸ μαρτυρεῖ, λέγει, τὸ Πνεῦμα τὸ ἅγιο. Ἀφοῦ προηγουμένως εἶπε, «αὐτὴ εἶναι ἡ διαθήκη, τὴν ὁποία θὰ συνάψω μαζί τους, μετὰ τὶς ἡμέρες ἐκεῖνες, λέγει ὁ Κύριος, θὰ δώσω τοὺς νόμους μου στὶς καρδιές τους, καὶ θὰ τοὺς γράψω στὶς διάνοιές τους, ὥστε νὰ μὴν τοὺς λησμονοῦν ποτέ, καὶ δὲν θὰ θυμη-

ἐπιγράψω αὐτούς, καὶ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ὅπου δὲ ἄφεσις τούτων, οὐκέτι προσφορὰ περὶ ἁμαρτίας». Οὐκοῦν ἀφῆκε τὰς ἁμαρτίας, ὅτε τὴν διαθήκην ἔδωκε· τὴν δὲ διαθήκην διὰ τῆς θυσίας ἔδωκεν. Εἰ τοίνυν ἀφῆκε 5 τὰς ἁμαρτίας διὰ τῆς μιᾶς θυσίας, οὐκέτι χρεία δευτέρας.

«Ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος». Καὶ τίνος ἕνεκεν ἡ ἀναβολή; Ἵνα τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. «Μιᾷ» γάρ, φησί, «προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους». Ἀλλ' ἴσως εἴποι τις ἄν· Καὶ τίνος 10 ἕνεκεν οὐκ εὐθέως τέθεικε; Διὰ τοὺς πιστοὺς τοὺς μέλλοντας τίκτεσθαι καὶ γεννᾶσθαι. Πόθεν οὖν δῆλον ὅτι τεθήσονται; Διὰ τοῦ εἰπεῖν, ὅτι «ἐκάθισεν». Ἀνέμνησε πάλιν τῆς μαρτυρίας ἐκείνης τῆς λεγούσης· «ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ». Οἱ ἐχθροὶ αὐτοῦ οἱ Ἰουδαῖοί εἰσιν. Εἶτα ἐπειδὴ εἶπεν, «ἕως τεθῶσιν οἱ 15 ἐχθροὶ αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ», σφόδρα δὲ ἠπείγοντο· τούτου χάριν πάντα τὰ μετὰ ταῦτα τίθησιν, ὅσα περὶ πίστεως διαλέγεται. Τίνες δὲ οἱ ἐχθροί, ἀλλ' ἢ οἱ ἄπιστοι πάντες, οἱ δαίμονες; Οὐ γὰρ δὴ μόνον Ἰουδαῖοι; Καὶ τὸ πολὺ δὲ τῆς ὑποταγῆς αἰνιττόμενος, οὐκ εἶπεν, 'ὑποταγῶσιν', ἀλλά, «τεθῶσιν ὑπὸ τοὺς πόδας αὐτοῦ».

20 Μὴ τοίνυν γενώμεθα τῶν ἐχθρῶν· οὐ γὰρ ἐκεῖνοι μόνον ἐχθροὶ οἱ ἄπιστοι καὶ Ἰουδαῖοι, ἀλλὰ καὶ οὗτοι οἱ βίου ἀκαθάρτου πλήρεις ὄντες· «τὸ γὰρ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται». Τί οὖν, φησίν; οὐκ ἔστιν ἔγκλημα τοῦτο; Καὶ σφόδρα μὲν οὖν ἔγκλημα· ὁ 25 γὰρ κακός, ἕως ἂν ᾖ κακός, οὐ δύναται ὑποτάττεσθαι· μεταβαλέσθαι μέντοι καὶ γενέσθαι ἀγαθὸς δύναται.

2. Ἐκβάλωμεν τοίνυν τὰ φρονήματα τὰ σαρκικά. Ποῖα δέ ἐστι τὰ σαρκικά; Ὅσα τὸ μὲν σῶμα ἀνθεῖν ποιεῖ καὶ εὐπαθεῖν, κακοῖ δὲ τὴν ψυχήν· οἷόν τι λέγω· Ὁ πλοῦτος, ἡ τρυφή, ἡ δόξα· πάντα 30 ταῦτα τῆς σαρκός ἐστιν· ὁ ἔρως τῶν σωμάτων. Μὴ τοίνυν τοῦ

7. Ρωμ. 8,7.

θῶ πιὰ τὶς ἁμαρτίες τους καὶ τὶς ἀνομίες τους». Ὅπου δὲν ὑπάρχει ἄφεσις ἁμαρτιῶν, ἐκεῖ δὲν χρειάζεται προσφορὰ θυσίας γιὰ τὶς ἁμαρτίες. Ἑπομένως συγχώρησε τὶς ἁμαρτίες, ὅταν ἔδωσε τὴ διαθήκη· καὶ τὴ διαθήκη τὴν ἔδωσε μὲ τὴ θυσία του. Ἐφ' ὅσον λοιπὸν συγχώρησε τὶς ἁμαρτίες μὲ τὴν προσφορὰ τῆς μιᾶς θυσίας, δὲν χρειάζεται πιὰ δεύτερη θυσία.

«Κάθησε στὰ δεξιὰ τοῦ Θεοῦ καὶ περιμένει στὸ ἑξῆς». Καὶ γιὰ ποιό λόγο ἔγινε ἡ ἀναβολή; «Γιὰ νὰ τεθοῦν οἱ ἐχθροί του κάτω ἀπὸ τὰ πόδια του. Διότι μὲ μία προσφορά», λέγει, «ἔκανε τελείους ἐκείνους ποὺ ἁγιάζονται μὲ τὴ θυσία του. Ἀλλ' ἴσως θὰ μποροῦσε νὰ πῆ κανείς· Καὶ γιὰ ποιό λόγο δὲν τοὺς ἔβαλε κάτω ἀπὸ τὰ πόδια του ἀπὸ τὴν ἀρχή; Ἐξ αἰτίας τῶν πιστῶν ποὺ πρόκειται στὸ μέλλον νὰ γεννηθοῦν καὶ νὰ ἔρθουν στὸν κόσμο. Ἀπὸ ποῦ λοιπὸν γίνεται φανερὸ ὅτι θὰ τεθοῦν κάτω ἀπὸ τὰ πόδια του; Ἀπὸ αὐτὸ ποὺ εἶπε, ὅτι «κάθησε». Ὑπενθύμισε πάλι τὴ μαρτυρία ἐκείνη ποὺ λέγει· «μέχρι ποὺ νὰ θέση τοὺς ἐχθρούς του κάτω ἀπὸ τὰ πόδια του». Καὶ ἐχθροί του εἶναι οἱ Ἰουδαῖοι. Ἔπειτα, ἐπειδὴ εἶπε, «μέχρι ποὺ νὰ τεθοῦν οἱ ἐχθροί του κάτω ἀπὸ τὰ πόδια του», διότι ὑπερβολικὰ στρέφονταν ἐναντίον του, ἐξ αἰτίας αὐτοῦ προσθέτει ὅλα τὰ ὑπόλοιπα, ὅσα λέγει γιὰ τὴν πίστι. Καὶ ποιοί εἶναι οἱ ἐχθροί, παρὰ ὅλοι οἱ ἄπιστοι, οἱ δαίμονες; Δὲν εἶναι δηλαδὴ μόνο οἱ Ἰουδαῖοι; Καὶ ὑπονοώντας τὸ μέγεθος τῆς ὑποταγῆς, δὲν εἶπε, 'μέχρι ποὺ νὰ ὑποταχθοῦν', ἀλλά, «μέχρι ποὺ νὰ τεθοῦν κάτω ἀπὸ τὰ πόδια του».

Ἂς μὴ γίνουμε λοιπὸν κι' ἐμεῖς ἐχθροί του· διότι δὲν εἶναι μόνο ἐκεῖνοι ἐχθροί του οἱ ἄπιστοι καὶ ὁ Ἰουδαῖοι, ἀλλὰ καὶ αὐτοὶ ποὺ εἶναι γεμᾶτοι ἀπὸ ἀκάθαρτη ζωή· «καθόσον τὸ σαρκικὸ φρόνημα ἀντιστρατεύεται τὸν Θεό· διότι δὲν ὑποτάσσεται στὸν νόμο τοῦ Θεοῦ· κι' οὔτε μπορεῖ νὰ ὑποταχθῆ»[7]. Τί λοιπόν; λέγει· δὲν εἶναι ἄξιο κατηγορίας αὐτό; Εἶναι καὶ μάλιστα ἄξιο μεγάλης κατηγορίας· διότι ὁ κακός, ὅσο παραμένει κακός, δὲν μπορεῖ νὰ ὑποταχθῆ· μπορεῖ ὅμως ν' ἀλλάξη καὶ νὰ γίνη ἀγαθός.

2. Ἂς ἀποβάλουμε λοιπὸν τὰ σαρκικὰ φρονήματα. Καὶ ποιά εἶναι τὰ σαρκικὰ φρονήματα; Ὅσα κάνουν τὸ σῶμα νὰ ἀνθῆ καὶ νὰ εὐφραίνεται, ἀλλὰ κακοποιοῦν τὴν ψυχή· ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ὁ πλοῦτος, ἡ τρυφή, ἡ δόξα, ὅλα αὐτὰ εἶναι τῆς σάρκας· ὁ ἔρωτας τῶν σωμάτων. Ἂς μὴν ἐπιθυμοῦμε λοιπὸν νὰ ἔχουμε περισ-

πλείονος ἐρῶμεν, ἀλλὰ τὴν πενίαν ἀεὶ διώκωμεν· αὕτη γὰρ μέγα ἀγαθόν. Ἀλλὰ ταπεινόν, φησί, καὶ εὐτελεῖ ποιεῖ. Τούτου γὰρ ἡμῖν χρεία· πολὺ γὰρ ἡμῖν τοῦτο συμβάλλεται. «Πενία», φησίν, «ἄνδρα ταπεινοῖ»· καὶ πάλιν ὁ Χριστὸς «μακάριοι οἱ πτωχοὶ τῷ πνεύμα-
5 *τι». Διὰ τοῦτο οὖν ἀλγεῖς, ὅτι ἔχεις ὁδὸν εἰς ἀρετὴν χειραγωγοῦσαν; Οὐκ οἶδας ὅτι αὕτη πολλὴν παρρησίαν ἡμῖν δίδωσιν; «Ἀλλ' ἡ σοφία», φησί, «τοῦ πένητός ἐστιν ἐξουθενημένη»· καὶ πάλιν ἕτερός τίς φησι· «πλοῦτον καὶ πενίαν, μή μοι δῷς»· καί· «ἐκ καμίνου πενίας ῥῦσαί με». Πῶς δὲ πάλιν, εἰ πλοῦτος καὶ πενία παρὰ Κυρίου,*
10 *κακὸν ἡ πενία ἢ ὁ πλοῦτος; Τίνος οὖν ἕνεκεν ταῦτα εἴρηται;*

Ταῦτα ἐλέγετο ἐν τῇ Παλαιᾷ, ἔνθα πολὺς ὁ λόγος τοῦ πλούτου, ἔνθα τῆς πενίας πολλὴ ἦν ἡ ὑπεροψία, ἔνθα τὸ μὲν κατάρα ἦν, τὸ δὲ εὐλογία. Ἀλλὰ νῦν οὐκέτι· ἀλλὰ θέλεις ἀκοῦσαι τῆς πενίας ἐγκώμια; Αὐτὴν μετῆλθεν ὁ Χριστός, καί φησιν· «ὁ δὲ Υἱὸς τοῦ
15 *ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ». Καὶ πάλιν τοῖς μαθηταῖς ἔλεγε· «μὴ κτήσησθε χρυσόν, μήτε ἄργυρον, μήτε δύο χιτῶνας». Καὶ ὁ Παῦλος γράφων ἔλεγεν· «ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες». Καὶ Πέτρος ἔλεγε τῷ ἐκ γενετῆς χωλῷ· «ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι». Καὶ ἐν αὐτῇ δὲ τῇ Παλαιᾷ, ἔνθα*
20 *ἐθαυμάζετο ὁ πλοῦτος, τίνες, εἰπέ μοι, ἦσαν οἱ θαυμαστοί; Οὐχὶ Ἠλίας ὁ πλὴν τῆς μηλωτῆς μηδὲν ἔχων; Οὐχὶ Ἐλισσαῖος, οὐχὶ Ἰωάννης; Μηδεὶς τοίνυν ἔστω ταπεινὸς διὰ πενίαν· οὐκ ἔστι πενία ἡ ποιοῦσα ταπεινόν, ἀλλὰ πλοῦτος ὁ πολλῶν δεῖσθαι καταναγκάζων, καὶ πολλοῖς εἰδέναι χάριτας βιαζόμενος.*

25 *Τί δὲ τοῦ Ἰακὼβ πενέστερον ἦν, εἰπέ μοι, ὃς ἔλεγεν, «ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι»; Ἆρα ἀπαρρησίαστοι ἦσαν οἱ περὶ Ἠλίαν καὶ Ἰωάννην; Οὐχ ὁ μὲν τὸν Ἀχαὰβ ἤλεγχεν, ὁ δὲ τὸν Ἡρώδην; Ἐκεῖνος ἔλεγεν· «οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου»· ὁ δὲ Ἠλίας πρὸς τὸν*
30 *Ἀχαὰβ μετὰ παρρησίας ἔλεγεν· «οὐκ ἐγὼ διαστρέφω τὸν Ἰσραήλ,*

8. Παρμ. 10,15.
9. Ματθ. 5,3.
10. Ἐκκλ. 9,16.
11. Ματθ. 8,20.
12. Ματθ. 10,9.
13. Β' Κορ. 6,10.
14. Πράξ. 3,6.
15. Γεν. 28,20.
16. Μαρκ. 6,18.

σότερα, ἀλλ' ἂς ἐπιδιώκουμε πάντα τὴ φτώχεια· διότι αὐτὴ εἶναι μεγάλο ἀγαθό. Ὅμως, λέγει, αὐτὴ κάνει τὸν ἄνθρωπο ταπεινὸ καὶ εὐτελῆ. Αὐτὸ μᾶς χρειάζεται· διότι αὐτὸ πολὺ μᾶς βοηθεῖ. «Ἡ φτώχεια», λέγει, «ταπεινώνει τὸν ἄνθρωπο»[8]· καὶ ὁ Χριστὸς πάλι λέγει· «μακάριοι εἶναι ἐκεῖνοι, ποὺ εἶναι ταπεινοί»[9]. Γι' αὐτό λοιπὸν ὑποφέρεις, ἐπειδὴ κατέχεις τὴν ὁδὸ ποὺ σὲ χειραγωγεῖ στὴν ἀρετή; Δὲν γνωρίζεις ὅτι αὐτὴ μᾶς δίδει πολλὴ παρρησία; Ἀλλὰ «ἡ σοφία», λέγει, «τοῦ φτωχοῦ εἶναι περιφρονημένη»[10]· καὶ πάλι κάποιος ἄλλος λέγει· «πλοῦτο καὶ φτώχεια μὴ μοῦ δώσης»· καὶ «ἀπὸ τὸ καμίνι τῆς φτώχειας γλύτωσέ με». Πῶς ὅμως πάλι, ἐὰν ὁ πλοῦτος καὶ ἡ φτώχεια προέρχονται ἀπὸ τὴν Κύριο, εἶναι κακὸ ἡ φτώχεια ἢ ὁ πλοῦτος; Γιὰ ποιό λόγο ἔχουν λεχθῆ αὐτά;

Αὐτὰ λέγονταν στὴν Παλαιὰ Διαθήκη, ὅπου εἶχαν σὲ μεγάλη ὑπόληψι τὸν πλοῦτο, ἐνῶ περιφρονοῦσαν τὴ φτώχεια, καὶ τὸ ἕνα τὸ θεωροῦσαν κατάρα, ἐνῶ τὸ ἄλλο εὐλογία. Τώρα ὅμως δὲν συμβαίνει αὐτό· ἀλλὰ θέλεις ν' ἀκούσης ἐγκώμια τῆς φτώχειας; Αὐτὴν ἀκολούθησε ὁ Χριστός, καὶ λέγει· «ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ κλίνη τὸ κεφάλι του»[11]. Καὶ πάλι ἔλεγε στοὺς μαθητές του· «μὴν ἀποκτήσετε χρυσᾶ οὔτε ἀργυρᾶ νομίσματα, οὔτε δύο χιτῶνες»[12]. Καὶ ὁ Παῦλος γράφοντας ἔλεγε· «παρουσιαζόμαστε σὰν νὰ μὴν ἔχουμε τίποτε, κι' ὅμως ἔχουμε τὰ πάντα»[13]. Καὶ ὁ Πέτρος ἔλεγε στὸν ἐκ γενετῆς χωλό· «δὲν ἔχω οὔτε ἀργυρᾶ οὔτε χρυσᾶ νομίσματα»[14]. Ἀλλὰ καὶ σ' αὐτὴν ἀκόμα τὴν Παλαιὰ Διαθήκη, ὅπου θαυμαζόταν ὁ πλοῦτος, πές μου, ποιοί ἦταν οἱ θαυμαστοί; Δὲν ἦταν ὁ Ἠλίας, ὁ ὁποῖος ἐκτὸς ἀπὸ τὴ μηλωτὴ δὲν εἶχε τίποτε ἄλλο; δὲν ἦταν ὁ Ἐλισσαῖος; δὲν ἦταν ὁ Ἰωάννης; Κανεὶς λοιπὸν ἂς μὴ νιώθη ταπεινωμένος ἐξ αἰτίας τῆς φτώχειας· δὲν ὑπάρχει φτώχεια ποὺ ἐξουθενώνει τὸν ἄνθρωπο, ἀλλὰ ὁ πλοῦτος ποὺ μᾶς κάνει σκλάβους πολλῶν ἀναγκῶν καὶ ἐξαναγκάζει πολλοὺς νὰ τὸν θεωροῦν σὰν τὸ πιὸ σπουδαῖο πρᾶγμα.

Ποιός ἦταν, πές μου, φτωχότερος ἀπὸ τὸν Ἰακώβ, ποὺ ἔλεγε· «ἐὰν μοῦ δώση ὁ Κύριος ἄρτο νὰ φάω καὶ ἔνδυμα νὰ ντυθῶ»[15]; Μήπως δὲν εἶχαν παρρησία ἐκεῖνοι ποὺ ἦταν γύρω ἀπὸ τὸν Ἠλία καὶ τὸν Ἰωάννη; Δὲν ἤλεγχε ὁ Ἠλίας τὸν Ἀχαάβ, καὶ ὁ Ἰωάννης τὸν Ἡρώδη; Ὁ Ἰωάννης ἔλεγε· «δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχης τὴν γυναῖκα τοῦ Φιλίππου τοῦ ἀδελφοῦ σου»[16], ἐνῶ ὁ Ἠλίας μὲ παρρησία

ἀλλὰ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου». *Ὁρᾷς ὅτι τοῦτο μᾶλλον ποιεῖ τὴν παρρησίαν, ἡ πενία; Ὁ μὲν γὰρ πλούσιος δοῦλός ἐστιν, ὑπεύθυνος ὢν ζημίᾳ, καὶ παρέχων παντὶ τῷ βουλομένῳ κακῶς αὐτὸν ποιεῖν· ὁ δὲ μηδὲν ἔχων, δήμευσιν οὐ δέδοικεν οὐδὲ καταδί-* 5 *κην. Οὐκ ἂν οὖν, εἰ ἡ πενία ἐποίει ἀπαρρησιάστους, ὁ Χριστὸς μετὰ πενίας ἔπεμπε τοὺς μαθητὰς εἰς πρᾶγμα παρρησίας πολλῆς δεόμενον. Σφόδρα γὰρ ἰσχυρὸς ὁ πένης ἐστί, καὶ οὐχ ἔχει ὅθεν ἀδικηθῇ, ἢ πάθῃ κακῶς. Ὁ μέντοι πλούσιος πανταχόθεν εὐχείρωτος καθίσταται· καὶ ταὐτὸν γίνεται, οἷον ἄν τις τὸν πολλὰ σχοινία ἐπι-* 10 *συρόμενον καὶ μακρά, ῥᾳδίως ἕλοι, τὸν μέντοι γυμνὸν οὐκ εὐκόλως κατασχεῖν δυνήσεται. Οὕτω καὶ ἐνταῦθα ἐπὶ τοῦ πλουσίου συμβαίνει· ἀνδράποδα, χρυσίον, ἀγροί, μυρία πράγματα, μυρίαι φροντίδες, περιστάσεις, ἀνάγκαι πᾶσιν αὐτὸν εὐχείρωτον ἐργάζονται.*

15 *3. Μηδεὶς τοίνυν λοιπὸν τὴν πενίαν τῆς ἀτιμίας αἰτίαν εἶναι νομιζέτω. Ἐὰν γὰρ ἀρετὴ παρῇ, ἅπας ὁ τῆς οἰκουμένης πλοῦτος οὐδὲ πηλός, οὐδὲ κάρφος ἐστὶ πρὸς αὐτήν. Ταύτην τοίνυν διώκωμεν, εἰ βουλοίμεθα εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. «Πώλησον γάρ σου», φησί, «τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς καὶ ἕξεις θησαυ-* 20 *ρὸν ἐν οὐρανῷ»· καὶ πάλιν· «δύσκολον πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ὁρᾷς ὅτι καὶ μὴ παροῦσαν αὐτὴν ἐπισπάσασθαι δεῖ; Τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ πενία· χειραγωγία γάρ τίς ἐστι τῆς πρὸς τὸν οὐρανὸν φερούσης ὁδοῦ, ἄλειμμα ἀθλητικόν, γυμνασία τις μεγάλη καὶ θαυμαστή, λιμὴν εὐδιεινός. Ἀλλὰ χρείαν* 25 *ἔχω πολλῶν, φησί, καὶ οὐ βούλομαί τινος χάριν λαβεῖν· ἀλλὰ καὶ ἐν τούτῳ σου ὁ πλούσιος ἠλάττωται. Σὺ μὲν γὰρ ἴσως ὑπὲρ τροφῆς τὴν χάριν αἰτεῖς· ἐκεῖνος δὲ ὑπὲρ μυρίων ἀναισχυντῶν πραγμάτων, ὑπὲρ πλεονεξίας. Ὥστε οἱ πλούσιοί εἰσιν οἱ πολλῶν δεόμενοι. Τί λέγω πολλῶν; Καὶ ἀναξίων ἑαυτῶν πολλάκις· οἷόν τι λέγω· τῶν* 30 *ἐν ταῖς τάξεσι στρατιωτῶν καὶ δούλων ὄντων πολλάκις ἐν χρείᾳ*

17. Γ' Βασ. 18,18.
18. Ματθ. 19,21–23.

ἔλεγε στὸν Ἀχαάβ· «δὲν διαφθείρω ἐγὼ τὸν Ἰσραηλιτικὸ λαό, ἀλλὰ ἐσὺ καὶ τὸ σπίτι τοῦ πατέρα σου»[17]. Βλέπεις ὅτι αὐτὸ πρὸ πάντων δίνει τὴν παρρησία, ἡ φτώχεια; Διότι ὁ πλούσιος εἶναι δοῦλος, ἀφοῦ εἶναι ἐκτεθειμένος σὲ ζημιές, καὶ δίνει στὸν καθένα ποὺ θὰ ἤθελε τὸ δικαίωμα νὰ τὸν βλάψη· ἐνῶ ἐκεῖνος ποὺ δὲν ἔχει τίποτε, δὲν φοβᾶται οὔτε τὴ δήμευσι τῆς περιουσίας, οὔτε τὴν καταδίκη. Καὶ βέβαια, ἐὰν ἡ φτώχεια στερροῦσε ἀπὸ τοὺς ἀνθρώπους τὴν παρρησία, ὁ Χριστὸς δὲν θὰ ἔστελνε τοὺς μαθητές του, μὲ τὴν ἐντολὴ νὰ εἶναι φτωχοί, σὲ ἔργο ποὺ χρειαζόταν πολλὴ παρρησία. Πράγματι ὁ φτωχὸς εἶναι πολὺ ἰσχυρός, καὶ δὲν ἔχει ἀπὸ πουθενὰ νὰ ἀδικηθῆ ἢ νὰ κακοποιηθῆ. Ἀντίθετα ὁ πλούσιος εὔκολα καταβάλλεται ἀπὸ παντοῦ· καὶ συμβαίνει τὸ ἴδιο μὲ ἐκεῖνον ποὺ σέρνει πίσω του πολλὰ καὶ μακριὰ σχοινία, ὁπότε εὔκολα θὰ μποροῦσε νὰ συλληφθῆ, ἐνῶ τὸν γυμνὸ κανεὶς δὲν μπορεῖ εὔκολα νὰ τὸν συλλάβη. Τὸ ἴδιο συμβαίνει ἐδῶ μὲ τὸν πλούσιο· δοῦλοι, χρυσός, ἀγροί, μύρια πράγματα, μύριες φροντίδες, περιστάσεις καὶ ἀνάγκες τὸν κάνουν εὔκολα νὰ ὑποτάσσεται σὲ ὅλους.

Κανεὶς λοιπὸν στὸ ἑξῆς ἂς μὴ θεωρῆ τὴ φτώχεια αἰτία τῆς ἀτιμίας. Διότι, ἐὰν ὑπάρχη μαζὶ μ' αὐτὴν ἡ ἀρετή, ὅλα τὰ πλούτη τῆς οἰκουμένης συγκριτικὰ δὲν εἶναι οὔτε πηλὸς οὔτε ἄχυρο κοντά της. Αὐτὴν λοιπὸν ἂς ἐπιδιώκουμε, ἐὰν θέλουμε νὰ εἰσέλθουμε στὴ βασιλεία τῶν οὐρανῶν. Διότι λέγει, «πούλησε τὰ ὑπάρχοντά σου, καὶ μοίρασέ τα στοὺς φτωχοὺς καὶ θὰ ἔχης θησαυρὸ στὸν οὐρανό»· καὶ πάλι· «εἶναι δύσκολο ἄνθρωπος πλούσιος νὰ μπῆ στὴ βασιλεία τῶν οὐρανῶν»[18]. Βλέπεις ὅτι καὶ ἐνῶ αὐτὴ δὲν εἶναι παροῦσα πρέπει νὰ τὴν κερδίση κανείς; Τόσο μεγάλο ἀγαθὸ εἶναι ἡ φτώχεια· διότι αὐτὴ εἶναι ὁδηγὸς τοῦ ἀνθρώπου στὴν πορεία του πρὸς τὸν οὐρανό, ἀλοιφὴ κατάλληλη γιὰ ἀθλητές, μιὰ κάποια ἄσκησις μεγάλη καὶ θαυμαστή, λιμάνι γαλήνιο. Ἀλλά, λέγει, μοῦ χρειάζονται πολλὰ καὶ δὲν θέλω νὰ δεχθῶ δωρεὰν τίποτε ἀπὸ τοὺς ἀνθρώπους. Ἀλλὰ καὶ ὡς πρὸς αὐτὸ ὁ πλούσιος ὑστερεῖ ἀπέναντί σου. Διότι σὺ ἴσως ζητᾶς βοήθεια γιὰ τὴν τροφή σου, ἐνῶ ὁ πλούσιος συμπεριφέρεται μὲ ἀδιαντροπιὰ γιὰ πολλὰ πράγματα καὶ χάριν τῆς πλεονεξίας του. Ὥστε οἱ πλούσιοι εἶναι ἐκεῖνοι ποὺ ἔχουν ἀνάγκη ἀπὸ πολλὰ πράγματα. Τί λέγω πολλά; καὶ ἀνάξια πολλὲς φορὲς γιὰ τοὺς ἑαυτούς τους· ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· Οἱ πλούσιοι πολλὲς φορὲς

καθίστανται. Ὁ δὲ πένης οὐδὲ αὐτοῦ δεῖται τοῦ βασιλέως, κἂν δεηθῇ, θαυμάζεται ὅτι εἰς τοῦτο κατέστησεν ἑαυτόν, παρὸν αὐτῷ πλουτεῖν.

Μηδεὶς τοίνυν αἰτιάσθω τὴν πενίαν, ὡς μυρίων οὖσαν κα- 5 *κῶν αἰτίαν, μηδὲ ἀντιφθεγγέσθω τῷ Χριστῷ, ὃς τελειότητα ταύτην ἔφησεν εἶναι τῆς ἀρετῆς, εἰπών· «εἰ θέλεις τέλειος εἶναι»· τοῦτο γὰρ καὶ διὰ τῶν λόγων αὐτὸς εἶπε, καὶ διὰ τῶν ἔργων ἔδειξε, καὶ διὰ τῶν μαθητῶν ἐδίδαξε. Διώξωμεν οὖν τὴν πενίαν· μέγιστον γάρ ἐστιν ἀγαθὸν αὕτη τοῖς νήφουσι. Τάχα τινὲς καὶ οἰωνίζονται τῶν* 10 *ἀκουόντων. Οὐκ ἀπιστῶ· πολλὴ ἡ νόσος αὕτη παρὰ τοῖς πλείοσι τῶν ἀνθρώπων, καὶ τοσαύτη τῶν χρημάτων ἡ τυραννίς, ὡς μηδὲ μέχρι ρημάτων αὐτῆς τὴν παραίτησιν φέρειν, ἀλλὰ καὶ οἰωνίζεσθαι ταύτην. Πόρρω ταῦτα τῆς τοῦ Χριστιανοῦ ψυχῆς· οὐδὲν γὰρ πλουσιώτερον τοῦ πενίαν αἱρουμένου ἑκοντὶ καὶ μετὰ προθυμίας. Πῶς,* 15 *ἐγὼ λέγω· καί, εἰ βούλεσθε, καὶ αὐτοῦ τοῦ βασιλέως πλουσιώτερον ὄντα ἀποφαίνω τὸν ἑκοντὶ τὴν πενίαν αἱρούμενον. Ἐκεῖνος μὲν γὰρ δεῖται πολλῶν καὶ ἐν φροντίδι ἐστὶ καὶ δέδοικε μὴ ἐπιλίπῃ αὐτῷ τὰ τῆς τροφῆς τῆς στρατιωτικῆς· οὗτος δὲ πάντα ἀφθόνως ἔχει, περὶ οὐδενός, δέδοικε, καὶ εἰ δέδοικε, οὐ ὑπὲρ τοσούτων.*

20 *Τίς οὖν, εἰπέ μοι, πλούσιος, ὁ καθ' ἑκάστην ἡμέραν ἀπαιτῶν, καὶ σπουδάζων πολλὰ συλλέγων καὶ δεδοικὼς μήποτε ἐπιλίπῃ, ἢ ὁ μηδὲν συλλέγων ἐν ἀφθονίᾳ ὢν πολλῇ καὶ μηδενὸς δεόμενος; Τὴν παρρησίαν γὰρ ἀρετὴ δίδωσι καὶ τοῦ Θεοῦ φόβος, οὐ τὰ χρήματα· ἐκεῖνα γὰρ καὶ καταδουλοῦνται· «ξένια γὰρ καὶ δῶρα»,* 25 *φησίν, «ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς». Σκόπει πῶς ὁ πένης ἐκεῖνος Πέτρος Ἀνανίαν τὸν πλούσιον ἐκόλασεν· οὐχ ὁ μὲν πλούσιος ἦν, ὁ δὲ πένης; Ἀλλ' ὅρα τοῦτον μὲν μετὰ αὐθεντίας διαλεγόμενον καὶ λέγοντα, «εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε»; Ἐκεῖνον δὲ μετὰ*

19. Σοφ. Σειρὰχ 20,29.

χρειάζονται σωματοφύλακες καὶ δούλους γιὰ νὰ τους ὑπηρετοῦν. Ἐνῶ ὁ φτωχὸς δὲν ἔχει τὴν ἀνάγκη οὔτε τοῦ βασιλιᾶ, κι' ἂν τὴν χρειασθῆ, εἶναι ἄξιος θαυμασμοῦ, διότι κατέστησε τὸν ἑαυτό του τέτοιον, ἐνῶ μποροῦσε ν' ἀποκτήση πλούτη.

Κανεὶς λοιπὸν ἂς μὴ κατηγορῆ τὴ φτώχεια, ὡς αἰτία μυρίων κακῶν, οὔτε νὰ ἀντιλέγη στὸν Χριστό, ὁ ὁποῖος τὴν χαρακτήρισε ὡς τελειότητα τῆς ἀρετῆς, λέγοντας· «ἐὰν θέλης νὰ εἶσαι τέλειος»· διότι αὐτὸ καὶ μὲ τὰ λόγια τὸ εἶπε ὁ Χριστός, καὶ μὲ τὰ ἔργα του τὸ ἀπέδειξε, καὶ μὲ τοὺς μαθητές του τὸ δίδαξε. Ἂς ἐπιδιώξουμε λοιπὸν τὴ φτώχεια· διότι αὐτὴ εἶναι μέγιστο ἀγαθὸ σ' ἐκείνους ποὺ εἶναι προσεκτικοί. Ἴσως μερικοὶ ἀπὸ τοὺς ἀκροατὲς νὰ τὴν θεωροῦν κακὸ πρᾶγμα. Δὲν ἀμφιβάλλω· εἶναι μεγάλη αὐτὴ ἡ νόσος στοὺς περισσότερους ἀνθρώπους, καὶ τόσο μεγάλη εἶναι ἡ τυραννικὴ ἐξουσία τῶν χρημάτων, ὥστε νὰ μὴ θέλουν οὔτε καὶ νὰ τὴν ἀκούσουν, ἀλλὰ καὶ νὰ τὴ θεωροῦν σὰν μιὰ μεγάλη συμφορά. Αὐτὰ βρίσκονται μακριὰ ἀπὸ τὴν ψυχὴ τοῦ Χριστιανοῦ· διότι κανεὶς δὲν εἶναι πλουσιώτερος ἀπὸ ἐκεῖνον ποὺ προτιμᾶ μὲ τὴ θέλησί του καὶ μὲ προθυμία τὴ φτώχεια. Πῶς συμβαίνει αὐτό, θὰ σᾶς τὸ πῶ ἐγώ· καί, ἐὰν θέλετε, θ' ἀποδείξω ὅτι εἶναι πλουσιώτερος καὶ ἀπὸ τὸν ἴδιο τὸν βασιλιᾶ ἐκεῖνος ποὺ μὲ τὴ θέλησί του προτιμᾶ τὴ φτώχεια. Διότι ὁ βασιλιὰς ἔχει ἀνάγκη ἀπὸ πολλὰ πράγματα, καὶ συνεχῶς μεριμνᾶ καὶ φοβᾶται μήπως τοῦ λείψη ἡ τροφὴ τῶν στρατιωτῶν. Ἐνῶ ὁ φτωχὸς τὰ ἔχει ὅλα μὲ ἀφθονία, καὶ δὲν φοβᾶται γιὰ τίποτα, ἀλλὰ κι' ἂν φοβᾶται, ὄχι γιὰ τόσα πολλά.

Πές μου λοιπόν, ποιός εἶναι πλούσιος, ἐκεῖνος ποὺ καθημερινὰ ἀπαιτεῖ καὶ προσπαθεῖ νὰ συγκεντρώνη πολλά, καὶ φοβᾶται μήπως ποτὲ τοῦ λείψουν, ἢ ἐκεῖνος ποὺ δὲν συγκεντρώνει τίποτε, ἀλλ' ἔχει ἀφθονία μεγάλη καὶ δὲν ἔχει ἀνάγκη ἀπὸ τίποτε; διότι τὴν παρρησία τοῦ τὴν δίνει ἡ ἀρετὴ καὶ ὁ φόβος τοῦ Θεοῦ, ὄχι τὰ χρήματα, καθόσον ἐκεῖνα τὸν κάνουν καὶ δοῦλο· διότι λέγει, «τὰ δῶρα ποὺ προσφέρει ὁ φιλοξενούμενος σ' αὐτὸν ποὺ τὸν φιλοξενεῖ καὶ τὰ δῶρα τὰ τιμητικὰ τυφλώνουν τὰ μάτια τῶν σοφῶν καὶ σὰν φίμωτρο στὸ στόμα ἀποτρέπουν τοὺς ἐλέγχους»[19]. Πρόσεχε πῶς ὁ φτωχὸς ἐκεῖνος Πέτρος τιμώρησε τὸν πλούσιο Ἀνανία· δὲν ἦταν ὁ Ἀνανίας πλούσιος, ἐνῶ ὁ Πέτρος φτωχός; Ἀλλὰ πρόσεχε πῶς ὁ Πέτρος ὁμιλεῖ μὲ ἐξουσία καὶ λέγει, «πές μου, ἐὰν ἔναντι τόσου

ὑποστολῆς λέγοντα, «ναί, τοσούτου». Καὶ τίς δώσει μοι, φησί, κατὰ Πέτρον εἶναι; Ἔξεστί σοι κατὰ Πέτρον εἶναι, ἐὰν θέλῃς ῥῖψαι ἃς ἔχεις· σκόρπισον, δὸς πένησιν, ἀκολούθησον τῷ Χριστῷ, καὶ ἔσῃ τοιοῦτος. Πῶς; Ἐκεῖνος, φησί, σημεῖα ἐποίησε. Τοῦτο οὖν
5 *ἐστιν, εἰπέ μοι, τὸ τὸν Πέτρον ποιῆσαν θαυμαστόν, ἢ ἡ παρρησία ἡ ἀπὸ τῆς πολιτείας; Οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, «μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει. Ἐὰν θέλῃς τέλειος εἶναι, πώλησον τὰ ὑπάρχοντά σου, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς»;*

10 *Ἄκουσον τί καὶ ὁ Πέτρος φησίν· «ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι». Εἴ τις ἔχει ἀργύριον καὶ χρυσίον, ἐκεῖνα οὐκ ἔχει. Τί οὖν, φησίν, ὅτι πολλοὶ οὔτε ἐκεῖνα, οὔτε ταῦτα ἔχουσιν; Ὅτι οὐχ ἑκόντες πένονται· ἐπεὶ οἱ ἑκόντες πενόμενοι πάντα ἔχουσι τὰ ἀγαθά. Εἰ γὰρ καὶ μὴ νεκροὺς ἀνιστῶσι,*
15 *μηδὲ χωλούς, ἀλλ' ὃ πάντων μεῖζόν ἐστι, παρρησίαν ἔχουσι πρὸς τὸν Θεόν· ἀκούσονται κατ' ἐκείνην τὴν ἡμέραν τῆς μακαρίας ἐκείνης φωνῆς τῆς λεγούσης· «δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου». Τί τούτου κρεῖττον; «Κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φα-*
20 *γεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με, ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με· ἀσθενὴς ἤμην καὶ ἐν φυλακῇ, καὶ ἐπεσκέψασθέ με. Κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου».*

Φεύγωμεν τοίνυν τὴν πλεονεξίαν, ἵνα τύχωμεν τῆς βασιλείας
25 *τῶν οὐρανῶν· τρέφωμεν τοὺς πένητας, ἵνα τρέφωμεν τὸν Χριστόν, ἵνα συγκληρόμοι αὐτοῦ γενώμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

20. Πράξ. 5,8.
21. Λουκᾶ 10,20.
22. Ματθ. 19,22.
23. Πράξ. 3,6.
24. Ματθ. 25,34-36.

χρηματικοῦ ποσοῦ πουλήσατε τὸ κτῆμα», ἐνῶ ἐκεῖνος μὲ δειλία λέγει, «ναί, ἀντὶ τόσου ποσοῦ»[20]. Καὶ ποιός θὰ μ' ἀφήση, λέγει, νὰ γίνω σὰν τὸν Πέτρο; Εἶναι δυνατὸ νὰ γίνης σὰν τὸν Πέτρο, ἐὰν θελήσης ν' ἀπομακρύνης αὐτὰ ποὺ ἔχεις· σκόρπισε, μοίρασε στοὺς φτωχούς, ἀκολούθησε τὸν Χριστό, καὶ θὰ γίνης τέτοιος. Πῶς; ἐκεῖνος, λέγει, ἔκανε θαύματα. Πές μου, αὐτὸ λοιπὸν εἶναι ἐκεῖνο ποὺ ἔκανε τὸν Πέτρο ἀξιοθαύμαστο ἢ ἡ παρρησία ποὺ πήγαζε ἀπὸ τὸν τρόπο τῆς ζωῆς του; Δὲν ἀκοῦς τὸν Χριστὸ ποὺ λέγει, «μὴν χαίρεστε ποὺ ὑπακοῦν σὲ σᾶς τὰ δαιμόνια»[21]; «Ἐὰν θέλης νὰ εἶσαι τέλειος, πούλησε τὰ ὑπάρχοντά σου, μοίρασέ τα στοὺς φτωχούς, καὶ θὰ ἔχης θησαυρὸ στοὺς οὐρανούς»[22].

Ἄκουσε τί λέγει καὶ ὁ Πέτρος· «ἀργυρᾶ καὶ χρυσᾶ νομίσματα δὲν ἔχω· αὐτὸ ὅμως ποὺ ἔχω, αὐτὸ σοῦ δίνω»[23]. Ὅποιος ἔχει χρυσὸ καὶ ἄργυρο, δὲν ἔχει ἐκεῖνα τὰ χαρίσματα. Τί λοιπόν, λέγει, ὅτι πολλοὶ οὔτε ἐκεῖνα, οὔτε αὐτὰ ἔχουν; Αὐτὸ συμβαίνει ἐπειδὴ εἶναι φτωχοὶ παρὰ τὴ θέλησί τους· διότι ἐκεῖνοι ποὺ εἶναι φτωχοὶ μὲ τὴ θέλησί τους ἔχουν ὅλα τὰ ἀγαθά. Καὶ ἂν ἀκόμη δὲν ἀνασταίνουν νεκροὺς οὔτε χωλούς, ὅμως ἔχουν αὐτὸ ποὺ εἶναι ἀνώτερο ἀπὸ ὅλα, παρρησία πρὸς τὸν Θεό· αὐτοὶ θ' ἀκούσουν κατὰ τὴν ἡμέρα ἐκείνη τὴ μακάρια ἐκείνη φωνὴ νὰ λέγη· «ἐλᾶτε, οἱ εὐλογημένοι τοῦ Πατέρα μου». Τί εἶναι καλύτερο ἀπὸ αὐτό; «Κληρονομήσατε τὴ βασιλεία τῶν οὐρανῶν ποὺ ἑτοιμάσθηκε γιὰ σᾶς ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος. Διότι πείνασα καὶ μοῦ δώσατε νὰ φάω· δίψασα καὶ μὲ ποτίσατε· ἤμουν ξένος καὶ μὲ περιμαζέψατε στὸ σπίτι σας· ἤμουν γυμνὸς καὶ μὲ ντύσατε· ἤμουν ἀσθενὴς καὶ φυλακισμένος καὶ μὲ ἐπισκεφθήκατε. Κληρονομήσατε τὴ βασιλεία τῶν οὐρανῶν ποὺ ἑτοιμάσθηκε γιὰ σᾶς ἀπὸ τότε ποὺ δημιουργήθηκε ὁ κόσμος»[24].

Ἂς ἀποφεύγουμε λοιπὸν τὴν πλεονεξία, γιὰ νὰ κερδίσουμε τὴ βασιλεία τῶν οὐρανῶν· ἂς τρέφουμε τοὺς φτωχούς, γιὰ νὰ τρέφουμε τὸν Χριστό, γιὰ νὰ γίνουμε συγκληρονόμοι του, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΙΘ'

(Ἑβρ. 10,19–25)

«Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστι, τῆς σαρκὸς αὐτοῦ, καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ
5 *ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ».*

1. Δείξας τὸ διάφορον ὅσον τοῦ ἀρχιερέως καὶ τῶν θυσιῶν καὶ τῆς σκηνῆς καὶ τῆς διαθήκης καὶ τῆς ἐπαγγελίας, καὶ πολὺ τὸ μέ-
10 σον, εἴγε τὰ μὲν πρόσκαιρα, τὰ δὲ αἰώνια, τὰ μὲν ἐγγὺς ἀφανισμοῦ, τὰ δὲ μένοντα, τὰ μὲν εὐτελῆ, τὰ δὲ τέλεια, τὰ μὲν τύποι, τὰ δὲ ἀλήθεια· «οὐ γὰρ κατὰ νόμον ἐντολῆς», φησί, «σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου»· καὶ πάλιν· «σὺ ἱερεὺς εἰς τὸν αἰῶνα» (ἰδοὺ τὸ διηνεκὲς τοῦ ἱερέως)· καὶ περὶ τῆς Διαθήκης· «ἐκείνη»,
15 φησί, «παλαιά»· «τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ· αὕτη δὲ καινή, καὶ ἄφεσιν ἁμαρτιῶν ἔχουσα· ἐκείνη δὲ οὐδὲν τοιοῦτον. «Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος», φησί· καὶ πάλιν «θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας»· καὶ ἐκείνη μὲν χειροποίητος, αὕτη δὲ ἀχειροποίητος· καὶ ἡ μὲν τράγων αἷμα ἔχουσα, αὕτη δὲ Δε-

1. Ἑβρ. 7,16.
2. Ἑβρ. 10,5.

ΟΜΙΛΙΑ ΙΘ΄

('Εβρ. 10,19–25)

«'Αφοῦ λοιπόν, ἀδελφοί, τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ μᾶς δίνει παρρησία καὶ θάρρος γιὰ νὰ μποῦμε στὰ ἅγια τῶν ἁγίων ἀπὸ ἕναν νέο καὶ ζωντανὸ δρόμο, ποὺ τὸν ἐγκαινίασε γιὰ μᾶς πρῶτος ὁ Χριστὸς μὲ τὸ καταπέτασμά του, δηλαδὴ μὲ τὴ σάρκα του, καὶ ἀφοῦ ἔχουμε ἕνα μεγάλο ἱερέα στὸν οἶκο τοῦ Θεοῦ, ἂς προσερχώμαστε μὲ εἰλικρινῆ καρδιὰ καὶ μὲ πίστι συνειδητὴ καὶ σταθερή, καὶ ἔχοντας καρδιὲς ραντισμένες καὶ καθαρισμένες ἐσωτερικὰ ἀπὸ κακὴ συνείδησι, καὶ σῶμα λουσμένο μὲ νερὸ καθαρό, ἂς κρατοῦμε τὴν ὁμολογία τῆς πίστεως ἀσάλευτη».

1. 'Αφοῦ ἔδειξε πόση διαφορὰ ὑπάρχει ἀνάμεσα στὸν ἀρχιερέα καὶ τὶς θυσίες καὶ τὴ σκηνὴ καὶ τὴ διαθήκη καὶ τὴν ἐπαγγελία τῶν μελλοντικῶν ἀγαθῶν, καὶ ὅτι ἀπέχουν πολὺ μεταξύ τους, ἐφ' ὅσον αὐτὰ εἶναι πρόσκαιρα, ἐνῶ ἐκεῖνα αἰώνια, αὐτὰ κοντεύουν ν' ἀφανισθοῦν, ἐνῶ ἐκεῖνα παραμένουν σταθερά, αὐτὰ εἶναι εὐτελῆ, ἐνῶ ἐκεῖνα τέλεια, αὐτὰ εἶναι τύποι, ἐνῶ ἐκεῖνα ἡ ἀλήθεια, διότι λέγει, «δὲν ὀφείλονται σὲ νομικὴ ἀνθρώπινη ἐντολή, ἀλλὰ σὲ δύναμι ζωῆς ἀκατάλυτης»[1]· καὶ πάλι· «σὺ εἶσαι ἱερεὺς αἰώνιος» (νὰ τὸ αἰώνιο τοῦ ἱερέως)· καὶ γιὰ τὴ διαθήκη λέγει· «ἐκείνη εἶναι παλαιά»· διότι ὅ,τι παλιώνει καὶ γηράσκει βρίσκεται κοντὰ στὸν ἀφανισμό· καὶ αὐτὴ ἡ Διαθήκη εἶναι καινούργια καὶ προσφέρει ἄφεσι τῶν ἁμαρτιῶν, ἐνῶ ἐκείνη δὲν ἔχει τέτοια δυνατότητα. Διότι τίποτε, λέγει, δὲν τελειοποίησε ὁ νόμος· καὶ πάλι· «θυσία καὶ προσφορὰ δὲν θέλησες»[2]. Καὶ ἐκείνη ἡ θυσία ἦταν χειροποίητη, ἐνῶ αὐτὴ ἀχειροποίητη· ἐπίσης ἐκείνη εἶχε αἷμα τράγων, ἐνῶ αὐτὴ τὸ αἷμα τοῦ Δεσπότη. Καὶ ἐκείνη ἡ θυσία εἶχε τὸν ἱερέα νὰ στέκεται ὄρθιος, ἐνῶ

σπότου· καὶ ἡ μὲν ἑστῶτα τὸν ἱερέα, αὕτη δὲ καθήμενον. Ἐπειδὴ τοίνυν πάντα ἐκεῖνα ἐλάσσω, ταῦτα δὲ μείζω, διὰ τοῦτό φησιν· «ἔχοντες οὖν ἀδελφοί, παρρησίαν». Παρρησίαν πόθεν; Ἀπὸ τῆς ἀφέσεως. Ὥσπερ γὰρ αἰσχύνην, φησί, ποιεῖ τὰ ἁμαρτήματα, οὕτω 5 παρρησίαν τὸ πάντα ἀφεθῆναι ταῦτα ἡμῖν· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ συγκληρονόμους γενέσθαι, καὶ τοσαύτης ἀπολαῦσαι ἀγάπης.

«Εἰς τὴν εἴσοδον τῶν ἁγίων». Τί φησιν «εἴσοδον» ἐνταῦθα; Τὸν οὐρανὸν καὶ τὴν πρόσοδον τὴν εἰς τὰ πνευματικά. «Ἣν ἐνεκαίνισεν ἡμῖν». Τουτέστιν, ἣν κατεσκεύασε, καὶ ἧς ἦρξατο· ἐγκαι- 10 νισμὸς γὰρ λέγεται ἀρχὴ χρήσεως λοιπόν· ἣν κατεσκεύασε, φησί, καὶ δι' ἧς αὐτὸς ἐβάδισεν. «Ὁδὸν πρόσφατον καὶ ζῶσαν». Ἐνταῦθα τὴν πληροφορίαν τῆς ἐλπίδος ἐμφαίνει. «Πρόσφατον», φησί. Βιάζεται δεῖξαι πάντα τὰ μείζοντα ἐσχηκότας, εἴγε νῦν ἀνεῴχθησαν αἱ πύλαι τῶν οὐρανῶν, ὃ οὐδὲ ἐπὶ Ἀβραὰμ ἐγένετο. Καὶ κα- 15 λῶς, «ὁδὸν πρόσφατον», φησί, «καὶ ζῶσαν»· ἡ γὰρ πρώτη ὁδὸς θανάτου ἦν, ἐπὶ τὸν ᾅδην ἄγουσα, αὕτη δὲ ζωῆς. Καὶ οὐκ εἶπε, 'ζωῆς', ἀλλὰ «ζῶσαν» αὐτὴν ἐκάλεσε, τὴν μένουσαν οὕτω δηλῶν.

«Διὰ τοῦ καταπετάσματος», φησί, «τῆς σαρκὸς αὐτοῦ». Ἡ σὰρξ αὕτη ἔτεμε πρώτη τὴν ὁδὸν αὐτῷ ἐκείνην, ἣν καὶ ἐγκαινίσαι 20 λέγει, τῷ καὶ αὐτὸς ἀξιῶσαι διὰ ταύτης βαδίσαι· καταπέτασμα δὲ εἰκότως ἐκάλεσε τὴν σάρκα· ὅτε γὰρ ἤρθη εἰς ὕψος, τότε ἐφάνη τὰ ἐν τοῖς οὐρανοῖς. «Προσερχώμεθα», φησί, «μετὰ ἀληθινῆς καρδίας». Τίνες «προσερχώμεθα»; Εἴ τις ἅγιος τῇ πίστει, τῇ πνευματικῇ λατρείᾳ. «Μετὰ ἀληθινῆς καρδίας, ἐν πληροφορίᾳ πίστεως»· 25 τουτέστιν, ἐπειδὴ οὐδέν ἐστιν ὁρατόν, οὔτε ὁ ἱερεύς, οὔτε ἡ θυσία, οὔτε τὸ θυσιαστήριον ὁρᾶται. Καίτοι γε οὐδὲ ἐκεῖνος ὁ ἱερεὺς ὁρατὸς ἦν, ἀλλ' ἔνδον αὐτὸς εἱστήκει, ἐκεῖνοι δὲ ἔξω πάντες, ὁ λαὸς ἅπας. Ἐνταῦθα δὲ οὐ μόνον τοῦτο δείκνυσι, ὅτι ὁ ἱερεὺς εἰσῆλθεν εἰς τὰ ἅγια· τοῦτο γὰρ δηλοῖ τῷ λέγειν· «καὶ ἱερέα μέγαν ἐπὶ τὸν οἶ- 30 κον τοῦ Θεοῦ»· ἀλλ' ὅτι καὶ ἡμεῖς εἰσερχόμεθα. Διὰ τοῦτό φησιν, «ἐν πληροφορίᾳ πίστεως». Ἔστι γὰρ καὶ πιστεύειν διστάζοντα·

αὐτὴ τὸν ἔχει νὰ κάθεται. Ἐπειδὴ λοιπὸν ὅλα ἐκεῖνα ἦταν κατώτερα, ἐνῶ αὐτὰ εἶναι ἀνώτερα, γι' αὐτὸ λέγει· «ἔχοντας λοιπόν, ἀδελφοί, παρρησία». Ἀπὸ ποῦ παρρησία; Ἀπὸ τὴν ἄφεσι τῶν ἁμαρτιῶν. Διότι, ὅπως ἀκριβῶς τὰ ἁμαρτήματα, λέγει, φέρνουν ντροπὴ στὸν ἄνθρωπο, ἔτσι μᾶς δίνει θάρρος ἡ συγχώρησις ὅλων αὐτῶν· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ διότι γίναμε συγκληρονόμοι καὶ ἀπολαύσαμε τόση μεγάλη ἀγάπη.

«Στὴν εἴσοδο τῶν ἁγίων». Τί ὀνομάζει «εἴσοδο» ἐδῶ; Τὸν οὐρανὸ καὶ τὴν εἴσοδό μας στὰ πνευματικά. «Τὴν ὁποία μᾶς ἐγκαινίασε». Δηλαδή, τὴν ὁποία κατασκεύασε καὶ πρῶτος ἄρχισε ὁ Χριστός· διότι ἐγκαινισμὸς λέγεται ἡ ἀρχὴ τῆς χρησιμοποιήσεως στὸ μέλλον· τὴν εἴσοδο αὐτή, λέγει, τὴν κατασκεύασε αὐτὸς καὶ τὴν ἐβάδισε αὐτὸς ὁ ἴδιος. «Τὴν ἄνοιξε σὰν νέο δρόμο ποὺ ὁδηγεῖ στὴν αἰώνια ζωή». Μὲ αὐτὸ δείχνει τὴ βεβαιότητα τῆς ἐλπίδας. «Νέα», λέγει. Βιάζεται νὰ δείξη ὅτι ἔχουμε μπροστά μας ὅλα ἐκεῖνα τὰ πολὺ μεγάλα, ἐφ' ὅσον τώρα ἔχουν ἀνοιχθῆ οἱ πύλες τῶν οὐρανῶν, πρᾶγμα ποὺ οὔτε ἐπὶ Ἀβραὰμ ἔγινε. Καὶ σωστὰ τὴν ὀνομάζει, «ὁδὸ νέα καὶ ποὺ χαρίζει ζωή»· διότι ἡ πρώτη ἦταν ὁδὸς θανάτου, ποὺ ὡδηγοῦσε στὸν ᾅδη, ἐνῶ αὐτὴ εἶναι ὁδὸς ζωῆς. Καὶ δὲν εἶπε, 'ζωῆς', ἀλλὰ τὴν ὠνόμασε «ζῶσα», γιὰ νὰ δηλώση ἔτσι τὴν μονιμότητά της.

«Μὲ τὸ καταπέτασμα», λέγει, «τῆς σάρκας του». Ἡ σάρκα αὐτὴ πρώτη διέσχισε τὴν ὁδὸ ἐκείνη, τὴν ὁποία λέγει, ὅτι καὶ ἐγκαινίασε καὶ τὴν ἐτίμησε μὲ τὸ νὰ βαδίση δι' αὐτῆς. Καὶ σωστὰ ὠνόμασε τὴ σάρκα «καταπέτασμα»· διότι ὅταν ἀνέβηκε ἐκείνη ψηλά, τότε ἔγιναν φανερὰ ἐκεῖνα ποὺ ὑπάρχουν στοὺς οὐρανούς. «Ἂς προσερχώμαστε», λέγει, «μὲ εἰλικρινῆ καρδιά». Ποιοί «ἂς προσερχώμαστε»; Ὅποιος εἶναι ἅγιος ὡς πρὸς τὴν πίστι, ὡς πρὸς τὴν πνευματικὴ λατρεία. «Μὲ εἰλικρινῆ καρδιά, μὲ σταθερότητα πίστεως»· δηλαδή, ἐπειδὴ τίποτε δὲν εἶναι ὁρατὸ καὶ δὲν φαίνεται οὔτε ὁ ἱερεύς, οὔτε ἡ θυσία, οὔτε τὸ θυσιαστήριο. Ἂν καὶ βέβαια οὔτε ἐκεῖνος ὁ ἱερεὺς ἦταν ὁρατός, ἀλλ' ἔστεκε μέσα στὸν ναό, ἐνῶ ὅλοι ἐκεῖνοι, δηλαδὴ ὅλος ὁ λαός, ἦταν ἔξω ἀπὸ τὸν ναό. Ἐδῶ ὅμως δείχνει ὄχι μόνο αὐτό, ὅτι δηλαδὴ ὁ ἱερεὺς εἰσῆλθε στὰ ἅγια· διότι αὐτὸ δηλώνουν τὰ λόγια, «ἔχουμε ἕναν μεγάλο ἱερέα στὸν οἶκο τοῦ Θεοῦ»· ἀλλ' ὅτι καὶ ἐμεῖς εἰσερχόμαστε. Γι' αὐτὸ λέγει,

οἷον πολλοί εἰσι καὶ νῦν λέγοντες, ὅτι ἐνίων μὲν ἔστιν ἀνάστασις, ἐνίων δέ οὔ. Τοῦτο δὲ οὐκ ἔστι πληροφορία πίστεως· οὕτω γὰρ δεῖ πιστεύειν, ὡς περὶ ὁρωμένων· καὶ πολλῷ πλέον. Ἐνταῦθα μὲν γὰρ καὶ σφαλῆναι ἔστιν ἐν τοῖς ὁρωμένοις, ἐκεῖ δὲ οὔ· καὶ ἐνταῦθα μὲν τῇ αἰσθήσει ἐπιτρέπομεν, ἐκεῖ δὲ τῷ πνεύματι. «Ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς»· ἐνταῦθα δείκνυσιν ὅτι οὐ πίστις μόνον, ἀλλὰ καὶ βίος ἐνάρετος ζητεῖται, καὶ τὸ μηδὲν ἑαυτοῖς συνειδέναι πονηρόν. Οὐ γὰρ δέχεται τὰ ἅγια τοὺς μὴ οὕτω διακειμένους μετὰ πληροφορίας· ἅγια γάρ ἐστι, καὶ Ἅγια ἁγίων. Οὐκοῦν ἐνταῦθα ἄνθρωπος οὐδεὶς βέβηλος εἴσεισιν. Ἐκεῖνοι τὸ σῶμα ἐρραντίζοντο, ἡμεῖς τὴν συνείδησιν· ὥστε ἔστι καὶ νῦν περιρραντίζεσθαι, ἀλλ' αὐτῇ τῇ ἀρετῇ.

«Καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ». Τὸ λουτρὸν ἐνταῦθά φησιν, ὅπερ οὐκ ἔστι σωμάτων καθάρσιον, ἀλλὰ ψυχῆς. «Πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος»· καὶ τί ἐπαγγειλάμενός ἐστι πιστός; Ὅτι δεῖ ἀπελθεῖν ἐκεῖ καὶ εἰσελθεῖν εἰς τὴν βασίλειαν. Μηδὲν τοίνυν περιεργάζου, μηδὲ λογισμοὺς ἀπαίτει· πίστεως δεῖται τὰ ἡμέτερα. «Καὶ κατανοῶμεν», φησίν, «ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν». Καὶ πάλιν ἑτέρωθι· «ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε. Νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία»· καὶ πάλιν· «ὁ καιρὸς συνεσταλμένος ἐστὶ» λοιπόν. Τί ἐστι, «μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν»; Οἶδεν ἀπὸ τῆς συνουσίας καὶ τῆς ἐπισυναγωγῆς πολλὴν οὖσαν τὴν ἰσχύν. «Ὅπου γάρ εἰσι δύο ἢ τρεῖς», φησίν, «συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν»· καὶ πάλιν· «ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν»· καὶ πάλιν· «πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία». Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἐπειδὴ καὶ τὰ τῆς ἀγάπης αὔξάνεται διὰ τῆς ἐπισυναγωγῆς· τῆς δὲ ἀγάπης αὐξανομένης, ἀνάγκη

3. Φιλιπ. 4,5.
4. Ρωμ. 13,11.
5. Α' Κορ. 7,29.
6. Ματθ. 18,20.
7. Ἰω. 17,11.
8. Πράξ. 4,32.

«μὲ πίστι σταθερή». Διότι ὑπάρχει καὶ πίστις ταλαντευόμενη· ὅπως ὑπάρχουν πολλοὶ καὶ τώρα ποὺ λένε ὅτι ἄλλοι θ' ἀναστηθοῦν, καὶ ἄλλοι ὄχι. Αὐτὸ ὅμως δὲν εἶναι πίστις σταθερή. Διότι ἔτσι πρέπει νὰ πιστεύουμε, σὰν νὰ πρόκειται γιὰ ὁρατὰ πράγματα, καὶ πολὺ περισσότερο. Καθόσον ἐδῶ ὡς πρὸς τὰ ὁρατὰ πράγματα εἶναι δυνατὸ καὶ νὰ σφάλῃ κανείς, ἐνῶ ἐκεῖ ὄχι· καὶ ἐδῶ τὰ ἐμπιστευόμαστε ὅλα στὶς αἰσθήσεις, ἐνῶ ἐκεῖ στὸ πνεῦμα. «Μὲ καρδιὲς ραντισμένες μὲ τὸ αἷμα του καὶ καθαρισμένες ἀπὸ κακὴ συνείδησι». Ἐδῶ δείχνει ὅτι χρειάζεται ὄχι μόνο πίστις, ἀλλ' ἀπαιτεῖται καὶ ζωὴ ἐνάρετη καὶ συνείδησις καθαρή, ποὺ νὰ μὴν μᾶς ἐλέγχῃ γιὰ τίποτε κακό. Διότι δὲν ἐπιτρέπεται ἡ εἴσοδος εἰς τὰ ἅγια σ' ἐκείνους ποὺ δὲν ἔχουν αὐτὴ τὴ βεβαιότητα τῆς συνειδήσεως· καθόσον εἶναι ἅγια καὶ μάλιστα Ἅγια τῶν ἁγίων. Ἄρα κανεὶς ἄνθρωπος βέβηλος δὲν θὰ εἰσέλθῃ ἐδῶ. Οἱ Ἰουδαῖοι καθάριζαν μὲ ραντισμὸ τὸ σῶμα, ἐμεῖς τὴ συνείδησι· ὥστε εἶναι δυνατὸ καὶ τώρα νὰ ραντίζεται κανεὶς καὶ νὰ καθαρίζεται, ἀλλὰ ὡς πρὸς τὴν ἀρετή.

«Καὶ ἔχοντας λουσμένο τὸ σῶμα μὲ νερὸ καθαρό». Ἐδῶ ἐννοεῖ τὸ λουτρό, ποὺ δὲν εἶναι μέσο καθαρισμοῦ τῶν σωμάτων, ἀλλὰ τῆς ψυχῆς. «Διότι εἶναι ἀξιόπιστος ἐκεῖνος ποὺ μᾶς ἔδωσε τὴν ὑπόσχεσι». Καὶ γιὰ ποιά ὑπόσχεσι εἶναι ἀξιόπιστος; Ὅτι πρέπει νὰ μεταβοῦμε ἐκεῖ καὶ νὰ εἰσέλθουμε στὴ βασιλεία τῶν οὐρανῶν. Μὴ λοιπὸν ἐξετάζῃς ἄσκοπα τὰ πράγματα καὶ μὴ ζητᾶς περιττὲς ἀποδείξεις· πίστι μόνο χρειάζονται τὰ δικά μας. «Καὶ ἂς προσέχουμε καὶ ἂς διεγείρουμε ὁ ἕνας τὸν ἄλλο στὴν ἀγάπη καὶ τὰ καλὰ ἔργα, χωρὶς νὰ ἀμελοῦμε γιὰ τὶς συναθροίσεις μας, ὅπως συνηθίζουν νὰ κάνουν μερικοί, ἀλλὰ νὰ προτρέπετε ὁ ἕνας τὸν ἄλλο, καὶ τόσο περισσότερο, ὅσο βλέπετε νὰ πλησιάζῃ ἡ ἡμέρα ἐκείνη». Καὶ πάλι ἀλλοῦ λέγει· «ὁ Κύριος πλησιάζει νὰ ἔλθῃ, μὴ φροντίζετε γιὰ τίποτε»[3]. «Διότι τώρα βρίσκεται πιὸ κοντά μας ἡ σωτηρία»[4]· καὶ πάλι· «ὁ χρόνος αὐτῆς τῆς ζωῆς εἶναι πλέον λίγος»[5]. Τί σημαίνει, «μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν»; Γνωρίζει ὅτι πηγάζει μεγάλη δύναμις ἀπὸ τὴ συναναστροφὴ καὶ τὴ συνάντησι πιστῶν. Διότι λέγει, «ὅπου εἶναι δύο ἢ τρεῖς συγκεντρωμένοι στὸ ὄνομά μου, ἐκεῖ εἶμαι κι' ἐγὼ ἀνάμεσά τους»[6]· καὶ πάλι· «γιὰ νὰ εἶναι ἕνα σῶμα, ὅπως καὶ ἐμεῖς εἴμαστε ἕνα»[7]· καὶ πάλι· «ἡ ψυχὴ καὶ ἡ καρδιὰ ὅλων ἦταν μία»[8]. Καὶ ὄχι μόνο γι' αὐτό, ἀλλ' ἐπειδὴ καὶ τὰ ἔργα τῆς ἀγάπης αὐξάνονται μὲ τὴ συναναστροφὴ καὶ τὴ συγκέντρωσι στὸν ἴδιο χῶρο· καὶ ἐφ' ὅσον αὐξάνεται ἡ ἀγάπη, κατ' ἀνάγκη ἀκο-

καὶ τὰ τοῦ Θεοῦ ἕπεσθαι. «Προσευχὴ δὲ ἦν», φησίν, «ἐκτενὴς ὑπὸ τοῦ λαοῦ γινομένη». Καθὼς ἔθος τισίν. Ἐνταῦθα οὐ μόνον παρήνεσεν, ἀλλὰ καὶ ἐμέμψατο.

«Καὶ κατανοῶμεν», φησίν, «ἀλλήλους εἰς παροξυσμὸν ἀγά- 5 *πης καὶ καλῶν ἔργων». Οἶδε καὶ τοῦτο γινόμενον ἀπὸ τῆς ἐπισυναγωγῆς αὐτῶν. Καθάπερ γὰρ σίδηρος σίδηρον ὀξύνει, οὕτω καὶ ἡ συνουσία τὴν ἀγάπην αὔξει. Εἰ γὰρ λίθος πρὸς λίθον τριβόμενος πῦρ ἀφίησι, πόσῳ μᾶλλον ψυχὴ πρὸς ψυχὴν ἀναμιγνυμένη; Ὅρα· οὐκ, 'εἰς ζῆλον', φησίν, ἀλλ', «εἰς παροξυσμὸν ἀγάπης». Τί ἐστιν,* 10 *«εἰς παροξυσμὸν ἀγάπης»; Εἰς τὸ μᾶλλον ἀγαπᾶν καὶ ἀγαπᾶσθαι. Προστίθησι δέ, «καὶ καλῶν ἔργων», ὥστε ζῆλον λαβεῖν· εἰκότως. Εἰ γὰρ τὸ ποιεῖν, φησί, τοῦ λέγειν μείζονα τὴν ἰσχὺν ἔχει πρὸς διδασκαλίαν, πολλοὺς ἔχετε καὶ ὑμεῖς διδασκάλους ἐν τῷ πλήθει διὰ τῶν ἔργων τοῦτο ποιοῦντας. Τί ἐστι, «προσερχώμεθα μετὰ ἀληθι-* 5 *νῆς καρδίας»; Τουτέστι, χωρὶς ὑποκρίσεως· «οὐαὶ γὰρ καρδίᾳ δειλῇ καὶ χερσὶ παρειμέναις».*

Μηδεὶς ἔστω, φησί, ψεῦδος ἐν ὑμῖν· μὴ ἕτερα μὲν λέγωμεν, ἕτερα δὲ φρονῶμεν· τοῦτο γὰρ ψεῦδος· μηδὲ ὀλιγοψυχῶμεν· τοῦτο γὰρ οὐκ ἀληθινῆς καρδίας· ἀπὸ γὰρ τοῦ μὴ πιστεύειν τὸ ὀλιγοψυ- ' *χεῖν γίνεται. Πῶς δὲ ἔσται τοῦτο; Ἐὰν πληροφορήσωμεν ἑαυτοὺς διὰ τῆς πίστεως. «Ἐρραντισμένοι τὰς καρδίας». Διὰ τί μὴ εἶπε, 'κεκαθαρμένοι', ἀλλά, «ἐρραντισμένοι»; Τὴν διαφορὰν τῶν περιρραντηρίων δεῖξαι βουλόμενος, καὶ ὅτι τὸ μὲν τοῦ Θεοῦ, τὸ δὲ ἡμέτερον. Τὸ μὲν γὰρ λοῦσαι καὶ περιρρᾶναι τὴν συνείδησιν, τοῦ Θεοῦ· τὸ δὲ μετὰ ἀληθείας προσελθεῖν καὶ ἐν πληροφρίᾳ πίστεως, ἡμέτερον. Εἶτα καὶ τῇ πίστει δίδωσιν ἰσχὺν ἀπὸ τῆς ἀληθείας τοῦ ἐπαγγειλαμένου. Τί ἐστι, «καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ»; Ἤτοι τῷ καθαροὺς ποιοῦντι λέγει, ἢ τῷ μὴ ἔχοντι αἷμα.*

Εἶτα προστίθησι τὸ τέλειον, τὴν ἀγάπην. «Μὴ ἐγκαταλείπον-) *τες τὴν ἐπισυναγωγήν», φησίν, «ἑαυτῶν»· ὅπερ τινές, φησί, ποιοῦσι, καὶ τὰς συνόδους διατέμνουσι, τοῦτο αὐτοῖς ἀπαγορεύει.*

9. Πράξ. 12,5.
10. Σοφ. Σειρὰχ 2,12.

λουθεῖ ἡ ἐφαρμογὴ τῶν ἐντολῶν τοῦ Θεοῦ. «Προσευχὴ ἐκτενής», λέγει, «γινόταν ὑπὸ τοῦ λαοῦ»[9]. Ὅπως συνηθίζουν μερικοὶ νὰ κάνουν. Ἐδῶ ὄχι μόνο τοὺς παρώτρυνε ἀλλὰ καὶ τοὺς κατέκιρνε.

• «Καὶ ἂς προσέχουμε ὁ ἕνας τὸν ἄλλο, ὥστε νὰ παροτρυνώμαστε πρὸς τὴν ἀγάπη καὶ τὰ καλὰ ἔργα». Γνώριζε ὅτι καὶ αὐτὸ ἀκόμα θὰ προέκυπτε ἀπὸ τὴ συγκέντρωσι αὐτῶν. Διότι, ὅπως ὁ σίδηρος ἀκονίζει τὸν σίδηρο, ἔτσι καὶ ἡ συναναστροφὴ αὐξάνει τὴν ἀγάπη. Ἐὰν δηλαδὴ ἡ πέτρα τριβόμενη μὲ ἄλλη πέτρα δημιουργεῖ φλόγα, πόσο μᾶλλον ψυχὴ ποὺ συνδέεται μὲ ἄλλη ψυχή; Πρόσεχε· δὲν λέγει, 'νὰ παροτρύνετε σὲ ζῆλο', ἀλλὰ «νὰ παροτρύνετε ὁ ἕνας τὸν ἄλλο πρὸς τὴν ἀγάπη». Τί σημαίνει, «εἰς παροξυσμὸν ἀγάπης»; Στὸ νὰ ἀγαπᾶτε περισσότερο καὶ νὰ σᾶς ἀγαποῦν. Καὶ προσθέτει, «καὶ τὰ καλὰ ἔργα», ὥστε νὰ δημιουργήση προθυμία. Καὶ σωστά. Διότι λέγει, ἐὰν τὰ ἔργα ἔχουν μεγαλύτερη δύναμι ἀπὸ τὰ λόγια πρὸς διδασκαλία, καὶ ἐσεῖς ἔχετε πολλοὺς διδασκάλους μέσα στὸ πλῆθος τῶν πιστῶν, οἱ ὁποῖοι διδάσκουν μὲ τὰ ἔργα τους. Τί σημαίνει, «ἂς προσερχώμαστε μὲ εἰλικρινῆ καρδιά»; Δηλαδή, χωρὶς ὑποκρισία· «γιατὶ ἀλλοίμονο στὴ δειλὴ καρδιὰ καὶ στὰ χέρια ποὺ ἀμελοῦν νὰ κάνουν κάτι»[10].

Νὰ μὴν ὑπάρχη μεταξύ σας κανένας ποὺ νὰ λέγη ψέματα· οὔτε ἄλλα νὰ λέμε, κι' ἄλλα νὰ σκεπτώμαστε· διότι αὐτὸ εἶναι ψέμα· οὔτε νὰ ὀλιγοψυχοῦμε· διότι ἡ ὀλιγοψυχία δὲν εἶναι γνώρισμα εἰλικρινοῦς καρδιᾶς· πράγματι ἡ ὀλιγοψυχία προέρχεται ἀπὸ τὴν ἀπιστία. Καὶ πῶς θὰ τὸ κατορθώσουμε; Ἐὰν ἀποκτήσουμε σταθερὴ πίστι. «Μὲ ραντισμένες τὶς καρδιές». Γιατί δὲν εἶπε, 'μὲ καθαρές', ἀλλὰ «μὲ ραντισμένες»; Ἐπειδὴ θέλει νὰ δείξη τὴ διαφορὰ τῶν ραντισμάτων καὶ ὅτι τὸ ἕνα γίνεται ἀπὸ τὸν Θεό, ἐνῶ τὸ ἄλλο ἀπὸ μᾶς. Πράγματι τὸ λούσιμο καὶ ὁ καθαρισμὸς τῆς συνειδήσεως εἶναι ἔργο τοῦ Θεοῦ, ἐνῶ ἡ προσέλευσις μὲ εἰλικρινῆ καὶ σταθερὴ πίστι εἶναι ἔργο δικό μας. Ἔπειτα ἐνδυναμώνει καὶ τὴν πίστι προβάλλοντας τὸ ἀληθὲς ἐκείνου ποὺ δίνει τὶς ὑποσχέσεις. Τί σημαίνει, «καὶ ἔχοντας λουσμένο τὸ σῶμα μὲ νερὸ καθαρό»; Ἔχει δηλαδὴ τὴ δύναμι νὰ καθαρίζη τοὺς ἀνθρώπους, ἢ ὅτι τὸ νερὸ δὲν ἔχει αἷμα.

Ἔπειτα προσθέτει τὸ τέλειο, τὴν ἀγάπη. «Μὴν ἀμελῆτε», λέγει, «τὶς συναθροίσεις σας στὸν ἴδιο χῶρο, πρᾶγμα ποὺ μερικοί», λέγει, «κάμνουν, καὶ καταστρέφουν τὴν ἑνότητα τῶν συνάξεων»·

«Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά». «Ἀλλὰ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης». Τί ἐστι, «κατανοῶμεν ἀλλήλους»; Οἷον, εἴ τις ἐνάρετος, τοῦτον μιμώμεθα, βλέπωμεν εἰς αὐτόν, ὥστε ἀγαπᾶν καὶ ἀγαπᾶσθαι· ἀπὸ γὰρ τῆς 5 *ἀγάπης τὰ καλὰ ἔργα γίνονται.*

2. *Μέγα ἀγαθὸν ἡ σύνοδος· αὕτη γὰρ αὐτὴν θερμοτέραν ἐργάζεται, καὶ ἐξ αὐτῆς πάντα τίκτεται τὰ ἀγαθά· οὐδὲν γάρ ἐστιν ἀγαθόν, ὃ μὴ δι' ἀγάπης γίνεται. Ταύτην οὖν κυρώσωμεν εἰς ἀλλήλους· «πλήρωμα γὰρ νόμου ἐστὶν ἡ ἀγάπη». Οὐ δεῖ πόνων ἡμῖν, οὐδὲ* 10 *ἱδρώτων, ἐὰν ἀγαπῶμεν ἀλλήλους· αὐτόματός τί ἐστιν ὁδὸς φέρουσα πρὸς τὴν ἀρετήν. Καθάπερ γὰρ ἐπὶ τῆς λεωφόρου, ἐάν τις εὕρῃ τὴν ἀρχήν, ὁδηγεῖται ὑπ' αὐτῆς, καὶ οὐ δεῖται χειραγωγοῦ, οὕτω καὶ ἐπὶ τῆς ἀγάπης, μόνον ἐπιλαβοῦ τῆς ἀρχῆς, καὶ εὐθέως χειραγωγῇ ὑπ' αὐτῆς καὶ εὐθύνῃ. «Ἡ ἀγάπη», φησί, «μακροθυμεῖ,* 15 *χρηστεύεται, οὐ λογίζεται τὸ κακόν». Ἐὰν ἐννοήσῃ τις αὐτὸς ἑαυτόν, πῶς διάκειται πρὸς ἑαυτόν, καὶ οὕτω πρὸς τὸν πλησίον διακείσθω. Οὐδεὶς φθονεῖ ἑαυτῷ, πάντα ἑαυτῷ εὔχεται τὰ ἀγαθά, πάντων ἑαυτὸν προτιμᾷ, πάντα ὑπὲρ ἑαυτοῦ βούλεται ποιεῖν. Εἰ τοίνυν καὶ πρὸς τοὺς ἄλλους οὕτω διακεώμεθα, πάντα λέλυται τὰ* 20 *δεινά, οὐκ εἰσιν ἔχθραι, οὐκ ἔστι πλεονεξία· τίς γὰρ ἂν ἕλοιτο πλεονεκτῆσαι ἑαυτῷ; Οὐδείς· ἀλλὰ μᾶλλον πᾶν τοὐναντίον.*

Οὐκοῦν κοινὰ πάντα κτησώμεθα, καὶ μὴ παυσώμεθα συνάγοντες ἑαυτούς· κἂν τοῦτο ποιῶμεν, μνησικακία χώραν οὐκ ἂν ἔχοι· τίς γὰρ ἕλοιτο ἂν ἑαυτῷ μνησικακεῖν; τίς ἂν ἕλοιτο ἑαυτῷ ὀρ- 25 *γίζεσθαι; οὐχὶ μάλιστα πάντων ἑαυτοῖς συγγινώσκομεν; Ἐὰν οὕτω καὶ πρὸς τοὺς πλησίον διακεώμεθα, οὐδέποτε ἔσται μνησικακία. Καὶ πῶς δυνατόν, φησί, τὸν πλησίον οὕτως ἀγαπῆσαι, ὡς αὐτὸς ἑαυτόν; Εἰ μὴ ἐποίησαν τοῦτο ἕτεροι, καλῶς ἀδύνατον εἶναι τοῦτο*

11. Παρμ. 18,19.
12. Ρωμ. 13,10.
13. Α' Κορ. 13,4.

αὐτὸ τοὺς τὸ ἀπαγορεύει. «Διότι ὅταν ὁ ἀδελφὸς βοηθῆται μὲ ἀγάπη ἀπὸ τὸν ἀδελφό του, εἶναι σὰν ὀχυρωμένη καὶ ἀπόρθητη πόλις»[11]. Ἀλλὰ «ἂς προσέχουμε ὁ ἕνας τὸν ἄλλο, ὥστε νὰ προτρεπώμαστε πρὸς τὴν ἀγάπη». Τί σημαίνει, «κατανοῶμεν ἀλλήλους»; Ἐὰν δηλαδὴ κάποιος εἶναι ἐνάρετος, ἂς τὸν μιμηθοῦμε, ἂς στρέψουμε τὴν προσοχή μας πρὸς αὐτόν, ὥστε καὶ νὰ τὸν ἀγαποῦμε καὶ νὰ μᾶς ἀγαπᾶ· διότι τὰ καλὰ ἔργα εἶναι καρπὸς τῆς ἀγάπης.

2. Εἶναι μεγάλο ἀγαθὸ ἡ σύναξις τῶν πιστῶν· διότι αὐτὴ κάμνει τὴν ἀγάπη θερμότερη, καὶ ἀπὸ αὐτὴν προέρχονται ὅλα τὰ ἀγαθά· πράγματι δὲν ὑπάρχει ἀγαθό, ποὺ νὰ μὴν πηγάζη ἀπὸ τὴν ἀγάπη. Αὐτὴν λοιπὸν ἂς τὴν ἰσχυροποιήσουμε μεταξύ μας· «διότι ἡ ἀγάπη εἶναι ἡ ἐκπλήρωσις τοῦ νόμου»[12]. Δὲν χρειάζεται νὰ κοπιάζουμε, οὔτε νὰ ἱδρώνουμε, ἐὰν ἀγαπᾶμε ὁ ἕνας τὸν ἄλλο· διότι ἡ ἀγάπη εἶναι ἡ ὁδὸς ποὺ μᾶς ὁδηγεῖ ἀπὸ μόνη της στὴν ἀρετή. Ὅπως ἀκριβῶς δηλαδὴ στὴν περίπτωσι τῆς λεωφόρου, ἐὰν κάποιος βρῆ τὴν ἀρχή της, ὁδηγεῖται ἀπ' αὐτὴν καὶ δὲν χρειάζεται ὁδηγό· ἔτσι καὶ μὲ τὴν ἀγάπη, βρὲς μόνο τὴν ἀρχή της, καὶ ἀμέσως θὰ χειραγωγηθῆς καὶ θὰ ὁδηγηθῆς σωστὰ ἀπ' αὐτήν. «Ἡ ἀγάπη», λέγει, «δείχνει μακροθυμία, εἶναι εὐεργετικὴ καὶ ὠφέλιμη, δὲν σκέπτεται τὸ κακὸ ποὺ ἔπαθε»[13]. Ἐὰν κάποιος ἐξετάση τὸν ἑαυτό του καὶ κατανοήση πῶς συμπεριφέρεται στὸν ἑαυτό του, μὲ τὸν ἴδιο τρόπο ἂς συμπεριφέρεται καὶ πρὸς τὸν πλησίον του. Κανεὶς δὲν φθονεῖ τὸν ἑαυτό του· τοῦ εὔχεται ὅλα τὰ ἀγαθά, τὸν προτιμᾶ ἀπὸ ὅλους, ὅλα θέλει νὰ τὰ κάμνη χάριν τοῦ ἑαυτοῦ του. Ἐὰν λοιπὸν συμπεριφερθοῦμε ἔτσι καὶ πρὸς τοὺς ἄλλους, θὰ ἐκλείψουν ὅλα τὰ δεινά, δὲν θὰ ὑπάρχουν ἔχθρες, οὔτε πλεονεξία· διότι ποιός θὰ προτιμοῦσε τὴν πλεονεξία σὲ βάρος τοῦ ἑαυτοῦ του; Κανείς· ἀλλὰ μᾶλλον θὰ ἤθελε ὁ,τιδήποτε τὸ ἀντίθετο.

Λοιπὸν ἀπὸ κοινοῦ ἂς τὰ ἀποκτήσουμε ὅλα, κι' ἂς μὴν παύσουμε νὰ συναθροιζώμαστε· ἂν τὸ κάμνουμε αὐτό, ἡ μνησικακία δὲν θὰ ἔχη θέσι ἀνάμεσά μας· διότι ποιός θὰ προτιμοῦσε νὰ ἐκδικῆται τὸν ἑαυτό του; ποιός θὰ προτιμοῦσε νὰ ὀργίζεται κατὰ τοῦ ἑαυτοῦ του; Δὲν συγχωροῦμε περισσότερο ἀπὸ ὅλους τὸν ἑαυτό μας; Ἐὰν συμπεριφερώμαστε ἔτσι καὶ πρὸς τοὺς πλησίον μας, ποτὲ δὲν θὰ ὑπάρξη μνησικακία. Καὶ πῶς εἶναι δυνατό, λέγει, ν' ἀγαπήσης τὸν πλησίον σου, ὅπως τὸν ἑαυτό σου; Ἐὰν δὲν τὸ κατώρθωναν ἄλ-

νομίζεις· εἰ δὲ ἐποίησαν, δῆλον ὅτι διὰ ῥᾳθυμίαν παρ' ἡμῶν οὐ γίνεται. Ἄλλως δέ, οὐδὲν ἀδύνατον ἐπιτάττει ὁ Χριστός, ὅπου γε πολλοὶ καὶ ὑπερέβησαν αὐτοῦ τὰ προστάγματα. Τίς οὖν ἐποίησε τοῦτο; Ὁ Παῦλος, ὁ Πέτρος, πᾶς ὁ τῶν ἁγίων χορός. Ἀλλ' ἐὰν μὲν
5 *εἴπω ὅτι τοὺς πλησίον ἠγάπησαν, οὐδὲν μέγα ἐρῶ· τοὺς ἐχθροὺς οὕτως ἠγάπησαν, ὡς οὐκ ἄν τις ἀγαπήσειε τοὺς ὁμοψύχους. Τίς γὰρ ἂν ἕλοιτο ἡμῶν ὑπὲρ τῶν ὁμοψύχων εἰς γέενναν ἀπελθεῖν, μέλλων εἰς βασιλείαν ἀπιέναι; Οὐδείς· ἀλλὰ ὁ Παῦλος ὑπὲρ τῶν ἐχθρῶν τοῦτο εἵλετο, τῶν λιθασάντων αὐτόν, τῶν μαστιξάντων.*

10 *Ποία οὖν ἡμῖν ἔσται συγγνώμη, τίς παραίτησις, εἰ μηδὲ τὸ πολλοστὸν μέρος τῆς ἀγάπης, ἧς ἐπεδείξατο περὶ τοὺς ἐχθροὺς ὁ Παῦλος, ἡμεῖς περὶ τοὺς φίλους ἐπιδειξαίμεθα; Καὶ ὁ μακάριος δὲ Μωϋσῆς πρὸ τούτου ὑπὲρ τῶν ἐχθρῶν ἠθέλησε τῶν λιθασάντων αὐτὸν ἐξαλειφθῆναι τῆς βίβλου τοῦ Θεοῦ· καὶ ὁ Δαυΐδ τοὺς ἀντι-*
15 *στάντας αὐτῷ ὁρῶν ἀναιρουμένους, φησίν· «ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ οὗτοι τί ἐποίησαν;». Καὶ τὸν Σαοὺλ εἰς χεῖρας λαβών, ἀνελεῖν οὐκ ἠβουλήθη, ἀλλὰ διέσωζε, καὶ ταῦτα μέλλων αὐτὸς κινδυνεύειν. Εἰ δὲ ἐν τῇ Παλαιᾷ ταῦτα, τίνα συγγνώμην ἕξομεν ἡμεῖς οἱ ἐν τῇ Καινῇ πολιτευόμενοι καὶ μηδὲ πρὸς τὸ αὐτὸ ἐκείνοις φθάνον-*
20 *τες μέτρον; Εἰ γάρ, «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ἡμῶν πλέον τῶν Φαρισαίων καὶ Γραμματέων», οὐκ εἰσελευσόμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅταν καὶ ἔλαττον ἐκείνων ἔχωμεν, πῶς εἰσελευσόμεθα;*

«Ἀγαπᾶτε», φησί, «τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἔσεσθε ὅμοιοι
25 *τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς». Ἀγάπησον τοίνυν ἐχθρόν· οὐ γὰρ ἐκεῖνον εὐεργετεῖς, ἀλλὰ σαυτόν. Πῶς; Ἴσος γίνῃ τοῦτο ποιῶν τῷ Θεῷ. Ἐκεῖνος ἐὰν ἀγαπηθῇ παρὰ σοῦ, οὐδὲν μέγα ἐκέρδανε· παρὰ γὰρ ὁμοδούλου ἠγαπήθη· σὺ δὲ ἐὰν ἀγαπήσῃς τὸν ὁμόδουλον, μέγα ἐκέρδανας· γίνῃ γὰρ ὅμοιος τῷ Θεῷ. Ὁρᾷς ὅτι οὐκ ἐκείνῳ*
30 *χαρίζῃ, ἀλλὰ σαυτῷ; Τὸ γὰρ ἔπαθλον οὐκ ἐκείνῳ τίθησιν, ἀλλὰ*

14. Β' Βασ. 24,17.
15. Ματθ. 5,20.
16. Ματθ. 5,44-45.

λοι, δικαιολογημένα θὰ τὸ θεωροῦσες ἀδύνατο· ἐφ' ὅσον ὅμως τὸ κατώρθωσαν, εἶναι φανερὸ ὅτι ἐξ αἰτίας τῆς ραθυμίας μας ἐμεῖς δὲ τὸ κατορθώνουμε. Ἄλλωστε, τίποτε ἀδύνατο δὲν παραγγέλλει ὁ Χριστός, μάλιστα πολλοὶ καὶ ξεπέρασαν τὰ προστάγματά του. Ποιός λοιπὸν τὸ ἔκανε αὐτό; Ὁ Παῦλος, ὁ Πέτρος, ὅλος ὁ χορὸς τῶν ἁγίων. Ἀλλά, ἐὰν πῶ, ὅτι ἀγάπησαν τοὺς πλησίον τους, δὲν θὰ πῶ τίποτε σπουδαῖο· τόσο ἀγάπησαν τοὺς ἐχθρούς τους, ὅσο δὲν θὰ ἀγαποῦσε ἄλλος τοὺς φίλους του. Διότι ποιός ἀπὸ ἐμᾶς θὰ προτιμοῦσε νὰ ὁδηγηθῇ στὴ γέεννα χάριν τῶν φίλων του, ἐνῶ ἐπρόκειτο νὰ μπῇ στὴ βασιλεία τῶν οὐρανῶν; Κανείς. Ὁ Παῦλος ὅμως τὸ προτίμησε χάριν τῶν ἐχθρῶν του, χάριν ἐκείνων ποὺ τὸν λιθοβόλησαν, ποὺ τὸν μαστίγωσαν.

Ποιά συγγνώμη θὰ ἔχουμε, ποιά χάρι, ἐὰν οὔτε τὸ ἐλάχιστο μέρος τῆς ἀγάπης ἐκείνης, ποὺ ἔδειξε ὁ Παῦλος πρὸς τοὺς ἐχθρούς του, δὲν δείξωμε ἐμεῖς πρὸς τοὺς φίλους μας; Ἀλλὰ καὶ ὁ μακάριος Μωϋσῆς πρὶν ἀπὸ τὸν Παῦλο θέλησε ὑπὲρ τῶν ἐχθρῶν του ἐκείνων, ποὺ τὸν λιθοβόλησαν, νὰ σβησθῇ τὸ ὄνομά του ἀπὸ τὸ βιβλίο τοῦ Θεοῦ. Ἐπίσης καὶ ὁ Δαυΐδ βλέποντας νὰ σκοτώνωνται ἐκεῖνοι ποὺ τοῦ ἀντιστάθηκαν, λέγει· «ἐγὼ ὁ ποιμένας ἁμάρτησα· αὐτοὶ τί ἔφταιξαν;»[14]. Καὶ τὸν Σαούλ, ἂν καὶ τὸν συνέλαβε αἰχμάλωτο, δὲν θέλησε νὰ τὸν φονεύσῃ, ἀλλὰ τὸν ἔσωσε, καὶ ὅλα αὐτὰ ἂν καὶ ἐπρόκειτο νὰ κινδυνεύσῃ ὁ ἴδιος. Ἐὰν λοιπὸν αὐτὰ συνέβαιναν στὴν Παλαιὰ Διαθήκη, ποιά συγγνώμη θὰ ἔχουμε ἐμεῖς ποὺ ζοῦμε στὴν ἐποχὴ τῆς Καινῆς Διαθήκης καὶ δὲν μποροῦμε οὔτε στὸ μέτρο ἐκείνων νὰ φθάσουμε; Ἐὰν δηλαδή, «ἐφ' ὅσον ἡ δικαιοσύνη μας δὲν γίνη κατὰ πολὺ περισσότερη ἀπὸ τῶν Γραμματέων καὶ Φαρισαίων»[15], δὲν θὰ εἰσέλθουμε στὴ βασιλεία τῶν οὐρανῶν, ὅταν ἔχουμε καὶ λιγώτερη ἀπὸ τὴν δική τους, πῶς θὰ εἰσέλθουμε;

Ἀγαπᾶτε», λέγει, «τοὺς ἐχθρούς σας, καὶ θὰ γίνετε ὅμοιοι μὲ τὸν οὐράνιο Πατέρα σας»[16]. Ἀγάπησε λοιπὸν τὸν ἐχθρό· διότι ἀγαπώντας τον δὲν εὐεργετεῖς ἐκεῖνον, ἀλλὰ τὸν ἑαυτό σου. Πῶς; Κάμνοντάς το αὐτὸ γίνεσαι ἴσος μὲ τὸν Θεό. Ἐκεῖνος ἐὰν ἀγαπηθῇ ἀπὸ ἐσένα, δὲν κέρδισε τίποτε σπουδαῖο· διότι ἀγαπήθηκε ἀπὸ ἕναν ὁμόδουλο· ἐνῶ σύ, ἐὰν ἀγαπήσῃς τὸν ὁμόδουλό σου, θὰ ἔχῃς μεγάλο κέρδος· γιατὶ θὰ γίνῃς ὅμοιος μὲ τὸν Θεό. Βλέπεις ὅτι δὲν χαρίζεσαι σ' ἐκεῖνον, ἀλλὰ στὸν ἑαυτό σου; Διότι τὸ ἔπαθλο δὲν τὸ δίνει

σοί. Τί οὖν, ἐὰν ᾖ πονηρός, φησί; Τοσούτῳ μείζων ὁ μισθός· καὶ τῆς πονηρίας ὀφείλεις αὐτῷ χάριν εἰδέναι, κἂν μυρία εὐεργετούμενος κακὸς ᾖ. Εἰ μὴ γὰρ σφόδρα κακὸς ἦν, οὐκ ἂν σοι σφόδρα ὁ μισθὸς ηὐξήθη. Ὥστε ἡ αἰτία τοῦ μὴ ἀγαπᾶν, τὸ λέγειν ὅτι πονηρός 5 ἐστιν, αὕτη αἰτία ἐστὶ τοῦ ἀγαπᾶν. Ἆρον τὸν ἀνταγωνιστήν, καὶ ἀναιρεῖς τῶν στεφάνων τὴν ἀφορμήν.

Οὐχ ὁρᾷς τοὺς ἀθλητάς, πῶς θυλάκους ἄμμου πληρώσαντες, οὕτω γυμνάζονται; Σοὶ δὲ οὐ χρεία ἐπιτηδεῦσαι τοῦτο· γέμει ὁ βίος τῶν γυμναζόντων σε, καὶ ποιούντων ἰσχυρόν. Οὐχ ὁρᾷς ὅτι καὶ τὰ 10 δένδρα ὅσῳ ἂν ὑπὸ ἀνέμων ριπίζηται, τοσούτῳ μᾶλλον ἰσχυρότερα γίνεται καὶ πυκνότερα; Καὶ ἡμεῖς τοίνυν, ἂν ὦμεν μακρόθυμοι, καὶ ἰσχυροὶ ἐσόμεθα· «ἀνὴρ» γάρ, φησί, «μακρόθυμος, πολὺς ἐν φρονήσει»· «ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων». Ὁρᾷς ὅσον τούτου τὸ ἐγκώμιον; ὁρᾷς ὅσον ἐκείνου τὸ κατηγόρημα; Ἰσχυρῶς ἄφρων, 15 τουτέστι, πάνυ.

Μὴ τοίνυν μικροψυχῶμεν πρὸς ἀλλήλους· οὐ γὰρ ἀπὸ τῆς ἔχθρας γίνεται τοῦτο, ἀλλ' ἀπὸ τοῦ ψυχὴν μικρὰν ἔχειν· ὡς ἐὰν ᾖ ἰσχυρά, πάντα οἴσει ῥᾳδίως, καὶ οὐδὲν αὐτὴν καταποντίσαι δυνήσεται, ἀλλ' εἰς τοὺς εὐδιεινοὺς ἀπάξει λιμένας· ὧν γένοιτο πάντας 20 ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

17. Παρμ. 14,29.

σ' ἐκεῖνον, ἀλλὰ σὲ σένα. Τί νὰ κάνω ὅμως, λέγει, ἐὰν εἶναι κακός; Τόσο μεγαλύτερος θὰ εἶναι ὁ μισθός· καὶ ἐξ αἰτίας τῆς κακίας του πρέπει νὰ τὸν εὐγνωμονῆς, κι' ἂν ἀκόμη, παρὰ τὶς πολλές σου εὐεργεσίες, παραμένη κακός. Διότι, ἐὰν δὲν ἦταν ὑπερβολικὰ κακός, δὲν θὰ εἶχε αὐξηθῆ τόσο πολὺ ὁ μισθός σου. Ὥστε ἡ αἰτία τοῦ νὰ μὴν τὸν ἀγαπᾶς, μὲ τὴν δικαιολογία ὅτι εἶναι κακός, αὐτὴ ἀκριβῶς εἶναι ἡ αἰτία τοῦ νὰ τὸν ἀγαπᾶς. Ἀπομάκρυνε τὸν ἀνταγωνιστή, καὶ θὰ ἀπομακρύνης τὴν ἀφορμὴ τῶν στεφάνων.

Δὲν βλέπεις τοὺς ἀθλητὲς πῶς γυμνάζονται, γεμίζοντας μικροὺς σάκκους μὲ ἄμμο; Ἐσὺ ὅμως δὲν χρειάζεσαι μιὰ τέτοια ἐξάσκησι· εἶναι γεμάτη ἡ ζωὴ ἀπὸ αὐτοὺς ποὺ θὰ σὲ γυμνάσουν καὶ θὰ σὲ κάνουν ἰσχυρό. Δὲν βλέπεις ὅτι καὶ τὰ δένδρα, ὅσο περισσότερο εἶναι ἐκτεθειμένα στὸν ἄνεμο, τόσο πιὸ ἰσχυρὰ καὶ πυκνὰ γίνονται; Καὶ ἐμεῖς λοιπόν, ἐὰν εἴμαστε μακρόθυμοι, θὰ γίνουμε καὶ ἰσχυροί· διότι λέγει, «ὁ μακρόθυμος ἄνθρωπος εἶναι πολὺ συνετός· ἐνῶ ὁ ὀλιγόψυχος εἶναι πολὺ ἀνόητος»[17]. Βλέπεις πόσο μεγάλο εἶναι τὸ ἐγκώμιο τοῦ μακρόθυμου; βλέπεις πόση εἶναι ἡ κατηγορία τοῦ ὀλιγόψυχου; «Ἰσχυρῶς ἀνόητος»· δηλαδή, τελείως ἀνόητος.

Ἂς μὴν εἴμαστε λοιπὸν μικρόψυχοι μεταξύ μας· καθόσον ἡ μικροψυχία δὲν προέρχεται ἀπὸ τὴν ἔχθρα, ἀλλὰ ἀπὸ τὸ ὅτι ἔχουμε μικρὴ ψυχή· διότι, ἐὰν ἡ ψυχὴ εἶναι δυνατή, ὅλα θὰ τὰ ὑπομείνη μὲ εὐκολία καὶ τίποτε δὲν θὰ μπορέση νὰ τὴν καταποντίση, ἀλλὰ θὰ τὴν ὁδηγήση στὰ γαλήνια λιμάνια, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Κ'

(Ἑβρ. 10,26–31)

«Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους».

5 *1. Τῶν δένδρων ὅσαπερ ἂν φυτευθέντα, καὶ χειρῶν γεωργικῶν καὶ τῆς ἄλλης ἐπιμελείας ἀπολαύσαντα, μηδεμίαν παρέχηται τῶν πόνων ἀμοιβήν, πρόρριζα ἀνασπασθέντα τῷ πυρὶ παραδίδοται. Τοιοῦτον δή τι καὶ ἐπὶ τοῦ φωτίσματος γίνεται. Ἐπειδὰν γὰρ ἡμᾶς ὁ Χριστὸς φυτεύσῃ καὶ τῆς ἀρδείας ἀπολαύσωμεν τῆς πνευματι-*
10 *κῆς, εἶτα βίον ἄκαρπον ἐπιδειξώμεθα, πῦρ ἡμᾶς ἀναμένει τὸ τῆς γεέννης καὶ φλὸξ ἄσβεστος. Ὁ τοίνυν Παῦλος παρακαλέσας εἰς ἀγάπην καὶ καρποφορίαν ἔργων ἀγαθῶν, προτρέψας τε ἀπὸ τῶν χρηστοτέρων (ποίων δὴ τούτων; ὅτι «εἴσοδον ἔχομεν εἰς τὰ ἅγια, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον»), καὶ ἀπὸ τῶν σκυθρωποτέ-*
15 *ρων πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖ, οὕτω λέγων. Εἰπὼν γάρ· «μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν» (καὶ αὕτη γὰρ εἰς παράκλησιν ἱκανή)· ἐπήγαγεν· «ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς*
20 *ἀληθείας». Δεῖ, φησίν, ἔργων ἀγαθῶν καὶ σφόδρα δεῖ. «Ἑκουσίως γὰρ ἡμῶν ἁμαρτανόντων μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀλη-*

ΟΜΙΛΙΑ Κ΄

(Ἑβρ. 10,26–31)

«Ὅταν μὲ τὴ θέλησί μας ἁμαρτάνουμε, ἀφοῦ προηγουμένως γνωρίσαμε τὴν ἀλήθεια διὰ μέσου τοῦ κηρύγματος τοῦ Εὐαγγελίου, δὲν ἀπομένει πιὰ ἄλλη θυσία γιὰ τὴ συγχώρησι τῶν ἁμαρτιῶν μας, ἀλλὰ πρέπει νὰ περιμένουμε μὲ φόβο τὴν κρίσι καὶ τὴ φλόγα τῆς θεϊκῆς ἀγανακτήσεως, ποὺ πρόκειται νὰ κατατρώγη αὐτοὺς ποὺ ἐναντιώνονται στὸν Θεό».

1. Ἀπὸ τὰ δένδρα, ὅσα φυτεύθηκαν καὶ καλλιεργήθηκαν καὶ φροντίσθηκαν ἀπὸ τὰ χέρια τῶν γεωργῶν, ἂν δὲν τοὺς ἀνταμείψουν γιὰ τοὺς κόπους τους, ἀφοῦ ξερριζωθοῦν παραδίνονται στὴ φωτιά. Κάτι παρόμοιο συμβαίνει καὶ μὲ τὸν πνευματικὸ φωτισμό. Ἀφοῦ ὁ Χριστὸς μᾶς φυτεύση καὶ ἀπολαύσουμε τὸ πνευματικὸ ἄρδευμα, ἐὰν κατόπιν ἐπιδείξουμε ζωὴ ἄκαρπη, μᾶς περιμένει ἡ φωτιὰ τῆς κολάσεως καὶ ἡ φλόγα ἡ ἄσβεστη. Ὁ Παῦλος λοιπόν, ἀφοῦ μᾶς προέτρεψε πρὸς τὴν ἀγάπη καὶ τὴν καρποφορία τῶν ἀγαθῶν ἔργων, καὶ ἀφοῦ μᾶς παρακίνησε ἀρχίζοντας ἀπὸ τὰ καλύτερα (ποιά δηλαδὴ εἶναι αὐτά; Ὅτι θὰ εἰσέλθουμε στὰ ἀληθινὰ ἅγια, βαδίζοντας τὴ νέα ὁδὸ ποὺ ἐγκαινίασε γιὰ χάρι μας ὁ Χριστός), τὸ ἴδιο κάμνει πάλι καὶ μὲ τὰ πιὸ λυπηρὰ πράγματα, λέγοντας τὰ ἑξῆς. Ἀφοῦ εἶπε, «μὴν παραμελῆτε τὴ σύναξί σας, ὅπως συνηθίζουν νὰ κάνουν μερικοί, ἀλλὰ νὰ προτρέπετε ὁ ἕνας τὸν ἄλλο, καὶ τόσο περισσότερο μάλιστα, ὅσο βλέπετε νὰ πλησιάζη ἡ ἡμέρα ἐκείνη» (διότι καὶ αὐτὴ εἶναι ἱκανὴ νὰ σᾶς παρακινήση), πρόσθεσε· «ὅταν μὲ τὴν θέλησί μας ἁμαρτάνουμε, ἀφοῦ προηγουμένως γνωρίσαμε τὴν ἀλήθεια». Χρειάζονται, λέγει, ἔργα ἀγαθά, καὶ χρειάζονται πάρα πολύ· «ὅταν ἁμαρτάνουμε μὲ τὴ θέλησί μας, ἀφοῦ γνωρίσαμε καλὰ τὴ ἀληθεία, δὲν ἀπομένει πιὰ καμμιὰ θυσία γιὰ συγχώρησι τῶν ἁμαρτιῶν μας».

θείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. Ἐκαθάρθης, ἀπηλλάγης ἐγκλημάτων, γέγονας υἱός. Ἂν τοίνυν ἐπὶ τὸν πρότερον ἔμετον ἐπιστρέψῃς, πάλιν ἀποκήρυξις μένει καὶ πῦρ, καὶ ὅσα τοιαῦτα· οὐ γάρ ἐστι θυσία δευτέρα.

Πάλιν ἐνταῦθα ἡμῖν ἐπιφύονται οἱ τὴν μετάνοιαν ἀναιροῦντες, καὶ ὅσοι πρὸς τὸ βάπτισμα ὀκνοῦσιν ἐλθεῖν· ἐκεῖνοι μὲν λέγοντες, ὅτι οὐκ ἀσφαλὲς αὐτοῖς τῷ βαπτίσματι προσελθεῖν, εἴ γε οὐκ ἔστιν ἄφεσις δευτέρα· οὗτοι δὲ φάσκοντες, οὐκ ἀσφαλὲς εἶναι μεταδοῦναι μυστηρίων τοῖς ἡμαρτηκόσιν, εἴ γε μὴ ἔστιν ἄφεσις δευτέρα. Τί οὖν πρὸς ἀμφοτέρους ἐροῦμεν; Ὅτι οὐ σκοπῷ τοιούτῳ ἐνταῦθα τοῦτό φησι, οὐδὲ τὴν μετάνοιαν ἀναιρεῖ, ἢ τὸν διὰ μετανοίας ἐξιλασμόν, οὐδὲ ὠθεῖ καὶ καταβάλλει διὰ τῆς ἀπογνώσεως τὸν ἐπταικότα· οὐχ οὕτως ἐχθρός ἐστι τῆς σωτηρίας τῆς ἡμετέρας· ἀλλὰ τί; Τὸ δεύτερον ἀναιρεῖ λουτρόν. Οὐ γὰρ εἶπεν, 'οὐκέτι ἐστὶ μετάνοια', οὐδέ, 'οὐκέτι ἐστὶν ἄφεσις', ἀλλά, «θυσία οὐκέτι ἐστί», τουτέστι, σταυρὸς δεύτερος οὐκέτι ἐστί· θυσίαν γὰρ τοῦτο καλεῖ. «Μιᾷ γὰρ θυσίᾳ», φησί, «τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους»· οὐχ ὥσπερ τὰ ἰουδαϊκά, οὐδὲ πολλάκις. Διὰ γὰρ τοῦτο τοσαῦτα ἄνω καὶ κάτω διελέχθη περὶ τῆς θυσίας, ὅτι μία καὶ μία, οὐ τοῦτο μόνον βουλόμενος δηλῶσαι, ὅτι διενήνοχε ἰουδαϊκῶν τούτῳ, ἀλλὰ καὶ ἀσφαλεστέρους ποιῆσαι, ὥστε μηκέτι προσδοκᾶν κατὰ τὸν ἰουδαϊκὸν νόμον ἄλλην θυσίαν.

«Ἑκουσίως» γάρ, φησίν, «ἁμαρτανόντων ἡμῶν». Ὁρᾷς πῶς συγγνωμονικός ἐστιν; «Ἑκουσίως», φησίν, «ἁμαρτανόντων ἡμῶν». Ὥστε τοῖς ἀκουσίως συγγνώμη ἐστί. «Μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας». Ἤτοι τοῦ Χριστοῦ φησιν, ἢ τῶν δογμάτων ἁπάντων. «Οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία». Ἀλλὰ τί; «Φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους». «Ὑπεναντίους» οὐ τοὺς ἀπίστους μόνον φησίν, ἀλλὰ καὶ τοὺς ἐναντία πράττοντας τῇ ἀρετῇ· ἢ ὅτι καὶ τοὺς

Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἔχεις καθαρισθῆ, ἔχεις ἀπαλλαγῆ ἀπὸ τὰ ἐγκλήματα, ἔχεις γίνει υἱός. Ἂν ὅμως ἐπιστρέψης στὸν προηγούμενο ἐμετό, πάλι σὲ περιμένει ἡ ἀποκήρυξις καὶ ἡ φωτιὰ καὶ τὰ παρόμοια· διότι δὲν ὑπάρχει δεύτερη θυσία.

Πάλι ἐδῶ μᾶς παρουσιάζονται ἐκεῖνοι ποὺ ἀπορρίπτουν τὴν μετάνοια, καὶ ὅσοι διστάζουν νὰ προσέλθουν στὸ βάπτισμα· ἐκεῖνοι προβάλλοντας τὴν δικαιολογία, ὅτι δὲν τοὺς παρέχει ἀσφάλεια ἡ προσέλευσίς τους στὸ βάπτισμα, ἐφ' ὅσον δὲν ὑπάρχει δεύτερη συγχώρησις· ἐνῶ αὐτοὶ λέγοντας, ὅτι εἶναι ἀνωφελὴς ἡ μετάδοσις τῶν μυστηρίων σ' ἐκείνους ποὺ ἔχουν ἁμαρτήσει, ἐφ' ὅσον δὲν ὑπάρχει δεύτερη συγχώρησις. Τί λοιπὸν θὰ ποῦμε καὶ πρὸς τοὺς δύο; Ὅτι δὲν τὸ λέγει ἐδῶ μ' αὐτὸν τὸν σκοπό, οὔτε τὴ μετάνοια ἀναιρεῖ ἢ τὴν ἐξιλέωσι διὰ τῆς μετανοίας, οὔτε ἀπωθεῖ καὶ ὁδηγεῖ τὸν ἔνοχο στὸν θάνατο διὰ τῆς ἀπογνώσεως· δὲν εἶναι ἐχθρὸς τῆς δικῆς μας σωτηρίας. Ἀλλὰ τί κάμνει; Καταργεῖ τὸ δεύτερο βάπτισμα. Διότι δὲν εἶπε, 'δὲν ὑπάρχει πιὰ μετάνοια', οὔτε, 'δὲν ὑπάρχει πιὰ ἄφεσις', ἀλλά, «δὲν ὑπάρχει πιὰ ἄλλη θυσία», δηλαδή, δεύτερος σταυρὸς δὲν ὑπάρχει πιά· διότι αὐτὸ ἀποκαλεῖ «θυσία». «Μὲ μία θυσία», λέγει, «ἔκανε τέλειους γιὰ πάντα ἐκείνους ποὺ ἁγιάζονται»· ὄχι ὅπως συνέβαινε μὲ τὶς ἰουδαϊκὲς θυσίες, οὔτε πολλὲς φορές. Γι' αὐτὸν ἀκριβῶς τὸν λόγο εἶπε τόσα πολλὰ γιὰ τὸ θέμα τῆς θυσίας προηγουμένως καὶ μετά, ὅτι εἶναι μία καὶ μοναδική, ὄχι μόνο διότι ἤθελε νὰ φανερώση αὐτό, ὅτι διέφερε αὐτὴ ἡ θυσία ἀπὸ τὶς ἰουδαϊκές, ἀλλὰ καὶ γιὰ νὰ κάνη ἀσφαλέστερους τοὺς ἀνθρώπους, ὥστε νὰ μὴν περιμένουν σύμφωνα μὲ τὸν ἰουδαϊκο νόμο ἄλλη θυσία.

«Ὅταν μὲ τὴ θέλησί μας», λέγει, «ἁμαρτάνουμε». Βλέπεις πόσο πρόθυμος εἶναι στὸ νὰ συγχωρῆ; «Ὅταν», λέγει, «μὲ τὴ θέλησί μας ἁμαρτάνουμε». Ὥστε ὑπάρχει συγγνώμη γιὰ ἐκείνους ποὺ ἁμαρτάνουν ἀκούσια. «Ἀφοῦ γνωρίσαμε καλὰ τὴν ἀλήθεια». Ἢ ἐννοεῖ τὴν ἐπίγνωσι τοῦ Χριστοῦ, ἢ ὅλων τῶν δογμάτων. «Δὲν ἀπομένει ἄλλη θυσία γιὰ συγχώρησι τῶν ἁμαρτιῶν». Ἀλλὰ τί; «Μᾶς ἀναμένει φοβερὴ κρίσις καὶ τὸ σφοδρὸ πῦρ ποὺ πρόκειται νὰ κατατρώγη ἐκείνους ποὺ ἐναντιώνονται στὸ θέλημα τοῦ Θεοῦ». «Ὑπεναντίους» δὲν ὀνομάζει μόνο τοὺς ἀπίστους, ἀλλὰ καὶ αὐτοὺς ποὺ πράττουν ἀντίθετα πρὸς τὴν ἀρετή· ἢ ὅτι καὶ τοὺς Χριστιανοὺς τὸ ἴδιο πῦρ θὰ τοὺς κατατρώγη, ὅπως ἀκριβῶς καὶ τοὺς ἀπίστους.

οἰκείους τὸ αὐτὸ λήψεται πῦρ, ὅπερ καὶ τοὺς ὑπεναντίους. Εἶτα τὸ διαβρωτικὸν αὐτοῦ δηλῶν, ὥσπερ ἐψύχωσεν αὐτό, «πυρὸς ζῆλος, εἰπών, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους». Καθάπερ γὰρ θηρίον παροξυνόμενον καὶ σφόδρα χαλεπαῖνον καὶ ἐξηγριωμένον οὐκ ἂν
5 *παύσαιτο, ἕως ἂν λάβοι τινὰ καὶ καταφάγοι· οὕτω καὶ τὸ πῦρ ἐκεῖνο, καθάπερ τις ὑπὸ ζήλου κεντούμενος, ὧν ἂν ἐπιλάβηται, οὐκ ἀφίησιν, ἀλλὰ τρώγει καὶ διασπᾷ.*

Εἶτα καὶ τὸν λόγον ἐπάγει τῆς ἀπειλῆς, ὅτι εἰκότως, ὅτι δικαίως· ὅπερ εἰς πίστιν ἐστὶ συμβαλλόμενον, ὅταν δείξωμεν ὅτι δι-
10 *καίως γίνεται. «Ἀθετήσας» γάρ, φησί, «τίς νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει». «Χωρὶς οἰκτιρμῶν», φησίν. Ὥστε οὐδεμία συγγνώμη, οὐδεὶς ἔλεος ἐκεῖ· καίτοι γε Μωϋσέως ὁ νόμος ἐστί· τὰ γὰρ πολλὰ αὐτὸς διετάξατο. Τί ἐστιν, «ἐπὶ δυσὶν ἢ τρισίν»; Ἂν δύο καὶ τρεῖς μαρτυρήσωσι,*
15 *φησίν, εὐθέως τὴν δίκην ἔδοσαν. Εἰ τοίνυν ἐπὶ τῆς Παλαιᾶς, ἔνθα ὁ Μωϋσέως ἀθετεῖται νόμος, τοσαύτη τιμωρία, πόσῳ μᾶλλον ἐνταῦθα; Διὸ καὶ οὕτω φησί· «πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας;».*
20 *2. Καὶ πῶς καταπατεῖ τις τὸν Υἱὸν τοῦ Θεοῦ; Ὅταν ὁ μετέχων αὐτοῦ ἐν τοῖς μυστηρίοις ἁμαρτίαν ἐργάζηται, εἰπέ μοι, οὐχὶ κατεπάτησεν αὐτόν; οὐχὶ κατεφρόνησεν αὐτοῦ; Καθάπερ γὰρ τῶν καταπατουμένων οὐδένα λόγον ἔχομεν, οὕτω καὶ οἱ ἁμαρτάνοντες τοῦ Χριστοῦ οὐδένα λόγον ἔσχον, ὅθεν καὶ οὕτως ἥμαρτον. Γέγον-*
25 *τας σῶμα Χριστοῦ καὶ δίδως σαυτὸν τῷ διαβόλῳ, ὥστε καταπατεῖν σε; «Καὶ τὸ αἷμα», φησί, «κοινὸν ἡγησάμενος». «Κοινὸν» τί ἐστι; Τὸ ἀκάθαρτον, ἢ τὸ μηδὲν πλέον ἔχον τῶν λοιπῶν. «Καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας». Ὁ γὰρ τὴν εὐεργεσίαν μὴ παραδεχόμενος, ὕβρισε τὸν εὐεργετήσαντα. Ἐποίησέ σε υἱόν· σὺ δὲ θέλεις*
30 *γενέσθαι δοῦλος; ἦλθε κατασκηνῶσαι πρὸς σέ· σὺ δὲ ἐπεισάγεις*

1. Ἀριθμ. 35,30. Δευτ. 17,6.

Ἔπειτα γιὰ νὰ δηλώση τὴν ἀχορτασιὰ τῆς φωτιᾶς, σὰν νὰ πρόκειται γιὰ ἔμψυχο πρόσωπο, εἶπε, «τὸ σφοδρὸ πῦρ τῆς θείας ἀγανακτήσεως πρόκειται νὰ κατατρώγη αὐτοὺς ποὺ ἐναντιώνονται στὸ θέλημα τοῦ Θεοῦ». Διότι, ὅπως ἀκριβῶς ἕνα ἐρεθισμένο θηρίο καὶ ὑπερβολικὰ ὠργισμένο καὶ ἐξαγριωμένο δὲν θὰ ἔπαυε, μέχρι ποὺ νὰ συλλάβη κάποιον καὶ τὸν καταφάγη, ἔτσι καὶ τὸ πῦρ ἐκεῖνο, σὰν ἀκριβῶς κάποιος ποὺ ὑποκινεῖται ἀπὸ τὴ σφοδρὴ ἐπιθυμία του, δὲν ἀφήνει νὰ τοῦ ξεφύγουν αὐτὰ ποὺ ἅρπαξε, ἀλλὰ τὰ κατατρώγει καὶ τὰ ξεσχίζει.

Ἔπειτα παρουσιάζει καὶ τὸν λόγο τῆς ἀπειλῆς, ὅτι δηλαδὴ σωστά, ὅτι δίκαια γίνεται αὐτό, πρᾶγμα ποὺ συμβάλλει στὴν πίστι, ὅταν δείξουμε ὅτι δίκαια γίνεται αὐτό. Διότι λέγει, «ὅταν κανεὶς παραβῆ τὸν Μωσαϊκὸ νόμο καὶ τὴν παράβασι αὐτὴ τὴν βεβαιώσουν δύο ἢ τρεῖς μάρτυρες, ὁ παραβάτης θανατώνεται χωρὶς ἐπιείκεια»[1]. «Χωρὶς ἐπιείκεια», λέγει. Ὥστε δὲν ὑπάρχει καμμία συγγνώμη, καμμία εὐσπλαχνία ἐκεῖ· ἂν καὶ βέβαια ὁ νόμος εἶναι τοῦ Μωϋσῆ, διότι αὐτὸς συνέταξε τὶς περισσότερες διατάξεις. Τί σημαίνει, «δύο ἢ τρεῖς μάρτυρες»; Ἂν δύο καὶ τρεῖς μάρτυρες ἐπιβεβαιώσουν τὴν παράβασι, λέγει, ἀμέσως οἱ ἔνοχοι τιμωροῦνται. Ἐὰν λοιπὸν στὴν Παλαιὰ Διαθήκη, ὅπου ἀθετεῖται ὁ Μωσαϊκὸς νόμος, ὑπάρχει τόση μεγάλη τιμωρία, πόσο μᾶλλον ἐδῶ; Γι' αὐτὸ καὶ λέγει τὰ ἑξῆς· «πόση χειρότερη τιμωρία νομίζετε ὅτι θ' ἀξιωθῆ ἐκεῖνος ποὺ καταπάτησε τὸν Υἱὸ τοῦ Θεοῦ καὶ θεώρησε μολυσμένο τὸ αἷμα τῆς νέας Διαθήκης, καὶ ἐξύβρισε τὸ Πνεῦμα τῆς χάριτος;».

2. Καὶ πῶς καταπατεῖ κανεὶς τὸν Υἱὸ τοῦ Θεοῦ; Ὅταν αὐτὸς ποὺ μετέχει μαζί του στὰ μυστήρια ἐργάζεται τὴν ἁμαρτία, πές μου, δὲν τὸν καταπάτησε; δὲν τὸν περιφρόνησε; Διότι, ὅπως ἀκριβῶς ἐμεῖς δὲν ἐνδιαφερόμαστε γιὰ κανένα πρᾶγμα ποὺ ποδοπατοῦμε, ἔτσι καὶ αὐτοὶ ποὺ ἁμαρτάνουν δὲν δείχνουν κανένα ἐνδιαφέρον γιὰ τὸν Χριστό, γι' αὐτὸ καὶ ἁμάρτησαν μὲ τὸν τρόπο αὐτό. Ἔχεις γίνει σῶμα τοῦ Χριστοῦ, καὶ παραδίνεις τὸν ἑαυτό σου στὸν διάβολο, γιὰ νὰ σὲ ποδοπατῆ; «Καὶ τὸ αἷμα», λέγει, τοῦ Χριστοῦ «τὸ θεώρησες αἷμα κοινό». Τί σημαίνει, «κοινό»; Τὸ ἀκάθαρτο, ἢ ἐκεῖνο ποὺ δὲν ἔχει τίποτε περισσότερο ἀπὸ τὸ αἷμα τῶν ἄλλων ἀνθρώπων. «Καὶ ἐξύβρισες τὸ Πνεῦμα τῆς χάριτος». Διότι αὐτὸς ποὺ δὲν παραδέχεται τὴν εὐεργεσία, ὑβρίζει τὸν εὐεργέτη. Σὲ ἔκανε υἱό, καὶ σὺ θέ-

σαυτῷ πονηροὺς λογισμούς; Ὁ Χριστὸς ἠθέλησεν ἱδρυθῆναι πρὸς σέ, σὺ δὲ αὐτὸν καταπατεῖς διὰ τῆς κραιπάλης, διὰ τῆς μέθης; Ἀκούσωμεν οἱ ἀναξίως τῶν μυστηρίων μετέχοντες, ἀκούσωμεν οἱ ἀναξίως προσιόντες τῇ τραπέζῃ ἐπείνῃ· «μὴ δῶτε τὰ ἅγια», φησί, 5 «τοῖς κυσί, μήποτε καταπατήσωσιν ἐν τοῖς ποσὶν αὐτῶν»· τουτέστι, μή πως καταφρονήσωσι, μὴ διαπτύσωσιν. Ἀλλ' οὐκ εἶπε τοῦτο, ἀλλ' ὃ τούτου φοβερώτερον ἦν· ἀπὸ γὰρ τοῦ φοβεροῦ ἐπισφίγγει τὰς ψυχάς· ἱκανὸν γὰρ καὶ τοῦτο ἐπιστρέψαι παραμυθίας οὐχ ἧττον.

10 *Καὶ ὁμοῦ τε τὴν διαφορὰν δείκνυσι καὶ τὴν κόλασιν καὶ τὴν κρίσιν αὐτοῖς ἐφίστησιν, ἅτε τοῦ πράγματος ὄντος φανεροῦ. «Πόσῳ δοκεῖτε», φησί, «χείρονος ἀξιωθήσεται τιμωρίας;». Ἐνταῦθά μοι δοκεῖ καὶ περὶ τῶν μυστηρίων αἰνίττεσθαι. Εἶτα καὶ μαρτυρίαν ἐπάγει λέγων· «φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ 15 ζῶντος». Γέγραπται γάρ· «ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος»· καὶ πάλιν, «Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ». Ἐμπεσούμεθα, φησίν, εἰς χεῖρας Κυρίου, καὶ μὴ εἰς χεῖρας ἀνθρώπων. Ἀλλ' ἐὰν μὴ μετανοήσητε, εἰς χεῖρας Θεοῦ ἐμπεσεῖσθε· ἐκεῖνο φοβερόν· τοῦτο οὐδέν ἐστι τὸ εἰς χεῖρας ἀνθρώπων ἐμπεσεῖν. «Ὅταν ἴδω-20 μεν», φησί, «τινὰ κολαζόμενον ἐνταῦθα, μὴ φοβηθῶμεν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ φρίξωμεν ἐπὶ τοῖς μέλλουσι. Κατὰ γὰρ τὸ ἔλεος αὐτοῦ καὶ ἡ ὀργὴ αὐτοῦ, καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ». Ἅμα καὶ ἕτερόν τι αἰνίττεται ἐνταῦθα διὰ τοῦ εἰπεῖν· «ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω». Ἐπὶ τῶν ἐχθρῶν τοῦτο εἴρηται τῶν 25 κακῶς ποιούντων, οὐ τῶν κακῶς πασχόντων. Ἐνταῦθα καὶ παραμυθεῖται αὐτούς, μονονουχὶ λέγων· Μένει διαπαντὸς ὁ Θεὸς καὶ ζῇ· ὥστε, κἂν μὴ νῦν ἀπολάβωσιν, ὕστερον ἀπολήψονται. Ἐκείνους δεῖ στενάζειν, οὐχ ἡμᾶς· ἡμεῖς μὲν γὰρ εἰς τὰς ἐκείνων ἐμπεσούμεθα χεῖρας, ἐκεῖνοι δὲ εἰς τὰς τοῦ Θεοῦ. Οὐ γὰρ ὁ παθὼν πάσχει κα-30 κῶς, ἀλλ' ὁ ποιῶν· οὔτε ὁ εὐεργετούμενος εὐεργετήθη, ἀλλ' ὁ εὐεργετῶν.*

Ταῦτα οὖν εἰδότες, ἀνεξίκακοι ὦμεν περὶ τὸ πάσχειν κακῶς,

2. Ματθ. 7,6.
3. Ἐκκλ.. 5,1.

λεις νὰ γίνης δοῦλος; Ἦλθε νὰ κατασκηνώση σὲ σένα, καὶ σὺ εἰσάγεις μέσα σου λογισμοὺς πονηρούς; Ὁ Χριστὸς θέλησε νὰ ἐγκατασταθῆ μέσα σου, καὶ σὺ τὸν καταπατεῖς μὲ τὴν κραιπάλη καὶ τὴν μέθη; Ἂς τὰ ἀκούσουμε ὅσοι ἀναξίως μεταλαμβάνουμε τῶν μυστηρίων, ἂς τὰ ἀκούσουμε ὅσοι ἀναξίως πλησιάζουμε στὴν τράπεζα ἐκείνη. «Μὴ δώσετε», λέγει, «τὰ ἅγια στὰ σκυλιά, μήπως τὰ καταπατήσουν μὲ τὰ πόδια τους»[2]· δηλαδή, μήπως τὰ καταφρονήσουν, μήπως τὰ περιφρονήσουν. Ὅμως δὲν εἶπε αὐτό, ἀλλὰ ἐκεῖνο ποὺ ἦταν φοβερώτερο ἀπὸ αὐτό· διότι ἀπὸ τὸ φοβερὸ ἐπισφίγγει τὶς ψυχές· καθόσον καὶ αὐτὸ εἶναι ἱκανὸ νὰ ἐπιστρέψη ὄχι λιγώτερο ἀπὸ ὅτι οἱ προτροπές.

Καὶ συγχρόνως παρουσιάζει τὴν διαφορά, ἀναφέροντας καὶ τὴν τιμωρία καὶ τὴν κρίσι, σὰν νὰ εἶναι τὸ πρᾶγμα ὁλοφάνερο. «Πόση νομίζετε», λέγει, «χειροτέρη τιμωρία θ' ἀξιωθῆ;». Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπαινίσσεται καὶ τὰ μυστήρια. Ἔπειτα ἐπικαλεῖται καὶ μαρτυρία ποὺ λέγει· «εἶναι φοβερὸ τὸ νὰ πέση κανεὶς στὰ χέρια τοῦ ζωντανοῦ Θεοῦ». Διότι ἔχει γραφῆ· «σ' ἐμένα ἀνήκει ἡ ἐκδίκησις, ἐγὼ θ' ἀνταποδώσω, λέγει ὁ Κύριος»· καὶ πάλι, «ὁ Κύριος θὰ κρίνη τὸν λαό του». Θὰ πέσουμε, λέγει, στὰ χέρια τοῦ Κυρίου, καὶ ὄχι στὰ χέρια ἀνθρώπων. Ἀλλὰ ἐὰν δὲν μετανοήσετε θὰ πέσετε μέσα στὰ χέρια τοῦ ζωντανοῦ Θεοῦ· ἐκεῖνο εἶναι φοβερό· αὐτὸ δὲν εἶναι τίποτε, τὸ νὰ πέσετε στὰ χέρια ἀνθρώπων. «Ὅταν δοῦμε», λέγει, «κάποιον νὰ τιμωρῆται ἐδῶ, ἂς μὴ φοβηθοῦμε γιὰ τὰ παρόντα, ἀλλὰ ἂς φρίξουμε γιὰ ἐκεῖνα ποὺ θὰ συμβοῦν στὸ μέλλον. Διότι ἀνάλογη μὲ τὴν εὐσπλαχνία του εἶναι ἡ ὀργή του, καὶ ἐναντίον τῶν ἁμαρτωλῶν θὰ ξεσπάση ἡ ὀργή του»[3]. Συγχρόνως καὶ κάτι ἄλλο ὑπαινίσσεται ἐδῶ λέγοντας, «σὲ μένα ἀνήκει ἡ ἐκδίκησις, ἐγὼ θ' ἀνταποδώσω». Αὐτὸ ἔχει λεχθῆ γιὰ τοὺς ἐχθρούς, γιὰ ἐκείνους ποὺ κακοποιοῦν, καὶ ὄχι γι' αὐτοὺς ποὺ κακοποιοῦνται. Ἐδῶ καὶ τοὺς παρηγορεῖ μ' αὐτὸ ποὺ λέγει· ὁ Θεὸς μένει καὶ ζῆ αἰωνίως· ὥστε κι' ἂν τώρα οἱ κακοὶ δὲν τιμωροῦνται, ἀργότερα θὰ τιμωρηθοῦν. Ἐκεῖνοι πρέπει νὰ στενάζουν, ὄχι ἐμεῖς· διότι ἐμεῖς θὰ πέσουμε στὰ χέρια ἐκείνων, ἐνῶ ἐκεῖνοι στὰ χέρια τοῦ Θεοῦ. Καθόσον δὲν τιμωρεῖται ἐκεῖνος ποὺ κακοποιεῖται, ἀλλὰ αὐτὸς ποὺ κακοποιεῖ. Οὔτε ὁ εὐεργετούμενος εὐεργετήθηκε, ἀλλ' ὁ εὐεργέτης.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς εἴμαστε ἀνεξίκακοι ἀπέναντι

πρόχειροι περὶ τὸ εὐεργετεῖν. Τοῦτο δὲ ἔσται, ἂν χρημάτων καταφρονῶμεν καὶ δόξης· ὁ ταῦτα τὰ πάθη ἀποδυσάμενος, ἁπάντων ἀνθρώπων ἐστὶν ἐλευθερώτερος, καὶ αὐτοῦ τοῦ τὴν ἀλουργίδα περικειμένου εὐπορώτερος. Οὐχ ὁρᾷς ὅσα γίνεται κακὰ διὰ τὰ
5 *χρήματα; Οὐ λέγω ὅσα διὰ τὴν πλεονεξίαν, ἀλλ' ἐν τῇ προσπαθείᾳ τούτων· οἷόν τι λέγω· Ἂν ἀπολέσῃ τις χρήματα, παντὸς θανάτου χαλεπώτερον βίον ζῇ. Τί ἀλγεῖς, ἄνθρωπε; τί δακρύεις; Ὅτι σε τῆς περιττῆς φυλακῆς ἀπήλλαξεν ὁ Θεός; ὅτι οὐ κάθῃ τρέμων καὶ δεδοικώς; Εἶτα, ἂν μέν σέ τις προσδήσῃ θησαυρῷ, κελεύων δια-*
10 *παντὸς ἐκεῖ καθῆσθαι καὶ ἀγρυπνεῖν ὑπὲρ ἀλλοτρίων, ἀλγεῖς, δυσχεραίνεις· σὺ δὲ σαυτὸν προσδήσας δεσμοῖς χαλεπωτάτοις, ἐπειδὴ ἀπηλλάγης τῆς δουλείας, ἀλγεῖς; Ὄντως προλήψεώς εἰσιν αἱ λῦπαι καὶ αἱ εὐφροσύναι· καθάπερ γὰρ ἀλλότρια ἔχοντες, οὕτως αὐτὰ τηροῦμεν.*

15 *Νῦν πρὸς τὰς γυναῖκάς μοι ὁ λόγος. Εἶχε τίς γυνὴ πολλάκις ἀπὸ χρυσίου ὑφασμένον ἱμάτιον, καὶ τοῦτο τινάσσει, περιβάλλει λίνοις, τηρεῖ μετὰ ἀσφαλείας, τρέμει ὑπὲρ αὐτοῦ, καὶ οὐκ ἀπολαύει αὐτοῦ· ἢ γὰρ ἐτελεύτησεν ἢ ἐχήρευσεν· ἤ, κἂν μηδὲν τούτων συμβῇ, δέδοικε μὴ τῇ συνεχεῖ χρήσει δαπανήσασα αὐτό, ἀποστερή-*
20 *σειεν ἑαυτήν· κἂν ἄλλος οὐκ ἀποστερήσῃ, ἀποστερεῖ ἑαυτὴν τῇ φειδωλίᾳ. Ἀλλὰ παραχωρεῖ ἑτέρᾳ; Ἀλλ' οὐδὲ τοῦτο δῆλον· εἰ δὲ καὶ παραχωρήσειε, καὶ ἐκείνη πάλιν ὁμοίως αὐτῷ χρήσεται. Καὶ εἴ τις ἐρευνήσει τὰ ἐν ταῖς οἰκίαις, εὑρήσει τὰ μάλιστα τίμια τῶν ἱματίων καὶ τὰ ἄλλα τὰ ὑπερέχοντα ἐν πλείονι τιμῇ, ὥσπερ ἐμψύχους*
25 *δεσπότας, θεραπευόμενα· οὐ γὰρ χρῆται αὐτοῖς συνεχῶς, ἀλλὰ δέδοικε καὶ τρέμει, σῆτας καὶ τὰ ἄλλα τὰ βιβρώσκειν εἰωθότα ἀποσοβοῦσα, καὶ τὰ πλείονα ἐν μύροις· καὶ ἀρώμασι τιθεῖσα, οὐδὲ πᾶσι ἐπιτρέπουσα τῆς ὄψεως καταξιωθῆναι ἐκείνης, ἀλλ' αὐτὴ πολλάκις μετὰ τοῦ ἀνδρὸς ταῦτα διατιθεῖσα ἐπιμελῶς.*

30 *3. Οὐκ εἰκότως, εἰπέ μοι, εἰδωλολατρίαν τὴν πλεονεξίαν ἐκάλε-*

στὰ κακοπαθήματα ποὺ δεχόμαστε, καὶ ἕτοιμοι στὸ νὰ εὐεργετοῦμε. Καὶ αὐτὸ θὰ γίνῃ, ἂν περιφρονήσουμε τὰ χρήματα καὶ τὴν δόξα· ὅποιος ἀπαλλάχθηκε ἀπὸ αὐτὰ τὰ πάθη εἶναι πιὸ ἐλεύθερος ἀπ' ὅλους τοὺς ἀνθρώπους, καὶ πλουσιώτερος κι' ἀπ' αὐτὸν ἀκόμα ποὺ φοράει τὴν πορφύρα. Δὲν βλέπεις πόσα κακὰ συμβαίνουν ἐξ αἰτίας τῶν χρημάτων; Δὲν λέγω πόσα ἐξ αἰτίας τῆς πλεονεξίας, ἀλλὰ πόσα συμβαίνουν κατὰ τὴν προσπάθεια συγκεντρώσεως χρημάτων. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Ἂν χάσῃ κάποιος χρήματα, θὰ ζῆ ζωὴ λυπηρότερη κι' ἀπὸ τὸν θάνατο. Τί πονᾶς, ἄνθρωπε; γιατί δακρύζεις; ἐπειδὴ σὲ ἀπάλλαξε ὁ Θεὸς ἀπὸ τὴν περιττὴ φρούρησί τους; ἐπειδὴ κάθεσαι χωρὶς νὰ τρέμῃς καὶ νὰ φοβᾶσαι; Ἔπειτα, ἐὰν κάποιος σὲ δέσῃ μὲ θησαυρὸ καὶ σὲ διατάξῃ διαρκῶς νὰ κάθεσαι ἐκεῖ καὶ νὰ ἀγρυπνῆς γιὰ ξένα πράγματα, πονᾶς, δυσανασχετεῖς, σὺ ὅμως, ἂν καὶ ἔδεσες τὸν ἑαυτό σου μὲ φοβερώτατα δεσμά, ὑποφέρεις, ἐπειδὴ ἀπαλλάχθηκες ἀπὸ τὴν σκλαβιά; Πράγματι οἱ λύπες καὶ οἱ χαρὲς εἶναι πράγματα ποὺ τὰ ἀποδεχόμαστε χωρὶς νὰ τὰ ἐξετάζουμε βαθύτερα· ἔτσι ἂς προσέχουμε, σὰν νὰ ἔχουμε νὰ διαφυλάξουμε ξένα πράγματα.

Τώρα ἀπευθύνεται ὁ λόγος μου πρὸς τὶς γυναῖκες. Πολλὲς φορὲς κάποια γυναῖκα ἔχει ἕνα χρυσοῦφαντο ἔνδυμα, καὶ αὐτὸ τὸ τινάσσει, τὸ περιβάλλει μὲ λινὰ ὑφάσματα, τὸ ἀσφαλίζει, τρέμει γι' αὐτό, καὶ δὲν τὸ ἀπολαμβάνει, ἢ διότι πέθανε, ἢ διότι ἐχήρευσε· ἢ κι' ἂν ἀκόμα τίποτε ἀπὸ αὐτὰ δὲν συμβῆ, φοβᾶται μήπως ἐξ αἰτίας τῆς συχνῆς χρήσεως τὸ καταστρέψῃ καὶ τὸ στερηθῆ· κι' ἂν ἄλλος δὲν τῆς τὸ στερήσῃ, τὸ στερεῖται μόνη της ἐξ αἰτίας τῆς τσιγγουνιᾶς της. Ἀλλὰ τὸ παραχωρεῖ σὲ ἄλλη; Μὰ οὔτε κι' αὐτὸ εἶναι φανερό· κι' ἂν ἀκόμα τὸ παραχωρήσῃ, κι' ἐκείνη μὲ τὸν ἴδιο τρόπο θὰ τὸ χρησιμοποιήσῃ. Καὶ ἐὰν κάποιος ἐρευνήσῃ τὰ ὅσα ὑπάρχουν στὰ σπίτια, θὰ βρῆ τὰ πιὸ πολύτιμα ἀπὸ τὰ ἐνδύματα καὶ τὰ ἄλλα ποὺ ὑπερέχουν ὡς πρὸς τὴν ἀξία, νὰ τὰ φροντίζουν ὅπως ἀκριβῶς τοὺς ζωντανοὺς κυρίους· διότι δὲν τὰ χρησιμοποιεῖ συνεχῶς, ἀλλὰ φοβᾶται καὶ τρέμει, ἀπομακρύνει τοὺς σκώρους καὶ τὰ ἄλλα ποὺ συνήθως τὰ κατατρῶνε, καὶ τὰ περισσότερα, τοποθετώντας τα μέσα σὲ μύρα καὶ ἀρώματα, δὲν ἐπιτρέπει σὲ ὅλους νὰ τὰ δοῦν, ἀλλὰ πολλὲς φορὲς τὰ περιποιεῖται ἡ ἴδια μὲ τὸν ἄνδρα της.

3. Πές μου, δὲν ὠνόμασε ὁ Παῦλος σωστὰ τὴν πλεονεξία είδω-

σεν ὁ Παῦλος; Ὅσην γὰρ ἐκεῖνοι τιμὴν περὶ τὰ εἴδωλα ἐπιδείκνυνται, τοσαύτην καὶ οὗτοι περὶ τὰ ἱμάτια, περὶ τὰ χρυσία. Μέχρι τίνος βόρβορον ἀνακινοῦμεν; μέχρι τίνος τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλώμεθα; Ὥσπερ γὰρ ἐκεῖνοι τῷ τῶν Αἰγυπτίων βασιλεῖ
5 *ἔκαμνον, οὕτω καὶ ἡμεῖς τῷ διαβόλῳ κάμνομεν, καὶ μαστιζόμεθα πολὺ χαλεπωτέρας μάστιγας. Καὶ μή τινα ὑπερβολὴν καταγνῷς τοῦ λόγου· ὅσῳ γὰρ κρείττων σώματος ψυχή, τοσούτῳ φροντὶς μωλώπων μαστιζόμεθα καθ' ἑκάστην ἡμέραν, δεδοίκαμεν φροντίζοντες, τρέμοντες. Ἀλλ' ἐὰν θελήσωμεν στενάξαι, ἐὰν θελήσωμεν*
10 *ἀναβλέψαι πρὸς τὸν Θεόν, πέμπτει ἡμῖν οὐ Μωϋσέα, οὐδὲ Ἀαρών, ἀλλὰ τὸν αὐτοῦ λόγον καὶ τὴν κατάνυξιν. Οὗτος τοίνυν ἐλθών, καὶ κατασχὼν ἡμῶν τὰς ψυχάς, ἐλευθερώσει τῆς δουλείας τῆς πικρᾶς ἡμᾶς, ἐξάξει ἡμᾶς ἐξ Αἰγύπτου, τῆς ἀνονήτου καὶ ματαιοπόνου σπουδῆς, τῆς δουλείας τῆς οὐδὲν κέρδος ἐχούσης. Ἐκεῖνοι μὲν οὖν*
15 *κἂν χρυσία λαβόντες ἐξῆλθον, τὸν μισθὸν τῆς οἰκοδομῆς· ἡμεῖς δὲ οὐδέν· καὶ εἴθε μηδέν· νῦν δὲ καὶ ἡμεῖς λαμβάνομεν οὐ χρυσία, ἀλλὰ τὰ Αἰγύπτου κακά, ἁμαρτήματα καὶ κολάσεις καὶ τιμωρίας.*

Μάθωμεν τοίνυν ὠφελεῖσθαι, μάθωμεν ἐπηρεάζεσθαι· τοῦτό ἐστι Χριστιανοῦ· καταφρονήσωμεν τῶν χρυσῶν ἱματίων, κατα-
20 *φρονήσωμεν τῶν χρημάτων, ἵνα μὴ καταφρονήσωμεν τῆς σωτηρίας τῆς ἡμετέρας· καταφρονήσωμεν χρημάτων καὶ μὴ καταφρονήσωμεν τῆς ψυχῆς· αὕτη γάρ ἐστιν ἡ κολαζομένη, αὕτη ἐστὶν ἡ τιμωρουμένη· ἐκεῖνα ἐνταῦθα μένει, αὕτη δὲ ἄπεισιν ἐκεῖ. Τίνος ἕνεκεν, τίνος, εἰπέ μοι, κατακόπτεις σαυτὸν καὶ οὐκ αἰσθάνῃ; Ταῦ-*
25 *τα πρὸς τοὺς πλεονέκτας λέγω. Καλὸν δὲ καὶ πρὸς τοὺς πλεονεκτουμένους εἰπεῖν, φέρετε γενναίως τὰς πλεονεξίας· ἑαυτοὺς ἀναιροῦσιν ἐκεῖνοι, οὐχ ὑμᾶς. Ὑμᾶς μὲν ἀποστεροῦσι χρημάτων, ἑαυτοὺς δὲ γυμνοῦσι τῆς εὐνοίας τοῦ Θεοῦ καὶ τῆς βοηθείας· ὁ δὲ ἐκείνης γυμνωθείς, κἂν ἅπαντα περιβάλληται τῆς οἰκουμένης τὸν πλοῦ-*
30 *τον, πάντων ἐστὶ πενέστερος· ὥσπεροῦν καὶ ὁ πάντων πενέστερος,*

λολατρία; Διότι ὅση τιμὴ ἀποδίδουν οἱ εἰδωλολάτρες στὰ εἴδωλα, τόση μεγάλη ἀποδίδουν κι' αὐτοὶ στὰ ἐνδύματα καὶ τὰ χρυσᾶ. Μέχρι πότε θὰ ἀνακινοῦμε τὸν βόρβορο; μέχρι πότε θὰ εἴμαστε προσκολλημένοι στὸν πηλὸ καὶ τὴν κατασκευὴ πλίνθων; Διότι ὅπως οἱ Ἑβραῖοι ἐκοπίαζαν γιὰ τὸν βασιλιᾶ τῶν Αἰγυπτίων, ἔτσι καὶ ἐμεῖς δουλεύουμε γιὰ τὸν διάβολο, καὶ μαστιγωνόμαστε μὲ πολὺ χειρότερα μαστίγια. Καὶ μὴ θεωρήσης τὸν λόγο ὑπερβολικό· διότι ὅσο ἀνώτερη εἶναι ἡ ψυχὴ ἀπὸ τὸ σῶμα, τόσο σκληρότερα εἶναι τὰ λουριὰ ποὺ μᾶς μαστιγώνουν κάθε ἡμέρα, ζώντας γεμᾶτοι φόβους καὶ ἀνησυχίες. Ἀλλά, ἐὰν θελήσουμε ν' ἀναστενάξουμε, ἐὰν θελήσουμε νὰ στρέψουμε τὰ βλέμματά μας πρὸς τὸν Θεό, θὰ μᾶς στείλη ὄχι τὸν Μωϋσῆ, οὔτε τὸν Ἀαρών, ἀλλὰ τὸν δικό του λόγο καὶ τὴν κατάνυξι. Αὐτὸς λοιπόν, ἐὰν ἔλθη καὶ καταλάβη τὶς ψυχές μας, θὰ μᾶς ἐλευθερώση ἀπὸ τὴν πικρὴ δουλεία, θὰ μᾶς ἐξαγάγη ἀπὸ τὴν Αἴγυπτο, ἀπὸ τὴν ἀνώφελη καὶ ματαιόπονη προσπάθεια, ἀπὸ τὴ δουλεία ποὺ δὲν ἔχει κανένα κέρδος. Οἱ Ἑβραῖοι τότε ἐξῆλθαν ἀπὸ τὴν Αἴγυπτο παίρνοντας ἔστω καὶ τεμάχια χρυσοῦ, ποὺ ἦταν ὁ μισθὸς τῆς οἰκοδομῆς, ἐνῶ ἐμεῖς τίποτε· καὶ μακάρι νὰ μὴν παίρναμε τίποτε· τώρα ὅμως καὶ ἐμεῖς παίρνουμε ὄχι χρυσάφι, ἀλλὰ τὰ κακὰ τῆς Αἰγύπτου, ἁμαρτήματα καὶ κολάσεις καὶ τιμωρίες.

Ἂς μάθουμε λοιπὸν νὰ ὠφελούμαστε, ἂς μάθουμε νὰ ὑπομένουμε τὶς δοκιμασίες· αὐτὸ εἶναι τὸ γνώρισμα τοῦ Χριστιανοῦ. Ἂς καταφρονήσουμε τὰ χρυσᾶ ἐνδύματα, ἂς καταφρονήσουμε τὰ χρήματα, γιὰ νὰ μὴν καταφρονήσουμε τὴ σωτηρία μας· ἂς καταφρονήσουμε τὰ χρήματα, κι' ἂς μὴν καταφρονήσουμε τὴν ψυχή· διότι αὐτὴ εἶναι ἡ κολαζόμενη, αὐτὴ εἶναι ἡ τιμωρούμενη· ἐκεῖνα μένουν ἐδῶ, ἐνῶ αὐτὴ μεταβαίνει ἐκεῖ. Γιὰ ποιό λόγο, πές μου, γιατί κατακόπτεις τὸν ἑαυτό σου καὶ δὲν τὸν αἰσθάνεσαι; Αὐτὰ τὰ λέγω γιὰ τοὺς πλεονέκτες. Εἶναι καλὸ ὅμως νὰ ἀπευθυνθῶ καὶ πρὸς ἐκείνους ποὺ εἶναι θύματα τῆς πλεονεξίας αὐτῶν. Ὑπομένετε μὲ γενναιότητα τὶς πλεονεξίες· τοὺς ἑαυτούς τους φονεύουν ἐκεῖνοι, ὄχι ἐσᾶς. Ἀπὸ σᾶς βέβαια ἀφαιροῦν χρήματα, τοὺς ἑαυτούς τους ὅμως τοὺς ἀπογυμνώνουν ἀπὸ τὴν εὔνοια καὶ τὴν βοήθεια τοῦ Θεοῦ, καὶ ὅποιος ἀπογυμνώνεται ἀπὸ αὐτήν, κι' ἂν ἀκόμη περιβάλλεται μὲ ὅλο τὸν πλοῦτο τῆς οἰκουμένης, εἶναι φτωχότερος ὅλων· ὅπως καὶ ὁ φτωχότερος

ἂν ταύτην ἔχῃ, πάντων ἐστὶν εὐπορώτερος· «Κύριος» γάρ, φησί, «ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει».

Εἰπὲ δή μοι, εἴ τινα εἶχες ἄνδρα μέγαν καὶ θαυμαστόν, πάνυ σε φιλοῦντα καὶ κηδόμενον, εἶτα ἔγνως ὅτι διαπαντὸς ζήσεται, καὶ 5 οὐ προτελευτήσεις αὐτοῦ, καὶ πάντα σοι παρέξει μετὰ ἀδείας τὰ αὐτοῦ, ὥστε σε ὡς τῶν σῶν ἀπολαύειν, ἆρα ἂν ἠθέλησας κτήσασθαί τι; ἆρα ἄν, εἰ πάντων ἐγυμνώθης, οὐχί σε πλουσιωτέραν ἐνόμιζες εἶναι διὰ τοῦτο; Τί δήποτε οὖν πενθεῖς; Ὅτι χρήματα οὐκ ἔχεις; Ἀλλ' ἐννόει ὅτι ἀφῃρέθης τῶν ἁμαρτημάτων τὴν ὑπόθεσιν. 10 Ἀλλ' ὅτι οὐσίας ἀποστερήθης; Ἀλλ' ἐκτήσω τοῦ Θεοῦ τὴν εὔνοιαν. Καὶ πῶς ἐκτησάμην, φησίν; Εἶπε, «διὰ τί μὴ μᾶλλον ἀδικεῖσθε;»· εἶπεν ὅτι «ἐν παντὶ εὐχαριστεῖτε»· εἶπεν ὅτι «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι». Ἐννόει τοίνυν ὅσης εὐνοίας ἀπολαύσεις, ταῦτα διὰ τῶν ἔργων ἐπιδειξαμένη. Ἓν γὰρ μόνον ζητεῖται παρ' ἡμῶν, τὸ 15 ἐπὶ πᾶσιν εὐχαριστεῖν τῷ Θεῷ, καὶ πάντα ἔχομεν μετὰ δαψιλείας.

Οἷόν τι λέγω· Ἀπώλεσας χρυσοῦ λίτρας μυρίας· εὐχαρίστησον εὐθέως τῷ Θεῷ, καὶ δέκα μυριάδας ἐκτήσω διὰ τῆς φωνῆς ἐκείνης καὶ τῆς εὐχαριστίας. Εἰπέ γάρ μοι, πότε μακαρίζεις τὸν Ἰώβ; Ὅτε εἶχε τοσαύτας καμήλους καὶ τὰ ποίμνια καὶ τὰ βουκό- 20 λια, ἢ ὅτε ἐκείνην τὴν φωνὴν ἀφῆκεν, «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο»; Καὶ γὰρ ὁ διάβολος διὰ τοῦτο ἡμᾶς ζημιοῖ, οὐχ ἵνα τὰ χρήματα μόνον ἀφέληται· οἶδε γὰρ ὅτι οὐδέν ἐστιν· ἀλλ' ἵνα διὰ τούτων ἀναγκάσῃ εἰπεῖν τι βλάσφημον. Οὕτω καὶ ἐπὶ τοῦ μακαρίου Ἰὼβ τοῦτο ἐσπούδαζεν, οὐ πένητα αὐτὸν ποιῆσαι μόνον, ἀλλὰ 25 βλάσφημον ἀποφῆναι. Ὅτε γοῦν πάντων αὐτὸν ἐγύμνωσεν, ὅρα τί φησι πρὸς αὐτὸν διὰ τῆς γυναικός· «εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα». Καίτοι, ὦ μιαρέ, πάντων αὐτὸν ἐγύμνωσας. Ἀλλ' οὐ τοῦτο ἐσπούδαζον, φησί· δι' ὃ γὰρ πάντα ἐποίησα, οὐδέπω ἤνυσα· ἐσπούδασα γὰρ αὐτὸν γυμνῶσαι τῆς τοῦ Θεοῦ βοηθείας· διὰ τοῦτο 30 καὶ τῶν χρημάτων ἐγύμνωσα. Τοῦτό ἐστιν ὃ βούλομαι· ἐκεῖνο οὐ-

4. Ψαλμ. 22,1.
5. Α' Κορ. 6,7.
6. Α' Θεσσ. 5,18.
7. Ματθ. 5,3.
8. Ἰὼβ 1,21.
9. Ἰὼβ 2,9.

ὅλων, ἂν ἔχη αὐτήν, εἶναι πλουσιώτερος ὅλων· διότι λέγει, «ὁ Κύριος μὲ ποιμένει, καὶ τίποτε δὲν θὰ μοῦ στερήση»[4].

Πές μου λοιπόν· ἐὰν εἶχες ἕναν ἄνδρα μεγάλο καὶ θαυμαστό, ποὺ νὰ σὲ ἀγαπᾶ καὶ νὰ σὲ φροντίζη ὑπερβολικά, κι' ἔπειτα μάθαινες ὅτι θὰ ζήση γιὰ πάντα, καὶ δὲν θὰ πεθάνεις ἐσὺ πρὶν ἀπ' αὐτόν, καὶ ὅτι ὅλα τὰ ὑπάρχοντά του θὰ σοῦ τὰ παραχωρήση μὲ ἀσφάλεια, ὥστε νὰ τὰ ἀπολαμβάνης ἐσὺ σὰν δικά σου, ἄραγε θὰ ἤθελες ν' ἀποκτήσης κάτι; ἄραγε, ἐὰν εἶχες ἀπογυμνωθῆ ἀπὸ ὅλα, δὲν θὰ νόμιζες ὅτι εἶσαι πλουσιώτερη γι' αὐτό; Γιατί λοιπὸν πενθεῖς; Ἐπειδὴ δὲν ἔχεις χρήματα; Ἀλλὰ σκέψου ὅτι ἀπαλλάχθηκες ἀπὸ τὴν αἰτία τῶν ἁμαρτημάτων. Μήπως θρηνεῖς διότι στερήθηκες τὴν περιουσία σου; Ἀλλ' ἀπέκτησες τὴν εὔνοια τοῦ Θεοῦ. Καὶ πῶς, λέγει, τὴν ἀπέκτησα; Εἶπε, «γιατί δὲν προτιμᾶτε μᾶλλον νὰ ἀδικῆσθε;»[5]· εἶπε, «γιὰ κάθε τι νὰ εὐχαριστῆτε τὸν Θεό»[6]· εἶπε ὅτι «εἶναι μακάριοι ἐκεῖνοι ποὺ ἔχουν ταπεινὸ πνεῦμα»[7]. Σκέψου λοιπὸν πόση εὔνοια θ' ἀπολαύσης, ἐὰν τὰ δείξης αὐτὰ ἔμπρακτα. Ἕνα μόνο πρᾶγμα ζητεῖται ἀπὸ ἐμᾶς, τὸ νὰ εὐχαριστοῦμε γιὰ ὅλα τὸν Θεό, καὶ ὅλα θὰ τὰ ἔχουμε μὲ ἀφθονία.

Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ἔχασες μύρια λίτρα χρυσοῦ· εὐχαρίστησε ἀμέσως τὸν Θεό, καὶ ἀπέκτησες δέκα μυριάδες χρυσοῦ μὲ τὰ λόγια ἐκεῖνα καὶ τὴν εὐχαριστία. Διότι πές μου, πότε μακαρίζεις τὸν Ἰώβ; ὅταν εἶχε τὶς πολλὲς καμῆλες καὶ τὰ κοπάδια τῶν προβάτων καὶ τῶν βοδιῶν ἢ ὅταν εἶπε ἐκεῖνα τὰ λόγια, «ὁ Κύριος τὰ ἔδωσε, ὁ Κύριος τὰ ἀφήρεσε»[8]; Πράγματι ὁ διάβολος γι' αὐτὸ μᾶς προκαλεῖ ζημιές, ὄχι μόνο γιὰ νὰ μᾶς ἀφαιρέση τὰ χρήματα· διότι γνωρίζει ὅτι αὐτὸ δὲν εἶναι τίποτε· ἀλλὰ γιὰ νὰ μᾶς ἐξαναγκάση μέσω αὐτῶν νὰ βλασφημήσουμε. Ἔτσι καὶ μὲ τὸν μακάριο Ἰὼβ αὐτὸ ἐπεδίωκε, ὄχι μόνο νὰ τὸν κάνη φτωχό, ἀλλὰ νὰ τὸν παρουσιάση βλάσφημο. Ὅταν λοιπὸν τοῦ τὰ ἀφήρεσε ὅλα, πρόσεχε τί τοῦ λέγει μέσω τῆς γυναίκας του· «πὲς ἕνα λόγο ἐναντίον τοῦ Κυρίου καὶ πέθανε»[9]. Μά, βδελυρέ, τὸν ἀπεγύμνωσες ἀπὸ ὅλα του τὰ ἀγαθά. Ἀλλὰ δὲν ἐπεδίωκα αὐτό, λέγει· ἐκεῖνο γιὰ τὸ ὁποῖο ἔκανα τὰ πάντα, δὲν τὸ ἐπέτυχα· διότι προσπάθησα νὰ τὸν ἀπογυμνώσω ἀπὸ τὴ βοήθεια τοῦ Θεοῦ· γι' αὐτὸ καὶ τὸν ἀπογύμνωσα ἀπὸ τὴν περιουσία του. Αὐτὸ εἶναι ἐκεῖνο ποὺ θέλω· τὸ ἄλλο δὲν εἶναι τίποτα·

δέν ἐστιν· ἂν τοῦτό μοι μὴ προσῇ, οὐ μόνον οὐδὲν ἠδικήθη, ἀλλὰ καὶ ὠφελήθη.

4. Ὁρᾷς ὅτι οἶδε καὶ ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὅση τοῦ πράγματός ἐστιν ἡ ζημία; Διὰ τοῦτο καὶ βλέπεις αὐτὸν διὰ τῆς γυναικὸς
5 *τὴν ἐπιβουλὴν ῥάπτοντα. Ἀκούετε, ὅσοι γυναῖκας ἄνδρες ἔχετε χρημάτων ἐρώσας, καὶ ἀναγκαζούσας ὑμᾶς βλασφημεῖν τὸν Θεόν· ἀναμνήσθητε τοῦ Ἰώβ. Ἀλλ' ἴδωμεν αὐτοῦ τὴν πολλήν, εἰ δοκεῖ, ἐπιείκειαν, καὶ ὅπως αὐτὴν ἐπεστόμισεν. «Ἵνα τί;» φησίν, «ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν οὕτως ἐλάλησας;». Ἀληθῶς «φθεί-*
10 *ρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί»· ἀεὶ μὲν οὖν φθείρουσι, μάλιστα δὲ ἐπὶ τῶν συμφορῶν· τότε οἱ τὰ φαῦλα παραινοῦντες ἔχουσιν ἰσχύν. Εἰ γὰρ καὶ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρὸς ἀποδυσπέτησίν ἐστιν ἕτοιμος, πόσῳ μᾶλλον, ὅταν καὶ ὁ συμβυλεύων ᾖ; οὐχὶ καὶ πρὸς βάραθρον ὠθεῖται; Μέγα ἀγαθὸν γυνή, ὥσπεροῦν καὶ κακὸν μέγα.*
15 *Καὶ ὅρα πόθεν ὀρύξαι τὸ τεῖχος ἐπεχείρησε τὸ ἰσχυρόν. Ἐπειδὴ γὰρ οὐχ εἶλεν αὐτὸν ἡ τῶν χρημάτων ἀφαίρεσις, οὐδὲ μέγα τι εἰργάσατο ἡ τούτων ζημία, ἀλλὰ καὶ μάτην ἠλέγχθη εἰπών· «ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει», διὰ τοῦτο ἐφοπλίζει αὐτῷ τὴν γυναῖκα. Ὁρᾷς ποῦ ἔπνευσεν; Ἀλλ' οὐδὲν αὐτῷ πλέον ὑπῆρξε καὶ ἀπὸ ταύ-*
20 *της τῆς μηχανῆς.*

Ἂν τοίνυν καὶ ἡμεῖς εὐχαρίστως φέρωμεν, καὶ ταῦτα ἀποληψόμεθα, κἂν μὴ ἀπολάβωμεν, μείζων ἔσται ἡμῖν ὁ μισθός. Οὕτω καὶ ἐπὶ τοῦ ἀδάμαντος ἐκείνου γέγονεν· ὅτε γὰρ ἤθλησε γενναίως, τότε αὐτῷ καὶ ταῦτα ἀπέδωκεν· ὅτε ἔδειξε τῷ διαβόλῳ, ὅτι οὐ διὰ
25 *ταῦτα αὐτὸν θεραπεύει, τότε καὶ αὐτὰ αὐτῷ ἔδωκε. Τοιοῦτος γάρ ἐστιν ὁ Θεός· ὅταν ἴδῃ ἡμᾶς μὴ προσηλωμένους τοῖς βιωτικοῖς, τότε ἡμῖν αὐτὰ δίδωσιν· ὅταν ἴδῃ τὰ πνευματικὰ προτιμῶντας, τότε καὶ τὰ σαρκικὰ παρέχεται· οὐ πρότερον δὲ δίδωσιν, ἵνα μὴ ἀπορραγῶμεν τῶν πνευματικῶν. Φειδόμενος οὖν ἡμῶν οὐ δίδωσι τὰ*
30 *σαρκικά, ἵνα καὶ ἄκοντας ἀποστήσῃ τούτων. Οὔ, φησίν· ἀλλ' ἐὰν λάβω, ἐμπίπλαμαι, καὶ μᾶλλον εὐχαριστῶ. Ψεύδῃ, ὦ ἄνθρωπε· τότε γὰρ μάλιστα ἔσῃ ῥᾴθυμος. Τί οὖν ὅτι, φησί, πολλοῖς δίδωσι;*

10. Ἰὼβ 2,10.
11. Α' Κορ. 15,33.
12. Ἰὼβ 1,11.

ἐὰν αὐτὸ δὲν τὸ κατορθώσω, ὄχι μόνο δὲν ἀδικήθηκε καθόλου, ἀλλὰ καὶ ὠφελήθηκε.

4. Βλέπεις ὅτι γνωρίζει καὶ ὁ πονηρὸς ἐκεῖνος δαίμονας, πόση εἶναι ἡ ζημιά τοῦ πράγματος; Γι' αὐτὸ καὶ τὸν βλέπεις μέσω τῆς γυναίκας νὰ μηχανεύεται τὴν προδοσία ἐναντίον τοῦ Θεοῦ. Ἀκοῦτε μὲ προσοχή, ὅσοι ἔχετε γυναῖκες ποὺ ἀγαποῦν τὰ χρήματα καὶ σᾶς ἀναγκάζουν νὰ βλασφημῆται τὸν Θεό· θυμηθῆτε τὸν Ἰώβ. Ἀλλά, ἐὰν νομίζετε, ἃς δοῦμε τὴ μεγάλη καλωσύνη του καὶ πῶς τὴν ἀποστόμωσε. «Γιατί», λέγει, «μίλησες ἔτσι σὰν μιὰ ἀπὸ τὶς ἀνόητες γυναῖκες;»[10]. Πράγματι, «φθείρουν τὰ χρηστὰ ἤθη οἱ κακὲς συναναστροφές»[11]· πάντα βέβαια τὰ φθείρουν, προπάντων ὅμως στὴν περίοδο τῶν συμφορῶν· τότε ἔχουν δύναμι αὐτοὶ ποὺ συμβουλεύουν τὰ κακά. Διότι, ἐὰν καὶ ἀπὸ μόνη της ἡ ψυχὴ ὁδηγῆται στὴν ἀπελπισία, πόσο μᾶλλον ὅταν ὑπάρχη καὶ ἐκεῖνος ποὺ τὴν συμβουλεύει; Δὲν σπρώχνεται καὶ πρὸς τὸ βάραθρο; Εἶναι μεγάλο ἀγαθὸ ἡ γυναῖκα, ὅπως ἀκριβῶς καὶ μεγάλο κακό. Καὶ πρόσεχε ἀπὸ ποῦ ἐπεχείρησε νὰ κατασκάψη τὸ τεῖχος τὸ ἰσχυρό. Ἐπειδὴ δὲν τὸν ἔπεισε ἡ ἀφαίρεσις τῶν χρημάτων, οὔτε τοῦ προξένησε κανένα μεγάλο κακὸ ἡ ἀπώλειά τους, ἀλλὰ καὶ ἀποδείχθηκε μάταιος ὁ ἰσχυρισμός του, λέγοντας, «ἀσφαλῶς θὰ σὲ βλασφημήση κατὰ πρόσωπο»[12], γι' αὐτὸ ἐξοπλίζει ἐναντίον του τὴν γυναῖκα. Βλέπεις ποῦ ἔπνευσε; Ἀλλὰ τίποτε περισσότερο δὲν ἐπέτυχε καὶ μ' αὐτὸ τὸ τέχνασμα.

Ἂν λοιπὸν καὶ ἐμεῖς εὐχαρίστως ὑπομένουμε τὴ στέρησι τῶν ἀγαθῶν, καὶ αὐτὰ θὰ λάβουμε, κι' ἂν δὲν τὰ λάβουμε, θὰ εἶναι μεγαλύτερος ὁ μισθός μας. Ἔτσι ἔγινε καὶ μ' ἐκεῖνον τὸν ἀδάμαντα. Ἀφοῦ δηλαδὴ ἀγωνίσθηκε γενναῖα, τότε τοῦ ἔδωσε καὶ αὐτά· ὅταν ἀπέδειξε στὸν διάβολο, ὅτι δὲν λατρεύει γι' αὐτὰ τὸν Θεό, τότε καὶ αὐτὰ τοῦ τὰ ἔδωσε. Πράγματι, τέτοιος εἶναι ὁ Θεός· ὅταν δῆ ὅτι δὲν εἴμαστε προσκολλημένοι στὰ βιωτικά, τότε καὶ αὐτὰ μᾶς τὰ δίνει· ὅταν δῆ ὅτι προτιμοῦμε τὰ πνευματικά, τότε μᾶς δίνει καὶ τὰ σαρκικά· δὲν μᾶς τὰ δίνει προηγουμένως, γιὰ νὰ μὴν ἀπομακρυνθοῦμε ἀπὸ τὰ πνευματικά. Ἐπειδὴ φροντίζει γιὰ μᾶς δὲν μᾶς δίνει τὰ σαρκικά, γιὰ νὰ μᾶς ἀπομακρύνη ἀπὸ αὐτὰ καὶ παρὰ τὴ θέλησί μας. Ὄχι, λέγει, ἀλλὰ ἐὰν τὰ λάβω, χορταίνω καὶ τὸν εὐχαριστῶ περισσότερο. Ψεύδεσαι, ἄνθρωπε· διότι τότε θὰ γίνης περισσότερο ράθυμος. Ἀλλὰ γιατί, λέγει, δίνει σὲ πολλούς; Καὶ ἀπὸ ποῦ εἶναι φανε-

Καὶ πόθεν δῆλον, ὅτι αὐτὸς δίδωσιν; Ἀλλὰ τίς, φησίν, ἕτερος δίδωσιν; Ἡ πλεονεξία αὐτῶν, ἡ ἁρπαγή. Πῶς οὖν συγχωρεῖ γίνεσθαι ταῦτα; Ὥσπερ καὶ φόνους καὶ κλοπὰς καὶ βίας. Τί οὖν ἐρεῖς, φησί, πρὸς τοὺς ἐκ πατέρων διαδεχομένους κλῆρον, τοὺς μυρίων 5 γέμοντας κακῶν; Πῶς αὐτοὺς ἐᾷ, φησίν, ὁ Θεὸς ἀπολαύειν τούτων; Ὥσπερ οὖν καὶ κλέπτας ἀφίησι, καὶ φονέας, καὶ τοὺς λοιποὺς κακούργους· οὐ γάρ ἐστιν ὁ καιρὸς τῆς κρίσεως νῦν, ἀλλὰ τῆς πολιτείας τῆς ἀρίστης.

Ὅπερ δὲ καὶ ἤδη εἶπον, τοῦτο καὶ νῦν λέγω· ὅτι μείζονα 10 δώσουσι δίκην, ὅταν καὶ πάντων ἀπολαύσαντες τῶν ἀγαθῶν, μηδὲ οὕτω βελτίους γίνωνται. Οὐ γὰρ πάντες ὁμοίως κολασθήσονται, ἀλλ' οἱ μὲν καὶ μετὰ τῆς εὐεργεσίας μείναντες κακοί, μειζόνως τιμωρηθήσονται· οἱ δὲ μετὰ πενίας, οὐχ οὕτω. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησιν τῷ Δαυΐδ· «οὐχὶ ἔδωκά σοι πάντα τὰ τοῦ 15 κυρίου σου»; Ὅταν οὖν ἴδῃς νέον χωρὶς πόνων κλῆρον παραλαβόντα πατρῷον καὶ μείναντα κακόν, εὖ ἴσθι ὅτι ἡ κόλασις αὐτῷ αὔξεται καὶ τὰ τῆς τιμωρίας ἐπιτείνεται. Μὴ δὴ τούτους ζηλῶμεν, ἀλλ' εἴ τις ἀρετὴν διεδέξατο, εἴ τις πλοῦτον πνευματικὸν ἐκτήσατο. «Οὐαὶ» γάρ, φησίν, «οἱ πεποιθότες ἐπὶ τῷ πλούτῳ αὐτῶν»· καὶ 20 πάλιν· «μακάριοι οἱ φοβούμενοι τὸν Κύριον». Τίνων βούλει εἶναι, εἰπέ μοι; Πάντως τῶν μακαριζομένων.

Τούτους οὖν ζήλου, μὴ ἐκείνους, ἵνα καὶ τῶν ἀποκειμένων αὐτοῖς τύχῃς ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ 25 ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13. Β' Βασ. 12,8.
14. Ψαλμ. 48,7.
15. Ψαλμ. 127,1.

ρό, ὅτι αὐτὸς τὰ δίνει; Ἀλλὰ ποιός, λέγει, ἄλλος τὰ δίνει; Ἡ πλεονεξία τους, ἡ ἁρπαγή. Πῶς τότε ἐπιτρέπει νὰ γίνωνται αὐτά; Ὅπως ἐπιτρέπει καὶ φόνους καὶ κλοπὲς καὶ βιαιότητες. Τί λοιπὸν θὰ πῆς, λέγει, πρὸς αὐτοὺς ποὺ κληρονόμησαν περιουσία ἀπὸ τοὺς γονεῖς τους, ποὺ εἶναι γεμᾶτοι ἀπὸ μύρια κακά; Πῶς, λέγει, ὁ Θεὸς τοὺς ἀφήνει ν' ἀπολαμβάνουν αὐτά; Ὅπως ἀφήνει καὶ τοὺς κλέφτες, καὶ τοὺς φονιάδες, καὶ τοὺς ἄλλους κακούργους· διότι δὲν εἶναι ὁ καιρὸς τῆς κρίσεως τώρα, ἀλλὰ τῆς ἐνάρετης ζωῆς.

Αὐτὸ ποὺ εἶπα προηγουμένως αὐτὸ καὶ τώρα λέγω· ὅτι περισσότερο θὰ τιμωρηθοῦν, διότι, ἂν καὶ ἀπόλαυσαν ὅλα τὰ ἀγαθά, δὲν ἔγιναν καλύτεροι. Καθόσον δὲν θὰ τιμωρηθοῦν ἐξ ἴσου ὅλοι, ἀλλὰ θὰ τιμωρηθοῦν περισσότερο αὐτοὶ ποὺ καὶ μετὰ τὴν εὐεργεσία ἔμειναν κακοί· ὅσοι ὅμως ἦταν φτωχοί, ὄχι τόσο. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινό, ἄκουσε τί λέγει στὸν Δαυΐδ· «δὲν σοῦ ἔδωσα ὅλα τὰ ἀγαθὰ τοῦ Κυρίου σου;»[13]. Ὅταν λοιπὸν δῆς νέο, ποὺ παρέλαβε χωρὶς κόπους πατρικὴ περιουσία καὶ μένει κακός, γνώριζε καλὰ ὅτι θὰ εἶναι μεγαλύτερη ἡ κόλασίς του καὶ θὰ εἶναι αὐξημένα τὰ τῆς τιμωρίας του. Ἂς μὴ ζηλεύουμε λοιπὸν αὐτούς, ἀλλὰ ἐκεῖνον ποὺ ἐπέδειξε ἐνάρετη ζωή, ἐκεῖνον ποὺ ἀπέκτησε πλοῦτο πνευματικό. Διότι λέγει, «ἀλλοίμονο σ' αὐτοὺς ποὺ στηρίχθηκαν στὸν πλοῦτο τους»[14]· καὶ πάλι· «μακάριοι εἶναι ὅσοι φοβοῦνται τὸν Κύριο»[15]. Πές μου, σὲ ποιούς θέλεις ν' ἀνήκης; Ἀσφαλῶς σ' αὐτοὺς ποὺ μακαρίζονται.

Αὐτοὺς λοιπὸν νὰ μιμῆσαι, ὄχι ἐκείνους, γιὰ νὰ ἐπιτύχης καὶ τὰ ἀγαθὰ ποὺ ἐπιφυλάσσονται γι' αὐτούς, τὰ ὁποῖα εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τὸ κράτος, καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΑ'

(Ἑβρ. 10,32–11,3)

«Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μέν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δέ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. Καὶ γὰρ τοῖς δεσμίοις συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν κρείσσονα ὕπαρξιν ἑαυτοῖς ἐν οὐρανοῖς, καὶ μένουσαν».

1. Οἱ τῶν ἰατρῶν ἄριστοι, ἐπειδὰν βαθεῖαν δῶσι τομὴν καὶ τὰς ἀλγηδόνας ἐπιτείνωσι διὰ τῆς πληγῆς, παραμυθούμενοι τὸ πονοῦν 10 καὶ τεθορυβημένην ἀναπαύοντες καὶ ἀνακτώμενοι τὴν ψυχήν, ἑτέραν οὐκέτι προσάγουσι τομήν, ἀλλὰ καὶ τὴν δοθεῖσαν φαρμάκοις προσηνέσι καὶ τὸ πολὺ τῆς ὀδύνης ἱκανοῖς ἀφανίσαι παραμυθοῦνται. Τοῦτο καὶ ὁ Παῦλος ἐποίησε, κατασείσας αὐτῶν τὰς ψυχὰς καὶ κατανύξας τῇ μνήμῃ τῆς γεέννης καὶ πιστωσάμενος αὐτούς, ὅτι 15 πάντως δεῖ ἀπολέσθαι τὸν ἐνυβρίσαντα εἰς τὴν τοῦ Θεοῦ χάριν, καὶ τοῦτο ἀπὸ τῶν Μωϋσέως δείξας νόμων, ὅτι καὶ ἀπολοῦνται καὶ μειζόνως τιμωρηθήσονται, καὶ μαρτυρίαις ἑτέραις ἐπισφραγίσας τὰ εἰρημένα, καὶ εἰπών, «φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος», ὥστε μὴ τῷ πολλῷ φόβῳ ἀπαγορεύσασαν τὴν ψυχὴν 20 καταποθῆναι τῇ λύπῃ, παραμυθεῖται αὐτοὺς διὰ τῶν ἐγκωμίων καὶ τῆς παρακλήσεως, καὶ τὸν ζῆλον οἴκοθεν αὐτοῖς προσφέρει.

«Ἀναμιμνήσκεσθε» γάρ, φησί, «τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων». Πολλὴ ἡ

ΟΜΙΛΙΑ ΚΑ΄

(Ἑβρ. 10,32–11,3)

«Νὰ θυμᾶσθε τὶς περασμένες ἡμέρες, κατὰ τὶς ὁποῖες φωτισθήκατε καὶ ὑπομείνατε μεγάλο ἀγῶνα παθημάτων, κατὰ τὸν ὁποῖο ἄλλοτε γινόσασταν θέατρο μὲ τοὺς ὀνειδισμούς σας καὶ τὶς θλιψεἰς σας καὶ ἄλλοτε συμμέτοχοι ἐκείνων ποὺ ἀντιμετώπιζαν αὐτὲς τὶς δοκιμασίες. Διότι καὶ γιὰ τοὺς φυλακισμένους δείξατε συμπάθεια καὶ τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων σας μὲ χαρὰ δεχθήκατε, ἐπειδὴ γνωρίζατε ὅτι ἔχετε καλύτερη καὶ μόνιμη περιουσία στοὺς οὐρανούς».

1. Οἱ ἄριστοι ἀπὸ τοὺς ἰατρούς, ὅταν κάνουν βαθειὰ τομή, καὶ μεγαλώνουν τοὺς πόνους τῶν ἀσθενῶν ἐξ αἰτίας τῆς πληγῆς, γιὰ νὰ καταπραΰνουν τὸ σημεῖο ποὺ πονᾶ καὶ γιὰ νὰ ἠρεμήσουν καὶ ἀναζωογονήσουν τὴν θορυβημένη ψυχή, δὲν κάνουν ἄλλη τομὴ κοντὰ στὴν πρώτη, ἀλλὰ καὶ τὴν ὑπάρχουσα καταπραΰνουν μὲ κατάλληλα φάρμακα καὶ τὸν μεγάλο πόνο προσπαθοῦν νὰ ἐξαλείψουν. Αὐτὸ καὶ ὁ Παῦλος ἔκαμε. Ἀφοῦ ταρακούνησε τὶς ψυχές τους καὶ τὶς ὡδήγησε σὲ κατάνυξι μὲ τὴν ὑπενθύμισι τῆς κολάσεως, καὶ ἀφοῦ τοὺς διαβεβαίωσε, ὅτι ὁπωσδήποτε θὰ ὁδηγηθῆ στὴν ἀπώλεια ἐκεῖνος ποὺ ἐξύβρισε τὴν χάρι τοῦ Θεοῦ, καὶ αὐτὸ τὸ ἀπέδειξε ἀπὸ τὸν Μωσαϊκὸ νόμο, ὅτι καὶ θὰ ὁδηγηθοῦν στὴν ἀπώλεια καὶ θὰ τιμωρηθοῦν περισσότερο, καὶ ἀφοῦ ἐπισφράγισε τὰ λόγια του καὶ μὲ ἄλλες μαρτυρίες καὶ εἶπε ὅτι «εἶναι φοβερὸ τὸ νὰ πέση κανεὶς στὰ χέρια τοῦ ζωντανοῦ Θεοῦ», γιὰ νὰ μὴν ἀπογοητευθῆ ἡ ψυχὴ ἐξ αἰτίας τοῦ μεγάλου φόβου, τοὺς ἀνακουφίζει μὲ τὰ ἐγκώμια καὶ τοὺς παρηγοριτικοὺς λόγους· καὶ τὸν ζῆλο τοὺς τὸν προσφέρει ἀπὸ αὐτοὺς τοὺς ἴδιους.

«Νὰ θυμᾶσθε», λέγει, «τὶς προηγούμενες ἡμέρες, κατὰ τὶς ὁποῖες φωτισθήκατε καὶ ὑπομείνατε μὲ γενναιότητα μεγάλο ἀγῶνα

διὰ τῶν ἔργων παράκλησις· τὸν γὰρ ἀρχόμενον πράγματος, προϊόντα ἐπιδιδόναι χρή. Ὡς ἂν εἰ ἔλεγεν· Ὅτε ἐνήγεσθε, ὅτε ἐν τάξει μαθητῶν ἦτε, τοσαύτην προθυμίαν ἐπεδείξασθε, τοσαύτην γενναιότητα· νῦν δὲ οὐκέτι. Καὶ ὁ παρακαλῶν, οὕτω μάλιστα πα-
5 *ρακαλεῖ ἀπὸ τῶν οἰκείων. Καὶ ὅρα, οὐχ ἁπλῶς εἶπεν, «ἄθλησιν ὑπεμείνατε», ἀλλὰ μετὰ προσθήκης τοῦ, «πολλήν». Καὶ οὐκ εἶπε 'πειρασμούς', ἀλλὰ «ἄθλησιν», ὅπερ ἐστὶν ἐγκωμίου ὄνομα καὶ ἐπαίνων μεγίστων. Εἶτα καὶ καταλέγει κατὰ μέρος, πλατύνων τὸν λόγον, καὶ τοὺς ἐπαίνους πολλοὺς ποιῶν. Πῶς; «Τοῦτο μὲν ὀνειδι-*
10 *σμοῖς», φησί, «καὶ θλίψεσι θεατριζόμενοι». Μέγα γὰρ ὀνειδισμὸς καθικέσθαι καρδίας καὶ ἱκανὸν διαστρέψαι ψυχὴν καὶ σκοτῶσαι λογισμόν· ἄκουε γὰρ τί φησιν ὁ προφήτης· «ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν· ποῦ ἐστιν ὁ Θεός σου;»· καὶ πάλιν· «εἰ ὁ ἐχθρὸς ὠνείδισέ*
15 *με, ὑπήνεγκα ἄν». Ἐπειδὴ γὰρ σφόδρα κενόδοξόν ἐστι τὸ ἀνθρώπινον γένος, διὰ τοῦτο καὶ ὑπὸ τούτου ῥᾳδίως ἁλίσκεται. Καὶ οὐχ ἁπλῶς εἶπεν, 'ὀνειδισμοῖς', ἀλλὰ καὶ αὐτὸ μετ' ἐπιτάσεως πολλῆς, «θεατριζόμενοι», φησίν. Ὅταν μὲν γάρ τις ὀνειδίζηται καθ' ἑαυτόν, λυπηρὸν μέν, πολλῷ δὲ πλέον, ὅταν ἐπὶ πάντων. Ἐννόησον*
20 *γάρ μοι ὅσον ἦν κακόν, ἀποστάντας τῆς ἰουδαϊκῆς ταπεινότητος, καὶ ὡς ἐπὶ ἄριστον βίον μετελθόντας καὶ τῶν πατρῴων καταφρονήσαντας, ὑπ' αὐτῶν τῶν οἰκείων πάσχειν κακῶς καὶ μηδεμίαν ἔχειν ἀντίληψιν.*

Οὐκ ἔχω, φησίν, εἰπεῖν, ὅτι ταῦτα ἐπάθετε μέν, ἠλγεῖτε δέ,
25 *ἀλλὰ καὶ σφόδρα ἐχαίρετε. Καὶ τοῦτο ἐδήλωσεν εἰπών· «τοῦτο δέ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες· καὶ γὰρ τοῖς δεσμίοις συνεπαθήσατε»· καὶ αὐτοὺς φέρει εἰς μέσον τοὺς ἀποστόλους. «Οὐ μόνον», φησίν, «ἐπὶ τοῖς οἰκείοις οὐκ ᾐσχύνεσθε, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐκοινωνεῖτε τοῖς ταῦτα παθοῦσι». Τοῦτο καὶ παρα-*
30 *καλοῦντος αὐτούς ἐστιν. Οὐκ εἶπε, 'φέρετε τὰς θλίψεις τὰς ἐμάς,*

1. Ψαλμ. 41,5.
2. Ψαλμ. 54,13.

παθημάτων». Εἶναι μεγάλη ἡ παρηγοριὰ ποὺ παίρνουμε ἀπὸ τὰ ἴδια μας τὰ ἔργα· διότι αὐτὸς ποὺ ἀρχίζει κάποιο ἔργο, πρέπει μὲ τὸ πέρασμα τοῦ χρόνου νὰ τὸ βελτιώνη. Σὰν νὰ ἔλεγε· ὅταν ἤσασταν ἀρχάριοι, ὅταν βρισκόσασταν στὴν τάξι τῶν μαθητῶν, δείξατε τόση μεγάλη προθυμία, τόση γενναιότητα· τώρα ὅμως ὄχι. Καὶ ἐκεῖνος ποὺ προτρέπει, πετυχαίνει καλύτερα στὶς προτροπές του ἀπὸ τὰ ἴδια του τὰ ἔργα. Καὶ πρόσεχε· δὲν εἶπε ἁπλῶς, «ὑπομείνατε ἀγῶνα», ἀλλὰ πρόσθεσε καὶ τὸ «πολύν». Καὶ δὲν εἶπε 'πειρασμούς', ἀλλὰ «ἄθλησιν», πρᾶγμα ποὺ εἶναι ὄνομα ἐγκωμίου καὶ πολὺ μεγάλων ἐπαίνων. Ἔπειτα ἀπαριθμεῖ ἕνα πρὸς ἕνα τὰ κατορθώματά τους, ἐπιμηκύνοντας τὸν λόγο καὶ αὐξάνοντας τοὺς ἐπαίνους. Πῶς; «Ἄλλοτε», λέγει, «γενόμενοι θέατρο στὸν κόσμο μὲ τοὺς ὀνειδισμοὺς καὶ τὶς θλίψεις σας». Διότι ὁ ὀνειδισμὸς ἀγγίζει φοβερὰ τὴν καρδιὰ καὶ εἶναι ἱκανὸς νὰ πληγώση τὴν ψυχὴ καὶ νὰ συσκοτίση τὸν νοῦ. Διότι ἄκουε τί λέγει ὁ προφήτης· «τὰ δάκρυά μου ἦταν ἡ τροφή μου ἡμέρα καὶ νύκτα, ἐνῶ οἱ ἄνθρωποι μοῦ ἔλεγαν κάθε ἡμέρα· ποῦ εἶναι ὁ Θεός σου;»[1]· καὶ πάλι· «ἐὰν ὁ ἐχθρὸς μὲ ὠνείδιζε, θὰ τὸ ὑπέφερα χωρὶς γογγυσμό»[2]. Ἐπειδὴ δηλαδὴ εἶναι ὑπερβολικὰ κενόδοξο τὸ ἀνθώπινο γένος, γι' αὐτὸ καὶ εὔκολα αἰχμαλωτίζεται ἀπὸ τοὺς ὀνειδισμούς. Καὶ δὲν εἶπε ἁπλῶς «μὲ ὀνειδισμούς», ἀλλὰ καὶ αὐτὸ τὸ λέγει μὲ μεγάλη ἐπίταση· «γενόμενοι θέατρο», λέγει. Διότι, ὅταν κάποιος ὀνειδίζεται κατ' ἰδίαν, εἶναι βέβαια λυπηρό, πολὺ περισσότερο ὅμως, ὅταν ὀνειδίζεται ἐνώπιον πάντων. Σκέψου, σὲ παρακαλῶ, πόσο μεγάλο κακὸ ἦταν γι' αὐτούς, ποὺ ἀπομακρύνθηκαν ἀπὸ τὴν ἰουδαϊκὴ ταπεινότητα, καὶ εἰσῆλθαν σὲ μιὰ ἄριστη κατὰ πάντα ζωή, καί, περιφρονώντας τὶς παραδόσεις τῶν προγόνων τους, ἔγιναν ὁ στόχος τῶν προσβολῶν τῶν συμπατριωτῶν τους, χωρὶς νὰ ἔχουν καμμιὰ βοήθεια.

Δὲν μπορῶ νὰ πῶ, λέγει, ὅτι αὐτὰ τὰ πάθατε βέβαια, ὅμως πονούσατε, ἀλλὰ καὶ χαιρόσασταν ὑπερβολικά. Καὶ αὐτὸ τὸ δήλωσε λέγοντας· «ἀπὸ τὸ ἄλλο μέρος γίνατε κοινωνοὶ ἐκείνων ποὺ ἀντιμετώπιζαν τὶς δοκιμασίες αὐτές· διότι συμπάσχατε μὲ τοὺς φυλακισμένους»· καὶ παρουσιάζει καὶ τοὺς ἴδιους τοὺς ἀποστόλους. «Ὄχι μόνο», λέγει, «δὲν ντρεπόσασταν γιὰ τὰ παθήματά σας, ἀλλὰ καὶ συμμετείχατε στὰ παθήματα τῶν ἄλλων». Αὐτὸ συγχρόνως καὶ τοὺς παρηγοροῦσε. Δὲν εἶπε, 'ὑπομένετε τὶς θλίψεις μου', 'συμμετέχετε

κοινωνεῖτέ μοι', ἀλλ' ἁπλῶς, «τοῖς δεσμίοις συνεπαθήσατε». Ὁρᾷς ὅτι περὶ ἑαυτοῦ φησι καὶ τῶν ἄλλων τῶν δεδεμένων; Οὕτως οὐχ ἡγήσασθε δεσμὰ εἶναι τὰ δεσμά, ἀλλ' ὥσπερ ἀθληταὶ γενναῖοι, οὕτως ἔστητε· ὅτι οὐ μόνον ἐν τοῖς ὑμετέροις οὐκ ἐδέεσθε παρακλή-5 σεως, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐγένεσθε παράκλησις. «Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε.» Βαβαί, πόση πληροφορία πίστεως!

Εἶτα καὶ τὴν αἰτίαν τίθησιν, οὐ μόνον πρὸς τοὺς ἄθλους αὐτοὺς παρακαλῶν, ἀλλὰ καὶ πρὸς τὸ μὴ διασαλευθῆναι τῆς πίστε-10 ως. Τὸν ὑμέτερον πλοῦτον, φησίν, ἁρπαζόμενον ὁρῶντες, ἠνέγκατε· ἤδη γὰρ τὸ οὐ φαινόμενον ὡς φαινόμενον ἑωρᾶτε· ὅπερ εἰλικρινοῦς πίστεως ἦν· καὶ δι' αὐτῶν τῶν ἔργων αὐτὴν ἐπεδείξασθε. Τὸ μὲν οὖν ἁρπαγῆναι, ἴσως τῆς βίας ἦν τῶν ἁρπαζόντων, καὶ οὐδεὶς ἂν ἠδύνατο κωλῦσαι· ὥστε οὐδέπω τοῦτο δῆλον, ὅτι διὰ τὴν πί-15 στην τὴν ἁρπαγὴν ὑπεμείνατε. Καίτοι γε καὶ τοῦτο δῆλον· ἐνῆν γάρ, εἴπερ ἐβούλεσθε, μὴ ἁρπαγῆναι μὴ πιστεύσαντας· ἀλλ' ὃ πολλῷ τούτου μεῖζόν ἐστιν ἐποιήσατε, τὸ καὶ μετὰ χαρᾶς τὰ τοιαῦτα φέρειν· ὅπερ ἦν ὅλον ἀποστολικόν, καὶ τῶν γενναίων ἐκείνων ἄξιον ψυχῶν, οἳ μαστιχθέντες ἔχαιρον. «Ὑπέστρεψαν» γάρ, φησίν, «ἀπὸ 20 προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι». Ὁ δὲ μετὰ χαρᾶς φέρων, δείκνυσιν ὅτι ἔχει μισθόν τινα, καὶ ὅτι οὐ ζημία, ἀλλὰ πρόσοδός ἐστι τὸ πρᾶγμα. Καὶ τό, «προσεδέξασθε», τὴν ἑκούσιον αὐτῶν ὑπομονὴν δηλοῖ. Πῶς οὖν εἵλεσθε καὶ κατεδέξασθε; Γινώσκοντες», φησίν, 25 «ἔχειν ἑαυτοῖς κρείσσονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν». Τί ἐστι, «μένουσαν»; Βεβαίαν, οὐχ οὕτως ἀπολλυμένην ὥσπερ ταύτην.

2. *Εἶτα ἐπαινέσας αὐτούς, φησί· «μὴ οὖν ἀποβάλητε τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην». Τί λέγεις; Οὐκ εἶ-30 πεν, ὅτι "Ἀπεβάλετε τὴν παρρησίαν ὑμῶν, καὶ ἀνακτήσασθε', ἵνα μὴ ἀπαγορεύσωσιν· ἀλλ', ὅτι "Ἔχετε αὐτήν, μὴ ἀποβάλητε', ὃ μᾶλλον αὐτοὺς ἐψυχαγώγει καὶ ἐποίει ῥωσθῆναι. Ὅτι ἔχετε αὐτήν, φησί· τὸ μὲν γὰρ ἀποβληθὲν ἀνακτήσασθαι πάλιν, καμάτου δεῖται*

3. Πράξ. 5,41.

στὰ παθήματά μου', ἀλλὰ ἁπλῶς, «συμπάσχατε μὲ τοὺς φυλακισμένους». Βλέπεις ὅτι μιλάει γιὰ τὸν ἑαυτό του καὶ τοὺς ἄλλους τοὺς φυλακισμένους; Ἔτσι δὲν θεωρήσατε τὰ δεσμὰ ὡς δεσμά, ἀλλὰ σὰν γενναῖοι ἀθλητές, ἔτσι σταθήκατε· διότι ὄχι μόνο γιὰ τὰ παθήματά σας δὲν χρειαζόσασταν παρηγοριά, ἀλλὰ καὶ τοὺς ἄλλους παρηγορούσατε. «Καὶ τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων σας μὲ χαρὰ τὴν δεχθήκατε». Πὼ πώ, πόση σταθερότητα πίστεως!

Ἔπειτα προσθέτει καὶ τὴν αἰτία, ὄχι μόνο γιὰ νὰ τοὺς προτρέψη πρὸς τοὺς ἄθλους, ἀλλὰ καὶ γιὰ νὰ μὴ σαλευθῆ ἡ πίστις τους. Ἐνῶ βλέπατε, λέγει, ν' ἁρπάζεται ἡ περιουσία σας, τὸ ὑποφέρατε· διότι ἤδη τὸν ἀόρατο πλοῦτο τὸν βλέπατε ὡς ὁρατό, πρᾶγμα ποὺ ἦταν ἀποτέλεσμα εἰλικρινοῦς πίστεως· καὶ μὲ τὰ ἴδια τὰ ἔργα σας δείξατε τὴν πίστι σας. Ἡ ἁρπαγὴ δηλαδὴ τῆς περιουσίας ἴσως ἦταν ἀποτέλεσμα τῆς βίαιας ἐνέργειας τῶν ἁρπαζόντων, καὶ κανεὶς δὲν θὰ μποροῦσε νὰ τὴν ἐμποδίση· ὥστε γίνεται φανερό, ὅτι ὑπομείνατε τὴν ἁρπαγὴ ἐξ αἰτίας τῆς πίστεώς σας. Ἂν καὶ αὐτὸ βέβαια εἶναι φανερό· διότι ἦταν δυνατό, ἐὰν θέλατε, νὰ μὴν ἁρπαγῆ ἡ περιουσία σας, ἐὰν δὲν πιστεύατε· σεῖς ὅμως ἐκάνατε ἐκεῖνο ποὺ εἶναι ἀκόμη μεγαλύτερο ἀπὸ αὐτό, ὅτι δηλαδὴ καὶ μὲ χαρὰ ὑπομείνατε τὰ παθήματα αὐτά, πρᾶγμα ποὺ ἦταν γνώρισμα κατ' ἐξοχὴν ἀποστολικὸ καὶ ἄξιο τῶν γενναίων ἐκείνων ψυχῶν, ποὺ χαίρονταν ἐνῶ εἶχαν μαστιγωθῆ. Διότι λέγει, «ἐπέστρεψαν ἀπὸ τὸ συνέδριο γεμᾶτοι χαρά, διότι ἀξιώθηκαν ν' ἀτιμασθοῦν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ»[3]. Ἐκεῖνος ποὺ τὰ ὑποφέρει αὐτὰ μὲ χαρά, δείχνει ὅτι ἔχει κάποιον μισθό, καὶ ὅτι τὸ πρᾶγμα δὲν εἶναι ζημία, ἀλλὰ κέρδος. Καὶ τό, «τὴν δεχθήκατε» φανερώνει τὴν ἑκούσια ὑπομονή τους. Πῶς λοιπὸν τὴν προτιμήσατε καὶ τὴν ἀποδεχθήκατε; «Γνωρίζοντας», λέγει, «ὅτι ἔχετε καλύτερη καὶ σταθερώτερη περιουσία στοὺς οὐρανούς». Τί σημαίνει, «μένουσαν»; Μόνιμη, ποὺ δὲν καταστρέφεται ὅπως αὐτή.

2. Ἔπειτα, ἀφοῦ τοὺς ἐπήνεσε, λέγει· «μὴ χάσετε λοιπὸν τὴν παρρησία σας, ποὺ ἔχει μισθαποδοσία μεγάλη». Τί λές; Δὲν εἶπε, ὅτι 'χάσατε τὴν παρρησία σας, καὶ πρέπει νὰ τὴν ἀνακτήσετε', γιὰ νὰ μὴν ἀπογοητευθοῦν· ἀλλά, ὅτι «τὴν ἔχετε καὶ μὴ τὴν χάσετε», πρᾶγμα ποὺ περισσότερο τοὺς ἐμψύχωνε καὶ τοὺς ἐνδυνάμωνε. Διότι τὴν ἔχετε, λέγει· καθόσον ἡ ἐπανάκτησις ἐκείνου, ποὺ ἔχει χαθῆ, χρειάζεται περισσότερο κόπο ἀπὸ τὴν διατήρησι αὐτοῦ ποὺ ὑπάρ-

πλείονος, τὸ δὲ κατεχόμενον μὴ ἀπολέσαι, οὐχ οὕτω. Γαλάταις δὲ τὸ ἐναντίον γράφει· «τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν»· καὶ εἰκότως. Ἐκεῖνοι μὲν γὰρ ὑπτιώτερον διέκειντο, ὅθεν αὐτοῖς ἔδει πληκτικωτέρου λόγου· οὗτοι δὲ μικρο-
5 *ψυχότερον, ὅθεν θεραπευτικωτέρου μᾶλλον ἐδέοντο. «Μὴ ἀποβάλητε οὖν», φησί, «τὴν παρρησίαν ὑμῶν». Ὥστε ἐν παρρησίᾳ ἦσαν πολλῇ πρὸς τὸν Θεόν. «Ἥτις ἔχει», φησί, «μισθαποδοσίαν μεγάλην». Τί ἐστι τοῦτο; Τότε αὐτὰ ληψόμεθα, φησίν. Οὐκοῦν, εἰ κατὰ τὸ μέλλον ἀπόκειται, οὐ δεῖ ἐνταῦθα ζητεῖν.*

10 *Εἶτα, ἵνα μή τις εἴπῃ, ἰδοὺ τὰ παρ' ἡμῶν πάντα ὑπῆρκται, διὰ τοῦτο προέλαβεν αὐτοὺς καὶ τῇ αὐτῶν ὑπολήψει· μονονουχὶ τοῦτο λέγων· εἰ ἐν οὐρανοῖς γινώσκετε ἔχειν ὕπαρξιν κρείσσονα, μηδὲν ἐνταῦθα ζητεῖτε· «ὑπομονῆς γὰρ ἔχετε χρείαν», οὐχὶ προσθήκης ἀγῶνος, ἵνα ἐν τοῖς αὐτοῖς μείνητε, ἵνα μὴ ῥίψητε τὸ ἐγχειρισθέν.*
15 *Οὐδενὸς ὑμῖν ἑτέρου δεῖ, ἀλλ' ἢ ὥστε στῆναι, ὡς ἐστήκατε, ἵνα πρὸς τὸ τέλος ἐλθόντες, κομίσησθε τὴν ἐπαγγελίαν. «Ὑπομονῆς γὰρ ἔχετε», φησί, «χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν». Ἄρα ἑνὸς ὑμῖν δεῖ μόνου, ἵνα ἀναμείνητε τὴν μέλλησιν, οὐχ ἵνα ἀθλήσητε πάλιν. Πρὸς τὸν στέφανον αὐ-*
20 *τόν ἐστε, φησί, τοὺς ἀγῶνας πάντας ἠνέγκατε, τοὺς δεσμούς, τὰς θλίψεις, τὰ ὑπάρχοντα ὑμῶν ἡρπάγη· τί οὖν; Πρὸς τὸ στεφανωθῆναι ἐστήκατε λοιπόν· τοῦτο μόνον φέρετε, τὴν μέλλησιν τοῦ στεφάνου. Ὢ μέγεθος παρακλήσεως! Οὕτως αὐτοὺς παρακαλεῖ, ὡς ἂν τις εἴποι πρὸς ἀθλητὴν πάντας καταβαλόντα καὶ μηδένα ἔχοντα ἀν-*
25 *ταγωνιστήν, εἶτα μέλλοντα στεφανοῦσθαι καὶ οὐ φέροντα τὸν χρόνον ἐκεῖνον, καθ' ὃν ὁ ἀγωνοθέτης ἔρχεται καὶ τίθησι τὸν στέφανον· ἐκεῖνος δὲ ἀκαρτερήτως ἔχων, θέλοι ἐξελθεῖν καὶ φυγεῖν, ὡς μὴ φέρων τὸ δίψος καὶ τὸν φλογμόν.*

Τοῦτο τοίνυν αὐτὸς αἰνιττόμενος, τί φησιν; «Ἔτι μικρὸν
30 *ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ». Ἵνα γὰρ μὴ λέγωσι, 'Καὶ πότε ἥξει;' ἀπὸ τῶν Γραφῶν αὐτοὺς παρακαλεῖ· καὶ γὰρ τό, «νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία», ὅταν λέγῃ ἀλλαχοῦ, παραμυθεῖ-*

4. Γαλ. 4,19.

χει. Ἐνῶ στοὺς Γαλάτες γράφει τὸ ἀντίθετο· «τέκνα μου, γιὰ τοὺς ὁποίους πάλι πονῶ, μέχρι ποὺ νὰ μορφωθῇ ὁ Χριστὸς μέσα σας»[4]· καὶ σωστά· διότι ἐκεῖνοι ἦταν ὀκνηρότεροι, γι᾽ αὐτὸ καὶ τοὺς χρειαζόταν πληκτικώτερος λόγος· ἐνῶ αὐτοὶ ἦταν ταπεινότεροι, γι᾽ αὐτὸ χρειάζονταν θεραπευτικότερο λόγο. «Μὴ χάσετε λοιπόν», λέγει, «τὴν παρρησία σας». Ὥστε εἶχαν μεγάλη παρρησία πρὸς τὸν Θεό. «Ἡ ὁποία ἔχει», λέγει, «ὡς ἀνταπόδοσι μεγάλο μισθό». Τί σημαίνει αὐτό; Τότε θὰ τὰ λάβουμε, λέγει· λοιπόν, ἐὰν ἡ ἀνταμοιβὴ εἶναι μελλοντική, δὲν πρέπει νὰ τὴν ζητοῦμε ἐδῶ.

Ἔπειτα, γιὰ νὰ μὴ πῇ κάποιος, 'νά, ὅλα ἐκεῖνα ποὺ ἔπρεπε νὰ κάνουμε τὰ κάναμε', τοὺς προλαμβάνει καὶ σταματᾶ αὐτὴν τὴν σκέψι. Εἶναι σὰν νὰ τοὺς λέγῃ αὐτό. Ἐὰν γνωρίζετε ὅτι ἔχετε καλύτερη περιουσία στοὺς οὐρανούς, μὴ ζητᾶτε τίποτε ἐδῶ· «διότι ἔχετε ἀνάγκη ὑπομονῆς», ὄχι ἐπὶ πλέον ἀγῶνα, γιὰ νὰ μείνετε σταθεροὶ στοὺς ἀγῶνες σας αὐτούς, γιὰ νὰ μὴ χάσετε αὐτὸ ποὺ ἔχετε ἀναλάβει. Τίποτε ἄλλο δὲν χρειάζεσθε, παρὰ μόνο νὰ μείνετε σταθεροί, ὅπως μείνατε μέχρι τώρα, ὥστε, ἀφοῦ φθάσετε ὡς τὸ τέλος, νὰ λάβετε τὴν ἀμοιβὴ ποὺ ὁ Θεὸς ὑποσχέθηκε. «Χρειάζεσθε ὑπομονή», λέγει, «ὥστε, ἐφαρμόζοντας τὸ θέλημα τοῦ Θεοῦ, νὰ λάβετε τὴν ἀμοιβὴ ποὺ ὁ Θεὸς ὑποσχέθηκε». Ἄρα ἕνα μόνο πρᾶγμα χρειάζεσθε, τὸ νὰ περιμένετε τὴ μέλλουσα ζωή, ὄχι γιὰ ν᾽ ἀγωνισθῆτε πάλι. Βρίσκεσθε μπροστὰ στὸ στεφάνι, λέγει, ὑπομείνατε ὅλους τοὺς ἀγῶνες, τὰ δεσμά, τὶς θλίψεις, τὰ ὑπάρχοντά σας ὅλα ἁρπάχθηκαν· τί λοιπὸν ἀπομένει; Σταθήκατε πλέον γιὰ νὰ στεφανωθῆτε· γι᾽ αὐτὸ μόνο δείχνετε ὑπομονή, γιὰ τὸν χρόνο ἀπονομῆς τοῦ στεφάνου. Πῶ πῶ μέγεθος παρηγοριᾶς! Ἔτσι τοὺς προτρέπει, ὅπως θὰ μιλοῦσε κάποιος σ᾽ ἕναν ἀθλητὴ ποὺ νίκησε ὅλους τοὺς ἀντιπάλους του καὶ δὲν ἔχει κανέναν ἀνταγωνιστή, καὶ ἐνῶ πρόκειται ἀμέσως νὰ στεφανωθῇ, δὲν ἀντέχει νὰ περιμένῃ τὸν χρόνο ἐκεῖνον, κατὰ τὸν ὁποῖο ἔρχεται ὁ ἀγωνοθέτης καὶ τοῦ φορεῖ τὸ στεφάνι· μὴ μπορώντας λοιπὸν νὰ περιμένῃ, θέλει νὰ βγῇ καὶ νὰ φύγῃ, διότι δὲν ἀντέχει τὴν δίψα καὶ τὴν φλόγωσι.

Αὐτὸ λοιπὸν ὑπαινισσόμενος καὶ ὁ Παῦλος, τί λέγει; «Ἀκόμη λίγο κάνετε ὑπομονή, καὶ τόσο, ὅσο νὰ φθάσῃ αὐτὸς ποὺ ἔρχεται, καὶ δὲν θ᾽ ἀργήσῃ». Γιὰ νὰ μὴ λένε δηλαδή, 'καὶ πότε θὰ ἔλθῃ;' ἀπὸ τὶς ἴδιες τὶς Γραφὲς τοὺς παρηγορεῖ. Διότι τό, «τώρα βρίσκεται πιὸ

ται αὐτούς, ὡς ὀλίγου ὄντος τοῦ λειπομένου χρόνου. Καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ φησιν, ἀλλ' ἀπὸ τῶν Γραφῶν. Εἰ δὲ ἐξ ἐκείνου ἐλέγετο, «μικρὸν ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ», δῆλον ὅτι νῦν ἐγγύτερός ἐστιν. Ὥστε καὶ τὸ ἀναμένειν μισθός ἐστιν οὐ μι-
5 *κρός. «Ὁ δὲ δίκαιος», φησίν, «ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ». Μεγάλη αὕτη ἡ παράκλησις, ὅταν δεικνύῃ τις τὸ πᾶν κατωρθωκότας καὶ διὰ μικρᾶς ῥᾳθυμίας ἀπολλύντας αὐτό.*

«Ἡμεῖς δὲ οὐκ ἐσμεν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστε-
10 *ως εἰς περιποίησιν ψυχῆς». «Ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων. Ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι». Βαβαί! οἵᾳ λέξει ἐχρήσατο εἰπών, «ἔλεγχος οὐ βλεπομένων»· ἔλεγχος γὰρ λέγεται ἐπὶ τῶν λίαν δήλων. Ἡ πίστις τοίνυν ἐστὶν ὄψις τῶν ἀδήλων, φησί, καὶ εἰς τὴν*
15 *αὐτὴν τοῖς ὁρωμένοις φέρει πληροφορίαν τὰ μὴ ὁρώμενα. Οὔτε οὖν ἐν τοῖς ὁρωμένοις ἀπιστῆσαι ἔστιν, οὔτε πάλιν, εἰ μὴ τῶν ὁρωμένων σαφέστερον περὶ τῶν ἀοράτων πεπληροφόρηταί τις, πίστις εἶναι δύναται. Ἐπειδὴ γὰρ τὰ ἐν ἐλπίδι ἀνυπόστατα εἶναι δοκεῖ, ἡ πίστις ὑπόστασιν αὐτοῖς χαρίζεται· μᾶλλον δέ, οὐ χαρίζεται, ἀλλ'*
20 *αὐτό ἐστιν οὐσία αὐτῶν· οἷον, ἡ ἀνάστασις οὐ παραγέγονεν, οὐδέ ἐστιν ἐν ὑποστάσει, ἀλλ' ἡ ἐλπὶς ὑφίστησιν αὐτὴν ἐν τῇ ἡμετέρᾳ ψυχῇ. Τοῦτό ἐστιν ὑπόστασις πραγμάτων ἐλπιζομένων. Εἰ τοίνυν «ἔλεγχός ἐστιν οὐ βλεπομένων», τί δὴ βούλεσθε αὐτὰ ἰδεῖν, ἵνα ἐκπέσητε τῆς πίστεως καὶ τοῦ δίκαιοι εἶναι, εἴγε «ἐκ πίστεως ὁ δί-*
25 *καιος ζήσεται»; Ὑμεῖς δὲ εἰς βούλεσθε αὐτὰ ἰδεῖν, οὐκέτι ἐστὲ πιστοί. Ἐκάμετε, φησίν, ἠθλήσατε· κἀγὼ τοῦτό φημι· ἀλλὰ ἀναμείνατε· τοῦτο γάρ ἐστι πίστις· μὴ ἐνταῦθα ζητεῖτε τὸ πᾶν.*

3. Ταῦτα εἴρηται μὲν πρὸς Ἑβραίους, κοινὴ δέ ἐστι παραίνεσις καὶ πρὸς πολλοὺς τῶν ἐνταῦθα συνειλεγμένων. Πῶς καὶ τίνι

5. Ρωμ. 13,11.

κοντά μας ἡ σωτηρία»[5], ποὺ τὸ λέγει ἀλλοῦ, τοὺς παρηγορεῖ, διότι δείχνει ὅτι εἶναι λίγος ὁ χρόνος ποὺ ὑπολείπεται. Καὶ αὐτὸ δὲν τὸ λέγει ἀπὸ μόνος του, ἀλλὰ τὸ παίρνει ἀπὸ τὶς Γραφές. Ἐφ' ὅσον ἀπὸ ἐκεῖνον λεγόταν τὸ «ἀκόμη λίγο κάμετε ὑπομονή, τόσο, ὅσο νὰ ἔλθη ἐκεῖνος ποὺ ἔρχεται καὶ δὲν θὰ βραδύνη», εἶναι ὁλοφάνερο ὅτι βρίσκεται πιὸ κοντά μας τώρα. Ὥστε καὶ τὸ νὰ περιμένη κανεὶς εἶναι μισθὸς ὄχι μικρός. «Ὁ δίκαιος», λέγει, «θὰ σωθῆ καὶ θὰ ζήση διὰ τῆς πίστεώς του· καὶ ἐὰν δειλιάση κανεὶς καὶ ὀπισθοχωρήση, δὲν εὐαρεστεῖται ἡ ψυχή μου σ' αὐτόν». Εἶναι μεγάλη αὐτὴ ἡ μορφὴ παρηγοριᾶς, ὅταν δείχνη κανεὶς ἀνθρώπους ποὺ κατώρθωσαν τὸ πᾶν, καὶ κινδυνεύουν νὰ τὸ χάσουν ἀπὸ μικρὴ ἀμέλεια.

«Ἐμεῖς ὅμως δὲν εἴμαστε ἄνθρωποι ποὺ δειλιάζουμε, ὥστε νὰ ὑπάρχη κίνδυνος νὰ χαθοῦμε, ἀλλὰ μένουμε σταθεροὶ στὴν πίστι γιὰ νὰ σώσουμε τὶς ψυχές μας». «Ἡ πίστις κάνει πραγματικὰ ἐκεῖνα ποὺ ἐλπίζουμε καὶ βέβαια ἐκεῖνα ποὺ τώρα δὲν βλέπονται. Μὲ αὐτὴν ἔλαβαν καλὴ μαρτυρία οἱ παλαιότεροι». Πώ, πώ! Ποιά λέξι χρησιμοποίησε γιὰ νὰ πῆ, «ἔλεγχος οὐ βλεπομένων»· διότι τὸ «ἔλεγχος» χρησιμοποιεῖται σὲ περιπτώσεις ὁλοφάνερων πραγμάτων. Ἡ πίστις λοιπόν, λέγει, εἶναι τὸ μέσο μὲ τὸ ὁποῖο βλέπουμε τὰ μὴ φανερὰ καὶ κάμνει ἐξ ἴσου βέβαια τὰ μὴ βλεπόμενα μὲ τὰ βλεπόμενα. Οὔτε εἶναι δυνατὸ λοιπὸν νὰ μὴ πιστέψη κακεὶς σ' ἐκεῖνα ποὺ βλέπει, οὔτε πάλι εἶναι δυνατὸ νὰ πιστεύση, ἐὰν δὲν ἔχη σαφέστερη βεβαιότητα γιὰ τὰ ἀόρατα ἀπ' ὅ,τι γιὰ τὰ ὁρατά. Ἐπειδὴ δηλαδὴ τὰ ἐλπιζόμενα θεωροῦνται ἀνυπόστατα, ἡ πίστις δίνει σ' αὐτὰ ὑπόστασι· ἢ καλύτερα δὲν δίνει, ἀλλ' αὐτὸ εἶναι ἡ οὐσία τους. Γιὰ παράδειγμα, ἡ ἀνάστασις δὲν ἔχει γίνει, οὔτε ὑπάρχει ὡς ὑπόστασις, ἀλλ' ἡ ἐλπίδα τὴν τοποθετεῖ μέσα στὴν ψυχή μας. Αὐτὸ σημαίνει «ὑπόστασις ἐλπιζομένων πραγμάτων». Ἐφ' ὅσον λοιπὸν κάμνει βέβαια τὰ μὴ βλεπόμενα, γιατί θέλετε νὰ τὰ δῆτε, ὥστε ἔτσι νὰ ἐκπέσετε ἀπὸ τὴν πίστι καὶ ἀπὸ τοῦ νὰ εἶσθε δίκαιοι, ἐφ' ὅσον ὁ δίκαιος θὰ ζήση διὰ τῆς πίστεώς του; Ἐσεῖς ὅμως, ἐὰν θέλετε νὰ τὰ δῆτε αὐτά, δὲν εἶστε πιστοί. Ἐκοπιάσατε, λέγει, ἀγωνισθήκατε· κι' ἐγὼ τὸ λέγω αὐτό· ὅμως δείξατε ὑπομονή· διότι αὐτὸ εἶναι «πίστις»· μὴν τὰ ζητᾶτε ὅλα ἐδῶ.

3. Αὐτὰ ἔχουν λεχθῆ πρὸς τοὺς Ἑβραίους, ὅμως εἶναι κοινὴ προτροπὴ καὶ πρὸς πολλοὺς ἀπὸ τοὺς ἐδῶ συγκεντρωμένους. Πῶς καὶ

τρόπῳ; Πρὸς τοὺς ὀλιγοψύχους, πρὸς τοὺς μικροψύχους. Ὅταν γὰρ ἴδωσι πονηροὺς εὐπραγοῦντας, ἑαυτοὺς δὲ δυσπραγοῦντας, ἀλύουσι, δυσαναισχετοῦσιν· ὅταν ποθῶσιν ἐκείνων τὴν κόλασιν καὶ τὴν ἐκδικίαν, ἢ ὅταν τῶν οἰκείων πόνων τοὺς μισθοὺς ἐκδέχωνται.
5 *«Ἔτι μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ», εἶπε τότε ὁ Παῦλος. Καὶ ἡμεῖς τοίνυν πρὸς τοὺς ῥαθύμους ταῦτα λέγωμεν· πάντως ἔσται κόλασις, πάντως ἥξει, ἐπὶ θύραις λοιπὸν τὰ τῆς ἀναστάσεως. Πόθεν δῆλον, φησίν; Οὐ λέγω ἀπὸ προφητῶν· οὔτε γὰρ πρὸς Χριστιανοὺς μόνον μοι νῦν ὁ λόγος, ἀλλὰ κἂν Ἕλλην ᾖ,*
10 *θαρρῶ πάνυ καὶ τὰς ἀποδείξεις παρέχω, καὶ διδάξω αὐτόν· καὶ πῶς, ἄκουε. Πολλὰ προεῖπεν ὁ Χριστός. Εἰ μὴ ἐξέβη ἐκεῖνα, μηδὲ τούτοις πιστεύσῃς· εἰ δὲ πάντα ἐξέβη, τί περὶ τῶν λειπομένων ἀμφιβάλλεις; Καίτοι πολὺ ἀπίθανον ἦν, μηδενὸς ἐκβάντος, περὶ ἐκείνων πιστεύειν, ἢ ὅτε πάντα ἐξέβη, τούτοις ἀπιστεῖν. Μᾶλλον δὲ ἐπὶ*
15 *ὑποδείγματος ποιήσω τὸ πρᾶγμα φανερόν.*

Εἶπεν, ὁ Χριστὸς ὅτι τὰ Ἱεροσόλυμα ἁλώσεται, καὶ ἁλώσεται ἅλωσιν οἵαν οὐδέποτε, καὶ ὅτι οὐκ ἔτι ἀναστήσεται· καὶ ἐξέβη εἰς ἔργον ἡ πρόρρησις. Εἶπεν ὅτι θλῖψις ἔσται μεγάλη, καὶ ἐξέβη. Εἶπεν ὅτι καθάπερ σίνηπι σπαρέν, οὕτως ἐκταθήσεται τὸ κήρυγμα·
20 *καὶ τοῦτο ὁρῶμεν καθ' ἑκάστην ἡμέραν τὴν οἰκουμένην ἐπιτρέχον. Εἶπεν ὅτι οἱ καταλιπόντες πατέρα ἢ μητέρα ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἕξουσι καὶ πατέρας καὶ μητέρας· καὶ τοῦτο διὰ τῶν ἔργων ὁρῶμεν πληρούμενον. Εἶπεν, ὅτι «ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον», τουτέστιν, οὐδεὶς ὑμῶν περιέσται·*
25 *καὶ τοῦτο διὰ τῶν πραγμάτων ὁρῶμεν ἐκβεβηκός. Εἶπεν ὅτι «πύλαι ᾅδου οὐ καταισχύσουσι τῆς Ἐκκλησίας», καὶ ταῦτα διωκομένης, καὶ ὅτι οὐδεὶς σβέσει τὸ κήρυγμα· καὶ μαρτυρεῖ καὶ ταύτῃ τῇ προρρήσει ἡ τῶν πραγμάτων πεῖρα. Καίτοι σφόδρα ἀπίθανος ἦν ταῦτα λέγων τότε. Διὰ τί; Ὅτι πάντα λόγοι ἦσαν, καὶ οὐδέπω ἀπό-*

6. Ἰω. 16,33.

μὲ ποιό τρόπο; Ἀπευθύνονται πρὸς τοὺς ὀλιγόψυχους, πρὸς τοὺς μικρόψυχους. Διότι, ὅταν βλέπουν τοὺς πονηροὺς νὰ εὐτυχοῦν καὶ τοὺς ἑαυτούς τους νὰ δυστυχοῦν, ταράσσονται, δυσανασχετοῦν· ὅταν ποθοῦν τὴν τιμωρία τῶν πονηρῶν καὶ τὴν ἐκδίκησι ἢ ὅταν περιμένουν τοὺς μισθοὺς τῶν κόπων τους. «Ἀκόμη λίγος χρόνος ὑπολείπεται καὶ ὁ Κύριος ποὺ τὸν περιμένουμε θὰ ἔλθη, καὶ δὲν θ' ἀργήσῃ», εἶπε τότε ὁ Παῦλος. Καὶ ἐμεῖς λοιπὸν τὰ ἴδια λέμε πρὸς τοὺς ἀμελεῖς· 'Ὁπωσδήποτε θὰ ὑπάρξῃ κόλασις, ὁπωσδήποτε θὰ ἔλθη, βρίσκετα μπροστὰ στὶς πόρτες μας ἡ ἀνάστασις'. Ἀπὸ ποῦ, λέγει, εἶναι φανερό; Δὲν λέγω ἀπὸ τοὺς προφῆτες· διότι ὁ λόγος μου αὐτὸς δὲν ἀπευθύνεται μόνο πρὸς Χριστιανούς, ἀλλὰ καὶ ἂν ὑπάρχη κάποιος Ἐθνικός, ἔχω μεγάλο θάρρος, καὶ θὰ τοῦ παρουσιάσω τὶς ἀποδείξεις καὶ θὰ τὸν διδάξω· καὶ πῶς, ἄκουε. Πολλὰ προεῖπε ὁ Χριστός. Ἐὰν δὲν πραγματοποιήθηκαν ἐκεῖνα, μὴ πιστεύσῃς καὶ σ' αὐτά· ἐὰν ὅμως πραγματοποιήθηκαν ὅλα, γιατί ἀμφιβάλλεις γιὰ τὰ ὑπόλοιπα; Ἂν καὶ βέβαια θὰ ἦταν πολὺ πιὸ δύσκολο νὰ πιστεύουμε σ' ἐκεῖνα χωρὶς νὰ ἔχη πραγματοποιηθῆ τίποτε, παρὰ ν' ἀπιστοῦμε σ' αὐτά, τὴ στιγμὴ ποὺ ἔχουν πραγματοποιηθῆ ὅλα. Ἢ καλύτερα θὰ σᾶς τὸ κάνω φανερὸ τὸ πρᾶγμα μὲ παράδειγμα.

Εἶπε ὁ Χριστός, ὅτι θὰ καταστραφοῦν τὰ Ἱεροσόλυμα, καὶ ὅτι θὰ καταστραφοῦν ἔτσι, ποὺ δὲν καταστράφηκαν ποτὲ ἄλλοτε, καὶ ὅτι δὲν θὰ ἀνοικοδομηθοῦν πιά· καὶ πραγματοποιήθηκε ἡ προφητεία του. Εἶπε ὅτι θὰ γίνη θλῖψις μεγάλη, καὶ ἔγινε. Εἶπε ὅτι τὸ κήρυγμα θὰ ἐπεκταθῆ ὅπως ἀκριβῶς ὁ σπόρος τοῦ σιναπιοῦ ποὺ σπέρνεται· καὶ βλέπουμε καθημερινὰ τὸ κήρυγμα νὰ διατρέχη ὅλη τὴν οἰκουμένη. Εἶπε ὅτι ἐκεῖνοι ποὺ θὰ ἐγκαταλείψουν τὸν πατέρα ἢ τὴ μητέρα τους ἢ τὰ ἀδέλφια ἢ τὶς ἀδελφές τους, θὰ ἔχουν καὶ πατέρες καὶ μητέρες· καὶ αὐτὸ τὸ βλέπουμε νὰ γίνεται πραγματικότητα. Εἶπε, «μέσα στὸν κόσμο θὰ δοκιμάσετε θλῖψι· ἀλλ' ἔχετε θάρρος· ἐγὼ νίκησα τὸν κόσμο»[6], δηλαδή, 'κανεὶς δὲν θὰ σᾶς καταβάλη'· καὶ αὐτὸ τὸ βλέπουμε ἀπὸ τὰ ἴδια τὰ πράγματα νὰ γίνεται πραγματικότητα. Εἶπε ὅτι «οἱ πύλες τοῦ ἅδη δὲν θὰ ὑπερισχύσουν τῆς Ἐκκλησίας», καὶ ὅλα αὐτὰ ἂν καὶ διωκόταν ἡ Ἐκκλησία, καὶ ὅτι κανεὶς δὲν θὰ σβήσῃ τὸ κήρυγμα· καὶ τὴν ἐπιβεβαιώνει καὶ αὐτὴν τὴν προφητεία ἡ ἴδια ἡ πεῖρα τῶν πραγμάτων. Ἂν καὶ βέβαια φαινόταν ὑπερβολικὰ ἀπίστευτα αὐτὰ λεγόμενα τότε. Γιατί; Διότι ὅλα

δειξιν παρείχετο τῶν λεχθέντων. Ὥστε πολλῷ μᾶλλον πιστότερα γέγονε νῦν.

Εἶπεν ὅτι «ὅταν κηρυχθῇ τὸ Εὐαγγέλιον ἐν πᾶσι τοῖς ἔθνεσι, τότε ἥξει τὸ τέλος»· καὶ ἰδοὺ πρὸς τὸ τέλος λοιπὸν ἐφθάσαμεν. Τὸ
5 *γὰρ πλέον τῆς οἰκουμένης κατηγγέλη· λοιπὸν οὖν τὸ τέλος ἐνέστηκε. Φρίξωμεν, ἀγαπητοί. Τί δέ, εἰπέ μοι; Περὶ συντελείας σὺ μεριμνᾷς; Καὶ αὕτη μὲν γὰρ ἐγγὺς πάρεστιν, ἡ δὲ ἑκάστου ζωὴ ἐγγυτέρα πολλῷ καὶ ἡ τελευτή. «Αἱ ἡμέραι γὰρ τῶν ἐτῶν ἡμῶν», φησίν, «ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοή-*
10 *κοντα ἔτη». Ἐγγὺς ἡ ἡμέρα τῆς κρίσεως· κἂν οὕτω φοβηθῶμεν. «Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;». Πολλὰ μετανοήσομεν ἐκεῖ· ἀλλ' ἐν τῷ θανάτῳ οὐδεὶς ἐξομολογήσεται αὐτῷ. Διὰ τοῦτο λέγει. «Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει»· τουτέστι, τὴν παρουσίαν αὐτοῦ. Ἐνταῦθα μὲν γὰρ ὅπερ ἐὰν*
15 *ποιήσωμεν, ἔχει ἰσχύν, ἐκεῖ δὲ οὐκέτι.*

Εἴ τις ἡμᾶς, εἰπέ μοι, ἐν καμίνῳ φλεγομένῃ μικρὸν στήσειε χρόνον, οὐχὶ πάντα ὑποστησόμεθα ὑπὲρ τῆς ἀπαλλαγῆς, κἂν χρήματα δέῃ προέσθαι, κἂν δουλείαν ὑποστῆναι; Πόσοι νόσοις περιέπεσον χαλεπαῖς καὶ πάντα ἑτοίμως εἵλοντο δοῦναι ἄν, ὥστε
20 *ἀπαλλαγῆναι, εἴγε αἵρεσις προὔκειτο; Εἰ τοίνυν ἐνταῦθα νόσος ὀλιγοχρόνιος οὕτως ἡμᾶς ἀνιᾷ, τί ποιήσομεν ἐκεῖ, ὅταν μηδὲν ὄφελος ᾖ τῆς μετανοίας; Πόσων νῦν γέμομεν κακῶν καὶ οὐκ αἰσθανόμεθα; Ἀλλήλους δάκνομεν, ἀλλήλους κατεσθίομεν ἀδικοῦντες, κατηγοροῦντες, διαβάλλοντες, ταῖς τῶν πλησίον δόξαις δακνόμενοι. Καὶ*
25 *ὅρα τὸ χαλεπόν· ὅταν βουληθῇ τις διορῦξαι τοῦ πλησίον τὴν ὑπόληψιν, φησί· 'Τόδε εἶπεν ὁ δεῖνα περὶ αὐτοῦ, ὁ Θεὸς συγχώρησόν μοι, μή με ἐξετάσῃς, ἀκοῆς λόγον ὀφείλω'. Τί οὖν λέγεις ὅλως, εἰ οὐ πιστεύεις; Τί λέγεις; τί πιστὸν αὐτὸ ἐργάζῃ τῇ πολλῇ φήμῃ; τί διαπορθμεύεις τὸν λόγον οὐκ ἀληθῆ ὄντα; Σὺ ἀπιστεῖς καὶ τὸν Θὲν*

7. Ματθ. 24,14.
8. Ψαλμ. 89,10.
9. Ψαλμ. 48,8.
10. Ψαλμ. 94,2.

ἦταν λόγια καὶ καμμιὰ ἀπόδειξις δὲν παρείχετο γιὰ τὰ λεχθέντα. Ὥστε πολὺ περισσότερο ἀξιόπιστα ἔγιναν τώρα.

Εἶπε ὅτι, «ὅταν θὰ κηρυχθῆ τὸ εὐαγγέλιο σὲ ὅλα τὰ ἔθνη, τότε θὰ ἔλθη τὸ τέλος»[7]· καὶ νά, φθάσαμε πλέον πρὸς τὸ τέλος. Διότι τὸ εὐαγγέλιο ἔχει κηρυχθῆ στὸ μεγαλύτερο μέρος τῆς οἰκουμένης· ἄρα λοιπὸν τὸ τέλος πλησιάζει. Ἂς φρίξουμε, ἀγαπητοί. Ἀλλά τί, πές μου; ἐσὺ φροντίζεις γιὰ τὴν συντέλεια; Καὶ αὐτὴ βέβαια πλησιάζει, ἡ ζωὴ ὅμως τοῦ καθενὸς καὶ τὸ τέλος του εἶναι πολὺ πιὸ κοντά. Διότι λέγει, «οἱ ἡμέρες τῶν ἐτῶν τῆς ἐδῶ ζωῆς μας ἀνέρχονται κατὰ μέσο ὅρο σὲ ἑβδομήντα ἔτη· καὶ ἐὰν κάποιος εἶναι δυνατῆς κράσεως θὰ ἀνέλθουν σὲ ὀγδόντα ἔτη»[8]. Πλησιάζει ἡ ἡμέρα τῆς κρίσεως· ἔστω καὶ ἔτσι ἂς φοβηθοῦμε. «Ὁ ἀδελφὸς δὲν μπορεῖ νὰ σὲ λυτρώση, καὶ θὰ σὲ λυτρώση ἄνθρωπος ξένος;»[9]. Πολὺ θὰ μετανοήσουμε ἐκεῖ· ἀλλὰ μετὰ τὸν θάνατο κανεὶς δὲν θὰ μπορέση νὰ ἐξομολογηθῆ γιὰ νὰ συγχωρηθῆ. Γι' αὐτὸ λέγει· «ἂς προφθάσουμε τὸν Κύριο μὲ τὴν ἐξομολόγησι τῶν ἁμαρτιῶν μας»[10]· δηλαδή, τὴν παρουσία του. Διότι ὅ,τι θὰ κάνουμε ἐδῶ, ἔχει δύναμι, ἐνῶ ὅ,τι θὰ κάνουμε ἐκεῖ δὲν ἔχει.

Πές μου, ἐὰν κάποιος μᾶς τοποθετοῦσε γιὰ λίγο χρόνο μέσα σὲ ἀναμμένο καμίνι, δὲν θὰ κάμναμε τὰ πάντα γιὰ ν' ἀπαλλαγοῦμε, κι' ἂν ἀκόμη χρειαζόταν νὰ προσφέρουμε χρήματα ἢ νὰ γίνουμε δοῦλοι; Πόσοι, ποὺ προσβλήθηκαν ἀπὸ φοβερὲς ἀσθένειες, θὰ προτιμοῦσαν νὰ δώσουν τὸ πᾶν, γιὰ ν' ἀπαλλαγοῦν ἀπὸ αὐτές, ἐφ' ὅσον βέβαια ὑπῆρχε δυνατότητα ἐκλογῆς; Ἐὰν λοιπὸν ἐδῶ μιὰ ὀλιγοχρόνια ἀσθένεια τόσο πολὺ μᾶς στενοχωρεῖ, τί θὰ κάνουμε ἐκεῖ, ἀφοῦ σὲ τίποτε δὲν θὰ μᾶς ὠφελήση ἡ μετάνοια; Ἀπὸ πόσα κακὰ τώρα εἴμαστε γεμᾶτοι καὶ δὲν τὸ αἰσθανόμαστε; Δαγκώνουμε ὁ ἕνας τὸν ἄλλο, κατατρωγόμαστε ἀδικώντας καὶ κατηγορώντας καὶ διαβάλλοντας ὁ ἕνας τὸν ἄλλο, ἐπειδὴ μᾶς πληγώνουν οἱ δόξες τῶν ἄλλων. Καὶ πρόσεχε τὸ φοβερό· ὅταν κάποιος θελήση νὰ ὑποσκάψη τὴν ὑπόληψι τοῦ πλησίον του, λέγει· 'αὐτὸ εἶπε ὁ τάδε γι' αὐτόν· Θεέ μου, συγχώρησέ με, μὴ μοῦ τὸ καταλογίσης, ὀφείλω νὰ πῶ αὐτὸ ποὺ ἄκουσα'. Γιατί τότε τὸ λές, ἐὰν δὲν τὸ πιστεύης; γιατί τὸ ἀνακοινώνεις; γιατί τὸ κάνεις πιστευτὸ μὲ τὴν ἐπέκτασι τῆς φήμης του; γιατί μεταδίδεις τὸν λόγο ἀφοῦ δὲν εἶναι ἀληθινός; Ἐσὺ ἀμφι-

παρακαλεῖς ὥστε σε μὴ ἐξετάσαι; Μὴ λέγε τοίνυν, ἀλλὰ σιώπα, καὶ παντὸς δέους ἀπήλλαξα.

4. Ἀλλ' οὐκ οἶδα πόθεν ἡ νόσος αὕτη ἐν τοῖς ἀνθρώποις ἐμπέπτωκε· φλύαροι γεγόναμεν, οὐδὲν ἡμῶν ἐναπομένει τῇ ψυχῇ. 5 Ἄκουε σοφοῦ τινος παραινοῦντος καὶ λέγοντος, «ἤκουσας λόγον; Ἐναποθέτω σοι· θάρσει, οὐ μή σε ρήξη»· καὶ πάλιν, «ἤκουσε λόγον ὁ μωρός, καὶ ὠδίνησεν, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα». Πρὸς κατηγορίας ἐσμὲν ἕτοιμοι, πρὸς κατακρίσεις παρεσκευασμένοι. Κἂν μηδὲν ἡμῖν ἕτερον εἰργασμένον εἴη κακόν, τοῦτο 10 ἱκανὸν ἦν ἡμᾶς ἀπολέσαι καὶ εἰς γέενναν ἀπαγαγεῖν, τοῦτο μυρίοις περιβαλεῖν κακοῖς. Καὶ ἵνα μάθῃς ἀκριβῶς, ἄκουε τοῦ προφήτου λέγοντος, «καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις». Ἀλλ' οὐκ ἐγώ, φησίν, ἀλλ' ἐκεῖνος. Σὺ μὲν οὖν· εἰ γὰρ μὴ σὺ εἶπες, ἕτερος οὐκ ἂν ἤκουσεν· εἰ δὲ καὶ ἔμελλεν ἀκούειν, ἀλλὰ σὺ τῆς ἁμαρ-15 τίας οὐκ ἦς αἴτιος. Δέον συσκιάζειν καὶ συγκρύπτειν τὰ ἐλαττώματα τῶν πλησίον, σὺ δὲ ἐκπομπεύεις προσχήματι φιλαγαθίας; Οὐ γίνῃ κατήγορος, ἀλλὰ φλύαρος, ἀλλὰ λῆρος, ἀλλὰ μωρός. Ὢ δεινότης! σαυτὸν αἰσχύνεις μετ' ἐκείνου καὶ οὐκ αἰσθάνῃ;

Ὅρα δὲ ὅσα τὰ κακὰ ἐντεῦθεν γίνεται· παροργίζεις τὸν Θεόν, 20 λυπεῖς τὸν πλησίον, ὑπεύθυνον σεαυτὸν τῇ κολάσει ποιεῖς. Οὐκ ἀκούεις Παύλου λέγοντος περὶ χηρῶν γυναικῶν; «Οὐ μόνον δὲ ἀργαί», φησί, «μανθάνουσιν, ἀλλὰ καὶ φλύαροι καὶ περίεργοι, περιερχόμεναι τὰς οἰκίας καὶ λαλοῦσαι τὰ μὴ δέοντα»; Ὥστε καὶ ὅταν πιστεύσῃς τοῖς λεγομένοις κατὰ τοῦ ἀδελφοῦ σου, οὐδὲ οὕτω λέγειν 25 χρή, μήτιγε ἀπιστοῦντα. Ἀλλὰ τὸ σαυτοῦ πανταχοῦ σκοπεῖς, δεδοικὼς ἐξετασθῆναι παρὰ τοῦ Θεοῦ; Δεῖσον οὖν μὴ καὶ ὑπὲρ τῆς φλυαρίας ἐξετασθῇς. Ἐνταῦθα γὰρ οὐκ ἔχεις εἰπεῖν, ὅτι 'Μή με ἐξετάσῃ ὁ Θεὸς ὑπὲρ τῆς φλυαρίας'· τὸ γὰρ πρᾶγμα φλυαρία ἐστί. Τί ἐξεπόμπευσας; τί ηὔξησας τὸ δεινόν; Τοῦτο ἡμᾶς ἀπολέσαι ἔχει. 30 Διὰ τοῦτο ἔλεγεν ὁ Χριστός· «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε». Ἀλλ' οὐδεὶς ἡμῖν τούτου λόγος, οὐδὲ τὰ κατὰ τὸν Φαρισαῖον ἡμᾶς σωφρονίζει. Ἐκεῖνος εἶπεν ἀληθὲς πρᾶγμα, «ὅτι οὐκ εἰμι ὡς ὁ τε-

11. Σοφ. Σειρὰχ 19,10-11.
12. Ψαλμ. 49,20.
13. Α' Τιμόθ. 5,13.
14. Ματθ. 7,1.

βάλλεις καὶ παρακαλεῖς τὸν Θεὸ νὰ μὴ σὲ κρίνη; Μὴν τὸ διαδίδης λοιπόν, ἀλλὰ σιώπα, καὶ θὰ εἶσαι ἀπαλλαγμένος ἀπὸ κάθε φόβο.

4. Ἀλλὰ δὲν γνωρίζω ἀπὸ ποῦ ἡ νόσος αὐτὴ κυρίευσε τοὺς ἀνθρώπους· ἔχουμε γίνει φλύαροι, τίποτε δὲν μένει μέσα στὴν ψυχή μας. Ἄκουσε τὰ λόγια κάποιου σοφοῦ ποὺ συμβουλεύει καὶ λέγει, «ἄκουσες λόγο; ἂς πεθάνη μέσα σου· ἔχε θάρρος, δὲν θὰ σὲ συντρίψη»· καὶ πάλι, «ἄκουσε λόγο ὁ μωρὸς καὶ πόνεσε πολύ, ὅπως πονᾶ ἐκείνη ποὺ γεννᾶ τὸ βρέφος»[11]. Εἴμαστε ἕτοιμοι γιὰ κατηγορίες, εἴμαστε ἕτοιμοι γιὰ κατακρίσεις. Κι' ἂν ἀκόμη κανένα ἄλλο κακὸ δὲν θὰ ἔχουμε κάνει, αὐτὸ θὰ ἦταν ἀρκετὸ γιὰ νὰ μᾶς καταδικάση καὶ νὰ μᾶς ὁδηγήση στὴ γέεννα, αὐτὸ μπορεῖ νὰ μᾶς περιβάλη μὲ μύρια κακά. Καὶ γιὰ νὰ τὸ μάθης μὲ ἀκρίβεια, ἄκουσε τὸν προφήτη ποὺ λέγει· «καθόσουν καὶ κακολογοῦσες τὸν ἀδελφό σου»[12]. Ὅμως, θὰ πῆς, ὄχι ἐγώ, ἀλλ' ἐκεῖνος. Καὶ βέβαια ἐσὺ τὸ κάνεις· διότι, ἐὰν ἐσὺ δὲν ἔλεγες, ὁ ἄλλος δὲν θὰ τὸ ἄκουγε· ἀλλὰ καὶ ἂν συνέβαινε νὰ τὸ ἀκούση, ὅμως ἐσὺ δὲν θὰ ἦσουν αἴτιος τῆς ἁμαρτίας. Πρέπει νὰ σκεπάζουμε καὶ νὰ ἀποκρύπτουμε τὰ ἐλαττώματα τῶν συνανθρώπων μας, κι' ἐσὺ μὲ τὸ πρόσχημα τῆς φιλαγαθίας τὰ κοινολογεῖς; Δὲν γίνεσαι κατήγορος, ἀλλὰ φλύαρος, ἀνόητος, μωρός. Τί φοβερό! Ντροπιάζεις μαζὶ μ' ἐκεῖνον τὸν ἑαυτό σου καὶ δὲν τὸ αἰσθάνεσαι.

Πρόσεχε πόσα κακὰ προέρχονται ἀπ' αὐτό· ἐξοργίζεις τὸν Θεό, στενοχωρεῖς τὸν πλησίον, κάνεις τὸν ἑαυτό σου ὑπεύθυνο γιὰ τὴν κόλασι. Δὲν ἀκοῦς τὸν Παῦλο ποὺ λέγει γιὰ τὶς χῆρες γυναῖκες; «Ὄχι μόνο», λέγει, «γίνονται ἀργόσχολες, ἀλλὰ καὶ φλύαρες καὶ περίεργες, πηγαίνοντας ἀπὸ σπίτι σὲ σπίτι καὶ λέγοντας ἐκεῖνα ποὺ δὲν πρέπει»[13]. Ὥστε, κι' ὅταν πιστέψης αὐτὰ ποὺ λέγονται κατὰ τοῦ ἀδελφοῦ σου, οὔτε τότε πρέπει νὰ τὰ κοινολογῆς, καὶ ἀσφαλῶς οὔτε ὅταν δὲν τὰ πιστεύης. Ἀλλὰ παντοῦ μόνο τὸν ἑαυτό σου σκέφτεσαι, φοβούμενος μήπως κατακριθῆς ἀπὸ τὸν Θεό; Νὰ φοβᾶσαι μήπως κατακριθῆς καὶ γιὰ τὴν φλυαρία σου. Καθόσον ἐδῶ δὲν μπορεῖς νὰ πῆς, ὅτι 'δὲν θὰ μὲ ἀνακρίνη ὁ Θεὸς γιὰ τὴ φλυαρία· διότι ἡ πρᾶξις αὐτὴ εἶναι φλυαρία. Γιατί τὸ κοινολόγησες; γιατί μεγάλωσες τὸ κακό; Αὐτὸ ἔχει τὴ δύναμι νὰ μᾶς καταστρέψη. Γι' αὐτὸ ἔλεγε ὁ Χριστός· «μὴ κρίνετε, γιὰ νὰ μὴ κριθῆτε»[14]. Ἀλλὰ κανένας λόγος τοῦ Χριστοῦ οὔτε αὐτὰ ποὺ λέχθηκαν ἐναντίον τοῦ Φαρισαίου μᾶς σωφρονίζουν. Ἐκεῖνος εἶπε μιὰ ἀλήθεια, «δὲν εἶμαι ὅπως αὐτὸς

λώνης οὗτος», καὶ εἶπεν ἀκούοντος οὐδενός, καὶ κατεκρίθη. Εἰ τὸ ἀληθὲς εἰρηκὼς κατεκρίθη, καὶ μηδενὸς ἀκούοντος εἰπών, οἱ τὰ ψευδῆ, καὶ ὑπὲρ ὧν οὐκ εἰσι πεπεισμένοι ταῦτα διαπορθμεύοντες πανταχοῦ, καθάπερ γυναῖκες φλύαροι, τί οὐ πείσονται δεινόν; τί δὲ 5 οὐχ ὑπομενοῦσι;

Θῶμεν λοιπὸν τῷ στόματι θύραν καὶ μοχλόν· μυρία γὰρ ἀπὸ φλυαρίας γέγονε κακά· οἰκίαι ἀνετράπησαν, φιλίαι διεσπάσθησαν, ἕτερα μυρία χαλεπὰ γέγονε. Μὴ περιεργάζου τὰ τοῦ πλησίον, ἄνθρωπε. Ἀλλὰ λάλος εἶ καὶ ἐλάττωμα ἔχεις; Λάλει τὰ σὰ πρὸς τὸν 10 Θεόν· οὕτως οὐκέτι ἔσται τὸ ἐλάττωμα, ἀλλὰ πλεονέκτημα· λάλει τὰ σὰ πρὸς τοὺς φίλους τοὺς πάνυ φίλους καὶ δικαίους καὶ οἷς θαρρεῖς, ὥστε εὔξασθαι ὑπὲρ τῶν σῶν ἁμαρτημάτων. Ἂν τὰ ἑτέρων εἴπῃς, οὐδὲν ὠφελήθης, οὐδὲν ἐκέρδανας, ἀλλὰ καὶ ἀπώλου· ἂν τὰ σαυτοῦ ἐξαγορεύσῃς τῷ Δεσπότῃ, πολὺν ἔχεις τὸν μισθόν· «εἶπα» 15 γάρ, φησίν, «ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου». Θέλεις κρίνειν; Τὰ σαυτοῦ κρίνε· οὐδείς σοι ἐγκαλεῖ, ἐὰν καταδικάσῃς σαυτόν· ἐγκαλεῖ δέ, ἐὰν μὴ καταδικάσῃς σαυτόν· ἐγκαλεῖ, ἐὰν μὴ ἐλέγξῃς σαυτόν· ἐγκαλεῖ ἂν οὐκ ἀλγήσῃς. Εἶδες τὸν δεῖνα ὀργιζόμενον, παροξυνόμε-20 νον, ἢ ἄλλο τι ἄτοπον ποιοῦντα; Ἐννόησον εὐθέως καὶ σὺ τὰ σαυτοῦ, καὶ οὕτως οὐδὲ ἐκεῖνον καταδικάσεις σφοδρῶς, καὶ σαυτὸν ἐλευθερώσεις τοῦ φορτίου τῶν ἡμαρτημένων.

Ἂν οὕτω τὸν ἑαυτῶν ρυθμίζωμεν βίον, ἂν οὕτω πραγματευώμεθα ἡμῶν τὴν ζωήν, ἂν κατακρίνωμεν ἑαυτούς, οὐ πολλὰ ἁμαρ-25 τησόμεθα ἴσως, πολλὰ δὲ ἐργασόμεθα καλά, ἐπιεικεῖς ὄντες καὶ μέτριοι, καὶ πάντων ἀπολαύσομεν τῶν ἐπηγγελμένων τοῖς ἀγαπῶσι τὸν Θεὸν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς 30 αἰῶνας τῶν αἰώνων. Ἀμήν.

15. Ψαλμ. 31,5.

ἐδῶ ὁ τελώνης», καὶ καταδικάσθηκε, ἂν καὶ δὲν ἄκουσε ἀπὸ κανέναν τὰ ὅσα εἶπε. Ἐὰν ἐκεῖνος ποὺ εἶπε μιὰ ἀλήθεια, χωρὶς νὰ τὴν ἀκούση ἀπὸ κανέναν, καταδικάσθηκε, αὐτοὶ ποὺ λένε ψέματα καὶ διαδίδουν παντοῦ ἐκεῖνα ποὺ οὔτε οἱ ἴδιοι τὰ πιστεύουν, σὰν φλύαρες γυναῖκες, τί φοβερὸ δὲν θὰ πάθουν; καὶ τί δὲν θὰ ὑποστοῦν;

Ἂς βάλουμε λοιπὸν στὸ στόμα μας θύρα καὶ κλειδαριά· διότι ἀπὸ τὴ φλυαρία προῆλθαν μύρια κακά· σπίτια ἀνατράπηκαν, φιλίες διασπάσθηκαν, καὶ ἄλλα πάρα πολλὰ κακὰ συνέβηκαν. Μὴν ἀσχολῆσαι, ἄνθρωπε, μὲ περιέργεια μὲ τὰ τοῦ πλησίον σου. Ἀλλὰ εἶσαι φλύαρος καὶ ἔχεις αὐτὸ τὸ ἐλάττωμα; Λέγε τὰ δικά σου στὸν Θεό· ἔτσι δὲν θὰ σοῦ εἶναι αὐτὸ ἐλάττωμα, ἀλλὰ πλεονέκτημα. Λέγε τὰ δικά σου πρὸς τοὺς φίλους σου, τοὺς πολὺ φίλους καὶ δικαίους, καὶ σ' αὐτοὺς ποὺ ἔχεις θάρρος, γιὰ νὰ προσευχηθοῦν γιὰ τὶς ἁμαρτίες σου. Ἂν πῆς τὶς ἁμαρτίες τῶν ἄλλων, ὄχι μόνο δὲν ὠφελήθηκες, ὄχι μόνο δὲν κέρδισες τίποτε, ἀλλὰ καὶ ἔχασες· ἂν ἐξομολογηθῆς τὶς δικές σου ἁμαρτίες στὸν Κύριο, θὰ ἔχης μεγάλο μισθό· διότι λέγει, «εἶπα θὰ ἐξομολογηθῶ στὸν Κύριο σὲ βάρος μου τὴν παρανομία μου· καὶ σὺ συγχώρησες ἀμέσως τὴν ἀσέβεια τῆς καρδιᾶς μου»[15]. Θέλεις νὰ κρίνης; Κρίνε τὰ δικά σου· κανεὶς δὲν θὰ σὲ κατηγορήση, ἐὰν καταδικάσης τὸν ἑαυτό σου· ἀπεναντίας θὰ σὲ κατηγορήση, ἐὰν δὲν καταδικάσης τὸν ἑαυτό σου· θὰ σὲ κατηγορήση, ἐὰν δὲν ἐλέγξης τὸν ἑαυτό σου· θὰ σὲ κατηγορήση, ἐὰν δὲν πονέσης. Εἶδες κάποιον νὰ ὀργίζεται, νὰ παραφέρεται, ἢ νὰ κάνη κάτι ἄλλο παράλογο; Θυμήσου ἀμέσως καὶ ἐσὺ τὰ δικά σου, καὶ τότε οὔτε ἐκεῖνον ὑπερβολικὰ θὰ καταδικάσης, ἀλλὰ καὶ τὸν ἑαυτο σου θὰ ἐλευθερώσης ἀπὸ τὸ φορτίο τῶν σφαλμάτων ποὺ ἔχει διαπράξει.

Ἂν ρυθμίζουμε ἔτσι τὴ ζωή μας, ἂν ἀσχολούμαστε ἔτσι μὲ τὴ ζωή μας, ἂν κατακρίνουμε τοὺς ἑαυτούς μας, ἴσως δὲν θὰ διαπράξουμε πολλὲς ἁμαρτίες, ἀπεναντίας θὰ κάνουμε πολλὰ καλά, μὲ τὸ νὰ εἴμαστε ἐπιεικεῖς καὶ μετριόφρονες, καὶ θ' ἀπολαύσουμε ὅλα τὰ ἀγαθὰ ποὺ ὑποσχέθηκε ὁ Θεὸς σ' ἐκείνους ποὺ τὸν ἀγαποῦν, τὰ ὁποῖα εὔχομαι ὅλοι μας ν' ἀπολαύσουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα, συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΒ'

(Ἑβρ. 11,3–6)

«Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι τοῦ Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· 5 καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται».

1. Τὸ τῆς πίστεως γενναίας καὶ νεανικῆς δεῖται ψυχῆς καὶ πάντα ὑπερβαινούσης τὰ αἰσθητά, καὶ τὴν ἀσθένειαν τῶν λογισμῶν τῶν ἀνθρωπίνων παρερχομένης. Οὐ γὰρ ἔστιν ἑτέρως γενέσθαι πιστόν, ἂν μή τις ἑαυτὸν τῆς συνηθείας ὑπεραναγάγῃ τῆς κοινῆς. 10 Ἐπεὶ οὖν αἱ τῶν Ἑβραίων ἦσαν ἐξησθενημέναι ψυχαί, καὶ ἀπὸ πίστεως μὲν ἤρξατο, ὑπὸ δὲ τῶν πραγμάτων, λέγω δὴ τῶν παθῶν καὶ τῶν θλίψεων, ὠλιγοψύχουν λοιπὸν καὶ ἐμικροψύχουν καὶ παρεσαλεύοντο, πρῶτον μὲν αὐτοὺς ἀπὸ τῶν ἑαυτῶν παρεκάλεσεν, εἰπών, «ἀναμνήσθητε τὰς πρότερον ἡμέρας»· ἔπειτα ἀπὸ τῆς Γρα-15 φῆς τῆς λεγούσης, «ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται»· ἔπειτα ἀπὸ τῶν λογισμῶν, εἰπών, «ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων». Νῦν δὲ πάλιν ἀπὸ τῶν προπατόρων, τῶν μεγάλων ἀνδρῶν, τῶν θαυμαστῶν ἐκείνων, μονονουχὶ λέγων· εἰ ἔνθα παρὰ πόδας τὰ ἀγαθά, πάντες πίστει ἐσώθη-20 σαν, πολλῷ μᾶλλον ἡμεῖς. Ὅταν γὰρ εὕρῃ τῶν αὐτῶν κοινωνὸν ἡ ψυχή, ἀναπαύεται καὶ ἀναπνεῖ. Τοῦτο καὶ ἐπὶ τῆς πίστεως, τοῦτο

1. Ἀββακ. 2,4.

ΟΜΙΛΙΑ ΚΒ'

(Ἑβρ 11, 3–6)

«Μὲ τὴν πίστι κατανοοῦμε ὅτι οἱ κόσμοι δημιουργήθηκαν μὲ τὸν λόγο τοῦ Θεοῦ, ὥστε, ὅσα βλέπουμε τώρα, νὰ ἔχουν γίνει ἀπὸ μὴ βλεπόμενα. Ἐξ αἰτίας τῆς πίστεώς του ὁ Ἄβελ πρόσφερε στὸν Θεὸ καλύτερη θυσία ἀπὸ τὸν Κάϊν καὶ γιὰ τὴν πίστι του αὐτὴ δόθηκε ἀπὸ τὸν Θεὸ ἡ μαρτυρία ὅτι εἶναι δίκαιος, διότι ὁ ἴδιος ὁ Θεὸς ἔδωσε τὴν μαρτυρία του γιὰ τὰ δῶρα του ὅτι τὰ δέχθηκε, καὶ γιὰ τὴν πίστι του αὐτή, ἂν καὶ πέθανε, ἐγκωμιάζεται ἀκόμη καὶ τώρα».

1. Ἡ πίστις χρειάζεται γενναία καὶ νεανικὴ ψυχή, ὥστε νὰ ξεπερνᾶ ὅλα τὰ αἰσθητὰ καὶ νὰ ὑπερβαίνῃ τὴν ἀδυναμία τῶν ἀνθρωπίνων λογισμῶν. Διότι δὲν εἶναι δυνατὸ μὲ ἄλλον τρόπο νὰ γίνῃ κανεὶς πιστός, ἐὰν δὲν ὑψώσῃ τὸν ἑαυτό του πάνω ἀπὸ τὴν κοινὴ συνήθεια. Ἐπειδὴ λοιπὸν οἱ ψυχὲς τῶν Ἑβραίων ἦταν ἐξασθενημένες, ἄρχισε ἀπὸ τὴν πίστι, ἀλλὰ καὶ ἐπειδὴ ἐξ αἰτίας τῶν περιστάσεων, δηλαδὴ τῶν παθῶν καὶ τῶν θλίψεων, ὀλιγοψυχοῦσαν καὶ μικροψυχοῦσαν καὶ διασαλεύονταν, κατ' ἀρχὴν τοὺς ἐνθάρρυνε, ἀρχίζοντας ἀπὸ αὐτοὺς τοὺς ἴδιους, λέγοντας, «νὰ θυμᾶσθε τὶς προηγούμενες ἡμέρες»· ἔπειτα ἀπὸ τὴν Γραφὴ ποὺ λέγει, «ὁ δίκαιος θὰ ζήσῃ ἀπὸ τὴν πίστι του»[1]· ἔπειτα ἀπὸ τοὺς συλλογισμούς, λέγοντας, «ἡ πίστις κάμνει πραγματικὰ ἐκεῖνα ποὺ ἐλπίζομε, καὶ βέβαια ἐκεῖνα ποὺ δὲν τὰ βλέπομε». Τώρα πάλι τοὺς ἐνθαρρύνει ἀπὸ τοὺς προπάτορες, τοὺς μεγάλους ἄνδρες, τοὺς θαυμαστοὺς ἐκείνους, καὶ εἶναι σὰν νὰ τοὺς λέγῃ. Ἐὰν τὰ ἀγαθὰ βρίσκονταν μπροστὰ στὰ πόδια μας, ὅλοι θὰ σώζονταν διὰ τῆς πίστεως, πολὺ περισσότερο ἐμεῖς. Διότι, ὅταν ἡ ψυχὴ βρῇ κάποιον ποὺ συμμετέχει στὰ ἴδια ἐναπαύεται καὶ ἀναπνέει. Αὐτὸ μποροῦμε νὰ δοῦμε ὅτι συμβαίνει καὶ στὴν

καὶ ἐπὶ θλίψεως ἔστιν ἰδεῖν συμβαῖνον· καθὼς ἀλλαχοῦ φησιν· «εἰς τὸ συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως». Σφόδρα γὰρ ἄπιστον τὸ γένος τὸ ἀνθρώπινον, καὶ ἑαυτῷ οὐ δύναται θαρρεῖν, καὶ δέδοικεν ὑπὲρ ὧν ἂν κρίνῃ· ὅτι ἔχει, καὶ πολλὴν ἔχει 5 *τῆς τῶν πολλῶν δόξης φροντίδα.*

Τί οὖν ὁ Παῦλος ποιεῖ; Ἀπὸ τῶν προτέρων αὐτοὺς παρακαλεῖ, καὶ πρὸ τούτων, ἀπὸ τῆς κοινῆς ἐννοίας. Ἐπειδὴ γὰρ ἡ πίστις τότε διεβάλλετο ὡς ἀναπόδεικτον πρᾶγμα, καὶ ἀπάτης μᾶλλον ὄν, διὰ τοῦτο δείκνυσιν, ὅτι τὰ μέγιστα διὰ πίστεως, καὶ οὐ διὰ λογι- 10 *σμῶν κατορθοῦται. Καὶ πῶς τοῦτο δείκνυσιν, εἰπέ μοι; «Πίστει νοοῦμεν», εἰπών, «κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι». Δῆλον, φησίν, ἐστίν, «ὅτι ἐξ οὐκ ὄντων τὰ ὄντα ἐποίησεν ὁ Θεός, ἐκ τῶν μὴ φαινομένων τὰ φαινόμενα, ἐκ τῶν οὐχ ὑφεστώτων τὰ ὑφεστῶτα». Πόθεν* 15 *δὲ δῆλον, ὅτι καὶ ῥήματι τοῦτο ἐποίησεν; Ὁ μὲν γὰρ λογισμὸς οὐδὲν ὑποβάλλει τοιοῦτον, ἀλλὰ καὶ τοὐναντίον ἐκ τῶν φαινομένων τὰ μὴ φαινόμενα εἶναι. Διὰ τοῦτο μάλιστα οἱ φιλόσοφοι οὐδέν φασιν ἐξ οὐκ ὄντων εἶναι, ψυχικοὶ ὄντες, καὶ οὐδὲν τῇ πίστει ἐπιτρέποντες· ἁλίσκονται δὲ καὶ αὐτοὶ ὅμως, ὅταν μέγα τι καὶ γενναῖον εἴπω-* 20 *σι, τῇ πίστει αὐτὸ ἐπιτρέποντες· οἷον, λέγουσιν ὅτι ὁ Θεὸς ἄναρχός ἐστι καὶ ἀγέννητος· ὁ γὰρ λογισμὸς οὐχ ὑποβάλλει τοῦτο, ἀλλὰ τοὐναντίον.*

Θέα δέ μοι καὶ τὴν πολλὴν μωρίαν αὐτῶν. Τὸν Θεὸν ἄναρχον λέγουσιν· ὃ τοῦ 'ἐξ οὐκ ὄντων' πολλῷ θαυμασιώτερον. Τοῦ 25 *γὰρ εἰπεῖν, ὅτι 'ἐξ οὐκ ὄντων τὰ ὄντα ὁ Θεὸς ἐποίησε, τὸ εἰπεῖν, ὅτι 'ἄναρχός ἐστιν', ὅτι 'ἀγέννητος', οὔτε ὑφ' ἑαυτοῦ, οὔτε ὑφ' ἑτέρου γεννηθείς, ἀπορώτερον. Ἐνταῦθα μὲν γὰρ πολλὰ τὰ πιστά· οἷον, ὅτι ἐποίησέ τι, ὅτι ἀρχὴν ἔσχε τὸ ποιούμενον, ὅτι ἐποιήθη ὅλως· ἐκεῖ δὲ τό, αὐτόματος, ἀγέννητος, οὔτε ἀρχὴν ἔσχεν, οὔτε χρόνον,* 30 *ταῦτα οὐχὶ πίστεως δεῖται, εἰπέ μοι; Ἀλλ' οὐκ ἔθηκε τοῦτο ὃ*

2. Ρωμ. 1,12.

περίπτωσι τῆς πίστεως καὶ στὴν περίπτωσι τῆς θλίψεως· ὅπως ἀκριβῶς ἀλλοῦ λέγει· «νὰ παρακινῆτε συγχρόνως ὁ ἕνας τὸν ἄλλο διὰ τῆς μεταξύ σας πίστεως»[2]. Διότι εἶναι ὑπερβολικὰ ἄπιστο τὸ γένος τῶν ἀνθρώπων, καὶ δὲν μπορεῖ νὰ ἔχη ἐμπιστοσύνη στὸν ἑαυτό του, καὶ διστάζει στὶς κρίσεις του· διότι δίνει καὶ μάλιστα πολὺ μεγάλη σημασία στὴ γνώμη τῶν πολλῶν.

Τί λοιπὸν κάμνει ὁ Παῦλος; Τοὺς προτρέπει ἀρχίζοντας ἀπὸ τὰ προηγούμενα, καὶ πρὶν ἀπὸ αὐτά, ἀπὸ μιὰ ἔννοια ποὺ εἶναι ἀποδεκτὴ ἀπὸ ὅλους. Ἐπειδὴ δηλαδὴ ἡ πίστις κατηγοροῦνταν τότε σὰν πρᾶγμα ποὺ δὲν ἀποδεικνύεται, καὶ ὅτι ἦταν πρᾶγμα μᾶλλον ἀπατηλό, γι' αὐτὸ ἀποδεικνύει, ὅτι τὰ μεγαλύτερα πράγματα κατορθώνονται μὲ τὴν πίστι καὶ ὄχι μὲ τοὺς λογισμούς. Πές μου ὅμως, πῶς αὐτὸ τὸ ἀποδεικνύει; Λέγοντας, «μὲ τὴν πίστι κατανοοῦμε ὅτι οἱ κόσμοι δημιουργήθηκαν μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ, ὥστε νὰ ἔχουν γίνει τὰ βλεπόμενα ἀπὸ μὴ βλεπόμενα». Εἶναι φανερό, λέγει, ὅτι ἀπὸ τὸ τίποτα ἔκανε ὁ Θεὸς αὐτὰ ποὺ ὑπάρχουν, ἀπὸ ἐκεῖνα ποὺ δὲν φαινόταν αὐτὰ ποὺ φαίνονται, ἀπὸ ἐκεῖνα ποὺ δὲν ὑπῆρχαν αὐτὰ ποὺ ὑπάρχουν. Καὶ ἀπὸ ποῦ γίνεται φανερὸ ὅτι αὐτὸ τὸ ἔκανε ὁ Θεὸς μὲ τὸν λόγο του; διότι ὁ λογισμὸς δὲν ὑποβάλλει κάτι τέτοιο, ἀλλὰ καὶ τὸ ἀντίθετο, ὅτι ἀπὸ αὐτὰ ποὺ βλέπουμε προῆλθαν αὐτὰ ποὺ δὲν βλέπουμε. Γι' αὐτὸ μάλιστα οἱ φιλόσοφοι, σὰν ψυχικοὶ ἄνθρωποι, λένε, ὅτι τίποτε δὲν προῆλθε ἀπὸ τὸ μηδέν, καὶ δὲν ἀποδέχονται τίποτε μὲ τὴν πίστι· συλλαμβάνονται ὅμως καὶ αὐτοί, ὅταν συμβαίνη νὰ ποῦν κάτι μεγάλο καὶ σπουδαῖο, νὰ τὸ ἐμπιστεύωνται στὴν πίστι. Γιὰ παράδειγμα, λένε ὅτι ὁ Θεὸς εἶναι ἄναρχος καὶ ἀγέννητος· ὁ λογισμὸς βέβαια δὲν ὑποβάλλει αὐτό, ἀλλὰ τὸ ἀντίθετο.

Ἀλλὰ πρόσεχε, σὲ παρακαλῶ, καὶ τὴ μεγάλη ἀνοησία τους. Λένε τὸν Θεὸ ἄναρχο, πρᾶγμα ποὺ εἶναι πολὺ πιὸ ἀξιοθαύμαστο ἀπὸ τὸ «ἐξ οὐκ ὄντων». Διότι εἶναι πολὺ πιὸ δύσκολο νὰ πῆ κανείς, ὅτι ὁ Θεὸς εἶναι ἄναρχος, ὅτι εἶναι ἀγέννητος, καὶ ὅτι οὔτε ἀπὸ τον ἑαυτό του οὔτε ἀπὸ ἄλλον γεννήθηκε, παρὰ νὰ πῆ, ὅτι ὁ Θεὸς ἐδημιούργησε αὐτὰ ποὺ ὑπάρχουν ἀπὸ τὸ μηδέν. Καθόσον ἐδῶ εἶναι πολλὰ τὰ ἀξιόπιστα· ὅπως, ὅτι ἔκανε κάτι, ὅτι ἔλαβε ἀρχὴ τὸ δημιούργημα, ὅτι κατασκευάσθηκε ἐξ ὁλοκλήρου· ἐνῶ στὴν περίπτωσι ἐκείνη, τό, 'αὐτόματος', 'ἀγέννητος', οὔτε ἀρχὴ εἶχε, οὔτε

πολλῷ πλέον ἦν, ἀλλὰ τὸ ἔλαττον, εἰπών· «πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ». Πόθεν οὖν λέγεις δῆλον, ὅτε ὁ Θεὸς ῥήματι πάντα ἐποίησε; Λογισμὸς γὰρ τοῦτο οὐχ ὑποβάλλει, οὐδὲ παρῆν τις ὅτε ταῦτα ἐγίνετο. Ὑπὸ πίστεως· πίστεως γὰρ ἔρ-
5 *γον ἡ κατανόησις. Διὸ καὶ οὕτως εἶπε, «πίστει νοοῦμεν». Τί νοοῦμεν «πίστει», εἰπέ; Ὅτι μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γέγονε· τοῦτο γὰρ ἡ πίστις. Εἰπὼν δὴ τὸ κοινόν, λοιπὸν ἐπὶ προσώπων αὐτὸ γυμνάζει. Καὶ γὰρ τῆς οἰκουμένης ἐστὶν ἀντάξιος ἔνδοξος ἀνήρ. Τοῦτο γοῦν καὶ ὕστερον ᾐνίξατο. Ἐπειδὴ γὰρ ἐπὶ προσώπων*
10 *αὐτὸ ἑκατὸν ἢ διακοσίων ἀντέστησεν, εἶτα εἶδε τὸν ἀριθμὸν ὀλίγον τῇ ποσότητι, λοιπόν φησίν· «ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος».*

«Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ». Θέα τίνα πρῶτον τίθησι, τὸν παθόντα κακῶς καὶ παρὰ ἀδελφοῦ οὐδὲν ἠδικημένου, ἀλλὰ διὰ τὸν Θεὸν φθονηθέντος. Οὐ-
15 *κοῦν οἰκεῖον τὸ πάθος. «Καὶ γὰρ ὑμεῖς τὰ αὐτά», φησίν, «ἐπάθετε ὑπὸ τῶν οἰκείων συμφυλετῶν». Ἅμα καὶ δείκνυσιν ὅτι καὶ αὐτοὶ βασκαίνονται καὶ φθονοῦνται. Ἐτίμησεν ἐκεῖνος τὸν Θεόν, καὶ ἀπέθανεν ἀνθ' ὧν ἐτίμησε, καὶ οὐδέπω ἀναστάσεως ἔτυχεν· ἀλλ' ἡ μὲν προθυμία αὐτοῦ δήλη, καὶ τὰ παρ' αὐτοῦ γέγονε, τὰ δὲ παρὰ*
20 *τοῦ Θεοῦ οὐδέπω εἰς αὐτὸν εἰσενήνεκται. Θυσίαν δὲ ἐνταῦθα πλείονα τὴν ἐντιμοτέραν λέγει, τὴν λαμπροτέραν, τὴν ἀναγκαιοτέραν. Καὶ οὐκ ἔχομεν, φησίν, εἰπεῖν, ὅτι οὐκ ἀπεδέχθη· ἀπεδέξατο γάρ, καὶ εἶπε πρὸς τὸν Κάϊν· «οὔκ, ἂν ὀρθῶς προσενέγκῃς ὀρθῶς δὲ μὴ διέλῃς».*

25 *Οὐκοῦν ὁ Ἄβελ καὶ ὀρθῶς προσήνεγκε, καὶ ὀρθῶς διεῖλεν. Ἀλλ' ὅμως ἀντὶ τούτων τίνα τὴν ἀμοιβὴν ἔλαβεν; Ἐσφάγη παρὰ τῆς ἀδελφικῆς χειρός· καὶ τὴν καταδίκην, ἣν ὁ πατὴρ ὑπέμεινε διὰ τὴν ἁμαρτίαν, ταύτην πρῶτος ἐδέξατο υἱὸς ὁ κατορθώσας, καὶ τοσούτῳ χαλεπὰ ἔπαθεν ὅσῳ καὶ παρὰ ἀδελφοῦ καὶ πρῶτος. Καὶ*

3. Α' Θεσσ. 2,14.

χρόνο· αὐτά, πές μου, δὲν χρειάζονται πίστι; Ὅμως δὲν εἶπε αὐτὸ ποὺ ἦταν πολὺ πιὸ ἀνώτερο, ἀλλὰ τὸ κατώτερο, λέγοντας· «μὲ τὴν πίστι κατανοοῦμε ὅτι ἔγιναν οἱ κόσμοι μὲ τὸ πρόσταγμα τοῦ Θεοῦ». Ἀπὸ ποῦ λοιπόν, λές, γίνεται φανερό, ὅτι ὁ Θεὸς ἔκανε τὰ πάντα μὲ τὸν λόγο του; διότι τὸ λογικὸ δὲν τὸ ὑπαγορεύει αὐτό, οὔτε ἦταν παρὼν κανεὶς ὅταν γίνονταν αὐτά. Ἀπὸ τὴν πίστι· διότι εἶναι ἔργο τῆς πίστεως ἡ κατανόησις. Γι' αὐτὸ καὶ εἶπε ἔτσι, «μὲ τὴν πίστι κατανοοῦμε». Πές μας, τί κατανοοῦμε μὲ τὴν πίστι; Ὅτι αὐτὰ ποὺ βλέπουμε ἔγιναν ἀπὸ μὴ βλεπόμενα· διότι αὐτὸ εἶναι ἡ πίστις. Ἀφοῦ λοιπὸν εἶπε αὐτὸ ποὺ εἶναι γνωστό, κατόπιν μεταφέρει τὸν λόγο σὲ πρόσωπα. Καθόσον ὁ ἔνδοξος ἄνδρας εἶναι ἰσάξιος τῆς οἰκουμένης. Αὐτὸ λοιπὸν εἶπε στὴ συνέχεια μὲ τρόπο αἰνιγματικό. Ἀφοῦ δηλαδὴ τὸ ἀντιπαρέβαλε μὲ ἑκατὸ ἢ διακόσια πρόσωπα, καὶ εἶδε κατόπιν ὅτι ὁ ἀριθμὸς εἶναι μικρὸς ὡς πρὸς τὴν ποσότητα, λέγει τότε· «μ' αὐτοὺς τοὺς ἄνδρες δὲν μπορεῖ νὰ συγκριθῆ ὁ κόσμος».

«Ἐξ αἰτίας τῆς πίστεώς του ὁ Ἄβελ πρόσφερε καλύτερη θυσία στὸν Θεὸ ἀπὸ τὸν Κάϊν». Πρόσεχε ποιόν ἀναφέρει πρῶτα, ἐκεῖνον ποὺ κακοποιήθηκε ἀπὸ τὸν ἀδελφό του, ἂν καὶ σὲ τίποτε δὲν τὸν ἀδίκησε, ἀλλὰ τὸν ἐφθόνησε ἐξ αἰτίας τῆς εὔνοιας τοῦ Θεοῦ πρὸς αὐτόν. Ἑπομένως εἶναι ὅμοιο μὲ τὸ δικό σας τὸ πάθος. Διότι λέγει, «καὶ σεῖς τὰ ἴδια ἐπάθατε ἀπὸ τοὺς ὁμοεθνεῖς σας»[3]. Συγχρόνως δείχνει ὅτι καὶ αὐτοὶ συκοφαντοῦνται καὶ φθονοῦνται. Ἐτίμησε ὁ Ἄβελ τὸν Θεὸ καὶ πέθανε, ἐπειδὴ τὸν ἐτίμησε, κι' ἀκόμη δὲν ἐπέτυχε τὴν ἀνάστασι· ἡ προθυμία τοῦ Ἄβελ εἶναι ὁλοφάνερη καὶ ἐκεῖνα ποὺ ὁ ἴδιος ἔκανε, οἱ ἀμοιβὲς ὅμως ἀπὸ τὸν Θεὸ δὲν τοῦ δόθηκαν ἀκόμη. «Θυσία ἀνώτερη» ἐδῶ ὀνομάζει τὴν ἐντιμότερη, τὴν λαμπρότερη, τὴν ἀναγκαιότερη. Καὶ δὲν μποροῦμε νὰ ποῦμε, λέγει, ὅτι δὲν τὴν δέχθηκε ὁ Θεός· τὴν δέχθηκε βέβαια καὶ εἶπε πρὸς τὸν Κάϊν· «Δὲν εἶναι ἀποδεκτά, ἐὰν προσφέρης δῶρα ὡς θυσία στὸν Θεό, ἀλλὰ δὲν προσφέρεις τὰ καλά».

Ἑπομένως ὁ Ἄβελ καὶ σωστὰ τοῦ πρόσφερε καὶ καλὰ δῶρα. Ἀλλ' ὅμως ἀντὶ γι' αὐτὰ ποιά ἀμοιβὴ ἔλαβε; Σφάχθηκε ἀπὸ τὸ χέρι τοῦ ἀδελφοῦ του· καὶ τὴν καταδίκη, τὴν ὁποία ὁ πατέρας ὑπέμεινε ἐξ αἰτίας τῆς ἁμαρτίας, αὐτὴν τὴν δέχθηκε ὁ πρωτότοκος υἱός, καὶ τόσο φοβερὰ ἔπαθε, ἀφοῦ καὶ πρῶτος καὶ ἀπὸ τὸν ἀδελφό του φο-

ταῦτα κατώρθωσεν εἰς οὐδένα ἰδών· εἰς τίνα γὰρ εἶδε καὶ οὕτως ἐτίμησε τὸν Θεόν; Εἰς τὸν πατέρα καὶ τὴν μητέρα; Ἀλλ' ἐκεῖνοι ὕβρισαν αὐτὸν ἀντὶ τῶν εὐεργεσιῶν. Ἀλλ' εἰς τὸν ἀδελφόν; Ἀλλὰ καὶ οὗτος ἠτίμασεν. Ὥστε παρ' ἑαυτοῦ τὸ ἀγαθὸν ἐξεῦρε. Καὶ ὁ
5 τοσαύτης ὢν τιμῆς ἄξιος, τί δὴ πάσχει; Ἀναιρεῖται. Εἶτα καὶ ἄλλο ἐγκώμιον τίθησι λέγων· «δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ». Πῶς δὲ καὶ ἄλλως ἐμαρτυρήθη εἶναι δίκαιος; Λέγεται πῦρ κατελθὸν ἀναλαβεῖν τὰς θυσίας· ἀντὶ γὰρ τοῦ, Ἐπὶ Ἄβελ
10 ἐπέβλεψε, καὶ ἐπὶ τὰς θυσίας αὐτοῦ ὁ Κύριος, «καὶ ἐνεπύρισεν», εἶπεν. Ὁ τοίνυν καὶ διὰ λόγων, καὶ δι' ἔργων μαρτυρήσας τῷ δικαίῳ, καὶ δι' αὐτὸν ὁρῶν ἀναιρούμενον, οὐκ ἤμυνεν ἀλλ' εἴασε.

2. Τὸ δὲ ὑμέτερον οὐ τοιοῦτον· πῶς γάρ, οἱ καὶ προφήτας καὶ παραδείγματα ἔχοντες, καὶ παρακλήσεις μυρίας, καὶ σημεῖα καὶ
15 θαύματα γενόμενα; Ὥστε ἐκεῖνο ὄντως πίστις ἦν. Ποῖα γὰρ θαύματα εἶδεν ἐκεῖνος, ἵνα πιστεύσῃ ὅτι ἔσται τις αὐτῷ ἀντίδοσις τῶν ἀγαθῶν; Οὐχὶ ἀπὸ πίστεως μόνης τὴν ἀρετὴν εἵλετο; Τί ἐστι, «καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ;» Ἵνα μὴ εἰς πολλὴν ἀπόγνωσιν αὐτοὺς ἐμβάλῃ, δείκνυσιν αὐτὸν ἐν μέρει ἀπολαύσαντα ἀμοιβῆς.
20 Πῶς; Ἡ ἐπισκοπὴ ἡ ὑπὲρ αὐτοῦ, φησί, πολλή ἐστι· τοῦτο γὰρ ᾐνίξατο εἰπών, «καὶ ἔτι λαλεῖ»· τουτέστιν, ἀνεῖλεν αὐτόν, ἀλλὰ οὐ συνανεῖλεν αὐτῷ τὴν δόξαν καὶ τὴν τιμήν· οὐ τέθνηκεν ἐκεῖνος· οὐκοῦν οὐδὲ ὑμεῖς τεθνήξεσθε. Ὅσῳ γὰρ ἄν τις χαλεπώτερα πάθῃ, τοσούτῳ ἡ δόξα μείζων. Πῶς οὖν ἔτι γὰρ λαλεῖ; Τοῦτο καὶ τοῦ ζῆν
25 σημεῖόν ἐστι, καὶ τοῦ παρὰ πάντων ᾄδεσθαι, θαυμάζεσθαι καὶ μακαρίζεσθαι· ὁ γὰρ παραινῶν τοῖς ἄλλοις δικαίοις εἶναι, λαλεῖ. Οὐ τοσοῦτον γὰρ ἀνύει λόγος, ὅσον τὸ πάθος τὸ ἐκείνου. Ὥσπερ οὖν ὁ οὐρανὸς φαινόμενος μόνον λαλεῖ, οὕτω καὶ ἐκεῖνος μνημονευόμε-

4. Γενεσ. 4,7.

νεύθηκε. Καὶ αὐτὰ τὰ ἔκανε χωρὶς νὰ τὰ δῆ σὲ κανέναν. Πράγματι, σὲ ποιόν τὰ εἶδε καὶ ἔτσι τίμησε τὸν Θεό; στὸν πατέρα καὶ τὴ μητέρα του; Ὅμως ἐκεῖνοι ἐξύβρισαν τὸν Θεὸ γιὰ τὶς εὐεργεσίες του. Τὰ εἶδε στὸν ἀδελφό του; Ὅμως και αὐτὸς τὸν περιφρόνησε. Ἐπομένως, μόνος του βρῆκε τὸ καλό. Καὶ αὐτὸς ποὺ εἶναι ἄξιος τόσο μεγάλης τιμῆς, τί λοιπὸν παθαίνει; Φονεύεται. Ἔπειτα καὶ ἄλλο ἐγκώμιο ἀναφέρει, λέγοντας· «γιὰ τὴν πίστι του αὐτὴ τοῦ δόθηκε ἡ μαρτυρία ἀπὸ τὸν Θεὸ ὅτι εἶναι δίκαιος, διότι ὁ ἴδιος ὁ Θεὸς ἔδωσε τὴν μαρτυρία γιὰ τὰ δῶρα τοῦ Ἄβελ ὅτι τὰ δέχθηκε· καὶ γιὰ τὴν πίστι του αὐτή, ἂν καὶ πέθανε ἐγκωμιάζεται ἀκόμη»[4]. Καὶ μὲ ποιόν ἄλλο τρόπο δόθηκε ἡ μαρτυρία ὅτι εἶναι δίκαιος; Λέγεται ὅτι κατέβηκε φωτιὰ ἀπὸ τὸν οὐρανὸ καὶ κατέκαυσε τὰ θυσιαζόμενα· διότι, ἀντὶ νὰ πῆ, 'ἔρριξε ὁ Κύριος ἀγαθὸ βλέμμα στὸν Ἄβελ καὶ στὶς θυσίες του', εἶπε, «καὶ κατέκαυσε τὰ θυσιαζόμενα μὲ τὴ φωτιὰ ποὺ ἔστειλε». Αὐτὸς λοιπὸν ποὺ καὶ μὲ λόγια καὶ μὲ πράξεις ὡμολόγησε ὅτι εἶναι δίκαιος, καὶ ἔβλεπε ὅτι ἐξ αἰτίας του φονευόταν, δὲν τὸν ὑπερασπίσθηκε, ἀλλὰ τὸν ἄφησε ἀνυπεράσπιστο.

2. Μὲ σᾶς ὅμως δὲν συμβαίνει τὸ ἴδιο. Πῶς δηλαδὴ εἶναι τὸ ἴδιο, ἀφοῦ ἐσεῖς ἔχετε καὶ προφῆτες καὶ παραδείγματα καὶ παροτρύνσεις μύριες, καὶ σημεῖα καὶ θαύματα ποὺ ἔγιναν; Ὥστε ἐκεῖνο πράγματι ἦταν πίστις. Διότι ποιά θαύματα εἶδε ἐκεῖνος γιὰ νὰ πιστέψη, ὅτι θ' ἀνταμειφθῆ γιὰ τὰ καλά του ἔργα; Δὲν προτίμησε τὴν ἀρετὴ ὁρμώμενος μόνο ἀπὸ τὴν πίστι; Τί σημαίνει, «καὶ γιὰ τὴν πίστι του αὐτή, ἂν καὶ πέθανε ἀκόμα ὁμιλεῖ»; Γιὰ νὰ μὴν τοὺς ἀπογοητεύση τελείως, δείχνει ὅτι ὁ Ἄβελ ἀπήλαυσε ἕνα μέρος τῆς ἀμοιβῆς. Πῶς; Τὰ ἐγκώμια γι' αὐτόν, λέγει, εἶναι πολὺ μεγάλα· διότι αὐτὸ ὑπαινίχθηκε λέγοντας, «καὶ ἀκόμα ὁμιλεῖ»· δηλαδή, τὸν ἐφόνευσε, ἀλλ' ὅμως δὲν ἐφόνευσε μαζί του τὴ δόξα καὶ τὴν τιμή· δὲν πέθανε ἐκεῖνος. Ἄρα, οὔτε ἐσεῖς θὰ πεθάνετε. Διότι, ὅσο μεγαλύτερα εἶναι τὰ παθήματα, τόσο μεγαλύτερη θὰ εἶναι καὶ ἡ δόξα. Πῶς λοιπὸν ἀκόμη καὶ τώρα ὁμιλεῖ; Αὐτὸ εἶναι ἀπόδειξις καὶ τοῦ ὅτι ζῆ καὶ τοῦ ὅτι ἀπὸ ὅλους δοξάζεται καὶ θαυμάζεται καὶ μακαρίζεται· διότι, ὅποιος προτρέπει τοὺς ἄλλους νὰ εἶναι δίκαιοι, ὁμιλεῖ. Διότι κανένας λόγος δὲν κατορθώνει τόσο μεγάλα πράγματα, ὅσο τὸ πάθος ἐκείνου. Ὅπως λοιπὸν ὁ οὐρανὸς ὁμιλεῖ καὶ μόνο μὲ τὸ ὅτι φαίνεται, ἔτσι καὶ ἐκεῖνος ὁμιλεῖ ὅταν μνημονεύεται. Δὲν θὰ καθίστατο τόσο θαυ-

νος. Οὐκ ἄν, εἰ ἀνεκήρυξεν ἑαυτόν, οὐκ ἄν, εἰ μυρίας ἔσχε γλώσσας, καὶ ἔζη, οὕτως ἐθαυμάζετο ὡς νῦν. Τουτέστιν, οὐκ ἀτιμωρητὶ ταῦτα γίνεται οὐδὲ ἁπλῶς, οὐδὲ παρέρχεται.

«Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον· καὶ οὐχ εὑρί- 5 *σκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός· πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται εὐηρεστηκέναι τῷ Θεῷ. Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ πρῶτον τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται». Οὗτος μείζονα πίστιν τοῦ Ἄβελ ἐπεδείξατο. Τί δήποτε; Ὅτι* 10 *εἰ καὶ μετ' ἐκεῖνον γέγονεν, ἀλλὰ τὰ εἰς ἐκεῖνον γενόμενα ἱκανὰ ἦν αὐτὸν ἀποστρέψαι. Πῶς; Προῄδει ὁ Θεὸς ὅτι ἀπολεῖται· εἶπε γὰρ τῷ Κάϊν· ἥμαρτες, μὴ προσθῇς ἔτι. Ἐτιμήθη παρ' αὐτοῦ, οὐκ ἤμυνεν αὐτῷ. Καὶ οὐδὲ τοῦτο εἰς ῥᾳθυμίαν ἐνέβαλεν· οὐκ εἶπε πρὸς ἑαυτόν, 'Τίς χρεία πόνων καὶ κινδύνων; Ὁ Ἄβελ ἐτίμησε τὸν* 15 *Θεὸν καὶ οὐκ ἤμυνεν αὐτῷ. Τί γὰρ ὄφελος τῷ ἀπελθόντι τῆς τιμωρίας τῆς τοῦ ἀδελφοῦ; Τί δὲ ἐκεῖθεν ἀπόνασθαι αὐτὸν δυνατόν; Θῶμεν ὅτι χαλεπὴν δίδωσι δίκην· τί πρὸς τὸν ἀνῃρημένον;' Οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλὰ ταῦτα πάντα ὑπερβάς, ἔγνω ὅτι, εἰ Θεὸς ἔστι, πάντως καὶ ἀνταποδότης ἐστί· καίτοι οὔπω* 20 *οὐδὲν περὶ ἀναστάσεως ᾔδεισαν.*

Εἰ δὲ οἱ μηδὲν μηδέπω περὶ ἀναστάσεως εἰδότες, ἀλλὰ καὶ ἐνταῦθα τἀναντία ὁρῶντες οὕτως εὐηρέστησαν, πόσῳ μᾶλλον ἡμεῖς; Οὔτε γὰρ περὶ ἀναστάσεως ᾔδεισαν ἐκεῖνοι, οὔτε εἰς παραδείγματα εἶχον ἰδεῖν. Αὐτὸ μὲν οὖν τοῦτο αὐτὸν εὐαρεστῆσαι ἐποίη- 25 *σε, τὸ μηδὲν αὐτὸν ἀπολαβεῖν. Εἰπὲ δή μοι· ᾔδει ὅτι μισθαποδότης ἐστὶν ὁ Θεός. Πόθεν; Οὔπω γὰρ οὐδὲ τῷ Ἄβελ ἀπέδωκεν. Ὥστε ὁ λογισμὸς ἕτερα ὑπέβαλλεν, ἡ δὲ πίστις τὰ ἐναντία τῶν ὁρωμένων. Κἂν ὑμεῖς οὖν, φησίν, ὁρᾶτε μηδὲν ἐνταῦθα ἀπολαμβάνοντας ὑμᾶς, μὴ θορυβεῖσθε. Πῶς δὲ πίστει μετετέθη ὁ Ἐνώχ; Ὅτι τῆς* 30 *μεταθέσεως ἡ εὐαρέστησις αἰτία, τῆς δὲ εὐαρεστήσεως ἡ πίστις.*

μαστός, ἐὰν γνωστοποιοῦσε τὸν ἑαυτό του, ἢ ἂν εἶχε μύριες γλῶσσες καὶ ζοῦσε, ὅσο τώρα. Δηλαδή, δὲν γίνονται αὐτὰ χωρὶς τιμωρία οὔτε στὴν τύχη, οὔτε παρέρχονται.

«Ἐξ αἰτίας τῆς πίστεώς του ὁ Ἐνὼχ μετατέθηκε ζωντανός, γιὰ νὰ μὴ γνωρίση τὸν θάνατο, καὶ δὲν τὸν ἔβρισκαν ἐδῶ, διότι ὁ Θεὸς τὸν μετέθεσε. Πρὶν μετατεθῆ εἶχε δοθῆ μαρτυρία ὅτι εἶχε εὐαρεστήσει τὸν Θεό· χωρὶς πίστι εἶναι ἀδύνατο νὰ εὐαρεστήση κανεὶς τὸν Θεό. Διότι ἐκεῖνος ποὺ προσέρχεται στὸν Θεὸ πρέπει νὰ πιστέψη πρῶτα, ὅτι ὑπάρχει ὁ Θεός, καὶ ὁ Θεὸς ἀμείβει ἐκείνους ποὺ ψάχνουν νὰ τὸν βροῦν». Αὐτὸς ἔδειξε μεγαλύτερη πίστι ἀπὸ τὸν Ἄβελ. Γιατί ἄραγε; Διότι, ἂν καὶ ἔζησε μετὰ ἀπὸ ἐκεῖνον, ὅμως ἐκεῖνα ποὺ συνέβηκαν σ' ἐκεῖνον ἦταν ἱκανὰ νὰ τὸν ἀπομακρύνουν ἀπὸ τὸν Θεό. Πῶς; Γνώριζε ἀπὸ πρὶν ὁ Θεὸς ὅτι θὰ χαθῆ· διότι εἶπε στὸν Κάιν· «ἁμάρτησες, μὴ προσθέσης καὶ ἄλλη ἁμαρτία». Τιμήθηκε ὁ Θεὸς ἀπὸ τὸν Ἄβελ, δὲν τὸν βοήθησε ὅμως ὁ Θεός. Καὶ οὔτε αὐτὸ τὸν ἔκανε ἀδιάφορο. Δὲν εἶπε στὸν ἑαυτό του· 'Τί χρειάζονται οἱ κόποι καὶ οἱ κίνδυνοι; ὁ Ἄβελ τίμησε τὸν Θεὸ καὶ δὲν τὸν βοήθησε. Διότι ποιό τὸ ὄφελος στὸν Ἄβελ ποὺ πέθανε ἀπὸ τὴν τιμωρία τοῦ ἀδελφοῦ του; καὶ τί ὠφέλεια θὰ μποροῦσε νὰ ἔχη ἀπὸ αὐτό; Ἂς ὑποθέσουμε ὅτι τιμωρεῖται φοβερά. Ποιό τὸ ὄφελος γιὰ ἐκεῖνον ποὺ φονεύθηκε;' Τίποτε τέτοιο οὔτε εἶπε οὔτε σκέφθηκε, ἀλλά, ἀφοῦ τὰ ξεπέρασε ὅλα αὐτά, πίστεψε, ὅτι, ἐὰν ὑπάρχη Θεός, ὁπωσδήποτε εἶναι καὶ ἀνταποδότης. Ἂν καὶ βέβαια δὲν γνώριζαν ἀκόμη τίποτε περὶ ἀναστάσεως.

Ἐὰν λοιπὸν ἐκεῖνοι ποὺ δὲν γνώρισαν ποτὲ κάτι περὶ ἀναστάσεως, ἀλλὰ καὶ βλέποντας ἐδῶ νὰ συμβαίνουν τὰ ἀντίθετα, τόσο πολὺ εὐαρέστησαν τὸν Θεό, πόσο περισσότερο πρέπει ἐμεῖς; Διότι ἐκεῖνοι οὔτε γιὰ τὴν ἀνάστασι ἤξεραν, οὔτε παραδείγματα εἶχαν νὰ μιμηθοῦν. Αὐτὸ λοιπὸν ἀκριβῶς τὸ πρᾶγμα τὸν ἔκανε νὰ εὐαρεστήση τὸν Θεό, τὸ ὅτι δὲν ἀπήλαυσε αὐτὸς τίποτε. Πές μου λοιπόν· γνώριζε ὅτι ὁ Θεὸς εἶναι μισθαποδότης. Ἀπὸ ποῦ; Διότι οὔτε στὸν Ἄβελ ἀνταπέδωσε ἀκόμη τὶς ἀμοιβές. Ὥστε ὁ λογισμὸς ἄλλα ὑπαγόρευε, ἡ πίστις ὅμως τὰ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ ἔβλεπε. Καὶ ἐσεῖς λοιπόν, λέγει, ἐὰν βλέπετε ὅτι τίποτε ἐδῶ δὲν ἀπολαμβάνετε, μὴν ταράσσεσθε. Πῶς ὅμως ὁ Ἐνὼχ μετατέθηκε ἐξ αἰτίας τῆς πίστεώς του; Διότι αἰτία τῆς μεταστάσεώς του ἦταν ἡ εὐαρέστησις,

Εἰ γὰρ μὴ ᾔδει ὅτι λήψεται ἀμοιβάς, πῶς εὐηρέστει; Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι. Πῶς; Ἂν γάρ τις πιστεύσῃ εἶναι Θεὸν καὶ ἀντίδοσιν, ἕξει τὰς ἀμοιβάς. Ἐντεῦθεν οὖν ἡ εὐαρέστησις. Πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, 'ὅτι ἔστιν', οὐ τὸ 5 'τί ἐστιν'. Εἰ δὲ τό, 'ὅτι ἔστι', πίστεως καὶ οὐ λογισμῶν δεῖται, τό, 'τί ἐστι', λογισμῷ καταλαβεῖν δυνατόν; Εἰ ὅτι μισθαποδότης ἐστί, πίστεως χρείαν ἔχει, καὶ οὐ λογισμῶν, πῶς τὰ τῆς οὐσίας λογισμῷ περιλαβεῖν ἔνι; ποῖος γὰρ δυνήσεται λογισμὸς ἐφικέσθαι τούτων; Τινὲς γὰρ αὐτόματά φασιν ἄγεσθαι τὰ ὄντα. Ὁρᾷς ὅτι, ἂν μὴ πι-10 στεύωμεν περὶ πάντα, οὐ περὶ τὴν ἀντίδοσιν μόνον, ἀλλὰ καὶ περὶ αὐτὸ τὸ εἶναι Θεόν, οἴχεται ἡμῖν τὰ πάντα;

Πολλοὶ δὲ ζητοῦσι ποῦ μετετέθη ὁ Ἐνὼχ καὶ διὰ τί μετετέθη, καὶ διὰ τί οὐκ ἀπέθανεν οὔτε αὐτὸς οὔτε ὁ Ἠλίας, καὶ εἰ ἔτι ζῶσι, πῶς ζῶσι καὶ ἐν ποίῳ σχήματί εἰσιν. Ἀλλὰ περιττὸν πάντῃ 15 τὸ ταῦτα ζητεῖν. Ὅτι μὲν γὰρ μετετέθη οὗτος καὶ ὅτι ἀνελήφθη ἐκεῖνος, εἶπον αἱ Γραφαί, ποῦ δέ εἰσι καὶ πῶς εἰσιν, οὐκέτι προσέθηκαν· οὐδὲν γὰρ πλέον τῶν ἀναγκαίων λέγουσι. Τοῦτο μὲν γὰρ γέγονε, λέγω δὲ τὸ τῆς μεταθέσεως, ἐκ προοιμίων εὐθέως, ὅπως ἡ ἀνθρωπίνη φύσις ἐλπίδα λάβῃ τῆς καταλύσεως τοῦ θανάτου καὶ 20 τῆς καθαιρέσεως τῆς τυραννίδος τῆς διαβολικῆς, καὶ ὅτι παραλυθήσεται ὁ θάνατος· μετετέθη γὰρ οὐ νεκρός, ἀλλὰ τοῦ μὴ ἰδεῖν θάνατον. Διὰ τοῦτο προσέθηκε, «ζῶν μετετέθη», ὅτι εὐηρέστησε. Καθάπερ γάρ τις ἀπειλήσας πατὴρ υἱῷ, βούλεται μὲν εὐθέως ἀνεῖναι τὴν ἀπειλήν, ὅταν ἀπειλήσῃ, ἀνέχεται δὲ καὶ καρτερεῖ, ἵνα τέως 25 αὐτὸν σωφρονίσῃ καὶ νουθετήσῃ, ἀφεὶς βεβαίαν μένειν τὴν ἀπειλήν· οὕτω καὶ ὁ Θεός, σχεδὸν εἰπεῖν ἀνθρωπίνως, οὐκ ἀκαρτέρησεν, ἀλλ' εὐθέως ἔδειξεν, ὅτι λέλυται ὁ θάνατος. Καὶ πρῶτον ἀφίησι τὸν θάνατον εἰς τὸν δίκαιον γενέσθαι, φοβῆσαι βουλόμενος διὰ τοῦ παιδὸς τὸν πατέρα. Θέλων γὰρ δεῖξαι, ὅτι ὄντως ἐστὶν ἡ ἀπό-30 φασις βεβαία, οὐ τοὺς κακοὺς εὐθέως, ἀλλὰ καὶ τὸν εὐαρεστήσαν-

καὶ τῆς εὐαρεστήσεως ἡ πίστις. Διότι, ἐὰν δὲν ἤξερε ὅτι θὰ ἀμειφθῆ, πῶς τὸν εὐαρέστησε; Χωρὶς τὴν πίστι εἶναι ἀδύνατο νὰ εὐαρεστήση κανεὶς τὸν Θεό. Πῶς; Ἐὰν δηλαδὴ κάποιος πιστέψη ὅτι ὑπάρχει Θεὸς καὶ ἀνταπόδοσις, θὰ λάβη τὶς ἀμοιβές. Ἀπὸ ἐδῶ λοιπὸν προέρχεται ἡ εὐαρέστησις. Διότι πρέπει νὰ πιστέψη αὐτὸς ποὺ προσέρχεται στὸν Θεὸ ὅτι ὑπάρχει, ὄχι τὸ τί εἶναι. Καὶ ἂν τὸ ὅτι ὑπάρχει ὁ Θεὸς χρειάζεται πίστι καὶ ὄχι λογισμοὺς γιὰ νὰ τὸ καταλάβη κανείς, εἶναι δυνατὸ νὰ κατανοήση κανεὶς μὲ τὸ λογικὸ τό, τί εἶναι; Ἐὰν τὸ ὅτι εἶναι μισθαποδότης χρειάζεται πίστι καὶ ὄχι λογισμούς, πῶς τὰ τῆς οὐσίας του εἶναι δυνατὸ νὰ τὰ κατανοήση κανεὶς μὲ τοὺς λογισμούς; Διότι ποιός νοῦς θὰ μπορέση νὰ τὰ κατανοήση αὐτά; Καθόσον μερικοὶ λένε, ὅτι τὰ ὄντα ἔρχονται στὴν ὕπαρξη αὐτόματα. Βλέπεις ὅτι, ἂν δὲν τὰ πιστεύουμε ὅλα, ὄχι μόνο τὰ σχετικὰ μὲ τὴν ἀνταπόδοσι, ἀλλὰ καὶ τὸ ὅτι ὑπάρχει Θεός, καταρρέει ὅλο τὸ οἰκοδόμημα τῆς πίστεως;

Πολλοὶ ὅμως θέλουν νὰ μάθουν ποῦ μετατέθηκε ὁ Ἐνώχ, καὶ γιατί μετατέθηκε καὶ γιατί δὲν πέθανε οὔτε αὐτὸς οὔτε ὁ Ἠλίας, καὶ ἐὰν ἀκόμη ζοῦν, πῶς ζοῦν καὶ μὲ ποιά μορφὴ εἶναι. Ἀλλ' εἶναι ἐντελῶς περιττὴ ἡ ἀναζήτησις αὐτή. Διότι, τὸ ὅτι ὁ Ἐνὼχ μετατέθηκε καὶ ὁ Ἠλίας ἀναλήφθηκε, τὸ εἶπαν οἱ Γραφές, ποῦ ὅμως εἶναι καὶ πῶς εἶναι δὲν τὸ πρόσθεσαν· διότι τίποτε περισσότερο ἀπὸ τὰ ἀναγκαῖα δὲν λένε. Καὶ αὐτὸ ἔχει γίνει, ἐννοῶ ἡ μετάθεσίς του, εὐθὺς ἐξ ἀρχῆς, γιὰ νὰ λάβη ἡ ἀνθρώπινη φύσις τὴν ἐλπίδα τῆς καταλύσεως τοῦ θανάτου καὶ τῆς καταργήσεως τῆς διαβολικῆς ἐξουσίας, καὶ ὅτι ὁ θάνατος θὰ παραλυθῆ· διότι μετατέθηκε ὄχι νεκρός, ἀλλὰ χωρὶς νὰ γνωρίση θάνατο. Γι' αὐτὸ πρόσθεσε, «μετατέθηκε ζωντανός, ἐπειδὴ εὐαρέστησε τὸν Θεό». Ὅπως ἀκριβῶς δηλαδὴ κάποιος πατέρας ποὺ θέλει ν' ἀπειλήση τὸν υἱό του, θέλει ἀμέσως νὰ προχωρήση στὴν ἀπειλή, ὅταν συμβῆ ν' ἀπειλήση, ἀνέχεται ὅμως καὶ περιμένει, γιὰ νὰ τὸν σωφρονίση ἐν τῷ μεταξὺ καὶ νὰ τὸν νουθετήση, ἀφήνοντας νὰ μένη σίγουρη ἡ ἀπειλή· ἔτσι καὶ ὁ Θεός, γιὰ νὰ ἐκφρασθοῦμε ἀνθρώπινα, δὲν περίμενε, ἀλλ' ἀμέσως ἔδειξε ὅτι ἔχει καταργηθῆ ὁ θάνατος. Καὶ πρῶτα ἀφήνει νὰ πεθάνη ὁ δίκαιος, θέλοντας νὰ ἐκφοβίση τὸν πατέρα μὲ τὸν θάνατο τοῦ υἱοῦ. Θέλοντας δηλαδὴ νὰ δείξη, ὅτι πράγματι ἡ ἀπόφασις εἶναι σταθερή, δὲν τιμώρησε ἀμέσως τοὺς κακούς, ἀλλὰ καὶ σ' αὐτὸν ποὺ τὸν εὐαρέ-

τα ὑπέβαλε τῇ τιμωρίᾳ, τὸν μακάριον ἐκεῖνον τὸν Ἄβελ λέγω· καὶ σχεδὸν μετὰ τοῦτον εὐθέως μετέθηκε τον Ἐνὼχ ζῶντα. Καὶ οὐκ ἀνέστησεν ἐκεῖνον, ἵνα μὴ θαρρήσωσιν εὐθέως, ἀλλὰ μετέθηκε τοῦτον ζῶντα, διὰ μὲν τοῦ Ἄβελ φοβήσας, διὰ δὲ τούτου δοὺς 5 ζῆλον τοῦ εὐαρεστεῖν αὐτῷ. Ὥστε οἱ αὐτόματα πάντα ἄγεσθαι καὶ φέρεσθαι λέγοντες, καὶ μὴ προσδοκῶντες ἀντίδοσιν, οὐκ εὐαρεστοῦσιν, ὥσπερ οὐδὲ οἱ Ἕλληνες. Τοῖς γὰρ ἐκζητοῦσιν αὐτὸν δι' ἔργων καὶ διὰ τῆς γνώσεως μισθαποδότης γίνεται.

3. Ἐπεὶ οὖν ἔχομεν μισθαποδότην, πάντα πράττωμεν, ὥστε μὴ 10 ἀποστερηθῆναι τῶν μισθῶν τῶν ἐπὶ τῇ ἀρετῇ· καὶ γὰρ πολλῶν δακρύων ἄξιον τοιαύτης ἀμοιβῆς ὑπεριδεῖν, τοιαύτης ἀντιδόσεως καταφρονῆσαι. Ὥσπερ γὰρ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται, οὕτω τοῖς μὴ ζητοῦσι τὸ ἐναντίον· «ζητεῖτε, καὶ εὑρήσετε», φησί. Πῶς δὲ ἔστι τὸν Κύριον εὑρεῖν; Ἐννόησον πῶς εὑρίσκεται 15 τὸ χρυσίον, μετὰ πολλοῦ πόνου. «Ταῖς χερσί μου», φησί, «νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην». Τουτέστιν, ὥσπερ τὸ ἀπολωλὸς ζητοῦμεν, οὕτω τὸν Θεὸν ζητήσωμεν. Οὐχὶ τὸν νοῦν ἐκεῖ συστρέφομεν; οὐχὶ πάντας ἐξετάζομεν; οὐχὶ ἀποδημίαν ποιούμεθα; οὐχὶ χρήματα ἐπαγγελλόμεθα; Οἷον, ἔστω τις ἡμῖν υἱὸς ἀπολωλός· 20 τί οὐ περινοστοῦμεν; Οὐχὶ καὶ χρήματα καὶ οἰκίας καὶ πάντα δεύτερα τιθέμεθα τῆς εὑρέσεως; Κἂν εὕρωμεν, κατέχομεν, οὐκ ἐπισφίγγομεν, οὐκ ἐγκαταλιμπάνομεν. Καὶ μέλλοντες ζητεῖν, πάντα πραγματευόμεθα, ὥστε εὑρεῖν τὸ ζητούμενον· πόσῳ δὲ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο χρὴ ποιεῖν, ὥσπερ τι τῶν ἀναγκαίων ζητοῦντας; Μᾶλ-25 λον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. Πλὴν ἀλλ' ἐπειδὴ ἀσθενεῖς ἐσμεν, κἂν ὡς τὰ χρήματά σου ζητεῖς, ἢ τὸν υἱόν, ζήτησον τὸν Θεόν. Οὐχὶ ἀποδημεῖς ὑπὲρ τούτου; Ἆρα οὐκ ἀπεδήμησάς ποτε ὑπὲρ χρημάτων; οὐχὶ πάντα περιεργάζῃ; οὐχ ὅταν εὕρῃς, τότε θαρ-

5. Ματθ. 7,7.
6. Ψαλμ. 76,3.

στησε ἐπέβαλε τὴν τιμωρία, ἐννοῶ τὸν μακάριο ἐκεῖνον τὸν Ἄβελ· καὶ σχεδὸν ἀμέσως μετὰ ἀπὸ αὐτὸν μετέθεσε τὸν Ἐνὼχ ζωντανό. Καὶ δὲν ἀνέστησε τὸν Ἄβελ, γιὰ νὰ μὴ πάρουν ἀμέσως θάρρος, ἀλλὰ μετέθεσε ζωντανὸ τὸν Ἐνώχ, ὥστε μὲ τὴν ἐνέργεια του πρὸς τὸν Ἄβελ νὰ ἐκφοβίση, ἐνῶ μὲ τὴν μετάθεσι τοῦ Ἐνὼχ νὰ τοὺς κάνη μὲ ζῆλο νὰ τὸν εὐαρεστοῦν. Ἄρα αὐτοὶ ποὺ λένε, ὅτι ὅλα ἄγονται καὶ φέρονται αὐτόματα, καὶ δὲν περιμένουν ἀνταπόδοσι, δὲν εὐαρεστοῦν τὸν Θεό, ὅπως ἀκριβῶς οὔτε οἱ Ἕλληνες. Διότι ὁ Θεὸς γίνεται μισθαποδότης σ' ὅσους τὸν ἀναζητοῦν διὰ τῶν ἔργων καὶ τῆς γνώσεως.

3. Ἀφοῦ λοιπὸν ἔχουμε μισθαποδότη, ἂς τὰ κάμνουμε ὅλα, γιὰ νὰ μὴν στερηθοῦμε τοὺς μισθοὺς ποὺ δίνονται ὡς ἀμοιβὴ γιὰ τὴν ἀρετή· καθόσον εἶναι ἄξια πολλῶν δακρύων ἡ περιφρόνησις μιᾶς τέτοιας ἀμοιβῆς, ἡ περιφρόνησις μιὰς τέτοιας ἀνταποδόσεως. Διότι, ὅπως σ' αὐτοὺς ποὺ τὸν ἀναζητοῦν γίνεται μισθαποδότης, ἔτσι σ' αὐτοὺς ποὺ δὲν τὸν ἀναζητοῦν γίνεται τιμωρός· «ζητεῖτε καὶ θὰ βρῆτε»[5], λέγει. Καὶ πῶς εἶναι δυνατὸ νὰ βρῆ κανεὶς τὸν Κύριο; Σκέψου, πῶς βρίσκεται τὸ χρυσάφι· βρίσκεται μὲ πολὺ κόπο. «Εἶχα τὰ χέρια μου», λέγει, «ὑψωμένα ἱκετευτικὰ μπροστά του κατὰ τὴν νύκτα, καὶ δὲν διαψεύσθηκαν οἱ ἐλπίδες μου»[6]. Δηλαδή, ὅπως ἀκριβῶς ἀναζητοῦμε τὸ ἀπολωλός, ἔτσι ἂς ἀναζητήσουμε τὸν Θεό. Δὲν περιστρέφουμε συνεχῶς ἐκεῖ τὸν νοῦ; δὲν ἐρωτοῦμε ὅλους; δὲν πηγαίνουμε σὲ ἄλλα μέρη; δὲν ὑποσχόμαστε χρήματα; Γιὰ παράδειγμα, ἂς ὑποθέσουμε ὅτι ἔχουμε χάσει κάποιο παιδί μας· τί δὲν κάνουμε; ποιά γῆ, ποιά θάλασσα δὲν περιερχόμαστε; Καὶ δὲν θεωροῦμε δευτερεύοντα καὶ τὰ χρήματα καὶ τὰ σπίτια καὶ ὅλα τὰ ἄλλα μπροστὰ στὴν εὕρεσι τοῦ παιδιοῦ μας; Κι' ἂν τὸ βροῦμε, τὸ κρατοῦμε, τὸ σφίγγουμε στὴν ἀγκαλιά μας, δὲν τὸ ἐγκαταλείπουμε. Κι' ὅταν ἀναζητοῦμε κάτι, κάμνουμε τὰ πάντα, γιὰ νὰ βροῦμε αὐτὸ ποὺ ἀναζητοῦμε· πόσο μᾶλλον πρέπει νὰ τὸ κάνουμε αὐτὸ προκειμένου περὶ τοῦ Θεοῦ, σὰν ν' ἀναζητοῦμε κάτι ἀπὸ τὰ ἀναγκαῖα; Ἢ καλύτερα ὄχι τόσο, ἀλλὰ καὶ πολὺ περισσότερο. Πλὴν ὅμως, ἐπειδὴ εἴμαστε ἀδύναμοι, τουλάχιστον ὅπως ἀναζητεῖς τὰ χρήματά σου ἢ τὸ παιδί σου, ἔτσι ἀναζήτησε τὸν Θεό. Δὲν ἀποδημεῖς γιὰ χάρι του; ἄραγε δὲν ἀποδήμησες ποτὲ γιὰ χρήματα; δὲν τὰ ἐρευνᾶς ὅλα μὲ προσοχή; Δὲν ἔχεις μεγαλύτερο θάρρος ὅταν τὰ βρῆς; «Ζητεῖτε»,

ρεῖς; «Ζητεῖτε», φησί, «καὶ εὑρήσετε». Τὰ γὰρ ζητούμενα πολλῆς δεῖται μερίμνης, καὶ μάλιστα ἐπὶ Θεοῦ· πολλὰ γὰρ τὰ κωλύματα, πολλὰ τὰ ἐπισκοτοῦντα, πολλὰ τὰ εἴργοντα ἡμῶν τὴν αἴσθησιν.

Ὥσπερ γὰρ ὁ ἥλιος ἐστι δῆλος καὶ εἰς μέσον πᾶσι πρόκειται,
5 *καὶ οὐ δεόμεθα τοῦ ζητεῖν αὐτόν, ἂν μέντοι κατορύξωμεν ἑαυτούς, κἂν πάντα περιστρέφωμεν, πολλοῦ δεόμεθα πόνου, ὥστε ἰδεῖν πρὸς τὸν ἥλιον· οὕτω δὴ καὶ ἐνταῦθα, ἐὰν ἐν τῷ βυθῷ τῶν ἐπιθυμιῶν τῶν πονηρῶν, ἐὰν ἐν τῷ σκότῳ τῶν παθῶν καὶ τῶν βιωτικῶν πραγμάτων κατορύττωμεν ἑαυτούς, μόλις διαβλέπομεν, μόλις*
10 *ἀνακύπτομεν. Ὁ κάτω κατορωρυγμένος, ὅσῳ ἂν ἄνω βλέπῃ, τοσούτῳ πρὸς τὸν ἥλιον ἔρχεται. Ἀποτιναξώμεθα τοίνυν τὸν χοῦν, ἀναρρήξωμεν τὴν ἐπικειμένην ἡμῖν ἀχλύν· πυκνή τίς ἐστι καὶ στεγανή, καὶ οὐκ ἀφίησιν ἡμᾶς ἀναβλέψαι. Καὶ πῶς διαρρήγνυται, φησίν, ἡ νεφέλη αὕτη; Ἐὰν ἐπισπασώμεθα τοῦ νοητοῦ ἡλίου τὰς*
15 *ἀκτῖνας, τοῦ ἡλίου τῆς δικαιοσύνης, ἐὰν τὰς χεῖρας εἰς τὸν οὐρανὸν αἴρωμεν· «ἔπαρσις», φησί, «τῶν χειρῶν μου θυσία ἑσπερινή»· ἐὰν μετὰ τῶν χειρῶν καὶ τὸν νοῦν ἀναλάβωμεν. Ἴστε οἱ μεμυημένοι τί λέγω· τάχα δὲ καὶ ἐπιγινώσκετε τὸ λεχθὲν καὶ συνορᾶτε ὅπερ ᾐνιξάμην.*

20 *Ἐπάρωμεν εἰς ὕψος τὴν διάνοιαν. Οἶδα πολλοὺς ἄνδρας ἐγώ, σχεδὸν κρεμαμένους ἀπὸ τῆς γῆς, καὶ πέρα τοῦ μέτρου τὰς χεῖρας ἀνατείνοντας, καὶ ἀθυμοῦντας ὅτι μὴ δυνατὸν μετεωρισθῆναι, καὶ οὕτως εὐχομένους μετὰ προθυμίας. Οὕτως ὑμᾶς εἶναι βούλομαι ἀεί· εἰ δὲ μὴ ἀεί, κἂν πλεονάκις· εἰ δὲ μὴ πλεονάκις, κἂν ὀλιγάκις,*
25 *κἂν ἐν ταῖς ἑωθιναῖς, κἂν ἐν ταῖς ἑσπεριναῖς. Εἰπὲ γάρ μοι, ἐκτείνειν τὰς χεῖρας οὐ δύνῃ; Ἔκτεινον τὴν προαίρεσιν ὅσον θέλεις· ταύτην ἔκτεινον κἂν εἰς αὐτὸν τὸν οὐρανόν· κἂν αὐτῆς βουληθῇς τῆς κορυφῆς ἅψασθαι, κἂν ἀνωτέρω ἀνελθὼν ἐμπεριπατῆσαι, ἔξεστί σοι· παντὸς γὰρ πτεροῦ καὶ κουφότερος καὶ ὑψηλότερος ὁ ἡμέ-*
30 *τερος νοῦς. Ὅταν δὲ καὶ τὴν παρὰ τοῦ Πνεύματος λάβῃ χάριν, βαβαί, πῶς ἐστι ταχύς, πῶς ὀξύς, πῶς πάντα περινοστεῖ, πῶς οὐ καταφέρεται οὐδὲ καταπίπτει πρὸς τὸ ἔδαφος! Ταῦτα κατασκευάσω-*

7. Ψαλμ. 140,2.

λέγει, «καὶ θὰ βρῆτε». Πράγματι ἡ ἀναζήτησις χρειάζεται μεγάλη προσπάθεια καὶ μάλιστα ἡ ἀναζήτησις τοῦ Θεοῦ· διότι εἶναι πολλὰ τὰ ἐμπόδια, πολλὰ ἐκεῖνα ποὺ ἐπισκοτίζουν τὴν ἀναζήτησι, πολλὰ ἐκεῖνα ποὺ ἐμποδίζουν τὴν αἴσθησί μας.

Ὅπως ἀκριβῶς δηλαδὴ ὁ ἥλιος εἶναι φανερός, βρίσκεται μπροστὰ σ' ὅλους καὶ δὲν χρειάζεται νὰ τὸν ἀναζητοῦμε· ἂν ὅμως κατεβοῦμε κάπου μέσα στὴ γῆ, κι' ἂν ὅλα τὰ ἀναποδογυρίσουμε, θὰ χρειασθοῦμε πολὺ κόπο γιὰ νὰ δοῦμε πρὸς τὸν ἥλιο· ἔτσι λοιπὸν καὶ ἐδῶ· ἂν θάπτουμε τὸν ἑαυτό μας στὸν βυθὸ τῶν πονηρῶν ἐπιθυμιῶν, ἐὰν τὸν θάπτουμε μέσα στὸ σκοτάδι τῶν παθῶν καὶ τῶν βιωτικῶν πραγμάτων, μόλις καὶ μετὰ βίας μποροῦμε νὰ δοῦμε καὶ νὰ σηκώσουμε τὸ κεφάλι. Ὁ χωμένος μέσα σὲ λάκκο, ὅσο πιὸ πολὺ ἀνεβαίνει πρὸς τὰ ἐπάνω, τόσο πιὸ πολὺ πλησιάζει πρὸς τὸν ἥλιο. Ἂς ἀποτινάξουμε λοιπὸν τὸ χῶμα, ἂς πετάξουμε ἀπὸ πάνω μας τὸ πυκνὸ σκοτάδι· εἶναι πυκνὸ καὶ ἀδιαπέραστο καὶ δὲν μᾶς ἀφήνει νὰ δοῦμε καλά. Καὶ πῶς διασπᾶται ἡ νεφέλη αὐτή, λέγει; Ἐὰν ἑλκύσουμε πρὸς ἐμᾶς τὶς ἀκτῖνες τοῦ νοητοῦ ἡλίου, τοῦ ἡλίου τῆς δικαιοσύνης, ἐὰν ὑψώσουμε τὰ χέρια μας πρὸς τὸν οὐρανό· «ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή»[7], λέγει· ἐὰν μαζὶ μὲ τὰ χέρια ὑψώσουμε καὶ τὸν νοῦ. Καταλαβαίνετε οἱ μυημένοι τὰ λόγια μου. Ἴσως γνωρίζετε αὐτὸ ποὺ λέχθηκε καὶ ἀντιλαμβάνεσθε τὸν ὑπαινιγμό.

Ἂς ὑψώσουμε τὸν νοῦ. Γνωρίζω ἐγὼ πολλοὺς ἄνδρες, σχεδὸν κρεμασμένους ἀπὸ τὴ γῆ· τοὺς εἶδα μὲ ὑψωμένα τὰ χέρια πέρα ἀπὸ τὸ μέτρο τοῦ δυνατοῦ, νὰ εἶναι λυπημένοι, ἐπειδὴ δὲν μποροῦσαν νὰ ὑψωθοῦν πνευματικά, καὶ νὰ προσεύχωνται ἔτσι μὲ προθυμία. Ἔτσι θέλω νὰ εἶσθε πάντοτε ἐσεῖς· κι' ἂν ὄχι πάντοτε, τοὐλάχιστο πάρα πολὺ συχνά· κι' ἂν ὄχι πολὺ συχνά, τοὐλάχιστο μερικὲς φορές, τουλάχιστο κατὰ τὴν διάρκεια τῶν ἑωθινῶν καὶ τῶν ἑσπερινῶν προσευχῶν. Διότι πές μου, δὲν μπορεῖς νὰ ὑψώσης τὰ χέρια; Ὕψωσε τὴν διάθεσι ὅσο θέλεις· αὐτὴν ὕψωσέ την μέχρι τὸν οὐρανό· κι' ἂν θελήσης νὰ ἀγγίσης τὴν ἴδια τὴν κορυφὴ ἢ νὰ ἀνέβης καὶ νὰ περπατήσης ψηλότερα, μπορεῖς νὰ τὸ κάνης· διότι ὁ νοῦς μας εἶναι πιὸ ἀνάλαφρος καὶ πιὸ ὑψηλὸς ἀπὸ κάθε φτερό. Ὅταν μάλιστα λάβη καὶ τὴν χάρι τοῦ Πνεύματος, πώ, πώ, πόσο ταχὺς εἶναι τότε, πόσο διαπεραστικός, πῶς παντοῦ περιφέρεται, πῶς δὲν καταβυθίζεται καὶ δὲν πέφτει στὸ ἔδαφος! Τέτοια φτερὰ ἂς κατασκευάσουμε

μεν ἡμῖν τὰ πτερά, διὰ τούτων καὶ τὸ πέλαγος διαπτῆναι δυνησόμεθα τοῦ κλύδωνος τοῦ παρόντος βίου. Τὰ ὀξύτατα τῶν ὀρνίθων, καὶ ὄρη καὶ νάπας καὶ πελάγη καὶ σκοπέλους ἐν βραχείᾳ καιροῦ ῥοπῇ διίπταται ἀσινῆ.

5 *Τοιοῦτός ἐστι καὶ ὁ νοῦς· ὅταν πτερωθῇ, ὅταν τῶν βιωτικῶν ἀποστῇ, οὐδὲν αὐτοῦ ἐπιλαβέσθαι δύναται, πάντων ἐστὶν ἀνώτερος, καὶ τῶν βελῶν τῶν πεπυρωμένων τοῦ διαβόλου. Οὐκ ἔστιν οὕτως εὔστοχος ὁ διάβολος, ὡς δυνηθῆναι τοῦ ὕψους ἐφικέσθαι, ἀλλὰ τί; Ἀφίησι μὲν τὰ βέλη· ἀναίσχυντος γάρ ἐστιν· οὐκ ἐπιτυγχάνει* 10 *δέ, ἀλλ' ὑποστρέφει πρὸς αὐτὸν κενὸν τὸ βέλος, καὶ οὐ μόνον κενόν, ἀλλὰ καὶ εἰς τὴν αὐτοῦ κεφαλήν· δεῖ γὰρ πάντως πλῆξαι τὸ παρ' αὐτοῦ πεμπόμενον. Ὥσπερ οὖν τὸ παρὰ ἀνθρώπων βληθέν, ἢ τὸ καθ' οὗ πέμπεται βάλλει, ἢ ὄρνεον ἢ τοῖχον ἢ ἱμάτιον ἢ ξύλον ἢ αὐτὸν τὸν ἀέρα διατέμνει, οὕτω καὶ τὸ τοῦ διαβόλου βέλος, δεῖ* 15 *μὲν πλῆξαι πάντως, ἂν δὲ τὸν βαλλόμενον μὴ πλήξῃ, πάντως τὸν πέμποντα ἔπληξε. Καὶ ἔστι πολλαχόθεν τοῦτο μαθεῖν, ὅτι, ὅταν ἡμεῖς μὴ πληγῶμεν, πάντως ἐκεῖνος πλήττεται· οἷόν τι λέγω· Ἐπεβούλευσε τῷ Ἰώβ, οὐκ ἔπληξεν αὐτόν, ἀλλ' ἐπλήγη αὐτός· ἐπεβούλευσε τῷ Παύλῳ, οὐκ ἔπληξεν αὐτόν, ἀλλ' ἐπλήγη αὐτός. Καὶ* 20 *πανταχοῦ τοῦτο ἔστιν, ἐὰν νήφωμεν, ἰδεῖν γινόμενον. Καὶ ὅταν μὲν γὰρ πλήξῃ, πλήττεται· πολλῷ δὲ πλέον, ὅτε κατ' ἐκείνου τοῖς ξίφεσι καὶ τῷ θυρεῷ τῆς πίστεως καθοπλίσαντες καὶ τειχίσαντες ἑαυτούς, ἐν ἀσφαλείᾳ διατηρῶμεν, ὥστε ἀνάλωτοι γίνεσθαι.*

Βέλος δέ ἐστι τοῦ διαβόλου ἐπιθυμία πονηρά. Ὀργὴ μάλιστα 25 *πῦρ ἐστι, φλόξ ἐστι, συναρπάζει, ἀναιρεῖ, κατακαίει· ἀλλ' ἡμεῖς τῇ μακροθυμίᾳ, τῇ ἀνοχῇ αὐτὴν σβέσωμεν. Καθάπερ γὰρ πεπυρωμένος σίδηρος εἰς ὕδωρ βαφείς, τὸ πῦρ ἀπόλλυσιν, οὕτως ὀργὴ εἰς τὸν μακρόθυμον ἐμπεσοῦσα, οὐδὲν τὸν μακρόθυμον ἔβλαψεν, ἀλλὰ μᾶλλον ὠφέλησε, καὶ αὐτὸς διεκρατήθη πλέον. Οὐδὲν γὰρ μακρο*30 *θυμίας ἴσον· οὐδέποτε ὑβρίζεται ὁ τοιοῦτος· ἀλλ' ὥσπερ τὰ ἀδα-*

γιὰ μᾶς, μ' αὐτὰ θὰ μπορέσουμε νὰ διαπλεύσουμε καὶ τὸ τρικυμισμένο πέλαγος τῆς παρούσας ζωῆς. Τὰ ταχύτερα ἀπὸ τὰ πτηνὰ διασχίζουν καὶ ὄρη καὶ φαράγγια καὶ πελάγη καὶ σκοπέλους μέσα σὲ ἐλάχιστο χρόνο καὶ χωρὶς καμμιὰ βλάβη.

Τέτοιος εἶναι καὶ ὁ νοῦς· ὅταν φτερωθῆ, ὅταν ἀπαλλαγῆ ἀπὸ τὶς βιωτικὲς μέριμνες, τίποτε δὲν μπορεῖ νὰ τὸν σταματήση, ἀνεβαίνει πάνω ἀπὸ ὅλα, καὶ αὐτὰ τὰ πυρωμένα βέλη τοῦ διαβόλου. Δὲν εἶναι τόσο εὔστοχος ὁ διάβολος, ὥστε νὰ μπορέση νὰ φθάση ψηλά, ἀλλά τί κάμνει; Ρίχνει βέβαια τὰ βέλη του, διότι εἶναι ἀδιάντροπος, ἀστοχεῖ ὅμως καὶ ἐπιστρέφει τὸ βέλος πρὸς αὐτὸν κενό, καὶ ὄχι μόνο κενό, ἀλλὰ καὶ πέφτει ἐπάνω στὸ κεφάλι του· διότι πρέπει ὁπωσδήποτε νὰ κτυπήση κάτι τὸ βέλος ποὺ στέλλεται ἀπ' αὐτόν. Ὅπως λοιπὸν τὸ βέλος ποὺ ρίχνεται ἀπὸ τοὺς ἀνθρώπους ἢ κτυπᾶ ἐκεῖνο ἐναντίον τοῦ ὁποίου ρίπτεται, ἢ πτηνὸ ἢ τοῖχο ἢ ἔνδυμα ἢ ξύλο ἢ διασχίζει τὸν ἴδιο τὸν ἀέρα, ἔτσι καὶ τὸ βέλος τοῦ διαβόλου, πρέπει ὁπωσδήποτε νὰ χτυπήση κάποιον, κι' ἂν δὲν πετύχη ἐκεῖνον ἐναντίον τοῦ ὁποίου ἐξακοντίζεται, ὁπωσδήποτε τότε χτυπᾶ αὐτὸν ποὺ τὸ ἐξφενδόνισε. Καὶ εἶναι δυνατὸ αὐτὸ νὰ τὸ διαπιστώσουμε ἀπὸ πολλά, ὅτι, ὅταν ἐμεῖς δὲν χτυπηθοῦμε, ὁπωσδήποτε τότε δέχεται ἐκεῖνος τὸ πλῆγμα. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Ἐνήργησε δόλια κατὰ τοῦ Ἰώβ· δὲν τὸν χτύπησε, ἀλλὰ χτυπήθηκε ὁ ἴδιος. Ἐνήργησε δόλια καὶ κατὰ τοῦ Παύλου· δὲν τὸν πλήγωσε, ἀλλὰ χτυπήθηκε ὁ ἴδιος. Καὶ παντοῦ μποροῦμε νὰ δοῦμε νὰ συμβαίνη αὐτό, ἐὰν εἴμαστε προσεκτικοί. Καὶ ὅταν δηλαδὴ θέλη νὰ χτυπήση, δέχεται ὁ ἴδιος τὰ χτυπήματα, πολὺ περισσότερο δέχεται τὸ πλῆγμα, ὅταν διατηροῦμε τοὺς ἑαυτούς μας ἀσφαλεῖς, ὥστε νὰ εἴμαστε ἄτρωτοι, ὁπλίζοντας καὶ περιτειχίζοντάς τους ἐναντίον του μὲ τὰ ξίφη καὶ τὸν θώρακα τῆς πίστεως.

Βέλος τοῦ διαβόλου εἶναι ἡ πονηρὴ ἐπιθυμία. Προπάντων ἡ ὀργὴ εἶναι φωτιά, εἶναι φλόγα, ποὺ συναρπάζει, ποὺ καταστρέφει καὶ κατακαίει· ἀλλὰ ἐμεῖς ἂς τὴν σβήσουμε μὲ τὴν μακροθυμία, μὲ τὴν ἀνοχή. Διότι, ὅπως ὁ πυρακτωμένος σίδηρος ὅταν βυθισθῆ σὲ νερὸ καταστρέφει τὴν φωτιά, ἔτσι καὶ ἡ ὀργὴ ποὺ ἔπεσε στὸν μακρόθυμο δὲν τὸν ἔβλαψε, ἀλλὰ μᾶλλον τὸν ὠφέλησε, καὶ κατέστη περισσότερο ἀσφαλής. Διότι τίποτε δὲν εἶναι ἴσο μὲ τὴν μακροθυμία. Ὁ μακρόθυμος ποτὲ δὲν προσβάλλεται· ἀλλὰ ὅπως τὰ ἀδαμά-

μάντινα σώματα οὐ πλήττεται, οὕτως οὐδὲ αἱ τοιαῦτα ψυχαί· ἀνώτεραι γὰρ τῶν βελῶν εἰσιν. Ὑψηλός ἐστι, καὶ οὕτως ὑψηλὸς ὁ μακρόθυμος, ὡς μὴ δέχεσθαι πληγὴν ἀπὸ τῆς βολῆς. Ὅταν ἀγριαίνῃ, σὺ γέλα· γέλα δὲ μὴ φανερῶς, ὥστε μὴ παροξῦναι, ἀλλὰ γέλα κατὰ
5 *ψυχὴν αὐτοῦ ἕνεκεν. Καὶ γὰρ ἐπὶ τῶν παίδων, ὅταν πλήττωσιν ἡμᾶς μετὰ θυμοῦ, ὡς δὴ ἀμυνόμενοι, γελῶμεν. Ἂν τοίνυν γελάσῃς, τοσοῦτον ἔσται σου κἀκείνου τὸ μέσον, ὅσον παιδὸς καὶ ἀνδρός· ἂν δὲ ἀγριάνῃς, γέγονας παῖς· παίδων γὰρ ἀνοητότεροι οἱ ὀργιζόμενοι. Εἰπὲ δή μοι, ἂν ἀπίδῃ τις πρὸς παῖδα ἀγριαίνοντα, οὐχὶ καταγελᾷ;*
10 *Τοῦτο καὶ ἐπὶ τῶν ὀργιζομένων συμβαῖνον ἔστιν ἰδεῖν· οἱ τοιοῦτοι καὶ ὀλιγόψυχοι, εἰ δὲ ὀλιγόψυχοι, καὶ ἄφρονες· «ὁ δὲ ὀλιγόψυχος», φησίν, «ἰσχυρῶς ἄφρων». Ὁ τοίνυν ἄφρων νήπιός ἐστι. «Καὶ ὁ μακρόθυμος», φησί, «πολὺς ἐν φρονήσει».*

Ταύτην τοίνυν τὴν μακροθυμίαν μεταδιώκωμεν, ὅθεν πολλὴ
15 *τοῖς κατορθοῦσι σύνεσις περιγίνεται· ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

8. Παρμ. 14,29.

ντινα σώματα δὲν πλήττονται, ἔτσι καὶ οἱ μακρόθυμες ψυχές· διότι εἶναι ἀνώτερες ἀπὸ τὰ βέλη. Εἶναι ὑψηλὸς ὁ μακρόθυμος, καὶ τόσο ὑψηλός, ὥστε νὰ μὴν προσβάλλεται ἀπὸ τὸ βέλος. Ὅταν ἀγριεύῃ, ἐσὺ νὰ γελᾶς· νὰ γελᾶς ὄχι φανερά, γιὰ νὰ μὴ τὸν ἐξοργίσῃς, ἀλλὰ γέλα μέσα στὴν ψυχή σου ἐξ αἰτίας του. Διότι καὶ τὰ παιδιά, ὅταν μᾶς κτυποῦν μὲ θυμό, σὰν νὰ ἀμυνώμαστε, γελοῦμε. Ἂν λοιπὸν γελάσῃς, τόση θὰ εἶναι ἡ ἀπόστασις ἀνάμεσα σὲ σένα καὶ σ' ἐκεῖνον, ὅση ἀνάμεσα στὸ παιδὶ καὶ στὸν ἄνδρα· ἂν ὅμως ἐξαγριωθῇς, ἔχεις γίνει παιδί· διότι πιὸ ἀνόητοι κι' ἀπὸ τὰ παιδιὰ εἶναι ὅσοι ὀργίζονται. Πές μοι λοιπόν, ἐὰν κάποιος σὲ δῇ νὰ ὀργίζεσαι ἐναντίον τοῦ παιδιοῦ, δὲν θὰ σὲ περιγελάσῃ; Τὸ ἴδιο συμβαίνει καὶ μὲ ὅσους ὀργίζονται· ὅσοι ὀργίζονται εἶναι καὶ ὀλιγόψυχοι, καὶ ἐφ' ὅσον εἶναι ὀλιγόψυχοι, εἶναι καὶ ἀνόητοι· «ὁ ὀλιγόψυχος», λέγει, «εἶναι ὑπερβολικὰ ἀνόητος». Ὁ ἀνόητος λοιπὸν εἶναι νήπιο. «Καὶ ὁ μακρόθυμος», λέγει, «εἶναι πολὺ συνετός»[8].

Αὐτὴν λοιπὸν τὴν μακροθυμία ἂς ἐπιδιώκουμε, ἀπὸ τὴν ὁποία παρέχεται πολλὴ σύνεσις σὲ ὅσους τὴν κατορθώνουν, γιὰ νὰ πετύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμὴ καὶ ἡ προσκύνησις, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΓ'

(Ἑβρ. 11,7–12)

«Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ· δι' ἧς κατέκρινε τὸν κόσμον καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος».

5 *1.* *«Πίστει», φησί, «χρηματισθεὶς Νῶε». Καθάπερ ὁ Υἱὸς τοῦ Θεοῦ περὶ τῆς ἑαυτοῦ παρουσίας διαλεγόμενος ἔλεγεν, «ἐν ταῖς ἡμέραις τοῦ Νῶε ἐγάμουν καὶ ἐγαμίσκοντο», οὕτω καὶ οὗτός φησιν. Εἰκότως δὲ αὐτοὺς οἰκείας εἰκόνος ἀνέμνησε· τὸ μὲν γὰρ ὑπόδειγμα τοῦ Ἐνὼχ πίστεως ἦν ὑπόδειγμα μόνον, τὸ δὲ τοῦ Νῶε* 10 *καὶ ἀπιστίας. Αὕτη δέ ἐστιν ἀπηρτισμένη παράκλησις καὶ προτροπή, ὅταν μὴ μόνον οἱ πιστεύσαντες εὑρίσκωνται εὐδοκιμοῦντες, ἀλλὰ καὶ οἱ ἀπιστοῦντες τἀναντία πάσχοντες. Τί γάρ φησι; «Πίστει χρηματισθεὶς Νῶε». Τί ἐστι τοῦτο; Προλεχθὲν ἦν αὐτῷ, φησί. «Χρηματισμὸν» δὲ τὴν προφητείαν καλεῖ· καὶ γὰρ ἀλλαχοῦ οὕτως* 15 *εἶπε· «καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος»· καὶ πάλιν· καὶ τί λέγει ὁ χρηματισμός; Ὁρᾷς τοῦ Πνεύματος τὸ ἰσότιμον; Ὥσπερ γὰρ ὁ Θεὸς χρᾷ, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Τίνος δὲ ἕνεκεν οὕτως εἶπεν; Ἵνα δείξῃ ὅτι ὁ χρηματισμὸς προφητεία ἐστί.*

«Περὶ τῶν μηδέπω βλεπομένων», φησί· τουτέστι, τοῦ ὑετοῦ· 20 *«εὐλαβηθεὶς κατεσκεύασε κιβωτόν». Ὁ μὲν λογισμὸς οὐδὲν τοιοῦτον ὑπέβαλεν· ἐγάμουν γὰρ καὶ ἐγαμίσκοντο, ἀὴρ ἦν καθαρός, σημεῖα οὐκ ἦν· ἀλλ' ὅμως ἐφοβήθη ἐκεῖνος· διὸ καὶ οὕτως εἶπε·*

1. Λουκᾶ 17,23.

ΟΜΙΛΙΑ ΚΓ'

(Ἑβρ. 11,7-12)

«Λόγω τῆς πίστεώς του ὁ Νῶε, ἀφοῦ εἰδοποιήθηκε γιὰ ἐκεῖνα ποὺ ἀκόμη δὲν ἔβλεπε, καταλήφθηκε ἀπὸ εὐλαβῆ φόβο καὶ κατασκεύασε τὴν κιβωτὸ γιὰ νὰ σωθῇ ἀπὸ τὴν καταστροφὴ ἡ οἰκογένειά του. Μὲ τὴν πίστι του αὐτὴ κατέκρινε τὸν κόσμο καὶ ἔγινε κληρονόμος τῆς δικαιώσεως ποὺ παρέχεται διὰ τῆς πίστεως».

1. «Ἐξ αἰτίας τῆς πίστεώς του», λέγει, «εἰδοποιήθηκε μὲ προφητεία ὁ Νῶε». Ὅπως ἀκριβῶς ὁ Υἱὸς τοῦ Θεοῦ συζητώντας γιὰ τὴ δική του παρουσία ἔλεγε, «κατὰ τὶς ἡμέρες τοῦ Νῶε νυμφεύονταν καὶ παντρεύονταν»[1], τὸ ἴδιο καὶ αὐτὸς λέγει· καὶ σωστὰ τοὺς ὑπενθύμισε γνωστὴ εἰκόνα· διότι τὸ ὑπόδειγμα τοῦ Ἐνὼχ ἦταν ὑπόδειγμα πίστεως μόνο, ἐνῶ τοῦ Νῶε καὶ ἀπιστίας. Αὐτὴ εἶναι ὁλοκληρωμένη παρηγοριὰ καὶ προτροπή, ὅταν ὄχι μόνο εὐδοκιμοῦν ἐκεῖνοι ποὺ πίστεψαν, ἀλλὰ καὶ παθαίνουν τὰ ἀντίθετα ὅσοι δὲν πίστεψαν. Διότι τί λέγει; «Λόγω τῆς πίστεώς του εἰδοποιήθηκε ὁ Νῶε μὲ προφητεία». Τί σημαίνει αὐτό; Εἰδοποιήθηκε ἀπὸ πρίν, λέγει. «Χρηματισμὸ» ὀνομάζει τὴν προφητεία· διότι ἀλλοῦ εἶπε· «καὶ τοῦ δόθηκε ἡ προφητεία ἀπὸ τὸ ἅγιο Πνεῦμα»· καὶ πάλι· Καὶ τί λέγει ἡ προφητεία; Βλέπεις τὴν ἰσοτιμία τοῦ Πνεύματος; Διότι, ὅπως ὁ Θεος χρησμοδοτεῖ, ἔτσι καὶ τὸ ἅγιο Πνεῦμα. Καὶ γιὰ ποιό λόγο μίλησε ἔτσι; Γιὰ νὰ δείξῃ ὅτι ὁ «χρηματισμὸς» εἶναι προφητεία.

«Γιὰ ἐκεῖνα ποὺ ἀκόμη δὲν φαίνονταν», λέγει· δηλαδή, γιὰ τὴ βροχή· «ἀπὸ εὐλαβῆ φόβο κατασκεύασε τὴν κιβωτό». Ὁ λογισμὸς βέβαια δὲν τοῦ ὑπαγόρευε κάτι τέτοιο. Καθόσον «νυμφεύονταν καὶ παντρεύονταν», ἡ ἀτμόσφαιρα ἦταν καθαρή, σημάδια βροχῆς δὲν ὑπῆρχαν· ἀλλ' ὅμως ἐκεῖνος φοβήθηκε· γι' αὐτὸ καὶ εἶπε· «λόγω τῆς

«πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐβλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ». Πῶς; «Δι' ἧς κατέκρινε τὸν κόσμον». Ἔδειξε αὐτοὺς ἀξίους ὄντας κολάσεως, οἵ γε οὐδὲ διὰ τῆς κατασκευῆς ἐσωφρονίζοντο. «Καὶ
5 *τῆς κατὰ πίστιν», φησί, «δικαιοσύνης ἐγένετο κληρονόμος»· τουτέστιν, ἀπὸ τούτου δίκαιος ἐφάνη, ἀπὸ τοῦ πιστεῦσαι τῷ Θεῷ. Τοῦτο γὰρ ψυχῆς ἐστι γνησίως πρὸς αὐτὸν διακειμένης καὶ μηδὲν πιστότερον τῶν αὐτοῦ ρημάτων εἶναι κρινούσης, ὥσπεροῦν ἡ ἀπιστία τοὐναντίον. Ἡ δὲ πίστις εὔδηλον ὅτι δικαιοσύνην ἐργάζεται.*
10 *Ὥσπερ ἡμεῖς ἐχρηματίσθημεν περὶ γεέννης, οὕτω κἀκεῖνος. Καίτοι γε ἐγελᾶτο τότε καὶ ὠνειδίζετο καὶ ἐχλευάζετο· ἀλλ' ὅμως πρὸς οὐδὲν τούτων εἶδε.*

«Πίστει καλούμενος Ἀβραάμ, ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον, ὃν ἔμελλε λαμβάνειν εἰς κληρονομίαν»· καὶ ἐξῆλθε μὴ ἐπι-
15 *στάμενος ποῦ ἔρχεται. Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Τίνα γὰρ εἶδεν, ἵνα ζηλώσῃ, εἰπέ μοι; Πατέρα Ἕλληνα εἶχε καὶ εἰδωλολάτρην, προφητῶν οὐκ ἠκηκόει, οὐδὲ ᾔδει ποῦ ἤρχετο. Ἐπειδὴ γὰρ εἰς τούτους*
20 *ἑώρων οἱ ἐξ Ἑβραίων πεπιστευκότες, ὡς μυρίων ἀπολαύσαντας ἀγαθῶν, δείκνυσιν ὅτι οὐδεὶς οὐδέπω οὐδὲν ἐκομίσατο, ἀλλὰ πάντες εἰσὶν ἀγέραστοι, καὶ ὅτι οὐδεὶς οὐδέπω ἐδέξατο τὰς ἀμοιβάς. Τῆς πατρίδος ἐκεῖνος καὶ τῆς οἰκίας ἐξέπεσε καὶ ἐξῆλθεν οὐκ εἰδὼς ποῦ ἔρχεται.*

25 *Καὶ τί θαυμαστόν, εἰ αὐτός, ὅπου γε καὶ τὸ σπέρμα αὐτοῦ οὕτω κατῴκησεν; Ὁρῶν γοῦν ἐλεγχομένην τὴν ἐπαγγελίαν, οὐ κατενάρκησεν· εἶπε γάρ· «σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου». Εἶδε τὸν Υἱὸν ἐκεῖ κατοικοῦντα, καὶ ὁ ἔκγονος πάλιν εἶδεν ἑαυτὸν ἐν ἀλλοτρίᾳ κατοικοῦντα, καὶ οὐδὲν ἐθορυβήθη. Τὸ μὲν γὰρ*
30 *τοῦ Ἀβραὰμ εἰκότως ἐγεγόνει, ἅτε μετὰ ταῦτα μελλούσης τῆς ἐπαγγελίας εἰς ἔργον ἐκβήσεσθαι εἰς τὸ γένος αὐτοῦ· καίτοι γε καὶ πρὸς αὐτὸν εἴρητο, ὅτι «σοὶ καὶ τῷ σπέρματί σου»· οὐ, 'διὰ τοῦ*

2. Γεν. 12,7.

πίστεώς του ὁ Νῶε ἔλαβε προμήνυμα γιὰ ἐκεῖνα ποὺ δὲν φαίνονταν ἀκόμη, καὶ ἀπὸ εὐλάβεια κατασκεύασε κιβωτό, γιὰ νὰ σωθῆ ἡ οἰκογένειά του». Πῶς; «Διὰ τῆς πίστεώς του κατέκρινε τὸν κόσμο». Ἔδειξε ὅτι αὐτοὶ ποὺ οὔτε μὲ τὴν κατασκευὴ τῆς κιβωτοῦ σωφρονίζονταν, ἦταν ἄξιοι τιμωρίας. «Καὶ ἔγινε κληρονόμος τῆς δικαιώσεως ποὺ παρέχεται διὰ τῆς πίστεως», λέγει· δηλαδὴ ἀπ' αὐτὸ φάνηκε δίκαιος, ἀπὸ τὸ ὅτι πίστεψε στὸν Θεό. Αὐτὸ εἶναι γνώρισμα ψυχῆς πιστῆς στὸν Θεό, καὶ ποὺ τίποτε δὲν θεωρεῖ πιὸ ἀξιόπιστο ἀπὸ τὰ λόγια του, ὅπως βέβαια ἡ ἀπιστία κάμνει τὸ ἀντίθετο. Καὶ εἶναι ὁλοφάνερο, ὅτι ἡ πίστις ἐργάζεται τὴν δικαιοσύνη. Ὅπως ἐμεῖς ἐλάβαμε προμήνυμα γιὰ τὴ γέεννα, ἔτσι κι' ἐκεῖνος. Ἂν καὶ τὸν περιγελοῦσαν τότε καὶ τὸν κακολογοῦσαν καὶ τὸν ἐχλεύαζαν· ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν τὸν ἐπηρέασε.

«Ἐξ αἰτίας τῆς πίστεώς του ὁ Ἀβραὰμ ὑπάκουσε στὸν Θεό, ὅταν τὸν κάλεσε νὰ βγῆ ἀπὸ τὴν πατρίδα του καὶ νὰ πάῃ στὸν τόπο ποὺ ἐπρόκειτο νὰ λάβη ὡς κληρονομία, καὶ ἐβγῆκε χωρὶς νὰ ξέρη ποῦ πηγαίνει». Ἐξ αἰτίας τῆς πίστεώς του ἔμεινε στὴν γῆ τῆς ἐπαγγελίας ὡς ξένος καὶ ἔζησε μέσα σὲ σκηνὲς μαζὶ μὲ τὸν Ἰσαὰκ καὶ τὸν Ἰακὼβ τοὺς συγκληρονόμους τῆς ἴδιας ὑποσχέσεως. Πράγματι, πές μου, ποιόν εἶδε γιὰ νὰ τὸν μιμηθῆ; Εἶχε πατέρα Ἐθνικὸ καὶ εἰδωλολάτρη, προφῆτες δὲν εἶχε ἀκούσει, οὔτε ἤξερε ποῦ πήγαινε. Ἐπειδὴ δηλαδὴ σ' αὐτοὺς ἀπέβλεπαν ὅσοι ἀπὸ τοὺς Ἑβραίους εἶχαν πιστέψει, διότι εἶχαν ἀπολαύσει μύρια ἀγαθά, δείχνει ὅτι κανεὶς ἀκόμη δὲν ἀπήλαυσε τίποτε, ἀλλ' ὅλοι εἶναι χωρὶς βραβεῖο καὶ ὅτι κανεὶς ἀκόμη δὲν ἀμείφθηκε. Ἐκεῖνος ἀπομακρύνθηκε ἀπὸ τὴν πατρίδα του καὶ τὸ σπίτι του καὶ βγῆκε χωρὶς νὰ ξέρη ποῦ πηγαίνει.

Καὶ τί θαυμαστό, ἐὰν ἐνήργησε ἔτσι αὐτός, τὴ στιγμὴ ποὺ καὶ οἱ ἀπόγονοί του ἔτσι ἔζησαν; Ἂν καὶ ἔβλεπε δηλαδὴ ν' ἀναιρῆται ἡ ὑπόσχεσις, δὲν ἀμέλησε· καθόσον εἶπε· «σὲ σένα θὰ δώσω τὴν γῆ αὐτὴ καὶ στοὺς ἀπογόνους σου»[2]. Εἶδε τὸ παιδί του νὰ κατοικῆ ἐκεῖ καὶ ὁ ἀπόγονός του πάλι εἶδε τὸν ἑαυτό του νὰ κατοικῆ σὲ ξένη χώρα καὶ δὲν θορυβήθηκε καθόλου. Διότι ἐκεῖνο ποὺ συνέβηκε στὸν Ἀβραὰμ ἦταν σύμφωνο μὲ τὴ λογική, ἀφοῦ ἡ ὑπόσχεσις τοῦ Θεοῦ ἐπρόκειτο νὰ πραγματοποιηθῆ στοὺς ἀπογόνους του· ἂν καὶ βέβαια καὶ σ' αὐτὸν λέχθηκε, ὅτι «σὲ σένα καὶ στοὺς ἀπογόνους σου»· ὄχι 'διὰ τοῦ σπέρματός σου σὲ σένα', ἀλλὰ «σὲ σένα καὶ

σπέρματός σού σοι', ἀλλά, «σοὶ καὶ τῷ σπέρματί σου»· καὶ οὔτε αὐτός, οὔτε ὁ Ἰσαάκ, οὔτε ὁ Ἰακὼβ ἀπήλαυσαν τῆς ὑποσχέσεως. Ὁ μὲν γὰρ μισθῷ ἐδούλευσεν, ὁ δὲ ἐξηλαύνετο, οὗτος δὲ καὶ ἐξέπιπτε δεδοικώς· καὶ τὰ μὲν εἷλε πολέμῳ, τὰ δέ, εἰ μὴ τῆς τοῦ Θεοῦ 5 ῥοπῆς ἔτυχεν, ἀπώλετο ἄν. Διὰ τοῦτό φησιν, ὅτι μετὰ τῶν κληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Οὐχὶ αὐτὸς μόνος, φησίν, ἀλλὰ καὶ οἱ κληρονόμοι.

Εἶτα καὶ ἕτερόν τι τῶν εἰρημένων τρανότερον ἐπήγαγε λέγων· «κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς 10 ἐπαγγελίας». Δύο ἐνταῦθε ζητῆσαι ἄξιον, πῶς εἰπών, ὅτι «μετέθηκε τὸν Ἐνώχ, τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ εὑρίσκετο», λέγει· «κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες». Καὶ πάλιν εἰπών, «μὴ κομισάμενοι τὰς ἐπαγγελίας», τὸν Νῶε δείκνυσιν εἰληφέναι μισθὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, καὶ τὸν Ἐνὼχ μετατεθεῖσθαι, καὶ τὸν 15 Ἄβελ ἔτι λαβεῖν, καὶ τὸν Ἀβραὰμ ἐπειλῆφθαι τῆς γῆς· καί φησι· «κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας». Τί οὖν ἐστιν ὃ λέγει; Ἀναγκαῖον τὸ πρῶτον λῦσαι, εἶτα τὸ δεύτερον. «Κατὰ πίστιν ἀπέθανον», φησίν, «οὗτοι πάντες». Τό, «πάντες», ἐνταῦθα εἶπεν, οὐκ ἐπειδὴ πάντες ἀπέθανον, ἀλλ' ἐπειδὴ 20 ἐξῃρημένου ἐκείνου, ἀπέθανον οὗτοι πάντες, οὓς ἴσμεν τεθνηκότας. Τὸ δέ, «μὴ κομισάμενοι τὰς ἐπαγγελίας», ἀληθὲς τυγχάνει· οὐ γὰρ δὴ τοῦτο ἔμελλεν εἶναι ἡ ἐπαγγελία τῷ Νῶε.

2\. *Ποίας δὲ καὶ ἐπαγγελίας φησίν; Ὁ μὲν γὰρ Ἰσαὰκ καὶ Ἰακὼβ ἔλαβον τὰς ἐπαγγελίας τῆς γῆς· οἱ δὲ περὶ Νῶε, καὶ Ἄβελ, καὶ 25 Ἐνώχ, ποίας ἐπαγγελίας ἔλαβον; Ἢ τοίνυν περὶ τῶν τριῶν φησι τούτων· ἢ εἰ καὶ περὶ ἐκείνων, οὐ τοῦτο ἦν ἡ ἐπαγγελία, τὸ θαυμασθῆναι τὸν Ἄβελ, οὐδὲ τὸ μετατεθῆναι τὸν Ἐνώχ, οὐδὲ τὸ διασωθῆναι τὸν Νῶε, ἀλλὰ καὶ ταῦτα μὲν αὐτοῖς διὰ τὴν ἀρετὴν ἐγένετο, γεύματα δέ τινα ἦν τῶν μελλόντων. Ὁ γὰρ Θεὸς ἀπ' ἀρχῆς εἰδὼς 30 τὸ γένος τὸ ἀνθρώπινον πολλῆς δεόμενον συγκαταβάσεως, οὐ μόνον τὰ ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ τὰ ἐνταῦθα ἡμῖν χαρίζεται· οἷον ὅπερ καὶ τοῖς μαθηταῖς ἔλεγεν ὁ Χριστός· «ὅστις ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἑκατονταπλασίονα λήψεται καὶ*

στοὺς ἀπογόνους σου»· καὶ οὔτε αὐτός, οὔτε ὁ Ἰσαάκ, οὔτε ὁ Ἰακὼβ ἀπήλαυσαν τὰ τῆς ὑποσχέσεως. Διότι ὁ ἕνας δούλευσε ὡς ὑπηρέτης, ὁ ἄλλος ἀπομακρύνθηκε ἀπὸ την πατρίδα του, καὶ αὐτὸς αὐτοεξορίσθηκε ἀπὸ φόβο· καὶ ἄλλα μὲ πόλεμο τὰ κατέλαβε, ἄλλα πάλι, ἐὰν δὲν εἶχε τὴν συμπαράστασι τοῦ Θεοῦ, θὰ τὰ ἔχανε τελείως. Γι' αὐτὸ λέγει, «μαζὶ μὲ τοὺς κληρονόμους τῆς ἴδιας ὑποσχέσεως». Ὄχι μόνο αὐτός, λέγει, ἀλλὰ καὶ οἱ κληρονόμοι.

Ἔπειτα καὶ κάτι ἄλλο πιὸ μεγάλο ἀπ' αὐτὰ ποὺ λέχθηκαν πρόσθεσε, λέγοντας· «ὅλοι αὐτοὶ πέθαναν μὲ τὴν πίστι καὶ τὴν ἐλπίδα, χωρὶς νὰ λάβουν τὶς ὑποσχέσεις». Δύο πράγματα πρέπει ἐδῶ νὰ ἐξετάσουμε, πῶς, ἀφοῦ εἶπε, ὅτι «μετέθεσε τὸν Ἐνώχ, γιὰ νὰ μὴ δῆ θάνατο, καὶ δὲν εὑρίσκετο», λέγει, «μὲ τὴν πίστι πέθαναν ὅλοι αὐτοί». Καὶ πάλι, ἀφοῦ εἶπε, «χωρὶς ν' ἀπολαύσουν τὶς ὑποσχέσεις», δείχνει ὅτι ὁ Νῶε ἔλαβε μισθό, τὴν σωτηρία τῆς οἰκογένειάς του, ὁ Ἐνὼχ μετατέθηκε, ὁ Ἄβελ ἀκόμη μιλάει, καὶ ὁ Ἀβραὰμ ἔχει καταλάβει τὴ γῆ· καὶ λέγει· «με τὴν πίστι πέθαναν ὅλοι αὐτοί, χωρὶς ν' ἀπολαύσουν αὐτὰ ποὺ τοὺς ὑποσχέθηκε ὁ Θεός». Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ λέγει; Πρέπει νὰ ἐξηγήσουμε πρῶτα τὸ πρῶτο κι' ἔπειτα τὸ δεύτερο. «Μὲ τὴν πίστι», λέγει, «πέθαναν ὅλοι αὐτοί». Τό, «ὅλοι», τὸ εἶπε ἐδῶ, ὄχι ἐπειδὴ ὅλοι πέθαναν, ἀλλ' ἐπειδή, ἂν ἐξαιρέσουμε τὸν Ἐνώχ, πέθαναν ὅλοι αὐτοί, ποὺ γνωρίζουμε πράγματι ὅτι ἔχουν πεθάνει. Ἐπίσης τό, «χωρὶς ν' ἀπολαύσουν τὶς ἐπαγγελίες», εἶναι ἀληθές· διότι δὲν εἶναι αὐτὴ ἡ ὑπόσχεσις ποὺ δόθηκε στὸν Νῶε.

2. Καὶ ποιές ὑποσχέσεις ἐννοεῖ; Διότι ὁ Ἰσαὰκ καὶ ὁ Ἰακὼβ ἔλαβαν τὶς ἐπαγγελίες τῆς γῆς· ἐκεῖνοι ὅμως ποὺ εἶναι γύρω ἀπὸ τὸν Νῶε καὶ τὸν Ἄβελ καὶ τὸν Ἐνώχ, ποιές ἐπαγγελίες ἔλαβαν; Ἢ λοιπὸν γι' αὐτοὺς τοὺς τρεῖς λέγει, ἤ, ἂν ὁμιλῆ καὶ γι' αὐτούς, δὲν ἦταν αὐτὸ ἡ ἐπαγγελία τὸ νὰ θαυμασθῆ ὁ Ἄβελ, οὔτε τὸ νὰ μετατεθῆ ὁ Ἐνώχ, οὔτε τὸ νὰ διασωθῆ ὁ Νῶε, ἀλλὰ καὶ αὐτὰ συνέβηκαν σ' αὐτοὺς ἐξ αἰτίας τῆς ἀρετῆς τους, καὶ ἦταν κάποιες γεύσεις ἐκείνων ποὺ ἐπρόκειτο ν' ἀπολαύσουν στὸ μέλλον. Διότι ὁ Θεός, ἐπειδὴ γνωρίζει ὅτι τὸ ἀνθρώπινο γένος χρειάζεται πολλὴ συγκατάβασι, μᾶς χαρίζει ὄχι μόνο τὰ μελλοντικά, ἀλλὰ καὶ τὰ ἐδῶ ἀγαθά· ὅπως ἀκριβῶς καὶ στοὺς μαθητές του ἔλεγε ὁ Χριστός· «ὅποιος ἄφησε σπίτια, ἢ ἀδελφούς, ἢ ἀδελφές, ἢ πατέρα, ἢ μητέρα, θὰ λάβη ἑκατο-

ζωὴν αἰώνιον κληρονομήσει»· καὶ πάλιν· «ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Ὁρᾷς καὶ ἐν προσθήκης μέρει ταῦτα παρ' αὐτοῦ διδόμενα, ὥστε μὴ ἀποκαμεῖν; Καθάπερ γὰρ οἱ ἀθληταὶ ἀπολαύουσι μὲν θεραπείας καὶ ὅταν ἀγω-
5 νίζωνται, πλὴν ἀλλ' οὐ πάσης τότε τῆς ἀνέσεως ἀπολαύουσιν, ὑπὸ νόμοις ζῶντες, ἀλλὰ πάσης μετὰ ταῦτα ἀπολαύουσιν· οὕτω καὶ ὁ Θεὸς οὐ πάσης ἐνταῦθα δίδωσι μεταλαβεῖν τῆς ἀνέσεως· δίδωσι μὲν γὰρ καὶ ἐνταῦθα, πλὴν ὅμως τὴν πᾶσαν ἐν τῷ μέλλοντι ἐταμίευσε.

10 Καὶ ὅτι τοῦτό ἐστιν, ἐδήλωσεν αὐτὸ καὶ διὰ τῆς ἐπαγωγῆς, εἰπών· «ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι». Ἐνταῦθά τι μυστικὸν αἰνίττεται· δείκνυσι γὰρ ὅτι προέλαβον πάντα τὰ περὶ τῶν μελλόντων εἰρημένα, τὰ περὶ ἀναστάσεως, τὰ περὶ βασιλείας οὐρανῶν, τὰ περὶ τῶν ἄλλων, ὧν ἐλθὼν ὁ Χριστὸς ἐκήρυσ-
15 σε· τὰς γὰρ ἐπαγγελίας ταύτας φησίν. Ἢ τοῦτο οὖν φησιν, ἢ ὅτι οὐκ ἔλαβον μὲν αὐτάς, θαρρήσαντες δὲ ὑπὲρ αὐτῶν ἀπῆλθον· ἐθάρρησαν δὲ τῇ πίστει μόνῃ. «Πόρρωθεν δὲ αὐτὰς ἰδόντες» εἶπε, δηλῶν ὅτι πρὸ τεσσάρων γενεῶν· μετὰ γὰρ τοσαύτας ἀνῆλθον ἐξ Αἰγύπτου. «Καὶ ἀσπασάμενοι», φησί, «καὶ ἡσθέντες». Οὕτω πε-
20 πεισμένοι ἦσαν περὶ αὐτῶν, ὡς καὶ ἀσπάσασθαι αὐτάς· ἀπὸ μεταφορᾶς εἶπε τῶν πλεόντων καὶ πόρρωθεν ὁρώντων τὰς πόλεις τὰς ποθουμένας, ἃς πρὶν ἢ εἰσελθεῖν εἰς αὐτὰς τῇ προσρήσει λαβόντες αὐτὰς οἰκειοῦνται. «Ἐξεδέχοντο» γάρ, φησί, «τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός». Ὁρᾷς ὅτι τό,
25 «ἔλαβον», τὸ ἤδη δέξασθαί ἐστι καὶ θαρσῆσαι ὑπὲρ αὐτῶν; Εἰ τοίνυν τὸ θαρσῆσαι λαβεῖν ἐστιν, ἔνεστι καὶ ὑμῖν λαβεῖν. Οὗτοι γάρ, εἰ καὶ μὴ ἀπήλαυσαν τούτων, ἀλλ' ὅμως τῷ πόθῳ ἐθεώρουν αὐτάς.

Τί δὴ ταῦτα γίνεται; Ἵνα ἡμεῖς αἰσχυνθῶμεν, ὅτι ἐκεῖνοι μέν, καὶ ἐπαγγελλομένων αὐτοῖς τῶν ἐν τῇ γῇ, οὐ προσεῖχον, ἀλλὰ τὴν
30 μέλλουσαν πόλιν ἐζήτουν· ἡμῖν δὲ ἄνω καὶ κάτω ὁ Θεὸς περὶ τῆς ἄνω διαλέγεται πόλεως, καὶ τὴν ἐνταῦθα ζητοῦμεν. Εἶπεν αὐτοῖς, ὅτι δώσω ὑμῖν τὰ ἐν τῷ παρόντι· ἐπειδὴ δὲ εἶδε, μᾶλλον δὲ ἐπειδὴ

3. Ματθ. 19,29.
4. Ματθ. 6,33.

νταπλάσια καὶ θὰ κληρονομήση τὴν αἰώνια ζωή»[3]· καὶ πάλι· «ζητεῖτε τὴν βασιλεία τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ σᾶς δοθοῦν»[4]. Βλέπεις ὅτι καὶ αὐτὰ δίνονται συμπληρωματικὰ ἀπὸ τὸν Κύριο, γιὰ νὰ μὴν ἀποκάμουν; Διότι, ὅπως ἀκριβῶς οἱ ἀθλητὲς ἀπολαμβάνουν κάποια περιποίηση καὶ ὅταν ἀγωνίζωνται, ἀλλ' ὅμως δὲν ἀπολαμβάνουν ὅλη τὴν ἄνεσι τότε, διότι ζοῦν κάτω ἀπὸ νόμους, ἐνῶ ὅλη τὴν ἄνεσι θὰ τὴν ἀπολαύσουν μετὰ τὸν ἀγῶνα, ἔτσι καὶ ὁ Θεὸς δὲν δίνει ἐδῶ τὴν ἀπόλαυσι ὁλόκληρης τῆς ἀνέσεως· δίνει βέβαια καὶ ἐδῶ, ἀλλὰ ὁλόκληρη τὴν ἐφύλαξε γιὰ τὴ μέλλουσα ζωή.

Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινό, τὸ φανέρωσε μὲ τὰ ὅσα πρόσθεσε, λέγοντας· «ἀλλὰ ἀπὸ μακριὰ τὶς εἶδαν καὶ τὶς ἀποδέχθηκαν». Ἐδῶ ὑπαινίσσεται κάποιο μυστήριο· δείχνει δηλαδή, ὅτι ἐκ τῶν προτέρων ἔλαβαν ὅλα ὅσα ἔχουν λεχθῆ γιὰ τὴ μέλλουσα ζωή, τὰ σχετικὰ με τὴν ἀνάστασι, μὲ τὴ βασιλεία τῶν οὐρανῶν, καὶ μὲ ὅλα τὰ ἄλλα ποὺ ἐκήρυξε ὁ Χριστὸς ὅταν ἦρθε· διότι λέγοντας ἐπαγγελίες αὐτὲς ἐννοεῖ. Ἢ αὐτὸ λοιπὸν ἐννοεῖ, ἢ ὅτι δὲν τὶς ἔλαβαν βέβαια, ἔφυγαν ὅμως μὲ τὴν πεποίθησι ὅτι θὰ τὶς λάβουν· καὶ ἀντλοῦσαν τὸ θάρρος ἀπὸ τὴν πίστι καὶ μόνο. Καὶ εἶπε ὅτι, «τὶς εἶδαν ἀπὸ μακριά», γιὰ νὰ δηλώση, ὅτι πρὶν τέσσερεις γενεὲς συνέβηκε. Διότι μετὰ ἀπὸ τόσες ἐπέστρεψαν ἀπὸ τὴν Αἴγυπτο. «Καὶ τὶς χαιρέτισαν», λέγει, «μὲ εὐχαρίστησι». Τόσο εἶχαν πεισθῆ γιὰ τὴν πραγματοποίησί τους, ὥστε καὶ τὶς χαιρέτισαν μὲ χαρά· μὲ μεταφορικὴ σημασία τὸ εἶπε αὐτό, κατὰ τὸ παράδειγμα τῶν ναυτιλομένων πού, βλέποντας ἀπὸ μακριὰ τὶς πόλεις ποὺ τόσο ποθοῦν, πρὶν ἀκόμη μποῦν σ' αὐτές, τὶς κάμνουν δικές τους, ἀκούοντας μόνο γι' αὐτές. Διότι λέγει, «περίμεναν τὴν πόλι ποὺ ἔχει τὰ ἀληθινὰ θεμέλια, τῆς ὁποίας τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός». Βλέπεις ὅτι τὸ «ἔλαβον» σημαίνει ὅτι θὰ τὰ λάβουν μελλοντικὰ καὶ ὅτι ἔχουν θάρρος γι' αὐτά; Ἐὰν λοιπὸν τὸ «εἶχαν θάρρος» σημαίνη, 'τὰ ἔλαβαν', καὶ ἐσεῖς εἶναι δυνατὸ νὰ λάβετε. Διότι αὐτοί, ἂν καὶ δὲν ἀπήλαυσαν τὶς ὑποσχέσεις, ὅμως ἐξ αἰτίας τοῦ πόθου τους γι' αὐτὲς τὶς ἔβλεπαν.

Γιατί λοιπὸν γίνονται αὐτά; Γιὰ νὰ ντραποῦμε ἐμεῖς, διότι ἐκεῖνοι, ἂν καὶ τοὺς εἶχε δοθῆ ἡ ὑπόσχεσις γιὰ τὰ ἀγαθὰ τῆς γῆς, δὲν τὰ ἔδιναν σημασία, ἀλλ' ἀναζητοῦσαν τὴν μέλλουσα πόλι· ἐνῶ σ' ἐμᾶς μὲ ὅλους τοὺς τρόπους ὁ Θεὸς μιλάει γιὰ τὴν ἄνω πόλι, ἐμεῖς ὅμως ἐπιζητοῦμε αὐτὴν ποὺ ὑπάρχει ἐδῶ. Τοὺς εἶπε, 'θὰ σᾶς

ἔδειξαν ἑαυτοὺς μειζόνων ὄντας ἀξίους, τότε οὐκέτι αὐτοὺς ἀφίησι ταῦτα λαβεῖν, ἀλλ' ἐκεῖνα τὰ μείζονα, βουλόμενος ἡμῖν δεῖξαι ὅτι μειζόνων ἄξιοί εἰσι, μὴ θελήσαντες προσδεθῆναι τούτοις· ὡς ἄν τις συνετῷ ἐπαγγέλλοιτο παιδικά, οὐχ ἵνα λάβῃ, ἀλλ' ἐπιδεικνύμενος
5 *αὐτοῦ τὴν φιλοσοφίαν, αἰτοῦντος ἐκείνου τὰ μείζονα. Τοῦτο γάρ ἐστι δεικνύντος, ὅτι μετὰ τοσαύτης σπουδῆς ἀπείχοντο τῆς γῆς, ὅτι οὐδὲ διδόμενα ἐλάμβανον. Τοιγαροῦν διὰ τοῦτο οἱ ἔκγονοι λαμβάνουσιν· αὐτοὶ γὰρ ἦσαν τῆς γῆς ἄξιοι. Τί ἐστι, «τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν»; Οὗτοι γὰρ οὐκ εἰσι θεμέλιοι; Πρὸς σύγκρισιν ἐκεί-*
10 *νων οὐκ εἰσιν. «Ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός». Βαβαί, οἷον τὸ ἐγκώμιον τῆς πόλεως ἐκείνης.*

«Πίστει καὶ αὐτὴ Σάρρα». Ἐντρεπτικῶς ἐνταῦθα ἤρξατο, εἴγε γυναικὸς ὀλιγοψυχότεροι φανεῖεν. Ἀλλ' εἴποι ἄν τις· 'Πῶς πιστὴ ἡ γελάσασα;' Ὁ μὲν οὖν γέλως ἐξ ἀπιστίας, ὁ δὲ φόβος ἀπὸ
15 *πίστεως· τὸ γὰρ εἰπεῖν, «οὐκ ἐγέλασα», ἀπὸ πίστεως γέγονε. Τοιγαροῦν διὰ τοῦτο, κενωθείσης τῆς ἀπιστίας, ἐπεισῆλθεν ἡ πίστις. «Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκε». Τί ἐστιν, «εἰς καταβολὴν σπέρματος»; Εἰς τὸ κατασχεῖν τὸ σπέρμα, εἰς ὑποδοχὴν δύναμιν ἔλαβεν ἡ*
20 *νενεκρωμένη, ἡ στεῖρα. Διπλῆ γὰρ ἦν ἡ πήρωσις, ἡ μὲν ἀπὸ τοῦ χρόνου, γεγηρακυῖα γὰρ ἦν ὄντως· ἡ δὲ ἀπὸ τῆς φύσεως, στεῖρα γὰρ ἦν. Ὅθεν, καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ πάντες, καὶ ταῦτα νενεκρωμένου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος. Ὅθεν, φησί, καὶ ἐξ*
25 *ἑνὸς ἐγεννήθησαν οἱ πάντες. Οὐ τοῦτο μόνον ἐνταῦθα λέγει, ὅτι ἐγέννησεν, ἀλλ' ὅτι καὶ τοσούτων ἐγένετο μήτηρ, ὅσων οὐδὲ αἱ εὔφοροι γαστέρες· «ὡς τὰ ἄστρα», φησί. Πῶς οὖν αὐτοὺς ἀριθμεῖ πολλάκις, καίτοι γε εἰπών, «ὃν τρόπον οὐκ ἐξαριθμηθήσεται τὰ ἄστρα τοῦ οὐρανοῦ, οὕτως οὐδὲ τὸ σπέρμα ὑμῶν»; Ἤτοι καθ'*
30 *ὑπερβολήν ἐστι τοῦτο, ἢ διὰ τοὺς ἀεὶ ἐπιγινομένους οὕτως εἶπε.*

5. Γεν. 18,15.

δώσω τὰ ἀγαθὰ τοῦ παρόντος κόσμου'· ἐπειδὴ ὅμως εἶδε ἢ καλύτερα ἐπειδὴ ἔδειξαν ὅτι εἶναι ἄξιοι μεγαλυτέρων, τότε πιὰ δὲν τοὺς ἄφησε νὰ λάβουν αὐτά, ἀλλ' ἐκεῖνα τὰ μεγαλύτερα, θέλοντας νὰ μᾶς δείξη, ὅτι εἶναι ἄξιοι μεγαλυτέρων, ἐπειδὴ δὲν θέλησαν νὰ προσδεθοῦν σ' αὐτά· ὅπως ἂν κάποιος ἤθελε ὑποσχεθῆ παιδικὰ πράγματα σὲ συνετὸ ἄνθρωπο, ὄχι γιὰ νὰ τὰ λάβη, ἀλλὰ γιὰ νὰ δείξη τὴν ὅλη ἀρετή του, ἐκεῖνος ὅμως ζητᾶ τὰ μεγαλύτερα. Πράγματι αὐτὸ δείχνει ὅτι μὲ τόσο ζῆλο ἀπέρριπταν τὰ τῆς γῆς, ἀφοῦ δὲν ἔπαιρναν οὔτε ἐκεῖνα ποὺ τοὺς δίνονταν. Γι' αὐτὸ λοιπὸν τὰ λαμβάνουν οἱ ἀπόγονοί τους· διότι αὐτοὶ εἶχαν γήϊνες ἐπιδιώξεις. Τί σημαίνει, «τὴν πόλι ποὺ ἔχει τὰ πραγματικὰ θεμέλια»; Αὐτὰ δηλαδὴ δὲν εἶναι θεμέλια; Σὲ σύγκρισι μ' ἐκεῖνα δὲν εἶναι. «Αὐτῆς τῆς πόλεως τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός». Πώ, πώ, ποιό εἶναι τὸ ἐγκώμιο τῆς πόλεως ἐκείνης!

«Ἐξ αἰτίας τῆς πίστεώς της καὶ αὐτὴ ἡ Σάρρα». Μὲ κάποια μορφὴ ντροπῆς γιὰ μᾶς ἄρχισε ἐδῶ, ἐὰν συμβῆ νὰ φανοῦμε ἐμεῖς πιὸ ὀλιγόψυχοι ἀπὸ μιὰ γυναῖκα. Ἀλλὰ ἴσως πῆ κάποιος. Πῶς εἶναι πιστὴ αὐτὴ ποὺ γέλασε; Τὸ γέλιο προέρχεται ἀπὸ τὴν ἀπιστία, ὁ φόβος ὅμως ποὺ ἀκολούθησε ἀπὸ τὴν πίστι· διότι τὰ λόγια, «δὲν ἐγέλασα»[5], τὰ εἶπε ἀπὸ πίστι. Γι' αὐτὸ λοιπόν, ἀφοῦ ἀπομακρύνθηκε ἡ ἀπιστία, εἰσῆλθε ἡ πίστις. «Γιὰ τὴν πίστι της καὶ αὐτὴ ἡ στεῖρα Σάρρα ἔλαβε τὴ δύναμι τῆς συλλήψεως καὶ παρὰ τὴν ἡλικία της ἐγέννησε». Τί σημαίνει, «εἰς καταβολὴν σπέρματος»; Ἔλαβε δύναμι γιὰ νὰ κρατήση τὸ σπέρμα, νὰ τὸ φιλοξενήση, αὐτὴ ποὺ εἶχε νεκρωθῆ, ἡ στεῖρα. Διότι ἡ σωματικὴ βλάβη ἦταν διπλῆ, ἡ μία προερχόταν ἀπὸ τὸν χρόνο, ἀφοῦ πράγματι εἶχε γεράσει· ἡ ἄλλη ἦταν φυσική, διότι ἦταν στεῖρα. Γι' αὐτο καὶ ἀπὸ μία γυναῖκα, καὶ μάλιστα νεκρωμένη, γεννήθηκαν ὅλοι, ποὺ εἶναι ὡς πρὸς τὸ πλῆθος ὅπως τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ἡ ἀναρίθμητη ἄμμος ποὺ βρίσκεται κοντὰ στὸ χεῖλος τῆς θάλασσας. Γι' αὐτό, λέγει, καὶ ἀπὸ μιὰ γεννήθηκαν ὅλοι. Δὲν λέγει αὐτὸ μόνο ἐδῶ, τὸ ὅτι γέννησε, ἀλλὰ ὅτι ἔγινε καὶ μητέρα τόσων πολλῶν, ὅσων δὲν ἔγιναν οὔτε οἱ εὔφορες κοιλιές· «σὰν τὰ ἄστρα», λέγει. Πῶς λοιπὸν πολλὲς φορὲς τοὺς ἀπαριθμεῖ, ἂν καὶ εἶπε, ὅπως δὲν μποροῦν νὰ ἀριθμηθοῦν τὰ ἄστρα τοῦ οὐρανοῦ, ἔτσι οὔτε καὶ τὸ σπέρμα σας; Ἢ τὸ εἶπε ὑπὸ μορφὴ ὑπερβολῆς, ἢ τὸ εἶπε ἔτσι γιὰ τοὺς μετέπειτα ἀπογόνους. Διότι εἶναι δυνατὸ ν'

Μιᾶς μὲν γὰρ οἰκίας δυνατὸν τοὺς προγόνους ἀριθμῆσαι, οἷον, ὁ δεῖνα τοῦ δεῖνος, καὶ ὁ δεῖνα τοῦ δεῖνος· ἐνταῦθα δέ, ὧν τὸ γένος τῷ πλήθει τῶν ἄστρων παρεικάζεται, οὐκ ἔστι.

3. Τοιαῦται αἱ ἐπαγγελίαι τοῦ Θεοῦ, οὕτως εὐμήχανοι αὐτοῦ αἱ 5 ὑποσχέσεις. Εἰ δὲ ἅπερ ἐν προσθήκης μέρει ὑπέσχετο, οὕτω θαυμαστά, οὕτω παράδοξα, οὕτω μεγαλόδωρα, τίνα ἔσται ἐκεῖνα, ὧν ταῦτα προσθήκη, ὧν ἐκ περιουσίας ταῦτα; Τί τοίνυν τῶν ἐπιτυγχανόντων μακαριώτερον; τί τῶν ἀποτυγχανόντων ἀθλιώτερον; Εἰ γὰρ πατρίδος τις ἐκβεβλημένος, ὑπὸ πάντων ἐλεεῖται καὶ κληρονομίαν 10 ἀπολέσας δοκεῖ παρὰ πᾶσιν ἐλεεινὸς εἶναι, ὁ τοῦ οὐρανοῦ ἐκπίπτων καὶ τῶν ἀποκειμένων ἀγαθῶν ἐκεῖ, πόσοις ὀφείλει δάκρυσι δακρύεσθαι; Μᾶλλον δὲ οὐδὲ δακρύεσθαι· δακρύεται γάρ τις ὅταν τι πάθῃ, ὧν οὐκ αὐτός ἐστιν αἴτιος· ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν περιπείρῃ τῇ κακίᾳ, οὐδὲ δακρύων, ἀλλὰ θρήνων ἐστὶν ἄξιος, 15 μᾶλλον δὲ καὶ τότε πένθους· ἐπεὶ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν Ἱερουσαλήμ, καίτοι ἀσεβοῦσαν, ἐπένθησε καὶ ἐδάκρυσεν.

Ὄντως μυρίων ὀδυρμῶν ἄξιοί ἐσμεν, μυρίων θρήνων. Ἐὰν πᾶσα ἡ οἰκουμένη λαβοῦσα φωνήν, καὶ λίθοι καὶ ξύλα καὶ δένδρα καὶ θηρία καὶ ὄρνιθες καὶ ἰχθύες καὶ ἁπλῶς πᾶσα ἡ οἰκουμένη, ἐὰν 20 λαβοῦσα φωνὴν ἡμᾶς ὀδύρηται τοὺς ἐκπεπτωκότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν κατ' ἀξίαν ὀδυρεῖται οὐδὲ θρηνήσει. Ποῖος γὰρ λόγος παραστῆσαι δυνήσεται, ποῖος νοῦς ἐκείνην τὴν μακαριότητα καὶ τὴν ἀρετὴν ἐκείνην, τὴν ἡδονήν, τὴν δόξαν, τὴν εὐφροσύνην, τὴν λαμπρότητα, «ἃ ὀφθαλμός», φησίν, «οὐκ εἶδε, καὶ οὖς οὐκ 25 ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν»; Οὐκ εἶπεν ὅτι 'ὑπερβαίνει ἁπλῶς', ἀλλ' οὐδὲ ἐνενόησέ ποτέ τις, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Ὧν γὰρ ἑτοιμαστὴς καὶ παρασκευαστὴς ὁ Θεὸς ἀγαθῶν, ποῖα εἰκὸς εἶναι ταῦτα;

30 *Εἰ γὰρ ποιήσας ἡμᾶς, εὐθέως οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου, τοσαῦτα ἐχαρίσατο, παράδεισον, ὁμιλίαν τὴν μετ' αὐτοῦ,*

6. Α' Κορ. 2,9.

ἀπαριθμήση κανεὶς τοὺς προγόνους μιᾶς μόνο οἰκίας, ὅπως, ὁ τάδε εἶναι τοῦ τάδε, καὶ ὁ τάδε τοῦ τάδε· ἐδῶ ὅμως, ποὺ τὸ γένος τους παραβάλλεται μὲ τὸ πλῆθος τῶν ἄστρων, δὲν εἶναι δυνατὸ ν' ἀπαριθμηθῆ.

3. Τέτοιες εἶναι οἱ ἐπαγγελίες τοῦ Θεοῦ, τόσο σοφὰ ἐπινοημένες εἶναι οἱ ὑποσχέσεις του. Καὶ ἐὰν αὐτὰ ποὺ ὑποσχέθηκε σὰν συμπλήρωμα εἶναι τόσο θαυμαστά, τόσο παράδοξα, τόσο μεγαλόδωρα, τί εἴδους θὰ εἶναι ἐκεῖνα, τῶν ὁποίων αὐτὰ εἶναι συμπλήρωμα, τῶν ὁποίων αὐτὰ εἶναι περίσσευμα; Τί λοιπὸν ὑπάρχει μακαριώτερο ἀπὸ ἐκείνους ποὺ ἐπιτυγχάνουν αὐτά; τί ἀθλιώτερο ἀπὸ ἐκείνους ποὺ ἀποτυγχάνουν; Διότι, ἐὰν κάποιος ποὺ ἐκδιώχθηκε ἀπὸ τὴν πατρίδα του ἀπὸ ὅλους ἐλεεῖται, καὶ ἐπειδὴ ἔχασε τὴν κληρονομιά του θεωρεῖται ἀξιολύπητος ἀπὸ ὅλους, ἐκεῖνος ποὺ χάνει τὸν οὐρανὸ καὶ τὰ ἀγαθὰ ποὺ ὑπάρχουν ἐκεῖ, πόσα δάκρυα πρέπει νὰ χύνη; ἢ καλύτερα νὰ μὴ κλαίη· διότι κλαίει κανείς, ὅταν πάθη κάτι, γιὰ τὸ ὁποῖο δὲν εἶναι αὐτὸς αἴτιος· ὅταν ὅμως μὲ τὴν θέλησί του καταπληγώνη τὸν ἑαυτό του μὲ τὴν κακία, ἀξίζει ὄχι νὰ χύνη δάκρυα, ἀλλὰ νὰ θρηνῆ· ἢ καλύτερα πρέπει καὶ τότε νὰ πενθῆ· διότι καὶ ὁ Κύριος μας ὁ Ἰησοῦς Χριστὸς ἐπένθησε τὴν Ἰερουσαλὴμ καὶ ἔχυσε δάκρυα γι' αὐτήν, ἂν καὶ διέπραττε ἀσέβειες.

Πράγματι εἴμαστε ἄξιοι μυρίων ὀδυρμῶν, μυρίων θρήνων. Ἐὰν ὅλη ἡ οἰκουμένη ἀποκτοῦσε φωνὴ καὶ οἱ πέτρες καὶ τὰ ξύλα, καὶ τὰ δένδρα καὶ τὰ θηρία καὶ τὰ πτηνὰ καὶ τὰ ψάρια καὶ γενικὰ ὅλη ἡ οἰκουμένη, ἐὰν ἀποκτοῦσε φωνὴ καὶ θρηνοῦσε ἐμᾶς ποὺ ἔχουμε ἐκπέσει ἀπὸ τὰ ἀγαθὰ ἐκεῖνα, δὲν θὰ μποροῦσε ἐπάξια νὰ μᾶς πενθήση καὶ νὰ μᾶς θρηνήση. Διότι ποιός λόγος, ποιός νοῦς θὰ μπορέση νὰ παραστήση ἐκείνην τὴν μακαριότητα, ἐκείνην τὴν ἀρετή, τὴν ἡδονή, τὴ δόξα, τὴν εὐφροσύνη, τὴν λαμπρότητα, «ἐκεῖνα ποὺ ὀφθαλμός», λέγει, «δὲν τὰ εἶδε καὶ αὐτὶ δὲν τὰ ἄκουσε, καὶ στὴν καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν»[6]; Δὲν εἶπε, ὅτι 'ὑπερβαίνουν ἁπλῶς', ἀλλ' οὔτε σκέφθηκε ποτὲ κανεὶς «ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν». Πραγματικὰ ποιά φυσικὸ εἶναι νὰ εἶναι τὰ ἀγαθὰ ποὺ ἑτοίμασε καὶ παρασκεύασε ὁ Θεός;

Ἐὰν λοιπόν, ἀφοῦ μᾶς ἔπλασε, ἀμέσως, χωρὶς νὰ κάναμε τίποτε ἐμεῖς προηγουμένως, μᾶς χάρισε τόσα πολλά, τὸν παράδεισο,

ἔδειξαν ἑαυτοὺς μειζόνων ὄντας ἀξίους, τότε οὐκέτι αὐτοὺς ἀφίησι ταῦτα λαβεῖν, ἀλλ' ἐκεῖνα τὰ μείζονα, βουλόμενος ἡμῖν δεῖξαι ὅτι μειζόνων ἄξιοί εἰσι, μὴ θελήσαντες προσδεθῆναι τούτοις· ὡς ἄν τις συνετῷ ἐπαγγέλλοιτο παιδικά, οὐχ ἵνα λάβῃ, ἀλλ' ἐπιδεικνύμενος
5 *αὐτοῦ τὴν φιλοσοφίαν, αἰτοῦντος ἐκείνου τὰ μείζονα. Τοῦτο γάρ ἐστι δεικνύντος, ὅτι μετὰ τοσαύτης σπουδῆς ἀπείχοντο τῆς γῆς, ὅτι οὐδὲ διδόμενα ἐλάμβανον. Τοιγαροῦν διὰ τοῦτο οἱ ἔκγονοι λαμβάνουσιν· αὐτοὶ γὰρ ἦσαν τῆς γῆς ἄξιοι. Τί ἐστι, «τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν»; Οὗτοι γὰρ οὐκ εἰσι θεμέλιοι; Πρὸς σύγκρισιν ἐκεί-*
10 *νων οὐκ εἰσιν. «Ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός». Βαβαί, οἷον τὸ ἐγκώμιον τῆς πόλεως ἐκείνης.*

«Πίστει καὶ αὐτὴ Σάρρα». Ἐντρεπτικῶς ἐνταῦθα ἤρξατο, εἴγε γυναικὸς ὀλιγοψυχότεροι φανεῖεν. Ἀλλ' εἴποι ἄν τις· 'Πῶς πιστὴ ἡ γελάσασα;' Ὁ μὲν οὖν γέλως ἐξ ἀπιστίας, ὁ δὲ φόβος ἀπὸ
15 *πίστεως· τὸ γὰρ εἰπεῖν, «οὐκ ἐγέλασα», ἀπὸ πίστεως γέγονε. Τοιγαροῦν διὰ τοῦτο, κενωθείσης τῆς ἀπιστίας, ἐπεισῆλθεν ἡ πίστις. «Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκε». Τί ἐστιν, «εἰς καταβολὴν σπέρματος»; Εἰς τὸ κατασχεῖν τὸ σπέρμα, εἰς ὑποδοχὴν δύναμιν ἔλαβεν ἡ*
20 *νενεκρωμένη, ἡ στεῖρα. Διπλῆ γὰρ ἦν ἡ πήρωσις, ἡ μὲν ἀπὸ τοῦ χρόνου, γεγηρακυῖα γὰρ ἦν ὄντως· ἡ δὲ ἀπὸ τῆς φύσεως, στεῖρα γὰρ ἦν. Ὅθεν, καὶ ἐξ ἑνὸς ἐγεννήθησαν οἱ πάντες, καὶ ταῦτα νενεκρωμένου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος. Ὅθεν, φησί, καὶ ἐξ*
25 *ἑνὸς ἐγεννήθησαν οἱ πάντες. Οὐ τοῦτο μόνον ἐνταῦθα λέγει, ὅτι ἐγέννησεν, ἀλλ' ὅτι καὶ τοσούτων ἐγένετο μήτηρ, ὅσων οὐδὲ αἱ εὔφοροι γαστέρες· «ὡς τὰ ἄστρα», φησί. Πῶς οὖν αὐτοὺς ἀριθμεῖ πολλάκις, καίτοι γε εἰπών, «ὃν τρόπον οὐκ ἐξαριθμηθήσεται τὰ ἄστρα τοῦ οὐρανοῦ, οὕτως οὐδὲ τὸ σπέρμα ὑμῶν»; Ἤτοι καθ'*
30 *ὑπερβολήν ἐστι τοῦτο, ἢ διὰ τοὺς ἀεὶ ἐπιγινομένους οὕτως εἶπε.*

5. Γεν. 18,15.

δώσω τὰ ἀγαθὰ τοῦ παρόντος κόσμου'· ἐπειδὴ ὅμως εἶδε ἢ καλύτερα ἐπειδὴ ἔδειξαν ὅτι εἶναι ἄξιοι μεγαλυτέρων, τότε πιὰ δὲν τοὺς ἄφησε νὰ λάβουν αὐτά, ἀλλ' ἐκεῖνα τὰ μεγαλύτερα, θέλοντας νὰ μᾶς δείξη, ὅτι εἶναι ἄξιοι μεγαλυτέρων, ἐπειδὴ δὲν θέλησαν νὰ προσδεθοῦν σ' αὐτά· ὅπως ἂν κάποιος ἤθελε ὑποσχεθῆ παιδικὰ πράγματα σὲ συνετὸ ἄνθρωπο, ὄχι γιὰ νὰ τὰ λάβη, ἀλλὰ γιὰ νὰ δείξη τὴν ὅλη ἀρετή του, ἐκεῖνος ὅμως ζητᾶ τὰ μεγαλύτερα. Πράγματι αὐτὸ δείχνει ὅτι μὲ τόσο ζῆλο ἀπέρριπταν τὰ τῆς γῆς, ἀφοῦ δὲν ἔπαιρναν οὔτε ἐκεῖνα ποὺ τοὺς δίνονταν. Γι' αὐτὸ λοιπὸν τὰ λαμβάνουν οἱ ἀπόγονοί τους· διότι αὐτοὶ εἶχαν γήϊνες ἐπιδιώξεις. Τί σημαίνει, «τὴν πόλι ποὺ ἔχει τὰ πραγματικὰ θεμέλια»; Αὐτὰ δηλαδὴ δὲν εἶναι θεμέλια; Σὲ σύγκρισι μ' ἐκεῖνα δὲν εἶναι. «Αὐτῆς τῆς πόλεως τεχνίτης καὶ δημιουργὸς εἶναι ὁ Θεός». Πώ, πώ, ποιό εἶναι τὸ ἐγκώμιο τῆς πόλεως ἐκείνης!

«Ἐξ αἰτίας τῆς πίστεώς της καὶ αὐτὴ ἡ Σάρρα». Μὲ κάποια μορφὴ ντροπῆς γιὰ μᾶς ἄρχισε ἐδῶ, ἐὰν συμβῆ νὰ φανοῦμε ἐμεῖς πιὸ ὀλιγόψυχοι ἀπὸ μιὰ γυναῖκα. Ἀλλὰ ἴσως πῆ κάποιος. Πῶς εἶναι πιστὴ αὐτὴ ποὺ γέλασε; Τὸ γέλιο προέρχεται ἀπὸ τὴν ἀπιστία, ὁ φόβος ὅμως ποὺ ἀκολούθησε ἀπὸ τὴν πίστι· διότι τὰ λόγια, «δὲν ἐγέλασα»[5], τὰ εἶπε ἀπὸ πίστι. Γι' αὐτὸ λοιπόν, ἀφοῦ ἀπομακρύνθηκε ἡ ἀπιστία, εἰσῆλθε ἡ πίστις. «Γιὰ τὴν πίστι της καὶ αὐτὴ ἡ στεῖρα Σάρρα ἔλαβε τὴ δύναμι τῆς συλλήψεως καὶ παρὰ τὴν ἡλικία της ἐγέννησε». Τί σημαίνει, «εἰς καταβολὴν σπέρματος»; Ἔλαβε δύναμι γιὰ νὰ κρατήση τὸ σπέρμα, νὰ τὸ φιλοξενήση, αὐτὴ ποὺ εἶχε νεκρωθῆ, ἡ στεῖρα. Διότι ἡ σωματικὴ βλάβη ἦταν διπλῆ, ἡ μία προερχόταν ἀπὸ τὸν χρόνο, ἀφοῦ πράγματι εἶχε γεράσει· ἡ ἄλλη ἦταν φυσική, διότι ἦταν στεῖρα. Γι' αὐτο καὶ ἀπὸ μία γυναῖκα, καὶ μάλιστα νεκρωμένη, γεννήθηκαν ὅλοι, ποὺ εἶναι ὡς πρὸς τὸ πλῆθος ὅπως τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ἡ ἀναρίθμητη ἄμμος ποὺ βρίσκεται κοντὰ στὸ χεῖλος τῆς θάλασσας. Γι' αὐτό, λέγει, καὶ ἀπὸ μιὰ γεννήθηκαν ὅλοι. Δὲν λέγει αὐτὸ μόνο ἐδῶ, τὸ ὅτι γέννησε, ἀλλὰ ὅτι ἔγινε καὶ μητέρα τόσων πολλῶν, ὅσων δὲν ἔγιναν οὔτε οἱ εὔφορες κοιλιές· «σὰν τὰ ἄστρα», λέγει. Πῶς λοιπὸν πολλὲς φορὲς τοὺς ἀπαριθμεῖ, ἂν καὶ εἶπε, ὅπως δὲν μποροῦν νὰ ἀριθμηθοῦν τὰ ἄστρα τοῦ οὐρανοῦ, ἔτσι οὔτε καὶ τὸ σπέρμα σας; Ἢ τὸ εἶπε ὑπὸ μορφὴ ὑπερβολῆς, ἢ τὸ εἶπε ἔτσι γιὰ τοὺς μετέπειτα ἀπογόνους. Διότι εἶναι δυνατὸ ν'

Μιᾶς μὲν γὰρ οἰκίας δυνατὸν τοὺς προγόνους ἀριθμῆσαι, οἷον, ὁ δεῖνα τοῦ δεῖνος, καὶ ὁ δεῖνα τοῦ δεῖνος· ἐνταῦθα δέ, ὧν τὸ γένος τῷ πλήθει τῶν ἄστρων παρεικάζεται, οὐκ ἔστι.

3. Τοιαῦται αἱ ἐπαγγελίαι τοῦ Θεοῦ, οὕτως εὐμήχανοι αὐτοῦ αἱ
5 *ὑποσχέσεις. Εἰ δὲ ἅπερ ἐν προσθήκης μέρει ὑπέσχετο, οὕτω θαυμαστά, οὕτω παράδοξα, οὕτω μεγαλόδωρα, τίνα ἔσται ἐκεῖνα, ὧν ταῦτα προσθήκη, ὧν ἐκ περιουσίας ταῦτα; Τί τοίνυν τῶν ἐπιτυγχανόντων μακαριώτερον; τί τῶν ἀποτυγχανόντων ἀθλιώτερον; Εἰ γὰρ πατρίδος τις ἐκβεβλημένος, ὑπὸ πάντων ἐλεεῖται καὶ κληρονομίαν*
10 *ἀπολέσας δοκεῖ παρὰ πᾶσιν ἐλεεινὸς εἶναι, ὁ τοῦ οὐρανοῦ ἐκπίπτων καὶ τῶν ἀποκειμένων ἀγαθῶν ἐκεῖ, πόσοις ὀφείλει δάκρυσι δακρύεσθαι; Μᾶλλον δὲ οὐδὲ δακρύεσθαι· δακρύεται γάρ τις ὅταν τι πάθῃ, ὧν οὐκ αὐτός ἐστιν αἴτιος· ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν περιπείρῃ τῇ κακίᾳ, οὐδὲ δακρύων, ἀλλὰ θρήνων ἐστὶν ἄξιος,*
15 *μᾶλλον δὲ καὶ τότε πένθους· ἐπεὶ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν Ἱερουσαλήμ, καίτοι ἀσεβοῦσαν, ἐπένθησε καὶ ἐδάκρυσεν.*

Ὄντως μυρίων ὀδυρμῶν ἄξιοί ἐσμεν, μυρίων θρήνων. Ἐὰν πᾶσα ἡ οἰκουμένη λαβοῦσα φωνήν, καὶ λίθοι καὶ ξύλα καὶ δένδρα καὶ θηρία καὶ ὄρνιθες καὶ ἰχθύες καὶ ἁπλῶς πᾶσα ἡ οἰκουμένη, ἐὰν
20 *λαβοῦσα φωνὴν ἡμᾶς ὀδύρηται τοὺς ἐκπεπτωκότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν κατ᾽ ἀξίαν ὀδυρεῖται οὐδὲ θρηνήσει. Ποῖος γὰρ λόγος παραστῆσαι δυνήσεται, ποῖος νοῦς ἐκείνην τὴν μακαριότητα καὶ τὴν ἀρετὴν ἐκείνην, τὴν ἡδονήν, τὴν δόξαν, τὴν εὐφροσύνην, τὴν λαμπρότητα, «ἃ ὀφθαλμός», φησίν, «οὐκ εἶδε, καὶ οὖς οὐκ*
25 *ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν»; Οὐκ εἶπεν ὅτι 'ὑπερβαίνει ἁπλῶς', ἀλλ᾽ οὐδὲ ἐνενόησέ ποτέ τις, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Ὧν γὰρ ἑτοιμαστὴς καὶ παρασκευαστὴς ὁ Θεὸς ἀγαθῶν, ποῖα εἰκὸς εἶναι ταῦτα;*

30 *Εἰ γὰρ ποιήσας ἡμᾶς, εὐθέως οὐδενὸς παρ᾽ ἡμῶν προϋπηργμένου, τοσαῦτα ἐχαρίσατο, παράδεισον, ὁμιλίαν τὴν μετ᾽ αὐτοῦ,*

6. Α' Κορ. 2,9.

ἀπαριθμήση κανεὶς τοὺς προγόνους μιᾶς μόνο οἰκίας, ὅπως, ὁ τάδε εἶναι τοῦ τάδε, καὶ ὁ τάδε τοῦ τάδε· ἐδῶ ὅμως, ποὺ τὸ γένος τους παραβάλλεται μὲ τὸ πλῆθος τῶν ἄστρων, δὲν εἶναι δυνατὸ ν' ἀπαριθμηθῆ.

3. Τέτοιες εἶναι οἱ ἐπαγγελίες τοῦ Θεοῦ, τόσο σοφὰ ἐπινοημένες εἶναι οἱ ὑποσχέσεις του. Καὶ ἐὰν αὐτὰ ποὺ ὑποσχέθηκε σὰν συμπλήρωμα εἶναι τόσο θαυμαστά, τόσο παράδοξα, τόσο μεγαλόδωρα, τί εἴδους θὰ εἶναι ἐκεῖνα, τῶν ὁποίων αὐτὰ εἶναι συμπλήρωμα, τῶν ὁποίων αὐτὰ εἶναι περίσσευμα; Τί λοιπὸν ὑπάρχει μακαριώτερο ἀπὸ ἐκείνους ποὺ ἐπιτυγχάνουν αὐτά; τί ἀθλιώτερο ἀπὸ ἐκείνους ποὺ ἀποτυγχάνουν; Διότι, ἐὰν κάποιος ποὺ ἐκδιώχθηκε ἀπὸ τὴν πατρίδα του ἀπὸ ὅλους ἐλεεῖται, καὶ ἐπειδὴ ἔχασε τὴν κληρονομιά του θεωρεῖται ἀξιολύπητος ἀπὸ ὅλους, ἐκεῖνος ποὺ χάνει τὸν οὐρανὸ καὶ τὰ ἀγαθὰ ποὺ ὑπάρχουν ἐκεῖ, πόσα δάκρυα πρέπει νὰ χύνη; ἢ καλύτερα νὰ μὴ κλαίη· διότι κλαίει κανείς, ὅταν πάθη κάτι, γιὰ τὸ ὁποῖο δὲν εἶναι αὐτὸς αἴτιος· ὅταν ὅμως μὲ τὴν θέλησί του καταπληγώνη τὸν ἑαυτό του μὲ τὴν κακία, ἀξίζει ὄχι νὰ χύνη δάκρυα, ἀλλὰ νὰ θρηνῆ· ἢ καλύτερα πρέπει καὶ τότε νὰ πενθῆ· διότι καὶ ὁ Κύριος μας ὁ Ἰησοῦς Χριστὸς ἐπένθησε τὴν Ἰερουσαλὴμ καὶ ἔχυσε δάκρυα γι' αὐτήν, ἂν καὶ διέπραττε ἀσέβειες.

Πράγματι εἴμαστε ἄξιοι μυρίων ὀδυρμῶν, μυρίων θρήνων. Ἐὰν ὅλη ἡ οἰκουμένη ἀποκτοῦσε φωνὴ καὶ οἱ πέτρες καὶ τὰ ξύλα, καὶ τὰ δένδρα καὶ τὰ θηρία καὶ τὰ πτηνὰ καὶ τὰ ψάρια καὶ γενικὰ ὅλη ἡ οἰκουμένη, ἐὰν ἀποκτοῦσε φωνὴ καὶ θρηνοῦσε ἐμᾶς ποὺ ἔχουμε ἐκπέσει ἀπὸ τὰ ἀγαθὰ ἐκεῖνα, δὲν θὰ μποροῦσε ἐπάξια νὰ μᾶς πενθήση καὶ νὰ μᾶς θρηνήση. Διότι ποιός λόγος, ποιός νοῦς θὰ μπορέση νὰ παραστήση ἐκείνην τὴν μακαριότητα, ἐκείνην τὴν ἀρετή, τὴν ἡδονή, τὴ δόξα, τὴν εὐφροσύνη, τὴν λαμπρότητα, «ἐκεῖνα ποὺ ὀφθαλμός», λέγει, «δὲν τὰ εἶδε καὶ αὐτὶ δὲν τὰ ἄκουσε, καὶ στὴν καρδιὰ ἀνθρώπου δὲν ἀνέβηκαν, ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν»[6]; Δὲν εἶπε, ὅτι 'ὑπερβαίνουν ἁπλῶς', ἀλλ' οὔτε σκέφθηκε ποτὲ κανεὶς «ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν». Πραγματικὰ ποιά φυσικὸ εἶναι νὰ εἶναι τὰ ἀγαθὰ ποὺ ἑτοίμασε καὶ παρασκεύασε ὁ Θεός;

Ἐὰν λοιπόν, ἀφοῦ μᾶς ἔπλασε, ἀμέσως, χωρὶς νὰ κάναμε τίποτε ἐμεῖς προηγουμένως, μᾶς χάρισε τόσα πολλά, τὸν παράδεισο,

ἀθανασίαν ὑπέσχετο, βίον μακάριον καὶ φροντίδων ἀπηλλαγμένον, τοῖς τοσαῦτα πεποιηκόσι καὶ ἠθληκόσι καὶ ὑπὲρ αὐτοῦ ὑπομείνασι, τί οὐ χαριεῖται; Τοῦ Μονογενοῦς οὐκ ἐφείσατο δι' ἡμᾶς, τὸν Υἱὸν αὐτοῦ τὸν γνήσιον εἰς θάνατον ἔδωκε δι' ἡμᾶς· εἰ δὲ ἐχθροὺς ὄντας
5 τοιούτων κατηξίωσε, τίνος οὐ καταξιώσει φίλους γενομένους; Τίνος οὐ μεταδώσει καταλλάξας ἑαυτῷ; Καὶ πλούσιός ἐστι σφόδρα καὶ ἀπείρως ἐπιθυμεῖ καὶ σπουδάζει τῆς ἡμετέρας φιλίας τυχεῖν· ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν ἐκείνου σπουδάζομεν, ἀγαπητοί· τί λέγω, οὐ σπουδάζομεν; Οὐ θέλομεν οὕτω τυχεῖν αὐτοῦ τῶν ἀγα-
10 θῶν, ὡς αὐτὸς θέλει. Καὶ ὅτι πλέον ἐκεῖνος θέλει, δι' οὗ ἐποίησεν, ἔδειξεν. Ἡμεῖς μὲν γὰρ ὑπὲρ ἡμῶν αὐτῶν μόλις ὀλίγου καταφρονοῦμεν χρυσίου· αὐτὸς δὲ ὑπὲρ ἡμῶν καὶ τὸν Υἱὸν ἔδωκε τὸν αὐτοῦ.

Χρησώμεθα εἰς δέον τῇ ἀγάπῃ τοῦ Θεοῦ, ἀγαπητοί, ἀπολαύ-
15 σωμεν αὐτοῦ τῆς φιλίας· «ὑμεῖς γὰρ φίλοι μού ἐστε», φησίν, «ἐὰν ποιῆτε ἃ λέγω ὑμῖν». Βαβαί, τοὺς ἐχθροὺς τοὺς ἀπείρως αὐτοῦ διεστηκότας, ὧν ἀσυγκρίτῳ τῇ ὑπερβολῇ κατὰ πάντα διενήνοχε, τούτους φίλους ἐποίησε καὶ καλεῖ φίλους; Τί οὖν οὐχ αἱρετὸν παθεῖν ὑπὲρ ταύτης τῆς φιλίας; Ἀλλ' ἡμεῖς ὑπὲρ ἀνθρώπων μὲν φιλίας
20 πολλάκις καὶ κινδυνεύομεν, ὑπὲρ δὲ τῆς τοῦ Θεοῦ οὐδὲ χρήματα προϊέμεθα. Πένθους ὄντως ἄξια τὰ ἡμέτερα, πένθους, καὶ δακρύων, καὶ ὀδυρμῶν, καὶ ὀλοφυρμοῦ μεγάλου καὶ κοπετοῦ. Τῆς ἐλπίδος ἡμῶν ἐξεπέσομεν, ἐταπεινώθημεν ἀπὸ τοῦ ὕψους ἡμῶν, ἀνάξιοι τῆς τιμῆς ἐφάνημεν τοῦ Θεοῦ, ἀγνώμονες, καὶ μετὰ τὰς εὐερ-
25 γεσίας ἐφάνημεν ἄχρηστοι, ἐγύμνωσεν ἡμᾶς πάντων ὁ διάβολος τῶν ἀγαθῶν· οἱ καταξιωθέντες εἶναι υἱοί, οἱ ἀδελφοὶ καὶ συγκληρονόμοι, τῶν ἐχθρῶν αὐτοῦ οὐδὲν διενηνόχαμεν, τῶν ὑβριζόντων αὐτόν. Τίς ἡμῖν ἔσται παραμυθία λοιπόν; Αὐτὸς ἡμᾶς ἐκάλεσε πρὸς τὸν οὐρανόν, ἡμεῖς δὲ ἑαυτοὺς πρὸς τὴν γέενναν ὠθήσαμεν. Ἀρὰ
30 καὶ ψεῦδος, καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς· οἱ μὲν αἵματα ἐφ' αἵμασι μιγνύουσιν, οἱ δὲ πράγματα πράττουσιν αἱμάτων χείρονα. Πολλοὶ τῶν ἀδικουμένων, πολλοὶ τῶν πλεονεκτούντων,

7. Ἰω. 15,14.

τὴν συναναστροφὴ μαζί του, μᾶς ὑποσχέθηκε ἀθανασία καὶ ζωὴ εὐτυχισμένη καὶ ἀπαλλαγμένη ἀπὸ φροντίδες, σ' ἐκείνους ποὺ ἔκαναν τόσα πολλὰ καὶ ἀγωνίσθηκαν καὶ ὑπέμειναν γιὰ χάρι του τόσα, τί δὲν θὰ τοὺς χαρίση; Τὸν μονογενῆ του δὲν λυπήθηκε γιὰ μᾶς, τὸν Υἱό του τὸν γνήσιο παρέδωσε σὲ θάνατο γιὰ χάρι μας· καὶ ἐὰν μᾶς ἔκανε ἄξιους τέτοιων ἀγαθῶν, ἐνῶ ἤμασταν ἐχθροί του, ποιά ἀγαθὰ δὲν θὰ μᾶς ἀξιώση τώρα ποὺ γίναμε φίλοι του; ποιά ἀγαθὰ δὲν θὰ μᾶς ἀξιώση, τώρα ποὺ μᾶς συμφιλίωσε μαζί του; Καὶ εἶναι ὑπερβολικὰ πλούσιος, καὶ πάρα πολὺ ἐπιθυμεῖ καὶ φροντίζει νὰ ἐπιτύχη τὴ φιλία μας· ἐμεῖς ὅμως, ἀγαπητοί, δὲν καταβάλλουμε οὔτε τὴν παραμικρὴ φροντίδα. Τί λέγω, δὲν φροντίζουμε; Δὲν θέλουμε τόσο νὰ ἐπιτύχουμε τὰ ἀγαθά του, ὅσο θέλει αὐτός. Καὶ ὅτι ἐκεῖνος τὸ θέλει περισσότερο, τὸ ἀπέδειξε μ' αὐτὸ ποὺ ἔκανε. Ἐμεῖς δηλαδὴ μόλις καὶ μετὰ βίας γιὰ ἐμᾶς τοὺς ἴδιους περιφρονοῦμε λίγο χρυσάφι, ἐνῶ αὐτὸς γιὰ μᾶς ἔδωσε καὶ τὸν Υἱό του.

Ἂς προθυμοποιηθοῦμε, ἀγαπητοί, νὰ κάνουμε αὐτὸ ποὺ ἁρμόζει στὴν ἀγάπη τοῦ Θεοῦ, γιὰ ν' ἀπολαύσουμε τὴ φιλία του· «διότι ἐσεῖς» λέγει, «εἶστε φίλοι μου, ἐὰν κάνετε αὐτὰ ποὺ σᾶς λέγω»[7]. Πώ, πώ! τοὺς ἐχθρούς του, αὐτοὺς ποὺ ἄπειρες φορὲς φιλονείκησαν μαζί του, ἀπὸ τοὺς ὁποίους κατὰ πάντα διαφέρει σὲ ἀσύγκριτο βαθμό, αὐτοὺς τοὺς ἔκανε φίλους καὶ τοὺς ἀποκαλεῖ φίλους; Τί λοιπόν, δὲν πρέπει νὰ προτιμᾶ νὰ πάθη κανεὶς χάριν αὐτῆς τῆς φιλίας; Ἀλλ' ἐμεῖς γιὰ τὴ φιλία τῶν ἀνθρώπων πολλὲς φορὲς καὶ κινδυνεύουμε, ἐνῶ γιὰ τὴ φιλία τοῦ Θεοῦ οὔτε χρήματα περιφρονοῦμε. Πράγματι εἴμαστε ἄξιοι πένθους καὶ δακρύων καὶ ὀδυρμῶν καὶ θρήνου μεγάλου καὶ κοπετοῦ. Ἐκπέσαμε ἀπὸ τὴν ἐλπίδα μας, κατεβήκαμε ἀπὸ τὸ ὕψος μας, φανήκαμε ἀνάξιοι τῆς τιμῆς τοῦ Θεοῦ, ἀγνώμονες, καὶ μετὰ τὶς εὐεργεσίες φανήκαμε ἄχρηστοι, μᾶς ἀπογύμνωσε ὁ διάβολος ἀπὸ ὅλα τὰ ἀγαθά· ἐμεῖς ποὺ ἀξιωθήκαμε νὰ εἴμαστε υἱοί, οἱ ἀδελφοὶ καὶ συγκληρονόμοι, σὲ τίποτε δὲν διαφέρουμε ἀπὸ τοὺς ἐχθρούς του, ἀπὸ αὐτοὺς ποὺ τὸν ὑβρίζουν. Ποιά λοιπὸν παρηγοριὰ θὰ ἔχουμε; Αὐτὸς μᾶς ἐκάλεσε πρὸς τὸν οὐρανό, ἐνῶ ἐμεῖς ὠθήσαμε τοὺς ἑαυτούς μας πρὸς τὴ γέεννα. Κατάρα καὶ ψέμα καὶ κλεψιὰ καὶ μοιχεία ἔχει ξαπλωθῆ ἐπάνω στὴ γῆ· ἄλλοι ἀναμιγνύουν αἵματα μὲ αἵματα, ἄλλοι κάνουν χειρότερες πράξεις ἀπὸ τὸ χύσιμο τῶν αἱμάτων. Πολλοὶ ἀπὸ τοὺς ἀδικουμένους, πολλοὶ ἀπὸ ἐκείνους ποὺ

μυρίους εὔχονται θανάτους ἢ ταῦτα παθεῖν· καὶ εἰ μὴ τὸν τοῦ Θεοῦ φόβον ἐδεδοίκεσαν, καὶ διεχειρίσαντο ἑαυτούς, οὕτω φονῶντες καθ' ἑαυτῶν. Ταῦτ' οὖν οὐχ αἱμάτων χείρω;

«Οἴμοι, ψυχή», ἔλεγεν ἀποδυσπετῶν ὁ προφήτης, «ὅτι ἀπό- 5 *λωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει». Νῦν δὲ καὶ ἡμεῖς τοῦτο βοήσομεν περὶ ἡμῶν αὐτῶν πρῶτον. Ἀλλά μοι τοῦ θρήνου συλλάβεσθε. Τάχα τινὲς καὶ οἰωνίζονται καὶ γελῶσι· πλὴν καὶ διὰ τοῦτο ἐπιτείνειν μᾶλλον χρὴ τὸν θρῆνον, ὅτι οὕτω μαινόμεθα καὶ παραπαίομεν, ὅτι οὐδὲ εἰ μαινόμε-* 10 *θα ἴσμεν, ἀλλ' ἐφ' οἷς ἐχρῆν στένειν, γελῶμεν. «Ἀποκαλύπτεται, ἄνθρωπε, ὀργὴ ἀπ' οὐρανοῦ, ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων». «Ὁ Θεὸς ἐμφανῶς ἥξει· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά». «Πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ».«Ἡ ἡμέρα* 15 *Κυρίου ὡς κλίβανος καιόμενος». Καὶ οὐδεὶς ταῦτα εἰς νοῦν βάλλεται, ἀλλὰ μύθων μᾶλλον καταπεφρόνηται τὰ φρικώδη ταῦτα πράγματα καὶ φοβερά, καὶ πεπάτηται. Ὁ ἀκούων, οὐδείς, οἱ δὲ γελῶντες καὶ χλευάζοντες, πάντες. Τίς ἔσται ἡμῖν πόρος; πόθεν σωτηρίαν εὕρωμεν; Ἀπολώλαμεν, παρανηλώμεθα, γεγόναμεν τῶν* 20 *ἐχθρῶν ἡμῶν κατάγελως, καὶ χλευασμὸς τῶν Ἑλλήνων καὶ τῶν δαιμόνων.*

4. Μέγα φρονεῖ νῦν ὁ διάβολος, γαυροῦται καὶ χαίρει· ἐν αἰσχύνῃ οἱ πιστευθέντες ἡμᾶς ἄγγελοι πάντες, ἐν κατηφείᾳ· οὐδεὶς ὁ ἐπιστρέφων, εἰκῇ πάντα ἡμῖν ἀνήλωται, καὶ ἡμεῖς ὑμῖν δοκοῦμεν 25 *ληρεῖν. Εὔκαιρον καὶ νῦν καλέσαι τὸν οὐρανόν, ὅτι οὐδεὶς ὁ ἀκούων, διαμαρτύρασθαι τὰ στοιχεῖα· «ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησε». Δότε χεῖρα, ὀρέξατε οἱ μηδέπω καταβαπτισθέντες τοῖς ὑπὸ τῆς μέθης ἀπολωλόσιν, οἱ ὑγιαίνοντες τοῖς κάμνουσιν, οἱ νήφοντες τοῖς μαινομένοις, οἱ ἑδραῖοι τοῖς περιφερομέ-* 30 *νοις· μηδείς, παρακαλῶ, χάριν τῆς σωτηρίας τοῦ φίλου προτιμάτω, καὶ ἡ ὕβρις καὶ ἡ ἐπιτίμησις εἰς ἓν ὁράτω μόνον, αὐτοῦ τὴν ὠφέ-*

8. Μιχ. 7,2.
9. Ρωμ. 1,18.
10. Ψαλμ. 49,3.
11. Ψαλμ. 96,3.
12. Μαλαχ. 4,1.
13. Ἡσ. 1,2.

ἔχουν ἐξαπατηθῆ, εὔχονται μύριες φορὲς νὰ πεθάνουν, παρὰ νὰ ὑποστοῦν αὐτά· καὶ ἐὰν δὲν φοβοῦνταν τὸν φόβο τοῦ Θεοῦ, θὰ ἔθεταν τέρμα στὴ ζωή τους· τόσο ἐπιθυμοῦν τὸν θάνατό τους. Αὐτὰ λοιπὸν δὲν εἶναι χειρότερα ἀπὸ τὰ αἵματα;

«Ἀλλοίμονο, ψυχή μου», ἔλεγε ἀπογοητευμένος ὁ προφήτης, «διότι ἔχει χαθῆ ὁ εὐλαβὴς ἀπὸ τὴν γῆ, καὶ δὲν ὑπάρχει ἀνάμεσά μας ὁ ἄνθρωπος τῶν καλῶν ἔργων»[8]. Τώρα ὅμως κι' ἐμεῖς ἂς τὸ φωνάξουμε γιὰ τοὺς ἑαυτούς μας πρῶτα. Ἀλλὰ δεῖξτε, παρακαλῶ, κατανόησι γιὰ τὸν θρῆνο μου. Ἴσως μερικοὶ καὶ τὸ θεωροῦν μαντικὸ σημάδι καὶ γελοῦν· ἀλλὰ καὶ γι' αὐτὸ κυρίως πρέπει ν' αὐξήσω τὸν θρῆνο, διότι τόσο μανιακοὶ καὶ παράφρονες εἴμαστε, ὥστε οὔτε γνωρίζουμε ὅτι κατεχόμαστε ἀπὸ μανία, ἀλλὰ γελοῦμε γι' αὐτὰ ποὺ ἔπρεπε νὰ στενάζουμε. «Φανερώνεται, ἄνθρωπε, ὀργὴ ἀπὸ τὸν οὐρανό, ἐναντίον κάθε ἀσέβειας καὶ ἀδικίας τῶν ἀνθρώπων»[9]. «Ὁ Θεὸς ὁλοφάνερα θὰ ἔλθη· πῦρ θὰ προπορεύεται μπροστά του, καὶ μεγάλη καταιγίδα θὰ ξεσπᾶ ὁλόγυρά του»[10]. «Πῦρ θὰ προπορεύεται ἐνώπιόν του καὶ θὰ κατακαίη τοὺς ἐχθρούς του»[11]. «Ἡ ἡμέρα τοῦ Κυρίου ἔρχεται ὡς κλίβανος ποὺ κατακαίει»[12]. Καὶ κανεὶς δὲν τὰ βάζει αὐτὰ στὸ μυαλό του, ἀλλὰ περισσότερο κι' ἀπὸ μύθους ἔχουν καταφρονηθῆ καὶ καταπατηθῆ τὰ φρικτὰ καὶ φοβερὰ αὐτὰ πράγματα. Κανεὶς δὲν τὰ ἀκούει, ἀντίθετα ὅλοι γελοῦν καὶ τὰ χλευάζουν. Ποιά θὰ εἶναι διέξοδός μας; ἀπὸ ποῦ θὰ βροῦμε τὴν σωτηρία; Ἔχουμε χαθῆ, ἔχουμε καταστραφῆ, ἔχουμε γίνει περίγελως στοὺς ἐχθρούς μας καὶ χλευασμὸς στοὺς Ἕλληνες καὶ τοὺς δαίμονες.

4. Μεγαλοφρονεῖ τώρα ὁ διάβολος, ὑπερηφανεύεται καὶ χαίρεται· καταντροπιασμένοι καὶ κατηφεῖς εἶναι ὅλοι οἱ ἄγγελοι ποὺ μᾶς εἶχαν ἐμπιστοσύνη· δὲν ὑπάρχει κανεὶς ποὺ νὰ ἐπιστρέφη, πῆγαν χαμένα ὅλα, καὶ ἐμεῖς θεωρούμαστε ἀπὸ σᾶς ὅτι φλυαροῦμε. Εἶναι εὐκαιρία καὶ τώρα νὰ καλέσω τὸν οὐρανό, νὰ διαμαρτυρηθοῦν τὰ στοιχεῖα, διότι κανεὶς δὲν ἀκούει· «ἄκουε, οὐρανέ, καὶ πρόσεχε γῆ, διότι ὁ Κύριος μίλησε»[13]. Δῶστε τὸ χέρι σας, βοηθῆστε ὅσοι δὲν καταπνιγήκατε μ' αὐτοὺς ποὺ ἔχουν ἀπωλεσθῆ ἀπὸ τὴ μέθη, οἱ ὑγιεῖς βοηθῆστε τοὺς ἀσθενεῖς, οἱ σώφρονες τοὺς παράφρονες, οἱ σταθεροὶ τοὺς περιπλανωμένους. Κανείς, παρακαλῶ, ἂς μὴν προτιμᾶ τὸν φίλο ἀπὸ τὴ σωτηρία αὐτοῦ, καὶ ἡ προσβολὴ καὶ ἡ ἐπίπληξις σ' ἕνα καὶ μόνο ν' ἀποβλέπουν, στὴν ὠφέλειά του. Ὅταν ὁ πυρετὸς

λειαν. Ὅταν πυρετὸς καταλάβῃ καὶ δοῦλοι κρατοῦσι δεσποτῶν. Ὅταν γὰρ ἐκεῖνος μὲν ἐπικαίηται τὴν ψυχὴν συγχέων, ἀνδραπόδων δὲ ἑσμὸς παραστήκῃ, οὐδεὶς ἐπιγινώσκει τὸν νόμον τὸν δεσποτικὸν ἐν τῇ βλάβῃ τοῦ δεσπότου. Συστρέψωμεν ἑαυτούς, παρα-
5 *καλῶ· πόλεμοι καθημερινοί, καταποντισμοί, ἀπώλειαι μυρίαι κύκλῳ καὶ πάντοθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἡμᾶς περιστοιχίζεται. Ἡμεῖς δὲ ὡς εὐαρεστοῦντες, οὕτως ἐσμὲν ἐν ἀδείᾳ· πάντες τὰς χεῖρας εἰς πλεονεξίαν εὐτρεπίζομεν, οὐδεὶς εἰς βοήθειαν· πάντες εἰς ἁρπαγήν, οὐδεὶς εἰς προστασίαν· ἕκαστος πῶς πλείονα τὰ ὄντα ποιήσει*
10 *ἐσπούδακεν, οὐδεὶς πῶς βοηθήσει τῷ δεομένῳ· ἕκαστος πῶς προσθῇ τοῖς χρήμασι, πολλὴν ἔχει τὴν μέριμναν, οὐδεὶς ὅπως τὴν ψυχὴν τὴν ἑαυτοῦ διασώσῃ· φόβος εἷς ἔχει πάντας, μὴ πενιχροί, φησί, γενώμεθα· μὴ εἰς γέενναν δὲ ἐμπέσωμεν, οὐδεὶς ἀγωνιᾷ καὶ τρέμει.*

15 *Ταῦτα θρήνων, ταῦτα κατηγοριῶν, ταῦτα διαβολῆς ἄξια. Ἀλλ' οὐ ταῦτα ἐβουλόμην λέγειν, ἀλλ' ὑπὸ τῆς ὀδύνης βιάζομαι· σύγγνωτε· ὑπὸ τοῦ πένθους ἀναγκάζομαι πολλὰ καὶ ὧν οὐ βούλομαι φθέγξασθαι. Χαλεπὴν ὁρῶ τὴν πληγήν, ἀπαραμύθητον τὴν συμφοράν, παρακλήσεως μείζονα τὰ καταλαβόντα ἡμᾶς δεινά,*
20 *ἀπολώλαμεν. «Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, ἵνα θρηνήσω;». Κλαύσωμεν, ἀγαπητοί, κλαύσωμεν, στενάξωμεν. Τάχα τινές εἰσιν ἐνταῦθα λέγοντες· 'Πάντα θρήνους ἡμῖν λέγει, πάντα δάκρυα'. Οὐκ ἐβουλόμην, πιστεύσατε, οὐκ ἐβουλόμην, ἀλλ' ἐγκώμια καὶ ἐπαίνους διεξιέναι· νυνὶ δὲ τού-*
25 *των ὁ καιρός. Οὐ τὸ θρηνεῖν, ἀγαπητοί, χαλεπόν, ἀλλὰ τὸ θρήνων ἄξια ποιεῖν· οὐ τὸ ὀδύρεσθαι ἀποτρόπαιον, ἀλλὰ τὸ τὰ ὀδυρμῶν ἄξια πράττειν. Μὴ κολασθῇς, καὶ οὐ πενθῶ· μὴ ἀποθάνῃς, καὶ οὐ κλαίω. Ἀλλ' ἐὰν μὲν τὸ σῶμα κέηται νεκρόν, πάντας παρακαλεῖς συναλγεῖν, καὶ ἀσυμπαθεῖς ἡγῇ τοὺς μὴ πενθοῦντας, τῆς δὲ ψυχῆς*
30 *ἀπολλυμένης, λέγεις μὴ πενθεῖν;*

Ἀλλ' οὐ δύναμαι πατὴρ εἶναι μὴ δακρύων· πατήρ εἰμι φιλόστοργος. Ἀκούετε οἷα βοᾷ ὁ Παῦλος· «τεκνία μου, οὓς πάλιν ὠδίνω». Ποία μήτηρ κύουσα οὕτω πικρὰς ἀφίησι φωνάς, ὡς ἐκεῖνος;

14. Ἰερ. 9,1.
15. Γαλ. 4,19.

καταλάβη κάποιον, καὶ οἱ ὑπηρέτες ἀκόμη ἀσκοῦν ἐξουσία στοὺς κυρίους τους. Διότι, ὅταν ἐκεῖνος καίγεται ἀπὸ τὸν πυρετό, εἶναι γεμάτη ἀπὸ σύγχυσι ἡ ψυχή του, καὶ τὸ πλῆθος τῶν δούλων στέκεται τριγύρω του, κανεὶς δὲν ἀναγνωρίζει τὸν νόμο τὸν βασιλικὸ τὴν ὥρα τοῦ χαμοῦ τοῦ κυρίου. Ἄς συνέλθουμε, παρακαλῶ. Πόλεμοι καθημερινοί, καταποντισμοί, χιλιάδες καταστροφὲς ὁλόγυρα καὶ ἀπὸ παντοῦ μᾶς περιβάλλει ἡ ὀργὴ τοῦ Θεοῦ. Ἐμεῖς ὅμως, σὰν νὰ ἔχουμε εὐαρεστήσει τὸν Θεό, αἰσθανόμαστε ἀσφαλεῖς· ὅλοι ἑτοιμάζουμε τὰ χέρια μας γιὰ νὰ πάρουμε ὅλο καὶ περισσότερα, κανεὶς δὲν τὰ ἁπλώνει γιὰ νὰ βοηθήση· ὅλοι γιὰ νὰ ἁρπάξουμε, κανεὶς γιὰ νὰ προστατεύση· καθένας φροντίζει πῶς ν' αὐξήση τὰ ὑπάρχοντά του, καὶ κανεὶς πῶς θὰ βοηθήση τὸν φτωχό· καθένας φροντίζει πῶς ν' αὐξήση τὰ χρήματά του, καὶ κανεὶς πῶς νὰ σώση τὴν ψυχή του· ἕνας φόβος μᾶς κατέχει ὅλους, νὰ μὴ γίνουμε, λέγει, φτωχοί· γιὰ νὰ μὴ πέσουμε ὅμως στὴ γέεννα, κανεὶς δὲν ἀγωνιᾶ, κανεὶς δὲν τρέμει.

Αὐτὰ εἶναι ἄξια θρήνων, αὐτὰ ἄξια κατηγοριῶν, αὐτὰ ἄξια κατακρίσεως. Βέβαια δὲν ἤθελα νὰ τὰ πῶ αὐτά, ἀλλὰ πιέζομαι ἀπὸ τὸν μεγάλο πόνο μου· συγχωρῆστε με· ἐξ αἰτίας τοῦ πένθους ἀναγκάζομαι νὰ πῶ καὶ πολλὰ ἀπὸ αὐτὰ ποὺ δὲν θέλω. Βλέπω ὅτι εἶναι φοβερὴ ἡ πληγή, ἀπαρηγόρητη ἡ συμφορά, εἶναι μεγαλύτερα ἀπὸ τὴν παρηγοριὰ τὰ δεινὰ ποὺ μᾶς κατέλαβαν, ἔχουμε χαθῆ. «Ποιός θὰ δώση στὴν κεφαλή μου νερό, καὶ στὰ μάτια μου πηγὴ δακρύων, γιὰ νὰ θρηνήσω»[14]; Ἄς κλαύσουμε, ἀγαπητοί, ἂς κλαύσουμε, ἂς στενάξουμε. Ἴσως ὑπάρχουν μερικοὶ ἐδῶ ποὺ λένε· 'πάντα γιὰ θρήνους μᾶς λέγει, πάντα γιὰ δάκρυα'. Δὲν ἤθελα, πιστέψτε με, δὲν ἤθελα νὰ σᾶς μιλῶ γι' αὐτά, ἀλλὰ νὰ σᾶς ἀπευθύνω ἐγκώμια καὶ ἐπαίνους· τώρα ὅμως εἶναι καιρὸς γιὰ θρήνους. Δὲν εἶναι φοβερὸ τὸ νὰ θρηνῆ κανείς, ἀγαπητοί, ἀλλὰ τὸ νὰ κάνη ἔργα ἀξιοθρήνητα· δὲν εἶναι ἀποτρόπαιο τὸ νὰ ὀδύρεται κανείς, ἀλλὰ τὸ νὰ πράττη ἔργα ἄξια ὀδυρμῶν. Μὴ κολασθῆς ἐσύ, καὶ ἐγὼ δὲν πενθῶ· μὴ πεθαίνης ἐσὺ καὶ ἐγὼ δὲν κλαίω. Ἀλλ', ἐὰν τὸ σῶμα κείτεται νεκρό, παρακαλεῖς ὅλους νὰ σὲ συμπονέσουν καὶ θεωρεῖς ἀσυμπαθεῖς ἐκείνους ποὺ δὲν πενθοῦν· τώρα ποὺ χάνεται ἡ ψυχή, λὲς νὰ μὴν τὴν πενθῆ κανείς;

Ἀλλὰ δὲν μπορῶ νὰ μὴν κλαίω ἐνῶ εἶμαι πατέρας· εἶμαι πατέρας φιλόστοργος. Ἀκοῦστε τί φωνάζει ὁ Παῦλος· «τέκνα μου, ποὺ γιὰ σᾶς πάλι πονῶ»[15]. Ποιά μητέρα ποὺ κυοφορεῖ ἀφήνει τόσο πι-

Εἴθε ἐνῆν τὴν πυρὰν αὐτὴν τῆς διανοίας ἰδεῖν, καὶ εἶδες ἄν, ὅτι πάσης γυναικὸς καὶ κόρης χηρείαν ἄωρον ὑποστάσης πλέον καίομαι. Οὐχ οὕτως ἐκείνη τὸν ἄνδρα πενθεῖ τὸν ἑαυτῆς, οὐδὲ μήτηρ υἱόν, ὡς ἐγὼ τὸ πλῆθος τοῦτο τὸ παρ' ἡμῖν. Οὐδεμίαν ὁρῶ προκοπήν,
5 *πάντα εἰς διαβολὰς καὶ κατηγορίας· οὐδεὶς ἔργον τίθεται ἀρέσκειν Θεῷ· ἀλλά, 'τὸν δεῖνα', φησίν, 'εἴπωμεν κακῶς, καὶ τὸν δεῖνα· ὁ δεῖνα ἀνάξιος τοῦ κλήρου, ὁ δεῖνα ἀσέμνως βιοῖ'. Ὀφείλοντες τὰ ἡμέτερα πενθεῖν κακά, κρίνομεν ἑτέρους, οὐδὲ ὅτε καθαροί ἐσμεν ἁμαρτημάτων ὀφείλοντες τοῦτο ποιεῖν. «Τίς γάρ σε διακρίνει»;*
10 *φησί· «τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών»; Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου, μυρίων αὐτὸς γέμων κακῶν; Ὅταν εἴπῃς, ὁ δεῖνα πονηρός ἐστι καὶ λυμεὼν καὶ μοχθηρός, ἐννόησον σαυτὸν καὶ ἐξέτασον ἀκριβῶς τὰ σαυτοῦ, καὶ μεταμελήσει σοι ἐπὶ τοῖς λεχθεῖσιν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι πρὸς ἀρετὴν*
15 *προτροπή τις τοιαύτη, οἷον ἁμαρτημάτων ἀνάμνησις.*

Ἐὰν ταῦτα τὰ δύο στρέφωμεν παρ' ἑαυτοῖς, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, δυνησόμεθα καθαίρειν ἑαυτοὺς καὶ ἀποσμήχειν· μόνον λάβωμεν ἔννοιάν ποτε, μεριμνήσωμεν τὸ πρᾶγμα, ἀγαπητοί· ἀλγήσωμεν ἐνταῦθα τῷ λογισμῷ, ἵνα μὴ ἀλγή-
20 *σωμεν ἐκεῖ τῇ κολάσει, ἀλλ' ἵνα ἀπολαύσωμεν τῶν αἰωνίων ἀγαθῶν, ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός· ἵνα τύχωμεν τῶν ὑπερβαινόντων τὸν ἀνθρώπινον νοῦν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ· αὐτῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

16. Α' Κορ. 4,7.

κρὲς φωνές, ὅπως ἐκεῖνος; Μακάρι νὰ μποροῦσε νὰ δῆ κανεὶς τὴ φλόγα αὐτὴ τῆς διάνοιάς μου καὶ θὰ μποροῦσε νὰ δῆ ὅτι καίγομαι περισσότερο ἀπὸ κάθε γυναῖκα καὶ κόρη ποὺ ὑπέστη πρόωρη χηρεία. Δὲν πενθεῖ ἐκείνη τόσο τὸν ἄνδρα της, οὔτε ἡ μητέρα τὸ παιδί της, ὅσο ἐγὼ αὐτὸ τὸ πλῆθος ποὺ εἶναι κοντά μου. Δὲν βλέπω καμμιὰ πρόοδο, ὅλα βλέπω νὰ ὁδηγοῦν σὲ διαβολὲς καὶ κατηγορίες. Κανεὶς δὲν παρουσιάζει ἔργο ποὺ νὰ ἀρέση στὸν Θεό· ἀλλά, τὸν τάδε, λέγει, ἂς κακολογήσουμε, καὶ τὸν τάδε· ὁ τάδε εἶναι ἀνάξιος τοῦ κλήρου, ὁ τάδε ζεῖ ἄσεμνα. Ἐνῶ ὀφείλουμε νὰ πενθοῦμε γιὰ τὰ δικά μας κακά, κατακρίνουμε τοὺς ἄλλους· οὔτε κι' ὅταν εἴμαστε καθαροὶ ἀπὸ ἁμαρτίες, ἐπιτρέπεται νὰ τὸ κάνουμε αὐτό. Διότι λέγει, «ποιός σὲ θεωρεῖ καλύτερο; καὶ ποιό χάρισμα ἔχεις ποὺ δὲν τὸ ἔλαβες ἀπὸ τὸν Θεό; Κι' ἂν κάθε τι ποὺ ἔχεις τὸ ἔλαβες ἀπὸ τὸν Θεό, γιατί καυχιέσαι σὰν νὰ μὴν τὸ ἔλαβες;»[16]. Καὶ γιατί ἐσὺ κατακρίνεις τὸν ἀδελφό σου, ἐνῶ ὁ ἴδιος εἶσαι γεμᾶτος ἀπὸ ἀναρίθμητα κακά; Ὅταν πῆς, 'ὁ τάδε εἶναι πονηρὸς καὶ διεφθαρμένος καὶ μοχθηρός', σκέψου τὸν ἑαυτό σου καὶ ἐξέτασε μὲ ἀκρίβεια τὰ δικά σου καὶ θὰ μετανοιώσης γι' αὐτὰ ποὺ εἶπες. Πράγματι δὲν ὑπάρχει, δὲν ὑπάρχει προτροπὴ τέτοια ποὺ νὰ ὁδηγῆ στὴν ἀρετή, ὅπως τὸ νὰ θυμώμαστε τὰ ἁμαρτήματά μας.

Ἐὰν τὰ σκεπτώμαστε αὐτὰ τὰ δύο, θὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ, θὰ μπορέσουμε νὰ καθαρίσουμε τοὺς ἑαυτούς μας καὶ νὰ τοὺς λευκάνουμε· μόνο κάποτε, ἀγαπητοί, νὰ κάνουμε ἀρχὴ αὐτῆς τῆς σκέψεως, μόνο κάποτε νὰ φροντίσουμε γι' αὐτὸ τὸ πρᾶγμα· ἂς ὑποφέρουμε ἐδῶ μὲ τὴ σκέψι, γιὰ νὰ μὴν ὑποφέρουμε ἐκεῖ μὲ τὴν κόλασι, ἀλλὰ ν' ἀπολαύσουμε τὰ αἰώνια ἀγαθὰ ἐκεῖ ποὺ δὲν ὑπάρχει ὀδύνη, λύπη καὶ στεναγμός, γιὰ νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθὰ ποὺ ξεπερνοῦν τὸν ἀνθρώπινο νοῦ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ· σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΔ'

(Ἑβρ. 11,13–16)

«Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. Οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. Καὶ εἰ
5 *μὲν ἐκείνην ἐμνημόνευον, ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· νῦν δὲ κρείττονος ὀρέγονται, τουτέστιν, ἐπουρανίου. Διὰ τοῦτο οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν».*

1. Ἡ πρώτη ἀρετὴ καὶ ἡ πᾶσα ἀρετὴ τὸ ξένον εἶναι τοῦ κόσμου
10 *τούτου καὶ παρεπίδημον καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ ἐνταῦθα πράγματα, ἀλλὰ ἀπηρτῆσθαι αὐτῶν ὥσπερ ξένων, καθάπερ οἱ μακάριοι μαθηταὶ ἐκεῖνοι, περὶ ὧν φησι· «περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος».[1] Ἐκεῖνοι μὲν οὖν ξένους ἔλεγον εἶναι ἑαυ-*
15 *τούς, ὁ δὲ Παῦλος καὶ πολλῷ τι πλέον εἶπεν. Οὐ γὰρ ξένος ἑαυτὸν ἁπλῶς εἶπεν, ἀλλὰ νεκρὸν εἶπε τῷ κόσμῳ, καὶ τὸν κόσμον αὐτῷ νεκρόν. «Ἐμοί», γάρ, φησίν, «ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ».[2] Ἀλλ' ἡμεῖς ὡς καὶ πολῖται καὶ σφόδρα ζῶντες ὡς πολῖται, οὕτω πάντα ἐνταῦθα πραγματευόμεθα· καὶ ὅπερ ἦσαν τῷ*
20 *κόσμῳ οἱ δίκαιοι, ξένοι καὶ νεκροί, τοῦτο ἡμεῖς ἐσμεν τῷ οὐρανῷ· ὅπερ δὲ ἦσαν ἐκεῖνοι τῷ οὐρανῷ, ζῶντες καὶ πολιτευόμενοι, τοῦτο ἡμεῖς ἐσμεν τῷ κόσμῳ.*

Διὰ τοῦτο τεθνήκαμεν, ὅτι τὴν ὄντως ζωὴν ἠρνησάμεθα, καὶ

1. Ἑβρ. 11,37–38.
2. Γαλ. 6,14.

ΟΜΙΛΙΑ ΚΔ'

(Ἑβρ. 11, 13–16)

«Μὲ πίστι πέθαναν ὅλοι αὐτοί, χωρὶς νὰ λάβουν τὶς ἐπαγγελίες, ἀλλὰ τὶς εἶδαν ἀπὸ μακριὰ καὶ μὲ πόθο τὶς ἀποδέχθηκαν, καὶ ὡμολόγησαν ὅτι εἶναι ξένοι καὶ παρεπίδημοι ἐπάνω στὴ γῆ. Διότι αὐτοί, ποὺ τὰ λέγουν αὐτά, δείχνουν ὅτι ζητοῦν πατρίδα μόνιμη. Καὶ ἐὰν σκέπτονταν ἐκείνην ἀπὸ τὴν ὁποία βγῆκαν, θὰ εὕρισκαν εὐκαιρία νὰ ἐπιστρέψουν. Τώρα ὅμως ἐπιθυμοῦν καλύτερη πατρίδα, δηλαδὴ ἐπουράνια. Γι' αὐτὸ καὶ δὲν ντρέπεται ὁ Θεὸς νὰ ὀνομάζεται Θεός τους, διότι τοὺς ἑτοίμασε στοὺς οὐρανοὺς πόλι».

1. Ἡ πρώτη ἀρετὴ καὶ ἡ κατ' ἐξοχὴν ἀρετὴ εἶναι τὸ νὰ εἶναι κανεὶς ξένος καὶ παρεπίδημος στὸν κόσμο αὐτό, καὶ νὰ μὴν ἔχῃ τίποτε κοινὸ μὲ τὰ γήϊνα πράγματα, ἀλλὰ νὰ τὰ ἀποφεύγῃ ὡς ξένα, ὅπως ἀκριβῶς οἱ μακάριοι ἐκεῖνοι μαθητές, γιὰ τοὺς ὁποίους λέγει· «περιφέρονταν ντυμένοι μὲ προβειὲς καὶ δέρματα γιδιῶν, γεμᾶτοι στερήσεις, θλίψεις καὶ κακουχίες· τῶν ἀνδρῶν αὐτῶν δὲν ἦταν ἄξιος ὁλόκληρος ὁ κόσμος»[1]. Ἐκεῖνοι θεωροῦσαν τοὺς ἑαυτούς τους ξένους, ἐνῶ ὁ Παῦλος εἶπε κάτι πολὺ περισσότερο. Δὲν θεώρησε ἁπλῶς ξένο τὸν ἑαυτό του, ἀλλὰ νεκρὸ γιὰ τὸν κόσμο καὶ τὸν κόσμο νεκρὸ γιὰ τὸν ἑαυτό του. «Διότι γιὰ μένα» λέγει, «ὁ κόσμος ἔχει σταυρωθῆ, κι' ἐγὼ γιὰ τὸν κόσμο»[2]. Ἐνῶ ἐμεῖς ζοῦμε ὡς πολῖτες, καὶ ζώντας ὑπερβολικὰ ὡς πολῖτες, γι' αὐτὸ ὅλες οἱ ἀσχολίες μας περιορίζονται στὰ γήϊνα· καὶ ὅπως οἱ δίκαιοι ἦταν ξένοι καὶ νεκροὶ γιὰ τὸν κόσμο, τὸ ἴδιο εἴμαστε ἐμεῖς γιὰ τὸν οὐρανό· καὶ ὅ,τι ἦταν ἐκεῖνοι γιὰ τὸν οὐρανό, μὲ τὴν ὅλη ζωὴ καὶ πολιτεία τους, αὐτὸ εἴμαστε ἐμεῖς γιὰ τὸν κόσμο.

Γι' αὐτὸ ἔχουμε πεθάνει, ἐπειδὴ ἀπαρνηθήκαμε τὴν πραγματι-

τὴν πρόσκαιρον ταύτην εἰλόμεθα· διὰ τοῦτο παροξύνομεν τὸν Θεόν, ὅτι προκειμένης ἡμῖν τῆς ἐν τοῖς οὐρανοῖς ἀπολαύσεως, οὐδὲ οὕτω τῶν ἐπὶ τῆς γῆς ἀποστῆναι βουλόμεθα, ἀλλά, καθάπερ τινὲς σκώληκες, ἀπὸ τῆς γῆς εἰς τὴν γῆν, καὶ πάλιν ἀπὸ ταύτης εἰς ταύ-
5 *την περιστρεφόμεθα, καὶ ὅλως οὐδὲ μικρὸν ἀνακῦψαι βουλόμεθα, οὐδὲ ἀποστῆσαι ἑαυτοὺς τῶν ἀνθρωπίνων πραγμάτων, ἀλλ' ὥσπερ ὑπό τινος κάρου καὶ ὕπνου καὶ μέθης καταβαπτισθέντες, καταπεπλήγμεθα φανταζόμενοι. Καὶ καθάπερ οἱ γλυκεῖ κατεχόμενοι ὕπνῳ, οὐ μόνον ἐν νυκτί, ἀλλὰ καὶ αὐτοῦ τοῦ ὄρθρου καταλα-*
10 *βόντος καὶ λαμπρᾶς γενομένης ἡμέρας κεῖνται ἐπὶ κλίνης, καὶ οὐκ αἰσχύνονται τῇ ἡδονῇ χαριζόμενοι, καὶ τὸν καιρὸν τῆς ἐργασίας καὶ τῆς σπουδῆς, τοῦτον καιρὸν ποιούμενοι ὕπνου καὶ νωθείας, οὕτω δὴ καὶ ἡμεῖς, τῆς ἡμέρας ἐγγιζούσης, τῆς νυκτὸς προκοπτούσης, μᾶλλον δὲ τῆς ἡμέρας· «ἐργάζεσθε» γάρ, φησίν, «ἕως ἐστὶν ἡμέ-*
15 *ρα»· ἡμέρας οὔσης, τὰ τῆς νυκτὸς πράττομεν ἅπαντα, καθεύδοντες, ὀνείρατα βλέποντες, φαντασίαις ἐντρυφῶντες· καὶ μεμύκασιν ἡμῖν οἱ τῆς διανοίας ὀφθαλμοὶ καὶ οἱ τοῦ σώματος, παραφθεγγόμεθα, παραλαλοῦμεν· κἂν βαθεῖαν ἡμᾶς πλήξῃ τις πληγήν, οὐδὲ αἰσθανόμεθα, κἂν πᾶσαν ἡμῶν διαρπάσῃ τὴν οὐσίαν, κἂν αὐτὴν ἐμπρήσῃ*
20 *τὴν οἰκίαν· μᾶλλον δὲ οὐδὲ ἀναμένομεν ἑτέρους τοῦτο ποιεῖν, ἀλλ' αὐτοὶ τοῦτο πράττομεν κεντοῦντες ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν καὶ πλήττοντες, ἀσχημόνως κείμενοι, καὶ γεγυμνωμένοι πάσης εὐδοξίας, πάσης τιμῆς, καὶ τὰ αἰσχρὰ ἡμῶν ἔργα οὔτε αὐτοὶ συγκαλύπτοντες, οὔτε ἑτέροις ἐπιτρέποντες τοῦτο ποιεῖν, ἀλλ' εἰς μέσην*
25 *ἀσχημοσύνην τοῖς ὁρῶσι καὶ παριοῦσι προκείμενοι εἰς γέλωτα, εἰς σκώμματα μυρία.*

Οὐκ οἴεσθε καὶ αὐτοὺς τοὺς πονηροὺς καταγελᾶν τῶν ὁμοτρόπων, καὶ καταγινώσκειν αὐτῶν; Ἐπειδὴ γὰρ ἡμῖν ἐντέθεικεν ὁ Θεὸς δικαστήριον ἀδέκαστον, οὐδέποτε διαφθειρόμενον, κἂν εἰς
30 *αὐτὸν τῆς κακίας ἔλθωμεν τὸν πυθμένα· τούτου χάριν καὶ αὐτοὶ οἱ πονηροὶ καταδικάζουσιν ἑαυτούς, κἂν αὐτοὺς καλέσῃ τις τοῦτο, ὅπερ εἰσίν, αἰσχύνονται, ὀργίζονται, ὕβριν τὸ πρᾶγμά φασιν. Οὕτως εἰ καὶ μὴ δι' ἔργων, ἀλλὰ διὰ λόγων καταδικάζουσιν ἅπερ πράττουσι, διὰ τοῦ συνειδότος, μᾶλλον δὲ καὶ διὰ τῶν ἔργων. Ὅταν*

3. Ἰω. 9,4.

κὴ ζωὴ καὶ προτιμήσαμε αὐτὴν τὴν πρόσκαιρη· γι' αὐτὸ παροργίζουμε τὸν Θεό, διότι, ἐνῶ βρίσκεται μπροστά μας ἡ οὐράνια ἀπόλαυσις, δὲν θέλουμε ν' ἀπομακρυνθοῦμε ἀπὸ τὶς ἀπολαύσεις τῆς γῆς, ἀλλ' σὰν ἀκριβῶς κάποια σκουλήκια, περιφερόμαστε ἀπὸ τὴ γῆ στὴ γῆ καὶ πάλι ἀπὸ αὐτὴν σ' αὐτὴν καὶ γενικὰ δὲν θέλουμε οὔτε γιὰ λίγο νὰ ὑψώσουμε τὸ κεφάλι, οὔτε ν' ἀπομακρυνθοῦμε ἀπὸ τὰ ἀνθρώπινα πράγματα, ἀλλὰ σὰν νὰ ἔχουμε βουτηχθῆ μέσα σὲ κάποια νάρκη καὶ ὕπνο καὶ μέθη, μένουμε ἔκθαμβοι ἀπὸ τὶς φαντασίες τοῦ κόσμου. Καὶ ὅπως αὐτοὶ ποὺ εἶναι κυριευμένοι ἀπὸ γλυκὸ ὕπνο, ὄχι μόνο τὴ νύχτα, ἀλλὰ καὶ κατὰ τὸ διάστημα τοῦ ὄρθρου καὶ ἐνῶ ἀνέτειλε λαμπρὴ ἡ ἡμέρα μένουν ξαπλωμένοι στὸ κρεββάτι καὶ δὲν ντρέπονται χαριζόμενοι στὴν ἡδονή, καὶ τὸν καιρὸ τῆς ἐργασίας καὶ τῆς δραστηριότητας τὸν κάμνουν καιρὸ ὕπνου καὶ ὀκνηρίας· ἔτσι λοιπὸν καὶ ἐμεῖς, ἐνῶ πλησιάζει ἡ ἡμέρα καὶ ἡ νύχτα ὑποχωρεῖ, ἐργαζόμαστε πολὺ περισσότερο τὰ ἔργα τῆς νύχτας. Διότι λέγει, «νὰ ἐργάζεσθε ὅσο εἶναι ἡμέρα»[3]· ἐνῶ εἶναι ἡμέρα, ἐμεῖς κάνουμε ὅλα τὰ ἔργα τῆς νύχτας, κοιμόμαστε, βλέπουμε ὄνειρα, ἀπορροφούμαστε ἀπὸ τὶς φαντασίες· ἔχουν κλείσει τὰ μάτια τῆς διάνοιάς μας καὶ τοῦ σώματος, μωρολογοῦμε, παραμιλοῦμε· κι' ἂν κάποιος μᾶς δώση βαρὺ πλῆγμα, δὲν τὸ αἰσθανόμαστε, κι' ἂς μᾶς ἁρπάξη ὅλη τὴν περιουσία ἢ μᾶς κάψη καὶ τὸ ἴδιο τὸ σπιτι μας· ἢ καλύτερα δὲν περιμένουμε ἄλλους νὰ μᾶς τὸ κάνουν, ἀλλὰ τὸ κάνουμε μόνοι μας, πληγώνοντας καὶ χτυπώντας τοὺς ἑαυτούς μας καθημερινά, ξαπλωμένοι μὲ ἀπρέπεια καὶ ἀπογυμνωμένοι ἀπὸ κάθε δόξα, ἀπὸ κάθε τιμή, καὶ τὰ αἰσχρά μας ἔργα οὔτε ἐμεῖς οἱ ἴδιοι τὰ καλύπτουμε, οὔτε σ' ἄλλους ἐπιτρέπουμε νὰ τὸ κάνουν, ἀλλὰ παρουσιαζόμαστε μὲ ἀδιαντροπιὰ σ' ὅλους ἐκείνους ποὺ μᾶς βλέπουν καὶ εἶναι παρόντες, προκαλώντας τὰ γέλια καὶ ἀναρίθμητα πειράγματα.

Δὲν γνωρίζετε ὅτι καὶ οἱ ἴδιοι οἱ πονηροὶ περιγελοῦν τοὺς ὁμόφρονές τους καὶ τοὺς καταδικάζουν; Διότι μέσα μας τοποθέτησε ὁ Θεὸς δικαστήριο ἀμερόληπτο, ποὺ ποτὲ δὲν διαφθείρεται, ἔστω κι' ἂν φθάσουμε στὸν πυθμένα τῆς κακίας· ἐξ αἰτίας αὐτοῦ τοῦ δικαστηρίου καὶ οἱ ἴδιοι οἱ πονηροὶ καταδικάζουν τοὺς ἑαυτούς τους, κι' ἂν κάποιος πῆ γι' αὐτοὺς αὐτὸ ποὺ εἶναι, ντρέπονται, ὀργίζονται, θεωροῦν τὸ πρᾶγμα προσβολή. Ἔτσι, ἂν ὄχι μὲ τὰ ἔργα, ὅμως μὲ τὰ λόγια καταδικάζουν αὐτὰ ποὺ κάνουν, μέσω τῆς συνει-

γὰρ λανθάνοντες καὶ κρυπτόμενοι πράττωσι, μέγιστον ἐκφέρουσι δεῖγμα γνώμης, ἣν περὶ τοῦ πράγματος ἔχουσιν. Οὕτω γὰρ δήλη ἐστὶν ἡ κακία, ὡς πάντας αὐτῆς εἶναι κατηγόρους, καὶ τοὺς μετιόντας αὐτήν· τοιοῦτον δέ ἐστιν ἡ ἀρετή, ὡς καὶ παρ' ἐκείνων θαυμά-
5 *ζεσθαι τῶν μὴ ζηλούντων αὐτήν. Καὶ γὰρ καὶ ὁ πόρνος ἐπαινέσεται τὴν σωφροσύνην, καὶ ὁ πλενέκτης καταγνώσεται τῆς ἀδικίας, καὶ ὁ ὀργίλος τὴν ἀνεξικακίαν θαυμάσεται, καὶ τὴν μικροψυχίαν μέμψεται, καὶ τὴν ἀσέλγειαν ὁ ἀσελγής.*

Πῶς οὖν αὐτὰ μέτεισι, φησίν; Ἀπὸ ῥᾳθυμίας πολλῆς, οὐ κρί-
10 *νας εἶναι καλόν· ἐπεὶ οὐδ' ἂν ᾐσχύνθη τῷ πράγματι, οὐδ' ἂν ἠρνήσατο κατηγοροῦντος ἑτέρου. Πολλοὶ δὲ καὶ προληφθέντες, τὴν αἰσχύνην οὐ φέροντες, καὶ ἀπήγξαντο· τοσαύτη τοῦ καλοῦ καὶ πρέποντος ἔνεστιν ἡμῖν ἡ μαρτυρία· οὕτως ἡλίου λαμπρότερα τὰ καλὰ καὶ πάντων δυσειδέστερα τὰ ἐναντία.*

15 *2. Ξένοι καὶ παρεπίδημοι ἦσαν οἱ ἅγιοι. Πῶς καὶ τίνι τρόπῳ; Ποῦ δὲ ὁμολογεῖ ὁ Ἀβραὰμ ξένος εἶναι καὶ παρεπίδημος; Ἴσως μὲν καὶ αὐτὸς ὡμολόγησεν· ὁ δὲ Δαυῒδ ὅτι ὡμλόγησε, παντί που δῆλον· καὶ ἄκουε αὐτοῦ λέγοντος, ὅτι «ξένος εἰμὶ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου». Οἱ γὰρ ἐν σκηναῖς κατοικοῦντες, οἱ*
20 *ἀργυρίου καὶ τάφους ὠνούμενοι δῆλον ὅτι ξένοι τινὲς οὕτως ἦσαν, ὥστε μηδὲ ὅπου θάψωσι τοὺς νεκροὺς ἑαυτῶν ἔχειν. Τί οὖν; Ἆρα τῆς γῆς ἐκείνης μόνον ἔλεγον εἶναι ξένοι τῆς ἐν Παλαιστίνῃ; Οὐδαμῶς, ἀλλὰ τῆς οἰκουμένης πάσης, καὶ εἰκότως· οὐδὲν γὰρ ἐθεώρουν ἐν αὐτῇ τούτων ὧν ἐβούλοντο, ἀλλὰ πάντα ξένα καὶ ἀλλό-*
25 *τρια. Αὐτοὶ μὲν οὖν τὴν ἀρετὴν ἀσκεῖν ἠβούλοντο· ἐνταῦθα δέ, ἔνθα ἦν κακία πολλὴ καὶ ἀπεξένωτο πρὸς αὐτοὺς τὰ πράγματα· οὐδένα φίλον, οὐδένα οἰκεῖον εἶχον, πλὴν ὀλίγων τινῶν.*

Πῶς δὲ ξένοι ἦσαν; Οὐκ ἐπιμελούμενοι τῶν ἐνταῦθα· καὶ τοῦτο οὐ διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτῶν ἐδείκνυον.
30 *Πῶς καὶ τίνι τρόπῳ; Εἶπε τῷ Ἀβραάμ· 'ἄφες τὴν πατρίδα τὴν δοκοῦσαν, καὶ ἐλθὲ ἐπὶ τὴν ἀλλοτρίαν'· καὶ οὐκ ἀντέσχετο τῶν οἰ-*

4. Ψαλμ. 38,13.

δήσεώς τους, ἢ καλύτερα καὶ μὲ τὰ ἔργα τους. Διότι, ὅταν κρύβωνται καὶ ἐνεργοῦν ἀπαρατήρητα, ἀποδεικνύουν περίτρανα, τὴ γνώμη ποὺ ἔχουν γιὰ τὸ πρᾶγμα αὐτό. Πράγματι τόσο ὁλοφάνερη εἶναι ἡ κακία, ὥστε ὅλοι νὰ τὴν κατηγοροῦν, ἀκόμα κι' αὐτοὶ ποὺ τὴν ἐπιδιώκουν· ἀντίθετα τέτοια εἶναι ἡ ἀρετή, ὥστε νὰ θαυμάζεται καὶ ἀπὸ ἐκείνους ποὺ δὲν προσπαθοῦν νὰ τὴν μιμηθοῦν. Καθόσον καὶ ὁ πόρνος θὰ ἐπαινέση τὴ σωφροσύνη, καὶ ὁ πλεονέκτης θὰ καταδικάση τὴν ἀδικία, και ὁ ὀργίλος θὰ θαυμάση τὴν ἀνεξικακία καὶ θὰ κατηγορήση τὴν ὀλιγοψυχία, καὶ τὴν ἀκολασία ὁ ἀκόλαστος.

Πῶς τότε, λέγει, τὰ κάμνει αὐτά; Ἐξ αἰτίας τῆς πολλῆς του ραθυμίας, ἂν καὶ ὁ ἴδιος κρίνει ὅτι δὲν καλὸ αὐτὸ ποὺ κάμνει· διότι διαφορετικὰ δὲν θὰ ντρεπόταν γιὰ τὶς πράξεις του, οὔτε θ' ἀντιδροῦσε ὅταν κατηγορῆται ἀπὸ ἄλλον. Καὶ πολλοὶ ὅταν τὸ συνειδητοποίησαν, μὴ ἀντέχοντας τὴν ντροπή, αὐτοκτόνησαν· τόση μεγάλη εἶναι μέσα μας ἡ μαρτυρία τοῦ καλοῦ καὶ πρέποντος· τόσο λαμπρότερα κι' ἀπὸ τὸν ἥλιο εἶναι τὰ καλά, καὶ ἀσχημότερα ἀπὸ ὅλα τὰ κακά.

2. Ξένοι καὶ παρεπίδημοι ἦταν οἱ ἅγιοι. Πῶς καὶ μὲ ποιόν τρόπο; καὶ ποῦ ὁμολογεῖ ὁ Ἀβραὰμ ὅτι εἶναι ξένος καὶ παρεπίδημος; Ἴσως καὶ ὁ ἴδιος νὰ τὸ ὡμολόγησε· τὸ ὅτι ὅμως ὁ Δαυΐδ τὸ ὡμολόγησε, εἶναι φάνερο βέβαια στὸν καθένα· ἄκουγε τὸν ἴδιο ποὺ λέγει· «εἶμαι ξένος καὶ παρεπίδημος, ὅπως ὅλοι οἱ πατέρες μου»[4]. Διότι ἐκεῖνοι ποὺ ζοῦσαν σὲ σκηνές, ἐκεῖνοι ποὺ ἀγόραζαν τοὺς τάφους μὲ χρήματα, εἶναι φανερὸ ὅτι αὐτοὶ ἦταν τόσο ξένοι, ὥστε δὲν εἶχαν οὔτε ποῦ νὰ θάψουν τοὺς νεκρούς τους. Τί λοιπόν; ἄραγε ἐννοοῦσαν ὅτι εἶναι ξένοι μόνο τῆς γῆς ἐκείνης, ποὺ ὑπῆρχε στὴν Παλαιστίνη; Ἀσφαλῶς ὄχι, ἀλλ' ὅλης τῆς οἰκουμένης· καὶ σωστά· διότι τίποτε δὲν ἔβλεπαν σ' αὐτὴ τὴν γῆ ἀπὸ αὐτὰ ποὺ ἤθελαν, ἀλλ' ὅλα τὰ θεωροῦσαν ξένα καὶ ὄχι δικά τους· αὐτοὶ ἤθελαν ν' ἀσκοῦν τὴν ἀρετή· ἐδῶ ὅμως ὑπῆρχε πολλὴ κακία, γι' αὐτὸ καὶ αἰσθάνονταν ἀποστροφὴ πρὸς τὰ γήϊνα πράγματα· κανέναν φίλο, κανέναν οἰκεῖο δὲν εἶχαν, ἐκτὸς ἀπὸ πολὺ λίγους.

Καὶ πῶς ἦταν ξένοι; Δὲν φρόντιζαν γιὰ τὰ γήϊνα πράγματα· κι' αὐτὸ ὄχι μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὶς πράξεις τὸ ἔδειχναν. Πῶς καὶ μὲ ποιόν τρόπο; Εἶπε στὸν Ἀβραάμ· «ἄφησε τὴν πατρίδα σου κι' ἔλα νὰ ἐγκατασταθῆς σὲ χώρα ξένη», καὶ δὲν ὑποχώρησε ἐξ αἰτίας

κείων, ἀλλ' ὡς ξένην μέλλων ἀφιέναι, οὕτως ἀπροσπαθῶς αὐτὴν εἴασεν. Εἶπεν αὐτῷ· 'ἀνένεγκε τὸν υἱόν σου'· καὶ ὡς οὐκ ἔχων υἱόν, οὕτως αὐτὸν ἀνήνεγκεν, ὡς οὐκ ἐνδεδυμένος τὴν φύσιν, οὕτως αὐτὸν ἀνήνεγκε. Τὰ χρήματα κοινὰ ἐκέκτητο τοῖς παριοῦσιν
5 *ἅπασι, καὶ οὐδὲν τὸ πρᾶγμα ἡγεῖτο· τῶν πρωτείων ἑτέροις παρεχώρει, εἰς κινδύνους ἑαυτὸν ἐνέβαλλε, μυρία ἔπασχε δεινά· οὐκ οἰκίας ᾠκοδόμει λαμπράς, οὐδὲ ἐτρύφα, οὐχ ἱματίων ἐπεμελεῖτο, οὐκ ἄλλου οὐδενός, ἃ τῶν ἐνταῦθά ἐστιν· ἀλλὰ πάντα τὰ τῆς ἐκεῖ πόλεως ἐπολιτεύετο, φιλοξενίαν ἐπεδείκνυτο, φιλαδελφίαν, ἐλεημοσύ-*
10 *νην, ἀνεξικακίαν, ὑπεροψίαν χρημάτων καὶ τῆς παρούσης δόξης καὶ τῶν ἄλλων ἁπάντων.*

Καὶ ὁ τούτου δὲ παῖς τοιοῦτος ἦν· ἐλαυνόμενος, πολεμούμενος εἶκε καὶ παρεχώρει, ἅτε ἐν ξένῃ ὤν· οἱ γὰρ ξένοι, ὅσα ἂν πάθωσι, φέρουσιν, ἅτε οὐκ ὄντες ἐν πατρίδι. Καὶ τῆς γυναικὸς ἀφαι-
15 *ρουμένης, καὶ τοῦτο ἔφερεν, ἅτε ξένος· τὰ δὲ ἄνω πάντα ἐπολιτεύετο, σωφροσύνην, κοσμιότητα ἐπιδεικνύμενος πᾶσαν. Καὶ γὰρ μετὰ τὸ παιδοποιῆσαι, οὐκέτι ὡμίλησε τῇ γυναικί· καὶ παρελθούσης δὲ τῆς ἀκμῆς τῆς νεότητος, τότε αὐτὴν ἠγάγετο, δεικνὺς ὅτι οὐ πάθους ἕνεκεν τοῦτο ἐποίει, ἀλλὰ ὑπηρετούμενος τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ.*

20 *Τί δὲ ὁ Ἰακώβ; οὐχὶ ἄρτον ἐζήτει μόνον καὶ ἱμάτιον, ἃ ξένων ἐστὶν ὄντως αἰτήματα τῶν εἰς πενίαν ἐλθόντων πολλήν; Οὐχὶ ἐλαυνόμενος ἀνεχώρει, καθάπερ ξένος; Οὐχὶ ἐθήτευεν; Οὐχὶ μυρία ἔπασχε δεινά, περιιὼν πανταχοῦ καθάπερ ξένος; Ταῦτα δὲ πάσχοντες ἔφερον, δεικνύντες ὅτι πατρίδα ἐπιζητοῦσιν ἑτέραν· βαβαί,*
25 *πόση διαφορά! Ἐκεῖνοι μὲν ὤδινον καθ' ἑκάστην ἡμέραν, ἀπαλλαγῆναι βουλόμενοι ἐντεῦθεν καὶ πρὸς τὴν αὐτῶν πατρίδα ἐπανελθεῖν, ἡμεῖς δὲ τοὐναντίον· ἂν γὰρ πυρετὸς ἐμπέσῃ, πάντα ἀφέντες, καθάπερ τὰ παιδία τὰ μικρά, τὰ κλαυθμυριζόμενα, τὸν θάνατον δεδοίκαμεν· καὶ εἰκότως τοῦτο πάσχομεν. Ἐπειδὴ γὰρ οὐχ ὡς ξένοι*
30 *διάγομεν ἐνταῦθα, οὐδὲ ὡς ἐπὶ πατρίδα σπεύδομεν, ἀλλ' ὡς ἐπὶ κόλασιν ἀπιόντες ἐσμέν, διὰ τοῦτο ἀλγοῦμεν, ὅτι τοῖς πράγμασιν*

τῶν συγγενῶν του, ἀλλὰ σὰν νὰ ἐπρόκειτο νὰ ἐγκαταλείψῃ ξένη χώρα, μὲ τόση εὐκολία τὴν ἄφησε. Τοῦ εἶπε πάλι· 'Πρόσφερέ μου θυσία τὸν υἱό σου'· καὶ σὰν νὰ μὴν εἶχε υἱό, μὲ τόση εὐκολία τὸν πρόσφερε, σὰν νὰ μὴν ἦταν ντυμένος μὲ τὴν πατρικὴ φύσι, ἔτσι τὸν πρόσφερε. Τὰ πράγματά του τὰ εἶχε κοινὰ μὲ ὅλους τοὺς περαστικοὺς ἀπὸ ἐκεῖ, καὶ δὲν θεωροῦσε τίποτε τὸ πρᾶγμα αὐτό. Τὰ πρωτεῖα τὰ παραχωροῦσε σὲ ἄλλους, τὸν ἑαυτό του τὸν ἔρριχνε στοὺς κινδύνους, ὑπέφερε πολλὰ δεινά. Δὲν κατασκεύαζε λαμπρὰ σπίτια, δὲν ζοῦσε μὲ πολυτέλεια, δὲν φρόντιζε γιὰ τὰ ἐνδύματα, οὔτε γιὰ τίποτε ἄλλο ἀπὸ ὅσα ἀνήκουν σ' αὐτὴ τὴ ζωή, ἀλλ' ἐφάρμοζε ὅλα ἐκεῖνα ποὺ ἀνήκουν σ' ἐκείνη τὴν πόλι· ἦταν φιλόξενος, φιλάδελφος, ἐλεήμων, ἀνεξίκακος· περιφρονοῦσε τὰ χρήματα, τὴ δόξα αὐτῆς τῆς ζωῆς καὶ ὅλα τὰ ἄλλα.

Ἀλλὰ καὶ τὸ παιδί του τέτοιο ἦταν· καταδιωκόμενο καὶ πολεμούμενο ὑποχωροῦσε καὶ ἀποχωροῦσε σὰν νὰ ἦταν σὲ ξένη χώρα· διότι οἱ ξένοι, ὅσα κι' ἂν πάθουν, τὰ ὑπομένουν, ἀφοῦ δὲν εἶναι στὴν πατρίδα τους. Κι' ἂν καὶ τοῦ πῆραν τὴ γυναῖκα του, κι' αὐτὸ τὸ ὑπέμεινε, ὡσὰν ξένος. Ζοῦσε σὰν πολίτης τῆς ἄνω πόλεως, μὲ κάθε σωφροσύνη καὶ κοσμιότητα. Διότι καὶ μετὰ τὴν παιδοποιΐα δὲν ἦλθε ξανὰ σὲ συνουσία μὲ τὴ γυναῖκα του· κι' ὅταν πέρασε ἡ ἀκμὴ τῆς νεότητας, τότε τὴν ἔλαβε, δείχνοντας ὅτι δὲν τὸ ἔκανε ἐξ αἰτίας τοῦ πάθους, ἀλλὰ γιὰ νὰ ὑπηρετήσῃ τὴν ἐπαγγελία τοῦ Θεοῦ.

Καὶ ὁ Ἰακὼβ τί ἔκανε; Δὲν ζητοῦσε μόνο ἄρτο καὶ ἱμάτιο, τὰ ὁποῖα πράγματι εἶναι αἰτήματα τῶν ξένων, ποὺ περιῆλθαν σὲ πολὺ μεγάλη φτώχεια; δὲν ἔφευγε ὅταν τὸν καταδίωκαν, ἀκριβῶς σὰν ξένος; δὲν ὑπηρετοῦσε σὰν μισθωτός; δὲν ὑπέφερε μύρια δεινὰ περιερχόμενος παντοῦ σὰν ξένος; Καὶ ἐνῶ πάθαιναν αὐτά, τὰ ὑπέμειναν, δείχνοντας ἔτσι ὅτι ἀναζητοῦν ἄλλη πατρίδα. Πώ, πώ, πόση διαφορά! Ἐκεῖνοι ὑπέφεραν καθημερινά, ἐπειδὴ ἤθελαν ν' ἀπαλλαγοῦν ἀπὸ τὴν ἐπίγεια πατρίδα καὶ νὰ ἐπανέλθουν στὴ δική τους πατρίδα· ἐνῶ ἐμεῖς κάνουμε τὸ ἀντίθετο· ἂν μᾶς καταλάβῃ πυρετός, ἐγκαταλείπουμε τὰ πάντα, ἀκριβῶς σὰν τὰ μικρὰ παιδιά, ποὺ κλαῖνε, καὶ τρέμουμε τὸν θάνατο· καὶ δικαιολογημένα τὸ παθαίνουμε. Διότι δὲν ζοῦμε σὰν ξένοι ἐδῶ, οὔτε σπεύδουμε σὰν νὰ πηγαίνουμε στὴν πατρίδα μας, ἀλλὰ σὰν νὰ πηγαίνουμε στὴν κόλασι. Γι' αὐτὸ πονοῦμε, ἐπειδὴ δὲν χρησιμοποιήσαμε ὅπως ἔπρεπε τὰ γήϊνα πράγ-

οὐκ ἐχρησάμεθα εἰς δέον, ἀλλὰ τὴν τάξιν ἀντεστρέψαμεν· διὰ τοῦτο ὀδυρόμεθα, ὅτε χαίρειν ἐχρῆν, διὰ τοῦτο φρίττομεν, καθάπερ τινὲς ἀνδροφόνοι καὶ λήσταρχοι, μέλλοντες δικαστηρίῳ παρίστασθαι, καὶ πάντα λογιζόμενοι ἅπερ ἔπραξαν καὶ διὰ τοῦτο δεδοικότες καὶ 5 τρέμοντες.

Ἀλλ' οὐκ ἐκεῖνοι τοιοῦτοι, ἀλλ' ἠπείγοντο· ὁ δὲ Παῦλος καὶ ἐστέναξε. Καὶ ἄκουε αὐτοῦ λέγοντος, «καὶ αὐτοὶ οἱ ἐν τῷ σκήνει ὄντες, στενάζομεν βαρούμενοι». Τοιοῦτοι ἦσαν οἱ περὶ τὸν Ἀβραάμ· «ξένοι», φησίν, «ἦσαν τῆς οἰκουμένης ἁπάσης, καὶ πα- 10 τρίδα ἐζήτουν». Ποίαν δὴ ταύτην; Ἆρα ἣν εἴασαν; Οὐδαμῶς· τί γὰρ ἐκώλυεν αὐτούς, εἴγε ἐβούλοντο, ὑποστρέψαι πάλιν καὶ γενέσθαι πολῖται; Ἀλλ' ἐκείνην ἐζήτουν τὴν ἐν τοῖς οὐρανοῖς. Οὕτω πρὸς τὴν ἀποδημίαν τὴν ἐνθένδε ἔσπευδον, καὶ οὕτως ἤρεσκον Θεῷ· διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς Θεὸς καλεῖσθαι αὐτῶν. 15 Βαβαί, ὅσον ἀξίωμα! Θεὸς καλεῖσθαι αὐτῶν κατεδέξατο. Τί λέγεις; Θεὸς τῆς γῆς καλεῖται, καὶ Θεὸς τοῦ οὐρανοῦ, καὶ ὡς μέγα τι τέθεικας τὸ οὐκ ἐπαισχύνεσθαι Θεὸς καλεῖσθαι αὐτῶν; Μέγα, καὶ ὄντως μέγα, καὶ πολλῆς μακαριότητος τοῦτο τεκμήριον. Πῶς; Ὅτι γῆς μὲν καὶ οὐρανοῦ οὕτω καλεῖται Θεός, ὡς καὶ Ἑλλήνων, 20 καὶ οὐρανοῦ μὲν καὶ γῆς Θεός, ᾗ ἔκτισε καὶ ἐδημιούργησεν αὐτά· τῶν δὲ ἁγίων ἐκείνων οὐχ οὕτως, ἀλλ' ὡς φίλος τις γνήσιος. Ἐπὶ δὲ ὑποδείγματος ὑμῖν αὐτὸ ποιήσω φανερόν. Οἷον ἐπὶ τῶν ἐν ταῖς μεγάλαις οἰκίαις, ὅταν τινὲς εὐδοκιμῶσι τῶν προεστηκότων τῆς οἰκίας καὶ σφόδρα εὐδοκιμῶσι, καὶ πάντα αὐτοὶ διέπωσι, καὶ πρὸς 25 τοὺς δεσπότας πολλὴν τὴν παρρησίαν ἔχωσιν, ἀπ' αὐτῶν ὁ δεσπότης καλεῖται· καὶ πολλοὺς ἄν τις εὕροι οὕτω καλουμένους.

Τί δὲ λέγω; Ὥσπερ ἦν εἰπεῖν, 'ὁ Θεός', οὐχ 'ὁ τῶν ἐθνῶν', ἀλλ' 'ὁ τῆς οἰκουμένης', οὕτως ἦν εἰπεῖν 'ὁ Θεὸς Ἀβραάμ'. Ἀλλ' οὐκ ἴστε ὅσον ἐστὶ τὸ ἀξίωμα τοῦτο, ἐπεὶ μηδὲ τυγχάνομεν αὐτοῦ, 30 ὥσπερ γὰρ νῦν ὁ Κύριος τῶν Χριστιανῶν ἁπάντων λέγεται Θεός, καὶ ὅμως ὑπερβαίνει τὸ ὄνομα τὴν ἡμετέραν ἀξίαν· εἰ δὲ ἑνὸς

5. Β' Κορ. 5,4.

ματα, ἀλλ' ἀντιστρέψαμε τὴν τάξι τους· γι' αὐτὸ θρηνοῦμε, ἐνῶ ἔπρεπε νὰ χαιρώμαστε, γι' αὐτὸ φρίττουμε, ὅπως μερικοὶ ἀνθρωποκτόνοι καὶ λήσταρχοι, οἱ ὁποῖοι, ὅταν πρόκειται νὰ παρουσιασθοῦν στὸ δικαστήριο, σκέπτονται ὅλα ὅσα ἔκαναν, καὶ γι' αὐτὸ φοβοῦνται καὶ τρέμουν.

Ἐκεῖνοι ὅμως δὲν ἦταν τέτοιοι, ἀλλὰ βιάζονταν νὰ φθάσουν ἐκεῖ. Ὁ Παῦλος μάλιστα καὶ ἀναστέναξε. Καὶ ἄκουε αὐτὸν ποὺ λέγει· «καὶ ὅσοι ἔχουμε σῶμα, στενάζουμε σὰν νὰ πιεζώμαστε ἀπὸ κάποιο βαρὺ φόρτωμα»[5]. Τέτοιοι ἦταν ἐκεῖνοι ποὺ ζοῦσαν γύρω ἀπὸ τὸν Ἀβραάμ· διότι λέγει, «ἦταν ξένοι γιὰ ὅλη τὴν οἰκουμένη, καὶ ἀναζητοῦσαν τὴν πατρίδα τους». Ποιά λοιπὸν ἦταν αὐτή; Μήπως ἦταν ἐκείνη ποὺ ἐγκατέλειψαν; Ὄχι· διότι τί τοὺς ἐμπόδιζε, ἐὰν ἤθελαν, νὰ ἐπιστρέψουν πάλι καὶ νὰ γίνουν πολῖτες της; Ἀναζητοῦσαν ἐκείνη τὴν πατρίδα, ποὺ βρίσκεται στοὺς οὐρανούς. Ἔτσι πρὸς τὰ ἐκεῖ βάδιζαν βιαστικά, καὶ ἔτσι εὐαρεστοῦσαν τὸν Θεό· γι' αὐτὸ καὶ δὲν ντρέπεται γι' αὐτοὺς ὁ Θεός, ὥστε νὰ ὀνομάζεται Θεός τους. Πώ, πώ, τί μεγάλη τιμή! Καταδέχθηκε νὰ ὀνομασθῇ Θεός τους. Τί λές; Ὀνομάζεται Θεὸς τῆς γῆς, καὶ Θεὸς τοῦ οὐρανοῦ, καὶ τὸ θεωρεῖς σὰν κάτι μεγάλο, τὸ νὰ μὴν ντρέπεται νὰ ὀνομάζεται Θεός τους; Εἶναι μεγάλο αὐτὸ καὶ πραγματικὰ μεγάλο καὶ ἀπόδειξις πολλῆς μακαριότητας. Πῶς; Διότι καλεῖται Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἔτσι, ὅπως καὶ τῶν Ἑλλήνων, καὶ καλεῖται Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐπειδὴ αὐτὸς τὰ ἔκτισε καὶ τὰ δημιούργησε· τῶν ἁγίων ὅμως ἐκείνων, δὲν ὀνομάζεται ἔτσι Θεός τους, ἀλλὰ ὡς φίλος γνήσιος. Καὶ θὰ σᾶς τὸ ἀποδείξω μὲ ἕνα παράδειμα. Ὅπως δηλαδὴ στὴν περίπτωσι ἐκείνων ποὺ ζοῦν σὲ μεγάλα σπίτια, ὅταν κάποιοι ἀπὸ τοὺς προϊσταμένους τῶν σπιτιῶν εὐδοκιμοῦν καὶ εὐδοκιμοῦν ὑπερβολικά, καὶ ὅλα αὐτοὶ τὰ διευθύνουν, καὶ ἔχουν μεγάλη παρρησία πρὸς τοὺς κυρίους τους, ἀπ' αὐτοὺς παίρνει τὸ ὄνομά του καὶ ὁ οἰκοδεσπότης. Καὶ θὰ μποροῦσε νὰ βρῇ κανεὶς πολλοὺς ποὺ ὀνομάζονται ἔτσι.

Ἀλλὰ τί λέγω; Ὅπως θὰ μποροῦσε νὰ λεχθῇ, ὁ Θεός, ὄχι ὁ Θεὸς τῶν ἐθνῶν, ἀλλὰ ὁ Θεὸς τῆς οἰκουμένης, ἔτσι ὠνομάσθηκε, ὁ Θεὸς τοῦ Ἀβραάμ. Ἀλλὰ δὲν γνωρίζετε πόσο μεγάλο εἶναι τὸ ἀξίωμα αὐτό, ἐπειδὴ δὲν ἔτυχε νὰ τὸ δεχθοῦμε. Ὅπως ἀκριβῶς δηλαδὴ καὶ τώρα ὁ Κύριος λέγεται Θεὸς ὅλων τῶν Χριστιανῶν, καὶ ὅμως

κληθείη Θεός, ἐννόησον ὅσον τὸ μέγεθος. Ὁ τῆς οἰκουμένης Θεός, οὐκ ἐπαισχύνεται τριῶν καλεῖσθαι Θεός, εἰκότως· οὐ γὰρ τῆς οἰκουμένης, ἀλλὰ μυρίων τοιούτων εἰσὶν ἀντίρροποι οἱ ἅγιοι. «Κρείττων γὰρ εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι».
5 *Ὅτι δὲ οὕτως ἑαυτοὺς ξένους ἐκάλουν, δῆλον. Ἔστω δέ, οὗτοι διὰ τὴν ξένην ἔλεγον εἶναι ξένοι· τί δαὶ καὶ ὁ Δαυΐδ; Οὐχὶ βασιλεὺς ἦν; οὐχὶ προφήτης; οὐχὶ ἐν τῇ οἰκείᾳ πατρίδι διέτριβε; Τίνος οὖν ἕνεκέν φησι, «ξένος καὶ παρεπίδημός εἰμι»; Πῶς εἶ ξένος; «Καθώς», φησί, «πάντες οἱ πατέρες μου». Ὁρᾷς ὅτι κἀκεῖνοι ξένοι*
10 *ἦσαν; Ἔχομεν πατρίδα, φησίν, ἀλλ' οὐ τὴν ὄντως πατρίδα. Πῶς δὲ σὺ ξένος; Τῆς γῆς. Οὐκοῦν κἀκεῖνοι τῆς γῆς· καθὼς γὰρ ἐκεῖνοι, οὕτω καὶ οὗτος, καὶ καθὼς οὗτος, οὕτω κἀκεῖνοι.*

3. Γενώμεθα τοίνυν ξένοι κἂν νῦν καὶ ἡμεῖς, ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ Θεός, Θεὸς ἐπικαλεῖσθαι ἡμῶν. Αἰσχύνη γὰρ αὐτῷ, ὅταν
15 *ἀνδρῶν πονηρῶν καλῆται Θεός, καὶ ἐπαισχύνεται αὐτοὺς καὶ αὐτός, ὥσπεροῦν δοξάζεται, ὅταν ἀγαθῶν ᾖ καὶ χρηστῶν καὶ ἀσκούντων ἀρετήν. Εἰ γὰρ ἡμεῖς παραιτούμεθα καλεῖσθαι δεσπόται πονηρῶν ἡμῶν δούλων καὶ ἀφίεμεν αὐτούς· κἂν εἴπῃ τις προσελθών, 'ὁ δεῖνα μυρία ἐργάζεται κακά, ἆρα σὸς δοῦλός ἐστιν', εὐ-*
20 *θέως φαμέν, ὅτι 'οὐδαμῶς', ἀποτριβόμενοι τὸ ὄνειδος (σχέσις γάρ ἐστι τῷ δούλῳ πρὸς τὸν δεσπότην, καὶ διαβαίνει ἡ ἀδοξία καὶ εἰς τοῦτον ἀπ' ἐκείνου), πολλῷ μᾶλλον ὁ Θεός. Ἀλλ' ἐκεῖνοι οὕτως ἦσαν λαμπροί, οὕτω παρρησίας μεστοί, ὡς μὴ μόνον αὐτὸν μὴ ἐπαισχύνεσθαι παρ' ἐκείνων καλούμενον, ἀλλὰ καὶ ἑαυτὸν λέγειν,*
25 *ὅτι «ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ». Γενώμεθα καὶ ἡμεῖς, ἀγαπητοί, ξένοι, ἵνα μὴ ἐπαισχυνθῇ ἡμᾶς ὁ Θεός, ἵνα μὴ ἐπαισχυνθῇ καὶ τῇ γεέννῃ παραδῷ. Τοιοῦτοι ἦσαν ἐκεῖνοι οἱ λέγοντες, «Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;». Ἀλλ' ὁρᾶτε τί*
30 *φθέγγεται πρὸς αὐτοὺς ὁ Χριστός· «οὐκ οἶδα ὑμᾶς»· ὅπερ ἂν ποιή-*

6. Σοφ. Σειρ. 16,4.
7. Ψαλμ. 38,13.
8. Ἐξοδ. 3,6.
9. Ματθ. 7,22.
10. Ματθ. 7,23.

τὸ ὄνομα ξεπερνᾶ τὴ δική μας ἀξία· ἐὰν ὅμως ὠνομάσθηκε Θεὸς ἑνός, σκέψου πόσο εἶναι τὸ μέγεθος τῆς ἀξίας. Ὁ Θεὸς τῆς οἰκουμένης δὲν ντρέπεται ν' ἀποκαλῆται Θεὸς τριῶν ἀνθρώπων, καὶ σωστά· διότι ὄχι μόνο τῆς οἰκουμένης, ἀλλὰ μυρίων τέτοιων εἶναι ἰσοδύναμοι οἱ ἅγιοι. «Διότι προτιμότερος εἶναι ὁ ἕνας ποὺ ἐφαρμόζει τὸ θέλημα τοῦ Κυρίου, παρὰ μύριοι παράνομοι»[6]. Καὶ ὅτι ἔτσι ἀποκαλοῦσαν τοὺς ἑαυτούς τους ξένους, εἶναι φανερό. Καλά, αὐτοὶ ἔλεγαν ὅτι εἶναι ξένοι ἐξ αἰτίας τῆς ξένης χώρας· γιατί ὅμως καὶ ὁ Δαυΐδ; Δὲν ἦταν βασιλιάς; δὲν ἦταν προφήτης; δὲν ἔμενε στὴ δική του πατρίδα; Γιὰ ποιό λόγο λέγει, «εἶμαι ξένος καὶ προσωρινός»[7]; Πῶς εἶσαι ξένος; «Ὅπως», λέγει, «ξένοι καὶ προσωρινοὶ ἦταν ὅλοι οἱ πρόγονοί μου». Βλέπεις ὅτι καὶ ἐκεῖνοι ἦταν ξένοι; Ἔχουμε, λέγει, πατρίδα, ἀλλ' ὄχι τὴν πραγματικὴ πατρίδα. Καὶ πῶς ἐσὺ εἶσαι ξένος; Εἶμαι ξένος ὡς πρὸς τὴ γῆ. Ἄρα καὶ ἐκεῖνοι ὡς πρὸς τὴ γῆ ἦταν ξένοι· διότι, ὅπως ἐκεῖνοι, ἔτσι κι' αὐτός, καὶ ὅπως αὐτός, ἔτσι κι' ἐκεῖνοι ἦταν ξένοι.

3. Ἂς γίνουμε λοιπὸν κι' ἐμεῖς τώρα ξένοι, γιὰ νὰ μὴν ντραπῆ ἐξ αἰτίας μας ὁ Θεὸς νὰ ὀνομασθῆ Θεός μας. Εἶναι προσβολὴ γι' αὐτὸν νὰ ὀνομάζεται Θεὸς πονηρῶν ἀνθρώπων καὶ ντρέπεται γι' αὐτούς, ὅπως ἀκριβῶς καὶ δοξάζεται, ὅταν εἶναι Θεὸς ἀγαθῶν καὶ ἐναρέτων ἀνθρώπων ποὺ ἀσκοῦν τὴν ἀρετή. Διότι, ἐὰν ἐμεῖς δὲν θέλουμε νὰ ὀνομαζόμαστε κύριοι τῶν πονηρῶν δούλων μας καὶ τοὺς ἀπολύουμε, κι' ἂν κάποιος μᾶς πλησιάση καὶ μᾶς πῆ, ἐκεῖνος κάμνει πολλὰ κακά, μήπως εἶναι δικός σου δοῦλος, ἀμέσως λέμε, ὄχι, γιὰ ν' ἀποφύγουμε τὴν ντροπή (καθόσον ὑπάρχει σχέσεις ἀνάμεσα στὸν δοῦλο καὶ τὸν κύριό του, καὶ ἡ κακὴ φήμη τοῦ δούλου μεταβιβάζεται καὶ στὸν κύριό του), πολὺ περισσότερο ἰσχύει αὐτὸ γιὰ τὸν Θεό. Οἱ ἅγιοι ὅμως ἦταν τόσο λαμπροί, τόσο γεμᾶτοι ἀπὸ παρρησία, ὥστε ὄχι μόνο ὁ Θεὸς νὰ μὴν ντρέπεται νὰ ὀνομάζεται ἀπὸ ἐκείνους Θεός τους, ἀλλὰ καὶ ὁ ἴδιος νὰ λέγη, «ἐγὼ ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ Ἰσαὰκ καὶ ὁ Θεὸς τοῦ Ἰακώβ»[8]. Ἂς γίνουμε καὶ ἐμεῖς, ἀγαπητοί, ξένοι, γιὰ νὰ μὴν μᾶς ντραπῆ ὁ Θεός, γιὰ νὰ μὴν μᾶς ντραπῆ καὶ μᾶς παραδώση στὴ γέεννα. Τέτοιοι ἦταν ἐκεῖνοι ποὺ ἔλεγαν, «Κύριε, στὸ δικό σου ὄνομα δὲν προφητεύσαμε, καὶ στὸ δικό σου ὄνομα δὲν κάναμε θαύματα»[9]; Πρόσεξε ὅμως τί τοὺς ἀπαντᾶ ὁ Χριστός· «Δὲν σᾶς γνωρίζω»[10], πρᾶγμα ποὺ θὰ ἔκαμναν καὶ οἱ

σειαν δεσπόται οἰκετῶν πονηρῶν προστρεχόντων αὐτοῖς, βουλόμενοι τὸ ὄνειδος ἀποτρίψασθαι.

Οὐκ οἶδα ὑμᾶς, φησί. Πῶς οὖν κολάζεις, οὓς οὐκ οἶδας; Οὐκ οἶδα, ἑτέρως εἶπον, τουτέστι, ἀρνοῦμαι ὑμᾶς καὶ παραιτοῦμαι.
5 *Ἀλλὰ μὴ γένοιτο ταύτην ἡμᾶς ἀκοῦσαι τὴν φωνὴν τὴν ὀλεθρίαν καὶ φρικώδη. Εἰ γὰρ οἱ δαίμονας ἐκβαλόντες καὶ προφητείας ἐργασάμενοι, ἐπειδὴ βίον οὐκ ἔσχον συμβαίνοντα τοῖς λόγοις, ἠρνήθησαν, πόσῳ μᾶλλον ἡμεῖς; Καὶ πῶς, φησίν, ἔνι προφητείας ἐπιδειξαμένους καὶ σημεῖα πεποιηκότας καὶ δαιμόνια ἐκβαλόντας, ἀρνη-*
10 *θῆναι; Εἰκὸς αὐτοὺς ὕστερον μεταβεβλῆσθαι καὶ γεγενῆσθαι πονηρούς· ὅθεν οὐδὲν ἀπώναντο οὐδὲ τῆς προτέρας ἀρετῆς. Οὐ γὰρ τὰ προοίμια δεῖ μόνον ἔχειν λαμπρά, ἀλλὰ καὶ τὸ τέλος λαμπρότερον. Εἰπὲ γάρ μοι, ὁ ῥήτωρ οὐχὶ τὰ ἐν τῷ τέλει τοῦ λόγου σπουδάζει ποιεῖν λαμπρά, ὥστε μετὰ κρότων ἀναχωρεῖν; Ὁ δὲ λειτουργῶν*
15 *πόλει, οὐχὶ τὰ ἐπ' ἐξόδῳ τῆς λειτουργίας λαμπρότερα ἐπιδείκνυται; Ὁ ἀθλητὴς ἐὰν μὴ ἐκεῖνα δείξῃ λαμπρότερα, καὶ μέχρι τέλους νικήσῃ, κἂν πάντας νικήσας νικηθῇ, ὑπὸ τοῦ τελευταίου, οὐχὶ πάντα αὐτῷ ἀνόνητα; Ὁ κυβερνήτης ἂν ἅπαν τὸ πέλαγος διαβαλών, πρὸς τῷ λιμένι καταρράξῃ τὸ σκάφος, οὐχὶ πάντα ἀπώλεσε τὸν ἔμπρο-*
20 *σθεν πόνον; Τί δὲ ὁ ἰατρός; Ἐὰν ἀπαλλάξας τῆς νόσου τὸν κάμνοντα, ὅταν μέλλῃ τέλεον ἀπαλλάττειν, τότε διαφθείρῃ, οὐχὶ τὸ πᾶν διέφθειρεν; Οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς, ὅσοι μὴ τῇ ἀρχῇ ἀκόλουθον τὸ τέλος ἐπέθηκαν καὶ σύμφωνον καὶ συνῳδόν, ἀπώλοντο καὶ διεφθάρησαν. Τοιοῦτοί εἰσιν οἱ ἀπὸ μὲν τῶν βαλβίδων αὐτῶν λαμ-*
25 *προὶ καὶ γαῦροι προπηδήσαντες, μετὰ ταῦτα δὲ ἐκλυθέντες καὶ χαῦνοι γενόμενοι· διὸ καὶ τοῦ βραβείου ἀπεστερήθησαν καὶ παρὰ τοῦ Δεσπότου οὐκ ἐπεγνώσθησαν.*

Ἀκούσωμεν ταῦτα οἱ χρημάτων ἐρῶντες· ἡ γὰρ μεγίστη ἀνομία αὕτη τυγχάνει· «ῥίζα γάρ ἐστι πάντων», φησί, «τῶν κακῶν ἡ
30 *φιλαργυρία». Ἀκούσωμεν οἱ βουλόμενοι μείζονα τὴν ὑπάρχουσαν οὐσίαν ποιεῖν· ἀκούσωμεν, καὶ παυσώμεθα τῆς πλεονεξίας ποτέ, ἵνα μὴ ταῦτα ἀκούσωμεν ἅπερ κἀκεῖνοι. Νῦν αὐτὰ ἀκούσωμεν καὶ*

11. Α' Τιμοθ. 6,10.

κύριοι στοὺς πονηροὺς δούλους ποὺ καταφεύγουν σ' αὐτούς, γιὰ νὰ ἐξαλείψουν τὴ ντροπή.

«Δὲν σᾶς γνωρίζω», λέγει. Πῶς τότε τιμωρεῖς ἐκείνους ποὺ δὲν γνωρίζεις; «Δὲν σᾶς γνωρίζω», τὸ εἶπα μὲ ἄλλη ἔννοια, δηλαδή, σᾶς ἀρνοῦμαι καὶ δὲν σᾶς ἀποδέχομαι. Ἀλλὰ ἂς μὴ γίνη ν' ἀκούσουμε κι' ἐμεῖς αὐτὴν τὴν ὀλέθρια καὶ γεμάτη φρίκη φωνή. Διότι, ἐὰν ἐκείνους, ποὺ ἔδιωχναν δαιμόνια καὶ προφήτευαν, ἐπειδὴ δὲν εἶχαν ζωὴ σύμφωνη μὲ τὰ λόγια τους, τοὺς ἀρνήθηκε ὁ Θεός, πόσο μᾶλλον ἐμᾶς; Καὶ πῶς, λέγει, εἶναι δυνατὸ ν' ἀρνηθῆ ἐκείνους ποὺ προφήτευαν καὶ ἔκαναν θαύματα καὶ ἔβγαζαν δαιμόνια; Ἐπειδὴ αὐτοὶ ὕστερα μεταστράφηκαν καὶ ἔγιναν πονηροί· γι' αὐτο καθόλου δὲν τοὺς ὠφέλησε ἡ προηγούμενη ἀρετή τους. Καθόσον δὲν πρέπει μόνο ἡ ἀρχὴ νὰ εἶναι λαμπρή, ἀλλὰ καὶ τὸ τέλος πρέπει νὰ εἶναι λαμπρότερο. Διότι πές μου, σὲ παρακαλῶ, ὁ ρήτορας δὲν φροντίζει νὰ κάνη τὸ τέλος τῆς ὁμιλίας του λαμπρό, ὥστε ν' ἀναχωρήση μὲ χειροκροτήματα; Καὶ ὁ λειτουργὸς τῆς πολιτείας, ὅταν φθάνη πρὸς τὸ τέλος τῆς ὑπηρεσίας του δὲν παρουσιάζει λαμπρότερη συμπεριφορά; Ὁ ἀθλητὴς ἐὰν δὲν ἔχη λαμπρότερο τέλος καὶ δὲν νικήση μέχρι τέλους, κι' ἂν ἀκόμη ὅλους τοὺς ἄλλους τοὺς νικήση, ἀλλὰ νικηθῆ ἀπὸ τὸν τελευταῖο, ὅλες οἱ προηγούμενες νίκες δὲν ἦταν ἀνώφελες; Ὁ κυβερνήτης, ἐάν, ἀφοῦ διαπλεύση ὅλο τὸ πέλαγος, συντρίψη τὸ σκάφος κοντὰ στὸ λιμάνι, δὲν ἔχασε ὅλον τὸν προηγούμενο κόπο; Τί πάλι ὁ ἰατρός; Ἐὰν ἐλευθερώση τὸν ἀσθενῆ ἀπὸ τὴν ἀσθένεια, καὶ τὴν στιγμὴ ποὺ πρόκειται τελείως νὰ τὸν ἀπαλλάξη, τότε τὸν θανατώση, δὲν κατέστρεψε τὸ πᾶν; Τὸ ἴδιο συμβαίνει καὶ μὲ τὴν ἀρετή· ὅσοι στὴν ἀρχὴ δὲν πρόσθεσαν τέλος σύμφωνο καὶ ἁρμονικὸ μ' αὐτήν, χάθηκαν καὶ καταστράφηκαν. Τέτοιοι εἶναι ἐκεῖνοι ποὺ πήδησαν ἀπὸ τὴν ἀρχὴ τῆς ἀναχωρήσεως λαμπροὶ καὶ ὑπερήφανοι, ὕστερα ὅμως παρεξέκλιναν καὶ ἀποχαυνώθηκαν· γι' αὐτὸ στερήθηκαν καὶ τὸ βραβεῖο καὶ δὲν ἀναγνωρίσθηκαν ἀπὸ τὸν Κύριο.

Ἂς τὰ ἀκούσουμε ὅσοι ἀγαποῦμε τὰ χρήματα· διότι αὐτὴ εἶναι ἡ μεγαλύτερη ἀνομία. Διότι λέγει, «ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία»[11]. Ἂς τὰ ἀκούσουμε, ὅσοι θέλουμε ν' αὐξήσουμε τὴν περιουσία μας· ἂς τὰ ἀκούσουμε κι' ἂς σταματήσουμε κάποτε τὴν πλεονεξία, γιὰ νὰ μὴν ἀκούσουμε αὐτὰ ποὺ ἄκουσαν κι' ἐκεῖνοι.

φυλαξώμεθα, ἵνα μὴ τότε ἀκούσωμεν· νῦν ἀκούσωμεν μετὰ φόβου, ἵνα μὴ τότε ἀκούσωμεν μετὰ τιμωρίας, «ἀπέλθετε ἀπ' ἐμοῦ», φησίν, «οὐδέποτε ἔγνων ὑμᾶς», οὐδὲ τότε, φησίν, ὅτε τὰς προφητείας ἐπεδείκνυσθε καὶ τοὺς δαίμονας ἐξεβάλλετε. Εἰκὸς αὐτὸν ἐνταῦθα καὶ ἕτερόν τι αἰνίττεσθαι, ὅτι καὶ τότε βίου ἦσαν πονηροῦ· παρὰ δὲ τὴν ἀρχὴν καὶ δι' ἀναξίων ἐνήργει ἡ χάρις. Εἰ γὰρ καὶ διὰ Βαλαὰμ ἐνήργησε, πολλῷ μᾶλλον δι' ἀναξίων, καὶ τοῦτο διὰ τοὺς μέλλοντας κερδαίνειν. Εἰ δὲ καὶ σημεῖα καὶ τέρατα οὐκ ἴσχυσε κολάσεως ἀπαλλάξαι, πολλῷ μᾶλλον, κἂν ἐν ἀξιώματι ἱερατικῷ τις ὢν τυγχάνῃ, κἂν εἰς τὴν ἀνωτάτω τιμὴν φθάσῃ, κἂν εἰς τὴν χειροτονίαν ἐνεργήσῃ ἡ χάρις, κἂν εἰς τὰ ἄλλα πάντα διὰ τοὺς τῆς προστασίας δεομένους, ἀκούσεται καὶ αὐτός, «οὐδέποτέ σε ἔγνων», οὐδὲ τότε, ὅτε ἐνήργησεν ἐν σοὶ ἡ χάρις.

Βαβαί, πόση τῆς τοῦ βίου καθαρότητος ἡ ζήτησις ἐκεῖ! πῶς αὐτὴ καὶ καθ' ἑαυτὴν ἀρκεῖ εἰς τὴν βασιλείαν ἡμᾶς εἰσαγαγεῖν! πῶς δὲ ἀποῦσα προδίδωσι τὸν ἄνδρα, κἂν μυρία ἔχῃ τέρατα καὶ σημεῖα ἐπιδείκνυσθαι! Οὐδὲν γὰρ οὕτως εὐφραίνει τὸν Θεόν, ὡς πολιτεία ἀρίστη. «Ἐὰν ἀγαπᾶτέ με», φησίν, οὐκ εἶπε, σημεῖα ποιήσατε, ἀλλὰ τί; «τὰς ἐντολάς μου τηρήσατε». Καὶ πάλιν· «φίλους ὑμᾶς λέγω, οὐχ ὅταν δαιμόνια ἐκβάλητε, ἀλλ' ἐὰν τηρήσητε τοὺς λόγους τοὺς ἐμούς». Ἐκεῖνα μὲν γὰρ τῆς τοῦ Θεοῦ δωρεᾶς ἐστι, ταῦτα δὲ μετὰ τὴν τοῦ Θεοῦ δωρεὰν καὶ τῆς ἡμετέρας σπουδῆς. Σπουδάσωμεν γενέσθαι φίλοι τοῦ Θεοῦ, καὶ μὴ μένωμεν ἐχθροί. Ἀεὶ ταῦτα λέγομεν, ἀεὶ ταῦτα παραινοῦμεν καὶ ἡμῖν αὐτοῖς καὶ ὑμῖν, πλέον δὲ οὐδὲν γίνεται· διὸ καὶ δέδοικα. Καὶ ἐβουλόμην μὲν σιγῆσαι, ὥστε μὴ τὸν κίνδυνον ὑμῖν αὐξῆσαι· τὸ γὰρ πολλάκις ἀκούοντα μηδὲ οὕτω ποιεῖν, παροξῦναι τὸν Δεσπότην ἐστίν· ἀλλὰ δέδοικα καὶ αὐτὸς τὸν ἕτερον κίνδυνον τὸν τῆς σιγῆς, εἴγε εἰς λόγου διακονίαν τεταγμένος, μέλλοιμι σιγᾶν.

Τί οὖν ποιήσομεν, φησίν, ἵνα σωθῶμεν; Ἀρξώμεθα τῆς ἀρετῆς, ἕως καιρὸν ἔχομεν· διανείμωμεν ἑαυτοῖς τὰς ἀρετάς, καθάπερ τὴν γεωργίαν οἱ γηπόνοι· ἐν τῷ μηνὶ τούτῳ κρατήσωμεν λοιδορίας, ὕβρεως, ὀργῆς ἀδίκου, καὶ θῶμεν ἑαυτοῖς νόμον, καὶ εἴπωμεν,

12. Ματθ. 7,23.
13. Ἰω. 15,15.
14. Ἰω. 14,14.

῞Ας τὰ ἀκούσουμε τώρα κι' ἂς προφυλαχθοῦμε, γιὰ νὰ μὴν ἀκούσουμε τότε μὲ τιμωρία, «ἀπομακρυνθῆτε ἀπὸ μένα», λέγει, «διότι ποτὲ δὲν σᾶς ἀναγνώρισα ὡς δικούς μου»[12], οὔτε τότε, λέγει, ποὺ προφητεύατε καὶ διώχνατε τὰ δαιμόνια. Ἐδῶ φυσικὰ καὶ κάτι ἄλλο ὑπονοεῖται, τὸ ὅτι καὶ τότε ἦταν πονηροί· στὴν ἀρχὴ ὅμως καὶ μέσω ἀναξίων ἐνεργοῦσε ἡ χάρις. Διότι, ἐὰν καὶ μέσω τοῦ Βαλαὰμ ἐνήργησε, πολὺ περισσότερο μέσω ἀναξίων, καὶ αὐτὸ γιὰ ὅσους βραδύνουν νὰ ὠφεληθοῦν. Καὶ ἐὰν οἱ δυνάμεις καὶ τὰ θαύματα δὲν μπόρεσαν νὰ τοὺς ἀπαλλάξουν ἀπὸ τὴν τιμωρία, πολὺ περισσότερο κι ἂν ἀκόμη συμβῆ κάποιος νὰ ἔχη ἱερατικὸ ἀξίωμα, κι' ἂν φθάση στὴν ὑψίστη τιμή, κι' ἂν ἡ χάρις ἐνεργήση στὴν χειροτονία, κι' ἂν ἐνεργήση σ' ὅλα τὰ ἄλλα ἐξ αἰτίας αὐτῶν ποὺ ἔχουν ἀνάγκη προστασίας, θ' ἀκούση καὶ αὐτός· «ποτὲ δὲν σὲ ἀνεγνώρισα», οὔτε τότε ποὺ ἐνεργοῦσε ἡ χάρις σὲ σένα.

Πὼ πώ, πόση εἶναι ἡ ἀπαίτησις τῆς καθαρότητας τοῦ βίου ἐκεῖ! Πῶς αὐτὴ καὶ μόνη ἀρκεῖ νὰ μᾶς εἰσαγάγη στὴ βασιλεία τῶν οὐρανῶν! καὶ πῶς ὅταν ἀπουσιάζη προδίδει τὸν ἄνθρωπο, ἔστω κι' ἂν ἔχη νὰ παρουσιάση μύρια τέρατα καὶ σημεῖα! Διότι τίποτε δὲν εὐφραίνει τόσο πολὺ τὸν Θεό, ὅσο ἡ ἐνάρετη ζωή. «Ἐὰν μὲ ἀγαπᾶτε», λέγει, δὲν εἶπε, 'νὰ κάμνετε θαύματα', ἀλλὰ τί εἶπε; «Νὰ τηρήσετε τὶς ἐντολές μου»[13]. Καὶ πάλι· «σᾶς ἀποκαλῶ φίλους, ὄχι ὅταν βγάζετε δαιμόνια, ἀλλὰ ὅταν ἐφαρμόζετε τὰ λόγια μου»[14]. Διότι τὰ θαύματα εἶναι ἀποτέλεσμα τῆς δωρεᾶς τοῦ Θεοῦ, ἐνῶ αὐτὰ εἶναι ἀποτέλεσμα τῆς συνεργασίας μας μὲ τὴν δωρεὰ τοῦ Θεοῦ. ῞Ας φροντίσουμε νὰ γίνουμε φίλοι τοῦ Θεοῦ, κι' ἂς μὴ μένουμε ἐχθροί του. Πάντα τὰ ἴδια λέμε, πάντα τὰ ἴδια συμβουλεύουμε καὶ στοὺς ἑαυτούς μας καὶ σ' ἐσᾶς, χωρὶς ὅμως κανένα ἀποτέλεσμα· γι' αὐτὸ καὶ φοβᾶμαι. Καὶ θὰ ἤθελα βέβαια νὰ σιωπήσω γιὰ νὰ μὴν σᾶς αὐξήσω τὸν κίνδυνο· διότι τὸ νὰ ἀκούη κανεὶς πολλά, χωρὶς ὅμως νὰ τὰ ἐφαρμόζη, παροργίζει τὸν Κύριο· ἀλλὰ φοβᾶμαι κι' ἐγὼ ὁ ἴδιος τὸν ἄλλο κίνδυνο, τὸν κίνδυνο τῆς σιωπῆς, ἐὰν δηλαδή, ἐγὼ ποὺ τάχθηκα στὴ διακονία τοῦ λόγου, ἐπιτρέπεται νὰ σιωπῶ.

Τί λοιπὸν θὰ κάνουμε, λέγει, γιὰ νὰ σωθοῦμε; ῞Ας ἀρχίσουμε τὴν ἀρετή, ὅσο ἔχουμε καιρό· ἂς διανείμουμε στοὺς ἑαυτούς μας τὶς ἀρετές, ὅπως ἀκριβῶς οἱ γεωργοὶ διανέμουν τὴν καλλιέργεια τῆς γῆς. Αὐτὸν τὸν μῆνα ἂς νικήσουμε τὴν κακολογία, τὴν ἀλαζονεία,

σήμερον τόδε κατορθώσωμεν· καὶ ἐν τῷ μηνὶ τῷ ἄλλῳ τὴν ἀνεξικακίαν ἑαυτοὺς παιδεύσωμεν, καὶ ἐν ἑτέρῳ ἄλλην ἀρετήν· καὶ ὅταν ἐν ἕξει ταύτης γενώμεθα τῆς ἀρετῆς, ἐφ' ἑτέραν ἔλθωμεν, καθάπερ ἐπὶ τῶν μαθημάτων, τά τε ἤδη κτηθέντα φυλάττοντες, καὶ ἕτερα 5 *προσλαμβάνοντες. Μετ' ἐκείνην ἔλθωμεν ἐπὶ τὴν τῶν χρημάτων ὑπεροψίαν· πρῶτον κατάσχωμεν τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ τότε ποιήσωμεν ἐλεημοσύνην· μὴ πάντα ἁπλῶς συγχέωμεν, ταῖς αὐταῖς χερσὶ καὶ ἁρπάζοντες, καὶ ἐλεοῦντες δῆθεν· μετὰ τοῦτο ἐπ' ἄλλην ἀρετήν, καὶ μετ' ἐκείνην ἐπ' ἄλλην. «Αἰσχρότης», φησί, «καὶ* 10 *μωρολογία καὶ εὐτραπελία μηδὲ ὀνομαζέσθω παρ' ὑμῖν». Ταῦτα τέως κατορθώσωμεν. Οὐκ ἔστι χρεία δαπάνης, οὐκ ἔστι πόνων, οὐκ ἔστιν ἱδρώτων· ἀρκεῖ θελῆσαι μόνον καὶ πάντα ἤνυσται. Οὐ δεῖ μακρὰν ὁδὸν βαδίσαι, οὐδὲ πέλαγος διαβαλεῖν ἄπειρον, ἀλλὰ σπουδάσαι καὶ προθυμηθῆναι, καὶ χαλινὸν ἐπιθεῖναι τῇ γλώττῃ* 15 *πρὸς τὰς ὕβρεις τὰς ἀκαίρους. Τὰς ὀργάς, τὰς ἐπιθυμίας τὰς ἀτόπους, τὴν τρυφήν, τὴν πολυτέλειαν ἐκβάλωμεν, τὴν ἐπιθυμίαν τῶν χρημάτων, ἀπὸ τῆς ψυχῆς τῆς ἡμετέρας, τὰς ἐπιορκίας, τοὺς ὅρκους τοὺς συνεχεῖς.*

Ἂν οὕτως ἑαυτοὺς γεωργῶμεν, τὰς πρότερον ἀκάνθας 20 *ἐκτίλλοντες καὶ τὸν οὐράνιον σπόρον ἐμβάλλοντες, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν. Ἥξει γὰρ ὁ γεωργὸς καὶ ἀποθήσεται ἡμᾶς εἰς τὴν ἀποθήκην καὶ ἐπιτευξόμεθα πάντων τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ* 25 *Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

15. Ἐφεσ. 5,4.

τὴν ἄδικη ὀργή, κι' ἂς θέσουμε νόμο στοὺς ἑαυτούς μας, κι' ἂς ποῦμε, σήμερα θὰ κατορθώσουμε αὐτό· καὶ κατὰ τὸν ἄλλο μῆνα ἂς ἀσκήσουμε τοὺς ἑαυτούς μας στὴν ἀνεξικακία, καὶ κατὰ τὸν ἄλλο σὲ ἄλλη ἀρετή· καὶ ὅταν συνηθίσουμε τὴ μία ἀρετή, ἂς πᾶμε σὲ ἄλλη, ὅπως γίνεται μὲ τὰ μαθήματα, καὶ ἀφοῦ διαφυλάξουμε αὐτὰ ποὺ ἔχουμε ἤδη ἀποκτήσει, ἂς ἐπιδιώξουμε ν' ἀποκτήσουμε καὶ ἄλλα. Μετὰ τὴν ἀπόκτησι ἐκείνης τῆς ἀρετῆς, ἂς ἔλθουμε στὴν περιφρόνησι τῶν χρημάτων· πρῶτα ἂς χαλιναγωγήσουμε τὰ χέρια μας ἀπὸ τὴν πλεονεξία, καὶ κατόπιν ἂς κάνουμε ἐλεημοσύνη· ἂς μὴν τὰ ἀνακατεύουμε ὅλα, μὲ τὰ ἴδια χέρια καὶ νὰ ἁρπάζουμε καὶ δῆθεν νὰ ἐλεοῦμε. Μετὰ ἀπὸ αὐτὸ ἂς ἔλθουμε σὲ ἄλλη ἀρετή, καὶ μετὰ ἀπὸ ἐκείνην σὲ ἄλλη. «Ἀτιμία», λέγει, «καὶ ἀνόητες κουβέντες καὶ ἀστεῖα ἀπρεπῆ οὔτε ν' ἀναφέρωνται ἀπὸ σᾶς»[15]. Αὐτὰ πρῶτα ἂς κατορθώσουμε. Ἡ πραγματοποίησίς τους δὲν χρειάζεται δαπάνη, οὔτε κόπους καὶ ἱδρῶτες· ἀρκεῖ νὰ θελήση κανεὶς μόνο καὶ ὅλα θὰ τὰ ἐπιτύχη. Δὲν χρειάζεται νὰ βαδίσουμε μακρὺ δρόμο, οὔτε νὰ διαπλεύσουμε πέλαγος ἀπέραντο, ἀλλὰ νὰ προσπαθήσουμε, νὰ δείξουμε προθυμία καὶ νὰ χαλιναγωγήσουμε τὴ γλῶσσα ἀπέναντι στὶς ἄκαιρες ὕβρεις. Τὰ πάθη, τὶς παράλογες ἐπιθυμίες, τὴν ἀπόλαυσι, τὴν πολυτέλεια, τὴν ἀγάπη τῶν χρημάτων, τὶς παραβάσεις τῶν ὅρκων, τοὺς συνεχεῖς ὅρκους, ἂς τὰ ἀποβάλουμε ἀπὸ τὴν ψυχή μας.

Ἐὰν ἔτσι καλλιεργοῦμε τοὺς ἑαυτούς μας, ξερριζώνοντας τὰ ἀγκάθια καὶ βάζοντας μέσα μας τὸν οὐράνιο σπόρο, θὰ μπορέσουμε νὰ κερδίσουμε τὰ ἀγαθὰ ποὺ μᾶς ὑποσχέθηκε ὁ Κύριος. Διότι θὰ ἔλθη ὁ γεωργὸς καὶ θὰ μᾶς τοποθετήση στὴν ἀποθήκη καὶ θ' ἀπολαύσουμε ὅλα τὰ ἀγαθά, τὰ ὁποῖα εἴθε ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμὴ καὶ ἡ προσκύνησις, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΕ'

(Ἑβρ. 11,17–19

«Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, πρὸς ὃν ἐλαλήθη, 'ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα'· λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν
5 *παραβολῇ ἐκομίσατο».*

1. Μεγάλη ὄντως ἡ πίστις τοῦ Ἀβραάμ. Ἐπὶ μὲν γὰρ τοῦ Ἄβελ καὶ τοῦ Νῶε καὶ τοῦ Ἐνὼχ λογισμῶν ἦν μάχη μόνων, καὶ τοὺς ἀνθρωπίνους ὑπερβῆναι ἐχρῆν λογισμούς· ἐνταῦθα δὲ οὐ τοὺς ἀνθρωπίνους μόνον ὑπερβῆναι ἐχρῆν λογισμούς, ἀλλὰ καὶ ἕτερόν τι
10 *πλέον ἐπιδείξασθαι· τὰ γὰρ τοῦ Θεοῦ ἐδόκει τοῖς τοῦ Θεοῦ μάχεσθαι, καὶ πίστις ἐμάχετο πίστει, καὶ πρόσταγμα ἐπαγγελίᾳ. Οἷόν τι λέγω· Εἶπεν· «ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δώσω σοι τὴν γῆν ταύτην»· καὶ οὐκ ἔδωκεν αὐτῷ ἐν αὐτῇ κληρονομίαν, οὐδὲ βῆμα ποδός. Ὁρᾷς πῶς τὰ γινόμενα τῇ ἐπαγγε-*
15 *λίᾳ ἐμάχετο; Πάλιν φησίν· «ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα», καὶ ἐπίστευσε· καὶ πάλιν λέγει· «θῦσον ἐμοὶ τοῦτον, τὸν μέλλοντα τὴν οἰκουμένην πᾶσαν ἐκ τοῦ σπέρματος αὐτοῦ πληροῦν». Εἶδες μάχην προσταγμάτων καὶ ἐπαγγελίας; Ἐναντία ταῖς ἐπαγγελίαις προσέταξε, καὶ οὐδὲ οὕτως ἰλιγγίασεν ὁ δίκαιος, οὐδὲ ἠπατῆσθαι*
20 *ἔφη. Ὑμεῖς μὲν γάρ, φησίν, οὐκ ἂν ἔχοιτε τοῦτο εἰπεῖν, ὅτι ἄνεσιν ἐπηγγείλατο, καὶ θλῖψιν ἔδωκεν· ἐνταῦθα γὰρ ἅπερ ἐπηγγείλατο, ταῦτα καὶ ποιεῖ.*

Πῶς; «Ἐν τῷ κόσμῳ, φησί, θλῖψιν ἕξετε». «Ὁ μὴ λαβὼν

1. Γεν. 12,1.
2. Ἰω. 16,33.

ΟΜΙΛΙΑ ΚΕ΄

(Ἑβρ. 11, 17–19)

«Ἐξ αἰτίας τῆς πίστεώς του πρόσφερε ὁ Ἀβραὰμ θυσία τὸν Ἰσαάκ, ὅταν δοκιμαζόταν ἀπὸ τὸν Θεό, καὶ πρόσφερε τὸν μονάκριβό του αὐτὸς ποὺ δέχθηκε τὶς ἐπαγγελίες· διότι πρὸς αὐτὸν λέχθηκε, 'ἀπὸ τὸν Ἰσαὰκ θὰ προέλθουν οἱ ἀπόγονοί σου'· διότι σκέφθηκε ὅτι εἶναι δυνατὸς ὁ Θεὸς καὶ ἐκ νεκρῶν νὰ ἀναστήση. Γι' αὐτὸ καὶ τὸν πῆρε σὰν μέσα ἀπὸ τοὺς νεκρούς».

1. Εἶναι πράγματι μεγάλη ἡ πίστις τοῦ Ἀβραάμ. Γιατὶ στὴν περίπτωσι τοῦ Ἄβελ καὶ τοῦ Νῶε καὶ τοῦ Ἐνὼχ ἡ μάχη ἦταν μόνο μάχη λογισμῶν καὶ ἔπρεπε νὰ ξεπεράσουν τοὺς ἀνθρώπινους λογισμούς· ἐδῶ ὅμως ἔπρεπε ὄχι μόνο τοὺς ἀνθρώπινους λογισμοὺς νὰ ὑπερβῆ ὁ Ἀβραάμ, ἀλλὰ καὶ κάτι ἄλλο ἐπὶ πλέον νὰ ἐπιδείξη· διότι οἱ ὑποσχέσεις τοῦ Θεοῦ ἦταν ἀντιμέτωπες μὲ τὶς ἐνέργειές του· καὶ ἡ πίστις ἐμάχετο τὴν πίστι, καὶ τὸ πρόσταγμα τὴν ὑπόσχεσι. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Εἶπε ὁ Θεὸς «φύγε ἀπὸ τὴ πατρίδα σου καὶ ἀπὸ τοὺς συγγενεῖς σου καὶ θὰ σοῦ δώσω τὴν γῆ αὐτή»[1], καὶ δὲν τοῦ ἔδωσε σ' αὐτὴν κληρονομιὰ οὔτε ἕνα βῆμα. Βλέπεις πῶς οἱ πράξεις συγκρούονταν μὲ τὴν ὑπόσχεσι; Πάλι λέγει· «οἱ ἀπόγονοί σου θὰ προέλθουν ἀπὸ τὸν Ἰσαάκ», καὶ τὸ πίστεψε ὁ Ἀβραάμ· καὶ ἀλλοῦ λέγει· «θυσίασέ μου αὐτόν, ποὺ πρόκειται νὰ γεμίση ὅλη τὴν οἰκουμένη μὲ τοὺς ἀπογόνους του». Εἶδες μάχη προσταγμάτων καὶ ἐπαγγελίας; Διέταξε ἀντίθετα ἀπὸ ὅσα ὑποσχέθηκε καὶ παρ' ὅλα αὐτὰ δὲν ζαλίσθηκε ὁ δίκαιος, οὔτε εἶπε ὅτι ἀπατήθηκε ἀπὸ τὸν Θεό. Ἐσεῖς βέβαια, λέγει, δὲν μπορεῖτε νὰ τὸ πῆτε αὐτό, ὅτι σᾶς ὑποσχέθηκε ἄνεσι καὶ σᾶς ἔδωσε θλῖψι· διότι αὐτὰ ποὺ ὑποσχέθηκε ἐδῶ, αὐτὰ καὶ κάμνει.

Πῶς; «Μέσα στὸν κόσμο», λέγει, «θὰ ἔχετε θλῖψι»[2].

τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθῶν ἐμοί, οὐκ ἔστι μου ἄξιος. Ὁ μὴ μισῶν τὴν ψυχὴν αὐτοῦ, οὐ μὴ εὕρῃ αὐτήν»· καὶ «ὃς οὐκ ἀποτάσσεται», φησί, «πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος»· καὶ πάλιν· «ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς
5 *ἀχθήσεσθε ἕνεκεν ἐμοῦ»· καὶ πάλιν· «ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ». Καὶ τὰ μὲν τῆς θλίψεως ὧδε, τὰ δὲ τῆς ἀνέσεως ἐκεῖ. Ἐπὶ δὲ τοῦ Ἀβραὰμ τοὐναντίον· ἐναντία ταῖς ὑποσχέσεσι προσετέτακτο ποιεῖν καὶ οὐδὲ οὕτως ἐθορυβήθη, οὐδὲ ἰλιγγίασεν, οὐδὲ ἠπατῆσθαι ἐνόμισεν· ὑμεῖς δὲ οὐδὲν ἔξωθεν τῆς ἐπαγγελίας*
10 *ὑπομένετε, καὶ θορυβεῖσθε. Ἐκεῖνος ἐναντία ὧν ἐπηγγείλατο ἤκουσε παρὰ τοῦ αὐτοῦ τοῦ ἐκεῖνα ἐπαγγειλαμένου, καὶ οὐκ ἐθορυβεῖτο, ἀλλ' ὡς σύμφωνα ἔπραττε· καὶ γὰρ ἦν σύμφωνα, ἐναντία μὲν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις, σύμφωνα δὲ ἀπὸ τῆς πίστεως· καὶ πῶς, αὐτὸς ἡμᾶς ἐδίδαξεν ὁ Ἀπόστολος, εἰπών· «λογισάμενος ὅτι*
15 *καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· Ἀπὸ τῆς αὐτῆς πίστεως, φησίν, ἧς ἐπίστευσεν ὅτι οὐκ ὄντα χαρίσεται παῖδα, ἀπὸ τῆς αὐτῆς καὶ νεκρὸν ἐγείρειν, καὶ ὅτι σφαγιασθέντα ἀναστήσει, ἐπέπειστο.*

Ὁμοίως γὰρ ἄπορον ἦν, ἀνθρωπίνῳ λέγω λογισμῷ, καὶ ἐκ
20 *μήτρας νεκρᾶς καὶ γεγηρακυίας καὶ ἀχρήστου ἤδη γεγενημένης πρὸς παιδοποιίαν δοῦναι παιδίον, καὶ σφαγιασθέντα ἀναστῆσαι· ἀλλ' ὅμως ἐπείθετο· προωδοποίει γὰρ ἡ πίστις ἡ παρελθοῦσα τοῖς μέλλουσιν. Ἄλλως δὲ καὶ ὁ μὲν ἑώρα τὰ χρηστὰ πρῶτα, τὰ δὲ δυσχερῆ ὕστερα πρὸς τῷ γήρᾳ. Ὑμεῖς δὲ τοὐναντίον, φησί, τὰ μὲν*
25 *σκυθρωπὰ πρῶτα, τὰ δὲ χρηστὰ τελευταῖα. Τοῦτο πρὸς τοὺς λέγειν τολμῶντας, ὅτι μετὰ θάνατον ἡμῖν ἐπηγγείλατο τὰ ἀγαθά, ἠπάτησεν ἴσως ἡμᾶς. Δείκνυσιν, ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· εἰ δὲ καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός, πάντως πάντα ἀποδώσει. Εἰ δὲ ὁ Ἀβραὰμ ἐπίστευσε πρὸ τοσούτων ἐτῶν, ὅτι δυ-*
30 *νατὸς ἐκ νεκρῶν ἐγείρειν ὁ Θεός, πολλῷ μᾶλλον ἡμεῖς πιστεύειν*

3. Ματθ. 10,38–39.
4. Ματθ. 10,18.

«Ὅποιος δὲν παίρνει τὸν σταυρό του καὶ δὲν μὲ ἀκολουθεῖ, δὲν ἀξίζει γιὰ μένα. Ὅποιος δὲν μισεῖ τὴν ψυχή του, δὲν θὰ τὴν βρῇ»[3]· καὶ «ὅποιος δὲν ἀπαρνεῖται ὅλα τὰ ὑπάρχοντά του καὶ δὲν μὲ ἀκολουθεῖ, δὲν ἀξίζει γιὰ μένα»· καὶ πάλι· «ἐνώπιον ἡγεμόνων καὶ βασιλέων θὰ ὁδηγηθῆτε ἐξ αἰτίας μου»[4]· καὶ πάλι λέγει· «ἐχθροὶ τοῦ πιστοῦ ἀνθρώπου θὰ εἶναι οἱ ἄνθρωποι τοῦ σπιτιοῦ του». Τὰ σχετικὰ λοιπὸν μὲ τὴν θλῖψι ἀνήκουν ἐδῶ, ἐνῶ τὰ σχετικὰ μὲ τὴν ἄνεσι, ἐκεῖ. Μὲ τὸν Ἀβραὰμ ὅμως συνέβηκε τὸ ἀντίθετο· τοῦ παρήγγειλε νὰ ἐνεργήσῃ ἀντίθετα ἀπὸ τὶς ὑποσχέσεις ποὺ τοῦ ἔδωσε, καὶ καθόλου δὲν θορυβήθηκε, οὔτε ζαλίσθηκε, οὔτε σκέφθηκε ὅτι ἀπατήθηκε· ἐνῶ ἐσεῖς τίποτε διαφορετικὸ ἀπὸ την ὑπόσχεσι δὲν ὑπομένετε καὶ ὅμως θορυβεῖσθε. Ὁ Ἀβραὰμ ἄκουσε ἀπὸ τὸν Θεὸ ποὺ τοῦ ἔδωσε τὶς ὑποσχέσεις τὰ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ τοῦ ὑποσχέθηκε καὶ δὲν θορυβήθηκε, καὶ τὰ ἔκαμνε σὰν νὰ ἦταν σύμφωνα μὲ τὶς ὑποσχέσεις ποὺ ἔλαβε· στὴν πραγματικότητα ἦταν σύμφωνα· ἦταν ἀντίθετα πρὸς τοὺς ἀνθρώπινους λογισμούς, σύμφωνα ὅμως ἀπὸ πλευρᾶς πίστεως· καὶ πῶς, μᾶς τὸ δίδαξε ὁ ἴδιος ὁ Ἀπόστολος, λέγοντας· «ἐπειδὴ σκέφθηκε ὅτι μπορεῖ ὁ Θεὸς κι' ἀπὸ τοὺς νεκροὺς ν' ἀναστήσῃ». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἀπὸ τὴν ἴδια πίστι, λέγει, μὲ τὴν ὁποία πίστεψε ὅτι θὰ τοῦ χαρίσῃ παιδί, ἂν καὶ δεν ὑπῆρχε δυνατότης, ἀπὸ τὴν ἴδια πίστι πείσθηκε ὅτι μπορεῖ ὁ Θεὸς καὶ νεκρὸ καὶ σφαγιασμένο νὰ τὸ ἀναστήσῃ.

Ἐξ ἴσου ἦταν ἀδιανόητο, μὲ ἀνθρώπινα ἐννοῶ κριτήρια, καὶ ἀπὸ μήτρα νεκρὴ καὶ γερασμένη καὶ ἄχρηστη πιὰ πρὸς παιδοποιΐα νὰ τοῦ δώσῃ παιδί, καὶ ν' ἀναστήσῃ αὐτὸν ποὺ εἶχε σφαγιασθῆ· ἀλλ' ὅμως πίστευε· διότι βάδιζε μπροστὰ ἡ πίστις, φθάνοντας σ' ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ συμβοῦν στὸ μέλλον. Ἄλλωστε αὐτὸς εἶχε δεῖ τὰ καλὰ πρῶτα, ἐνῶ τὰ λυπηρὰ ἀργότερα κατὰ τὰ γηρατειά. Ἐνῶ ἐσεῖς τὸ ἀντίθετο, λέγει· τὰ σκυθρωπὰ πρῶτα, ἐνῶ τὰ καλὰ τελευταῖα. Αὐτὸ σὰν ἀπάντησι σ' ὅσους τολμοῦν καὶ λένε, ὅτι 'μετὰ τὸν θάνατο μᾶς ὑποσχέθηκε τὰ ἀγαθά, καὶ ἴσως μᾶς ἐξαπάτησε'. Δείχνει ὅτι μπορεῖ ὁ Θεὸς κι' ἀπὸ τοὺς νεκροὺς ν' ἀνασταίνῃ· καὶ ἐφ' ὅσον καὶ ἀπὸ νεκροὺς μπορεῖ ν' ἀνασταίνῃ, ὁπωσδήποτε ὅλα θὰ τὰ ἀνταποδώσῃ. Καὶ ἐὰν ὁ Ἀβραὰμ πίστεψε πρὶν ἀπὸ τόσα χρόνια, ὅτι μπορεῖ ὁ Θεὸς ν' ἀναστήσῃ ἀπὸ τοὺς νεκρούς, πολὺ περισσότερο ὀφείλουμε νὰ πιστεύουμε ἐμεῖς. Βλέπεις, ὅπως ξαναεῖπα, ὅτι

ὀφείλομεν. Ὁρᾷς ὅτι, ὅπερ ἔφθην εἰπών, οὔπω εἰσῆλθεν ὁ θάνατος, καὶ εὐθέως αὐτοὺς εἰς τὴν τῆς ἀναστάσεως εἵλκυσεν ἐλπίδα, καὶ εἰς τοσαύτην πληροφορίαν ἤγαγεν, ὡς καὶ σφαγιάζειν τοὺς ἑαυτῶν υἱοὺς κελευομένους, καὶ ἀφ' ὧν προσεδόκων ἐμπλήσειν τὴν οἰκουμένην, ἑτοίμως τούτους προσάγειν;

Καὶ ἕτερον δὲ δείκνυσιν ἐνταῦθα διὰ τοῦ εἰπεῖν, «ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ». Τί οὖν; οὐκ ᾔδει ὁ Θεὸς ὅτι γενναῖος ἦν καὶ δόκιμος ὁ ἀνήρ; Σφόδρα γε. Τίνος οὖν ἕνεκεν ἐπείραζεν αὐτόν, εἰ ᾔδει; Οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοῖς ἄλλοις δείξῃ, καὶ κατάδηλον αὐτοῦ τὴν ἀνδρείαν πᾶσι καταστήσῃ. Καὶ δείκνυσιν ἐνταῦθα καὶ τῶν πειρασμῶν τὴν αἰτίαν, ἵνα μὴ νομίζωσιν, ὡς ἐγκαταλελειμμένοι ταῦτα πάσχειν. Ἐνταῦθα μὲν γὰρ καὶ ἀνάγκη πειράζεσθαι, διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐλαύνοντας καὶ τοὺς ἐπιβουλεύοντας· ἐκεῖ δὲ ποία ἀνάγκη ἦν τοὺς οὐκ ὄντας αὐτῷ πειρασμοὺς ἐπινοεῖν; Οὗτος τοίνυν ὁ πειρασμὸς δῆλος ἦν ὅτι αὐτοῦ προστάττοντος ἐγίνετο. Οἱ μὲν οὖν ἄλλοι συγχωροῦντος αὐτοῦ συνέβαινον, οὗτος δὲ καὶ προστάττοντος. Εἰ τοίνυν οὕτω δοκίμους τὰ τῶν πειρασμῶν ποιεῖ, ὡς καὶ μὴ οὔσης αἰτίας τὸν Θεὸν γυμνάζειν τοὺς ἑαυτοῦ ἀθλητάς, πολλῷ μᾶλλον ἡμᾶς φέρειν πάντα χρὴ γενναίως. Ἐμφαντικῶς δὲ εἶπεν ἐνταῦθα, ὅτι «πίστει προσενήνοχεν τὸν Ἰσαάκ, πειραζόμενος»· οὐδεμία γὰρ ἄλλη αἰτία ἦν προσαγωγῆς ἢ αὕτη. Εἶτα ἐπεξέρχεται τῷ νοήματι. Οὐκ ἔχει, φησίν, εἰπεῖν, ὅτι καὶ ἄλλον εἶχεν υἱόν, καὶ ἐξ ἐκείνου προσεδόκα τὴν ἐπαγγελίαν πληρωθήσεσθαι, καὶ διὰ τοῦτο θαρρῶν τοῦτον προσήνεγκε. «Καὶ τὸν μονογενῆ», φησί, «προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος».

Τί λέγεις μονογενῆ; Τί οὖν ὁ Ἰσμαήλ; πόθεν ἦν; Μονογενῆ λέγω, φησίν, ὅσον εἰς τὸν τῆς ἐπαγγελίας λόγον· διὰ γὰρ τοῦτο προσέθηκεν, «εἰπὼν μονογενῆ», δεικνὺς ὅτι διὰ τοῦτον καὶ λέγει· «πρὸς ὃν ἐλαλήθη, ὅτι 'ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα'», τουτέστιν, ἐξ αὐτοῦ. Ὁρᾷς πῶς θαυμάζει τὸ παρὰ τοῦ πατριάρχου γινό-

ἀκόμη δὲν εἶχε εἰσέλθει ὁ θάνατος καὶ ἀμέσως τοὺς προσείλκυσε στὴν ἐλπίδα τῆς ἀναστάσεως, καὶ σὲ τόση μεγάλη βεβαιότητα τοὺς ὡδήγησε, ὥστε, κι' ὅταν τοὺς διέτασσε νὰ σφάζουν τὰ παιδιά τους, καὶ μάλιστα αὐτὰ ἀπὸ τὰ ὁποῖα περίμεναν νὰ γεμίσουν τὴν οἰκουμένη, μὲ προθυμία τὰ πρόσφερναν;

Καὶ κάτι ἄλλο δείχνει ἐδῶ μ' αὐτὸ ποὺ εἶπε, «δοκίμαζε ὁ Θεὸς τὸν 'Αβραάμ». Τί λοιπόν; Δὲν γνώριζε ὁ Θεὸς ὅτι ἦταν γενναῖος καὶ δοκιμασμένος ὁ 'Αβραάμ; Τὸ γνώριζε καὶ πολὺ μάλιστα. Για ποιό λόγο τότε τὸν ἔβαζε σὲ δοκιμασία, ἐφ' ὅσον τὸ γνώριζε; Ὄχι γιὰ νὰ τὸ μάθη ὁ ἴδιος, ἀλλὰ γιὰ νὰ τὸ δείξη στοὺς ἄλλους, καὶ νὰ καταστήση ὁλοφάνερη τὴν ἀνδρεία του σὲ ὅλους. Καὶ δείχνει ἐδῶ καὶ τὴν αἰτία τῶν πειρασμῶν, γιὰ νὰ μὴν νομίζουν, ὅτι τὰ ὑποφέρουν αὐτά, ἐπειδὴ τοὺς ἔχει ἐγκαταλείψει ὁ Θεός. Ἐδῶ δηλαδὴ εἶναι ἀνάγκη νὰ δοκιμάζεται κανείς, ἐπειδὴ ἔχει πολλοὺς ποὺ τὸν καταδιώκουν καὶ τὸν ἐχθρεύονται· ἐνῶ στὴν περίπτωσι τοῦ 'Αβραὰμ ποιά ἀνάγκη ὑπῆρχε νὰ ἐπινοῆ τοὺς ἀνύπαρκτους σ' αὐτὸν πειρασμούς; Ἦταν ὁλοφάνερο ὅτι αὐτὸς ὁ πειρασμὸς προερχόταν ἀπὸ τὸν Θεὸ ποὺ εἶχε δώσει τὴν προσταγή. Οἱ ἄλλοι πειρασμοὶ ὠφείλονταν στὴν ἀνοχὴ τοῦ Θεοῦ, ἐνῶ αὐτὸς γινόταν κατὰ προσταγή του. Ἐφ' ὅσον λοιπὸν οἱ πειρασμοὶ κάμνουν τόσο τέλειους τοὺς δοκιμαζόμενους, ὥστε καὶ χωρὶς αἰτία ὁ Θεὸς νὰ γυμνάζη τοὺς ἀθλητές του, πολὺ περισσότερο ἐμεῖς πρέπει ὅλα νὰ τὰ ὑπομένουμε μὲ γενναιότητα. Γιὰ νὰ δώση ἔμφασι ἐδῶ εἶπε, ὅτι «ἐξ αἰτίας τῆς πίστεώς του πρόσφερε τὸν Ἰσαάκ, ὅταν ὁ Θεὸς θέλησε νὰ τὸν δοκιμάση»· διότι καμμιὰ ἄλλη αἰτία τῆς προσφορᾶς δὲν ὑπῆρχε, παρὰ μόνο αὐτή. Ἔπειτα ἐξετάζει τὸ νόημα τοῦ πράγματος. Δὲν μπορεῖ νὰ πῆ κανείς, ὅτι εἶχε καὶ ἄλλο παιδὶ καὶ περίμενε μέσω ἐκείνου νὰ ἐκπληρωθῆ ἡ ὑπόσχεσις, γι' αὐτὸ καὶ πρόσφερε αὐτὸ μὲ τόσο θάρρος. «Καὶ τὸν μονογενῆ», λέγει, «πρόσφερε αὐτὸς ποὺ δέχθηκε τὶς ὑποσχέσεις».

Γιατί λὲς «μονογενῆ»; Καὶ ὁ Ἰσμαὴλ λοιπόν; ἀπὸ ποιόν γεννήθηκε; Μονογενῆ λέγω, λέγει, ὡς πρὸς τὸν λόγο τῆς ἐπαγγελίας· διότι γι' αὐτὸ πρόσθεσε καὶ εἶπε «μονογενῆ», γιὰ νὰ δείξη ὅτι γι' αὐτὸν ὁμιλεῖ· «στὸν ὁποῖο λέχθηκε, ὅτι οἱ ἀπόγονοί σου θὰ κατάγωνται ἀπὸ τὸν Ἰσαάκ», δηλαδή, θὰ προέλθουν ἀπὸ αὐτόν. Βλέπεις πῶς θαυμάζει αὐτὸ ποὺ ἔγινε ἀπὸ τὸν πατριάρχη; Ἄκουσε ὅτι «οἱ

μενον; «Ἐν Ἰσαάκ», ἤκουσε, «κληθήσεταί σοι σπέρμα», καὶ προσέφερε σφάγιον τὸν υἱόν. Εἶτα, ἵνα μή τις νομίσῃ, ὅτι ἀπογνοὺς τοῦτο ἐποίει, καὶ διὰ τοῦ προστάγματος τούτου τὴν πίστιν ἐξέβαλεν ἐκείνην, ἀλλὰ μάθῃ, ὅτι ὄντως καὶ τοῦτο πίστεως ἦν, φησὶν ὅτι κά-
5 *κείνην εἶχε τὴν πίστιν, καίτοι γε δοκοῦσαν ταύτῃ μάχεσθαι· ἀλλ' οὐκ ἐμάχετο· οὐ γὰρ λογισμοῖς ἀνθρωπίνοις ἐμέτρει τοῦ Θεοῦ τὴν δύναμιν, ἀλλὰ τῇ πίστει πάντα ἐπέτρεπε. Διὸ οὐδὲ δέδοικεν εἰπεῖν, ὅτι «καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός. Ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο», τουτέστιν, ἐν ὑποδείγματι, ἐν τῷ κριῷ,*
10 *φησί. Πῶς; Τοῦ γὰρ κριοῦ σφαγιασθέντος οὗτος ἐσώθη· ὥστε διὰ τοῦ κριοῦ αὐτὸν ἔλαβεν, ἀντὶ τούτου σφάξας ἐκεῖνον.*

Ταῦτα δὲ τύποι τινὲς ἦσαν· ἐνταῦθα γὰρ ὁ Υἱός ἐστι τοῦ Θεοῦ ὁ σφαγιαζόμενος. Καὶ θέα μοι τὴν φιλανθρωπίαν, ὅση ἦν· ἐπειδὴ γὰρ μεγάλη τις ἔμελλε δίδοσθαι χάρις τοῖς ἀνθρώποις, βου-
15 *λόμενος μὴ χάριτι αὐτὸ ποιῆσαι, ἀλλ' ὡς ὀφειλέτης, παρασκευάζει πρῶτον ἄνθρωπον τὸν υἱὸν τὸν ἑαυτοῦ ἐπιδοῦναι ὑπὲρ τοῦ προστάγματος τοῦ Θεοῦ, ἵνα μηδὲν δόξῃ μέγα ποιεῖν, τὸν ἑαυτοῦ ἐπιδιδοὺς Υἱόν, εἴγε ἄνθρωπος πρὸ αὐτοῦ τοῦτο ἐποίησεν, ἵνα μὴ χάριτι μόνον νομισθῇ τοῦτο ποιεῖν, ἀλλὰ καὶ ὀφειλῇ. Οὓς γὰρ ἂν φιλῶμεν,*
20 *καὶ τοῦτο αὐτοῖς χαρίζεσθαι βουλόμεθα, τὸ δοκεῖν παρ' αὐτῶν τι πρότερον λαβόντας μικρόν, οὕτως αὐτοῖς τὸ πᾶν διδόναι· καὶ καυχώμεθα ἐπὶ τῇ λήψει μᾶλλον ἢ ἐπὶ τῇ δόσει, καὶ οὐ λέγομεν, τόδε ἐδώκαμεν αὐτῷ, ἀλλὰ τόδε ἐλάβομεν παρ' αὐτοῦ. «Ὅθεν αὐτόν», φησί, «καὶ ἐν παραβολῇ ἐκομίσατο», τουτέστιν, ὡς ἐν αἰνίγματι·*
25 *ὥσπερ γὰρ παραβολὴ ἦν ὁ κριὸς τοῦ Ἰσαάκ· ἢ ὡς ἐν τῷ τύπῳ. Ἐπειδὴ γὰρ ἀπήρτιστο ἡ θυσία καὶ ἔσφακτο ὁ Ἰσαὰκ τῇ προαιρέσει, διὰ τοῦτο αὐτὸν χαρίζεται τῷ πατριάρχῃ.*

2. Ὁρᾷς ὅτι ὃ ἀεὶ λέγω, τοῦτο καὶ νῦν δείκνυται; Ὅταν γὰρ παραστήσωμεν ἡμῶν τὴν διάνοιαν ἀπηρτισμένην καὶ δείξωμεν ὅτι
30 *ὑπερορῶμεν τῶν γηίνων πραγμάτων, τότε ἡμῖν καὶ τὰ γήινα χαρίζεται, πρότερον δὲ οὔ, ἵνα μὴ τὸ λαβεῖν προσδεδεμένους ἡμᾶς αὐτοῖς ἔτι προσδήσῃ. Λῦσον, φησί, σαυτὸν πρῶτον τῆς δουλείας, καὶ*

ἀπόγονοί του θὰ προέλθουν ἀπὸ τὸν Ἰσαάκ» καὶ πρόσφερε θυσία τὸν υἱό του. Ἔπειτα, γιὰ νὰ μὴν νομίση κανείς, ὅτι τὸ ἔκανε ἐπειδὴ εἶχε ἀπογοητευθῆ, καὶ ἐξ αἰτίας αὐτοῦ τοῦ προστάγματος ἀπέβαλε τὴν πίστι ἐκείνη, ἀλλὰ γιὰ νὰ μάθη, ὅτι πράγματι καὶ αὐτὸ ἦταν ἀπόδειξις πίστεως, λέγει, ὅτι εἶχε καὶ ἐκείνην τὴν πίστι, ἂν καὶ φαινόταν ὅτι μαχόταν πρὸς αὐτήν· ἀλλὰ δὲν μαχόταν· διότι δὲν μετροῦσε τὴ δύναμι τοῦ Θεοῦ μὲ ἀνθρώπινους λογισμούς, ἀλλ' ὅλα τὰ ἀνέθετε στὴν πίστι. Γι' αὐτὸ καὶ δὲν φοβήθηκε νὰ πῆ, ὅτι «ὁ Θεὸς μπορεῖ καὶ νεκροὺς νὰ ἐγείρη. Γι' αὐτὸ καὶ κατὰ κάποιον τρόπο τὸν πῆρε πίσω», δηλαδὴ διὰ τοῦ σημείου, διὰ τοῦ κριοῦ, λέγει. Πῶς; Διότι μὲ τὴ θυσία τοῦ κριοῦ σώθηκε ὁ Ἰσαάκ· ὥστε διὰ τοῦ κριοῦ τὸν ἔλαβε, σφάζοντας ἀντὶ τοῦ υἱοῦ του τὸν κριό.

Αὐτὰ βέβαια ἦταν κάποιοι τύποι· διότι ἐδῶ ὁ Υἱὸς τοῦ Θεοῦ εἶναι αὐτὸς ποὺ θυσιάζεται. Καὶ πρόσεξε, σὲ παρακαλῶ, πόση μεγάλη ἦταν ἡ φιλανθρωπία του· ἐπειδὴ δηλαδὴ ἐπρόκειτο κάποια μεγάλη χάρις νὰ δοθῆ στοὺς ἀνθρώπους, θέλοντας νὰ μὴ τὸ κάνη σὰν χάρι, ἀλλὰ σὰν ὀφειλέτης, κάμνει πρῶτα ἄνθρωπο τὸν δικό του υἱό, γιὰ νὰ τὸν παραδώση ὑπὲρ τοῦ προστάγματος τοῦ Θεοῦ, γιὰ νὰ μὴν φανῆ ὅτι κάνει κάτι μεγάλο ὁ Θεὸς προσφέροντας τὸν Υἱό του, ἐφ' ὅσον ἄνθρωπος πρὶν ἀπὸ αὐτὸν ἔκανε αὐτό, γιὰ νὰ μὴν νομισθῆ ὅτι τὸ κάνει ἀπὸ φιλανθρωπία μόνο, ἀλλὰ καὶ ἀπὸ ὀφειλή. Διότι ἐκείνους ποὺ ἀγαποῦμε, θέλουμε καὶ αὐτὸ νὰ τοὺς χαρίσουμε, τὸ νὰ νομίζουν ὅτι, ἀφοῦ προηγουμένως πήραμε κάτι μικρὸ ἀπὸ αὐτούς, γι' αὐτὸ τοὺς προσφέρουμε τὸ πᾶν. Καὶ καυχιόμαστε πολὺ περισσότερο γι' αὐτὸ ποὺ πήραμε, παρὰ γι' αὐτὸ ποὺ δώσαμε· καὶ δὲν λέμε, 'αὐτὸ τοῦ δώσαμε', ἀλλὰ 'αὐτὸ πήραμε ἀπὸ ἐκεῖνον'. «Γι' αὐτό, λέγει, «κατὰ παραβολὴ τὸν πῆρε πίσω», δηλαδή, κατὰ τρόπο συμβολικό· ὅπως ἀκριβῶς δηλαδη παραβάλλεται ὁ κριὸς μὲ τὸν Ἰσαάκ, ἔτσι καὶ ὁ Ἰσαὰκ ἦταν τύπος τοῦ Χριστοῦ. Ἐπειδὴ δηλαδὴ ὡλοκληρώθηκε ἡ θυσία καὶ σφάχθηκε ὁ Ἰσαὰκ διὰ τῆς προαιρέσεως, γι' αὐτὸ τὸν χάρισε στὸν πατριάρχη.

2. Βλέπεις, ὅτι αὐτὸ ποὺ πάντοτε λέγω, αὐτὸ καὶ τώρα ἀποδεικνύεται; Ὅταν δηλαδὴ παρουσιάσουμε ὁλοκληρωμένη τὴ διάθεσί μας καὶ δείξουμε ὅτι περιφρονοῦμε τὰ γήϊνα πράγματα, τότε μᾶς χαρίζει καὶ τὰ γήϊνα, ἐνῶ πιὸ μπροστὰ ὄχι, ὥστε, ἐνῶ εἴμαστε προσδεμένοι σ' αὐτά, νὰ μὴ μᾶς προσδέση ἀκόμη περισσότερο ἡ χορή-

τότε λάβε, ἵνα μηκέτι ὡς δοῦλος λάβῃς, ἀλλ' ὡς δεσπότης· καταφρόνησον πλούτου, καὶ ἔσῃ πλούσιος· καταφρόνησον δόξης, καὶ ἔσῃ ἔνδοξος· καταφρόνησον τῆς τιμωρίας τῶν ἐχθρῶν, καὶ τότε αὐτὴν λήψῃ· ἵνα λαβών, μὴ ὡς δέσμιος λάβῃς, μηδὲ ὡς δοῦλος,
5 *ἀλλ' ὡς ἐλεύθερος. Καθάπερ γὰρ ἐπὶ τῶν παιδίων τῶν μικρῶν, ὅταν μὲν ἐπιθυμῇ τὸ παιδίον παιδικῶν ἀθυρμάτων, μετὰ πολλῆς σπουδῆς ἐκεῖνα κρύπτομεν, οἷον σφαῖραν καὶ ὅσα τοιαῦτα, ἵνα μὴ ἐμποδίζηται τῶν ἀναγκαίων· ὅταν δὲ αὐτῶν καταφρονήσῃ καὶ μηκέτι ἐπιθυμῇ, ἀδεῶς αὐτῶν μεταδιδόαμεν, εἰδότες ὡς οὐδεμία*
10 *βλάβη λοιπὸν αὐτῷ ἐντεῦθεν γίνεται, τῆς ἐπιθυμίας ἐκείνης οὐκέτι ἰσχυούσης ἀπαγαγεῖν αὐτὸν τῶν ἀναγκαίων· οὕτω καὶ ὁ Θεός, ὅταν ἴδῃ μηκέτι ἐπιθυμοῦντας τῶν ἐνταῦθα, λοιπὸν ἀφίησιν αὐτοῖς κεχρῆσθαι· ὡς γὰρ ἐλεύθεροι καὶ ἄνδρες αὐτὰ ἔχομεν, οὐχ ὡς παῖδες.*

Ὅτι γάρ, ἐὰν καταφρονήσῃς τῆς τιμωρίας τῶν ἐχθρῶν, τότε
15 *ἐπιτεύξῃ, ἄκουε τί φησιν· «ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐτόν»· καὶ ἐπήγαγε· «τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ». Καὶ πάλιν, ὅτι ἐὰν καταφρονήσῃς τοῦ πλούτου, τότε αὐτοῦ ἐπιτεύξῃ, ἄκουε τοῦ Χριστοῦ λέγοντος· «οὐκ ἔστιν ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ οἰκίαν, ἢ*
20 *ἀδελφούς, ὃς οὐχὶ ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει». Καὶ ὅτι ἐὰν καταφρονήσῃς δόξης, τότε αὐτῆς ἐπιτεύξῃ, ἄκουε αὐτοῦ πάλιν τοῦ Χριστοῦ λέγοντος· «ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι, ἔστω ὑμῶν διάκονος»· καὶ πάλιν, «ὃς γὰρ ἂν ταπεινώσῃ ἑαυτόν, οὗτος ὑψωθήσεται».*

25 *Τί λέγεις; Ἐὰν ποτίσω τὸν ἐχθρόν, τότε αὐτὸν κολάζω; ἐὰν ἀφῶ τὰ ὑπάρχοντα, τότε αὐτὰ ἔχω; ἐὰν ταπεινώσω ἐμαυτόν, τότε ὑψηλὸς ἔσομαι; Ναί, φησί· τοιαύτη γὰρ ἡ ἐμὴ δύναμις, διὰ τῶν ἐναντίων τὰ ἐναντία παρέχει, εὔπορός εἰμι καὶ εὐμήχανος, μὴ δείσῃς· τῷ ἐμῷ θελήματι ἡ τῶν πραγμάτων ἀκολουθεῖ φύσις, οὐκ*
30 *ἐγὼ τῇ φύσει ἕπομαι· ἐγὼ πάντα ἐργάζομαι, οὐκ ἐγὼ ὑπ' ἐκείνων ἄγομαι· διὸ καὶ μεταπλάττειν καὶ μεταρρυθμίζειν αὐτὰ δύναμαι.*

5. Ρωμ. 12,20.
6. Ματθ. 19,29.
7. Ματθ. 20,26.
8. Ματθ. 23,12.

γησις αὐτῶν. Ἀπάλλαξε, λέγει, πρῶτα τὸν ἑαυτό σου ἀπὸ τὴ δουλεία, καὶ τότε πάρε τα, γιὰ νὰ μὴν τὰ πάρης σὰν δοῦλος, ἀλλὰ σὰν κύριος· περιφρόνησε τὸν πλοῦτο, καὶ θὰ γίνης πλούσιος· καταφρόνησε τὴ δόξα, καὶ θὰ γίνης ἔνδοξος· μὴν σκέπτεσαι τὴν τιμωρία τῶν ἐχθρῶν σου, καὶ τότε θὰ τὴν ἐπιτύχης· περιφρόνησε τὴν ἄνεσι καὶ τότε θὰ τὴν λάβης· ὥστε, ὅταν τὴν λάβης, νὰ τὴν λάβης ὄχι ὡς δοῦλος, ἀλλὰ ὡς ἐλεύθερος. Ὅπως ἀκριβῶς γίνεται μὲ τὰ μικρὰ παιδιά· ὅταν τὸ παιδὶ ἐπιθυμῆ παιδικὰ παιχνίδια, μὲ πολλὴ ἐπιμέλεια ἀποκρύπτουμε ἐκεῖνα, ὅπως σφαῖρα καὶ ὅλα τὰ παρόμοια, γιὰ νὰ μὴν τὸ ἀποσποῦν ἀπὸ τὰ ἀναγκαῖα πράγματα· ὅταν ὅμως αὐτὰ τὰ περιφρονήση καὶ δὲν τὰ ἐπιθυμῆ πιά, χωρὶς φόβο τοῦ τὰ δίνουμε, ἐπειδὴ γνωρίζουμε ὅτι δὲν κινδυνεύει πιὰ ἀπὸ αὐτά, διότι ἡ ἐπιθυμία ἐκείνη δὲν ἔχει πιὰ τὴ δύναμι νὰ τὸ ἀπομακρύνη ἀπὸ τὰ ἀναγκαῖα. Ἔτσι καὶ ὁ Θεός· ὅταν δῆ ὅτι δὲν λαχταροῦμε πιὰ τὰ γήϊνα πράγματα, τότε μᾶς ἀφήνει νὰ τὰ χρησιμοποιοῦμε· διότι τότε τὰ χρησιμοποιοῦμε ὡς ἐλεύθεροι καὶ ὥριμοι ἄνθρωποι καὶ ὄχι σὰν παιδιά.

Τὸ ὅτι πράγματι, ἐὰν ἀδιαφορήσης γιὰ τὴν τιμωρία τῶν ἐχθρῶν σου, τότε θὰ τὴν ἐπιτύχης, ἄκουσε τί λέγει· «ἐὰν πεινᾶ ὁ ἐχθρός του, δίνε του ψωμὶ καὶ τροφή· ἐὰν διψᾶ, πότιζέ τον· καὶ συμπλήρωσε· «ἐὰν τὸ κάνης αὐτό, θὰ συγκεντρώσης ἀναμμένα κάρβουνα ἐπάνω στὸ κεφάλι του»[5]· καὶ πάλι, τὸ ἐὰν περιφρονήσης τὸν πλοῦτο, τότε θὰ τὸν λάβης, ἄκουσε τί λέγει ὁ Χριστός· «δὲν ὑπάρχει κανείς, ποὺ ἄφησε πατέρα ἢ μητέρα ἢ σπίτι ἢ ἀδελφοὺς ἐξ αἰτίας μου, ὥστε νὰ μὴ λάβη ἑκατονταπλάσια καὶ νὰ μὴ κληρονομήση τὴν αἰώνια ζωή»[6]. Καὶ ὅτι, ἐὰν καταφρονήσης τὴ δόξα, τότε θὰ τὴν κερδίσης, ἄκουσε πάλι τὸν Χριστὸ ποὺ λέγει· «ὅποιος θέλει νὰ εἶναι ἀνάμεσά σας πρῶτος, ἂς εἶναι ὑπηρέτης ὅλων»[7]· καὶ πάλι· «ὅποιος θὰ ταπεινώση τὸν ἑαυτό του, αὐτὸς θὰ ὑψωθῆ»[8].

Τί λές; Ἐὰν ποτίσω τὸν ἐχθρό μου, τότε τὸν τιμωρῶ; ἐὰν ἀφήσω τὰ ὑπάρχοντά μου, τότε τὰ ἔχω; ἐὰν ταπεινώσω τὸν ἑαυτό μου, τότε θὰ ὑψωθῶ; Ναί, λέγει· τέτοια εἶναι ἡ δύναμίς μου· μὲ τὰ ἀντίθετα προσφέρει τὰ ἀντίθετα, εἶμαι πλούσιος καὶ πολυμήχανος, μὴ φοβᾶσαι· ἡ φύσις τῶν πραγμάτων ἀκολουθεῖ τὸ δικό μου θέλημα, δὲν ἀκολουθῶ ἐγὼ τὴ φύσι τῶν πραγμάτων· ἐγὼ τὰ κάνω ὅλα, δὲν κατευθύνομαι ἐγὼ ἀπὸ ἐκεῖνα· γι' αὐτὸ καὶ μπορῶ νὰ τὰ ἀλλάσσω

Καὶ τί θαυμάζεις εἰ ἐν τοῖς τοιούτοις γίνεται τὸ τοιοῦτο; Τὸ αὐτὸ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν εὑρήσεις. Ἐὰν γὰρ ἀδικήσῃς, ἠδικήθης· ἐὰν ἀδικηθῇς, τότε οὐκ ἠδικήθης· ἐὰν ἀμύνῃ, τότε οὐκ ἠμύνω, ἀλλὰ σαυτὸν ἠμύνω. «Ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν», φησί, «μισεῖ
5 *τὴν ἑαυτοῦ ψυχήν». Ὁρᾷς ὅτι οὐκ ἀδικεῖς, ἀλλ' ἠδικήθης; Διὰ τοῦτο καὶ ὁ Παῦλός φησι· «διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε;». Εἶδες ὅτι οὐκ ἔστι τοῦτο ἀδικεῖσθαι; Ὅταν ὑβρίσῃς, τότε ὑβρίσθης. Καὶ τοῦτο ἐκ μέρους ἴσασιν οἱ πολλοί· ὡς ὅταν λέγωσι πρὸς ἀλλήλους, 'ἄγωμεν ἐντεῦθεν, μὴ ὑβρίσῃς σαυτόν'. Διὰ τί; Ὅτι πολὺ τὸ μέσον σου κά-*
10 *κείνου· ὅσα γὰρ ἂν ὑβρίσῃς, ἐκεῖνος δόξαν ἡγεῖται.*

Τοῦτο ἐπὶ πάντων ἐννοῶμεν, καὶ γινόμεθα ὑψηλότεροι τῶν ὕβρεων. Πῶς, ἐγὼ λέγω· Ἐὰν πρὸς αὐτὸν τὸν τὴν ἁλουργίδα ἔχοντα μάχην ἔχωμεν, τῷ ὑβρίζειν αὐτὸν ἡμᾶς αὐτοὺς ὑβρίζειν ἡγούμεθα· καὶ γὰρ πλύνοντες ἐκεῖνον, καὶ ἡμεῖς τοῦ πλύνεσθαι ἄξιοι γινό-
15 *μεθα. Τί λέγεις, εἰπέ μοι; Τῶν οὐρανῶν πολίτης ὢν καὶ τὴν ἄνω φιλοσοφίαν ἔχων, μετὰ τοῦ τὰ γήινα φρονοῦντος πλύνεις σαυτόν; Κἂν γὰρ μυρία χρήματα κέκτηται, κἂν ἐν δυναστείᾳ ᾖ, οὔπω οἶδε τὸ καλὸν τὸ σόν. Μὴ ὑβρίσῃς σαυτόν, ἐκεῖνον ὑβρίζων· σαυτοῦ φεῖσαι, μὴ ἐκείνου· σαυτὸν τίμησον, μὴ ἐκεῖνον. Οὐχὶ παροιμία*
20 *τοιαύτη ἐστίν, «ὁ τιμῶν, ἑαυτὸν τιμᾷ»; Εἰκότως· οὐ γὰρ ἐκεῖνον τιμᾷ, ἀλλ' ἑαυτόν. Ἄκουε σοφοῦ τινος λέγοντος· «ποίησον τῇ ψυχῇ σου τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς». Τί ἐστι, «κατὰ τὴν ἀξίαν αὐτῆς»; Εἰ ἐπλεονέκτησε, φησί, μὴ πλεονεκτήσῃς· εἰ ὕβρισε, μὴ ὑβρίσῃς.*

«Εἰπέ μοι, παρακαλῶ, εἴ τις πένης πηλὸν ἐρριμμένον ἀπὸ
25 *τῆς αὐλῆς ἔλαβε τῆς σῆς, ἆρα ἂν ὑπὲρ τούτου δικαστήριον αὐτῷ συνεκρότησας; Οὐδαμῶς. Διὰ τί; Ἵνα μὴ ὑβρίσῃς σαυτόν, ἵνα μὴ πάντες σου καταγνῶσι. Τοῦτο καὶ νῦν γίνεται· πένης γάρ ἐστιν ὁ πλούσιος, καὶ ὅσῳ πλουτεῖ, τοσούτῳ πένης γίνεται τὴν ὄντως πε-*

9. Παρμ. 29,24.
10. Α' Κορ. 6,7.
11. Σοφ. Σειρὰχ 10,28.

καὶ νὰ τὰ μεταρρυθμίζω. Καὶ γιατί ἀπορεῖς, ἐὰν αὐτὸ γίνεται σ' ὅλα αὐτά; Διότι τὸ ἴδιο θὰ βρῆς νὰ γίνεται καὶ σ' ὅλες τὶς ἄλλες περιπτώσεις. Πραγματικά, ἐὰν ἀδικήσης, ἀδικήθηκες ἐσύ· ἐὰν ἀδικηθῆς, τότε δὲν ἀδικήθηκες· ὅταν ὑπερασπίζεσαι τὸν ἑαυτό σου, τότε δὲν τὸν προφυλλάσσεις, ἀλλὰ τὸν τιμωρεῖς· διότι λέγει, «ὅποιος ἀγαπᾶ τὴν ἀδικία, μισεῖ τὴν ψυχή του»[9]. Βλέπεις ὅτι δὲν ἀδικεῖς, ἀλλὰ ἀδικεῖσαι; Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «γιατί δὲν προτιμᾶτε μᾶλλον νὰ ἀδικῆσθε;»[10]. Εἶδες ὅτι μ' αὐτὸν τὸν τρόπο δὲν βλάπτεσαι; Ὅταν ἀτιμάζης, τότε ἀτιμάζεσαι. Κι' αὐτὸ ἐν μέρει τὸ γνωρίζουν οἱ πολλοί· ὅπως ὅταν λένε μεταξύ τους, 'ἄς φύγουμε ἀπὸ ἐδῶ, μὴν προσβάλλης τὸν ἑαυτό σου'. Γιατί; Διότι ὑπάρχει μεγάλη ἀπόστασις ἀνάμεσα σ' ἐσένα καὶ σ' ἐκεῖνον· πράγματι ὅσο ὑβρίζεις τὸν ἄλλο, τόσο ἐκεῖνος δοξάζεται.

Αὐτὸ ἂς τὸ ἔχουμε ὑπ' ὄψιν μας σ' ὅλες τὶς περιπτώσεις, κι' ἂς στεκώμαστε ψηλότερα ἀπὸ τὶς ὕβρεις. Πῶς, ἐγὼ θὰ σᾶς τὸ ἐξηγήσω. Ἐὰν βρισκώμαστε σὲ διαμάχη μ' ἐκεῖνον ποὺ φορεῖ τὴν πορφύρα, τὸ νὰ ὑβρίζουμε αὐτόν, τὸ θεωροῦμε ὕβρι πρὸς τὸν ἴδιο τὸν ἑαυτό μας· πραγματικά, ὅταν τὸν ὑβρίζουμε, κι' ἐμεῖς ἀπολαμβάνουμε τὶς ὕβρεις. Τί λές, πές μου; Ἐνῶ εἶσαι πολίτης τοῦ οὐρανοῦ, καὶ ἔχεις τὴν οὐράνια φιλοσοφία, περιυβρίζεις τὸν ἑαυτό σου μαζὶ μ' ἐκεῖνον ποὺ σκέπτεται γήϊνα; Κι' ἂν ἀκόμη ἔχη ἀποκτήσει μύρια χρήματα, κι' ἂν ἔχη ἐξουσία, δὲν γνώρισε ἀκόμη τὸ καλὸ τὸ δικό σου. Μὴν ὑβρίσης τὸν ἑαυτό σου, ὑβρίζοντας ἐκεῖνον· λυπήσου τὸν ἑαυτό σου, ὄχι ἐκεῖνον· τίμησε τὸν ἑαυτό σου, ὄχι ἐκεῖνον. Δὲν ὑπάρχει τέτοια παροιμία, «ὅποιος τιμᾶ τὸν ἄλλον, τιμᾶ τὸν ἑαυτό του»; Σωστά· διότι δὲν τιμᾶ ἐκεῖνον, ἀλλὰ τὸν ἑαυτό του. Ἄκουσε τὰ λόγια κάποιου σοφοῦ ποὺ λέγει· «τίμησε τὴν ψυχή σου, ὅπως τῆς ἀξίζει»[11]. Τί σημαίνει, «κατὰ τὴν ἀξίαν αὐτῆς»; Ἐὰν κάποιος εἶναι πλεονέκτης, λέγει, μὴ γίνης καὶ σὺ πλεονέκτης· ἐὰν κάποιος σὲ ὕβρισε, ἐσὺ μὴν τὸν ὑβρίσης.

Πές μου, σὲ παρακαλῶ· ἐὰν κάποιος φτωχὸς πῆρε ἀπὸ τὴν αὐλή σου λάσπη ποὺ ἦταν πεταγμένη, ἄραγε γι' αὐτὸ τὸ πρᾶγμα θὰ συγκροτοῦσες δικαστήριο ἐναντίον του; Ἀσφαλῶς ὄχι. Γιατί; Γιὰ νὰ μὴν προσβάλης τὸν ἑαυτό σου, γιὰ νὰ μὴν σὲ κατηγορήσουν ὅλοι. Αὐτὸ καὶ τώρα γίνεται· διότι εἶναι φτωχὸς ὁ πλούσιος, καὶ ὅσο αὐξάνει ὁ πλοῦτος του, τόσο φτωχότερος γίνεται, ὡς πρὸς τὴν

νίαν. Πηλός ἐστιν ὁ χρυσός, ἐν αὐλῇ ἐρριμμένος, οὐκ ἐν τῇ οἰκίᾳ σου κείμενος· ἡ γὰρ οἰκία σου ὁ οὐρανός ἐστιν. Ὑπὲρ τούτου οὖν συγκροτήσεις δικαστήριον, καὶ οὐ καταγνώσονταί σου οἱ ἄνω πολῖται; Οὐκ ἐκβαλοῦσί σε τῆς ἑαυτῶν πατρίδος, τὸν οὕτω ταπεινόν,
5 *τὸν οὕτως εὐτελῆ, ὡς ὑπὲρ ὀλίγου πηλοῦ μάχεσθαι αἱρεῖσθαι; Εἰ γὰρ ὁ κόσμος ἦν σός, εἶτα αὐτόν τις ἔλαβεν, ἐπιστραφῆναι ἐχρῆν.*

3. *Οὐκ οἶδας ὅτι δεκάκις τὴν οἰκουμένην ἐὰν θῇς, καὶ ἑκατοντάκις, καὶ μυριάκις, καὶ δὶς τοσοῦτον, οὐδὲ πρὸς τὸ πολλοστὸν μέρος τῶν ἐν τοῖς οὐρανοῖς ἐστιν ἀγαθῶν; Ὁ τοίνυν τὰ ἐνταῦθα θαυμά-*
10 *ζων, ἐκεῖνα ὕβρισεν, εἴγε ταῦτα ἄξια σπουδῆς ἡγεῖται, τοσοῦτον ἐκείνων ἀπολιμπανόμενα· μᾶλλον δὲ οὐδὲ θαυμάσαι ἐκεῖνα δυνήσεται· πῶς γάρ, πρὸς ταῦτα ἐπτοημένος; Διατέμωμεν ὀψὲ γοῦν ποτε, παρακαλῶ, τὰ σχοινία καὶ τὰς πλεκτάνας· τοῦτο γὰρ τὰ γήινα πράγματα. Μέχρι πότε κάτω κύπτομεν; μέχρι τίνος ἀλλήλοις ἐπι-*
15 *βουλεύομεν, καθάπερ τὰ θηρία, καθάπερ οἱ ἰχθύες; Μᾶλλον δέ, τὰ θηρία οὐκ ἐπιβουλεύει ἀλλήλοις, ἀλλὰ τοῖς ἀλλοφύλοις· οἷον, ἄρκτος ἄρκτον οὐκ ἀναιρεῖ ταχέως, οὐδὲ ὄφις ὄφιν ἀναιρεῖ, τὸ ὁμόφυλον αἰδούμενος· σὺ δὲ μετὰ τοῦ ὁμοφύλου καὶ μυρία ἔχων δικαιώματα, τὸ συγγενές, τὸ λογικόν, τὸ τὸν Θεὸν εἰδέναι, τῆς φύσεως τὴν*
20 *ἰσχύν, μυρία ἄλλα ἕτερα, τὸν συγγενῆ καὶ τῆς αὐτῆς φύσεως κεκοινωνηκότα, τοῦτον ἀναιρεῖς καὶ μυρίοις περιβάλλεις κακοῖς. Τί γάρ, εἰ μὴ τὸ ξίφος ὠθεῖς, μηδὲ βαπτίζεις εἰς τὴν δέρην τὴν δεξιάν; Ἕτερα χαλεπώτερα τούτου ποιεῖς, λύπαις διηνεκέσι περιβάλλων. Ἐκεῖνο γὰρ εἰ εἰργάσω, ἀπήλλαξας ἂν αὐτὸν φροντίδος· νῦν δὲ*
25 *λιμῷ καὶ δουλείᾳ περιβάλλεις, ἀποδυσπετήσεσι καὶ ἁμαρτίαις ἑτέραις πολλαῖς.*

Ταῦτα λέγω καὶ λέγων οὐ παύσομαι, οὐχὶ φονᾶν ὑμᾶς παρασκευάζων, οὐδὲ ὡς ἐπὶ ἔλαττον ἐκείνου κακὸν ἔρχεσθαι πρὸς τοῦτο προτρεπόμενος, ἀλλὰ μὴ θαρρεῖν, ὡς μὴ μέλλοντας δώσειν δί-
30 *κην. «Ὁ ἀφαιρούμενος» γάρ, φησίν, «ἐμβίωσιν τὸν πλησίον αὐτοῦ*

πραγματικὴ φτώχεια. Εἶναι πηλὸς ὁ χρυσός, πεταγμένος μέσα στὴν αὐλή σου κι' ὄχι στὸ σπίτι σου· διότι τὸ σπίτι σου εἶναι ὁ οὐρανός. Γιὰ τὸν χρυσὸ λοιπὸν θὰ συγκροτήσης δικαστήριο καὶ δὲν θὰ σὲ περιγελάσουν οἱ πολῖτες τοῦ οὐρανοῦ; δὲν θὰ σὲ διώξουν ἀπὸ τὴν πατρίδα τους, ἐσένα ποὺ εἶσαι τόσο ἄθλιος, τόσο τιποτένιος, ποὺ γιὰ λίγο πηλὸ προτιμᾶς νὰ φιλονεικῆς; Διότι, ἐὰν ὁ κόσμος ἦταν δικός σου, καὶ κατόπιν κάποιος σοῦ τὸν ἔπαιρνε, ἔπρεπε νὰ σοῦ τὸν ἐπιστρέψη.

3. Δὲν γνωρίζεις, ὅτι ἐὰν βάλης δεκαπλάσιες φορὲς τὴν οἰκουμένη, καὶ ἑκατονταπλάσιες, καὶ μύριες φορὲς περισσότερο, καὶ δύο φορὲς ἄλλο τόσο, δὲν εἶναι τίποτε μπροστὰ στὸ ἐλάχιστο μέρος τῶν οὐράνιων ἀγαθῶν; Αὐτὸς λοιπὸν ποὺ θαυμάζει τὰ ἐπίγεια ἀγαθά, περιφρόνησε τὰ οὐράνια· ἂν πράγματι αὐτὰ τὰ θεωρῆ ἄξια φροντίδος, τόσο περισσότερο ἀπομακρύνεται ἀπὸ ἐκεῖνα· ἢ καλύτερα οὔτε θὰ μπορέση νὰ τὰ θαυμάση ἐκεῖνα· πῶς δηλαδὴ θὰ μπορέση νὰ τὰ θαυμάση, ἀφοῦ εἶναι προσκολλημένος σ' αὐτά; Ἂς ἀποκόψουμε κάποτε, ἔστω καὶ ἀργά, τὰ σχοινιὰ καὶ τὶς πλεκτάνες· διότι σχοινιὰ καὶ πλεκτάνες εἶναι τὰ γήϊνα πράγματα. Μέχρι πότε θὰ σκύβουμε κάτω; μέχρι πότε θὰ ἐπιβουλεύουμε ὁ ἕνας τὸν ἄλλο, ὅπως τὰ θηρία καὶ ὅπως τὰ ψάρια; Ἢ καλύτερα τὰ θηρία δὲν κατατρώγονται μεταξύ τους, ἀλλὰ μ' αὐτὰ ποὺ ἀνήκουν σὲ ἄλλο εἶδος· γιὰ παράδειγμα, ἡ ἀρκούδα δὲν σκοτώνει εὔκολα ἀρκούδα, οὔτε τὸ φίδι σκοτώνει φίδι, σεβόμενο τὸ ὁμόφυλό του· ἐνῶ ἐσὺ μὲ τὸν ὁμόφυλό σου, ἂν καὶ ἔχεις πολλὰ κοινὰ δικαιώματα, τὴν συγγένεια, τὸ λογικό, τὴ γνῶσι τοῦ Θεοῦ, τὴ δύναμι τῆς φύσεως καὶ πολλὰ ἄλλα, τὸν συγγενῆ σου καὶ τὸν κοινωνὸ τῆς ἴδιας φύσεως μὲ σένα τὸν σκοτώνεις καὶ τὸν περιβάλλεις μὲ μύρια κακά. Διότι τί σημασία ἔχει ποὺ δὲν σπρώχνεις τὸ ξίφος καὶ δὲν βυθίζεις τὸ δεξί σου χέρι στὸν τράχηλό του; Κάμνεις ἄλλα πολὺ χειρότερα ἀπὸ αὐτό· τὸν περιβάλλεις μὲ συνεχεῖς λύπες. Διότι, ἐὰν τὸν φόνευες, θὰ τὸν ἀπάλλασσες ἀπὸ τὶς φροντίδες· τώρα ὅμως τὸν περιβάλλεις μὲ πεῖνα καὶ δουλεία, μὲ ἀπογοητεύσεις καὶ μὲ πολλὲς ἄλλες ἁμαρτίες.

Αὐτὰ τὰ λέγω καὶ δὲν θὰ παύσω νὰ τὰ λέγω, ὄχι γιὰ νὰ σᾶς κάνω νὰ ἐπιθυμῆτε τὸν φόνο, οὔτε νὰ σᾶς προτρέψω πρὸς αὐτόν, σὰν νὰ εἶναι τάχα μικρότερο κακό, ἀλλὰ γιὰ νὰ μὴ ἐνθαρρύνεσθε μὲ τὴν σκέψι, ὅτι δὲν πρόκειται νὰ τιμωρηθῆτε. Διότι λέγει, «ὅποιος

καὶ ἄρτον, φονεύει αὐτόν». Κατάσχωμεν παρ' ἑαυτοῖς τὰς χεῖράς ποτε, παρακαλῶ, κατάσχωμεν· μᾶλλον δὲ μὴ κατάσχωμεν, ἀλλ' ἐκτείνωμεν αὐτὰς καλῶς, μὴ πρὸς πλεονεξίαν, ἀλλὰ πρὸς ἐλεημοσύνην· μὴ ἄκαρπον ἔχωμεν τὴν χεῖρα, μηδὲ ξηράν· ἡ μὲν γὰρ μὴ
5 *ποιοῦσα ἐλεημοσύνην, ξηρά, ἡ δὲ καὶ πλεονεκτοῦσα, μιαρὰ καὶ ἀκάθαρτος. Μηδεὶς μετὰ τοιούτων ἐσθιέτω χειρῶν· ὕβρις γὰρ τῶν κεκλημένων τοῦτο. Εἰπὲ γάρ μοι, εἴ τις ἐπὶ ταπήτων καὶ στρωμνῆς ἁπαλῆς καὶ χρυσοπάστων σινδόνων κατακλίνας ἡμᾶς ἐν οἴκῳ λαμπρῷ καὶ μεγάλῳ, καὶ πολὺ πλῆθος διακόνων παραστησάμενος*
10 *καὶ χρυσοῦ, καὶ πολλῶν ἐμπλήσας ἐδεσμάτων καὶ πολυτελῶν καὶ παντοδαπῶν, ἠνάγκαζεν ἐσθίειν, εἰ μόνον ἀνεξόμεθα αὐτοῦ τὰς χεῖρας εἰς βόρβορον χρίοντος ἢ καὶ κόπρον ἀνθρωπίνην, καὶ οὕτω συγκατακλινομένου, ἆρα ἄν τις ταύτην ἠνέσχετο τὴν κόλασιν, ἀλλ' οὐχ ὕβριν τὸ πρᾶγμα ἐνόμιζεν ἄν; Ἔγωγε οἶμαι, καὶ εὐθέως ἂν*
15 *ἀπεπήδησε. Νῦν δὲ βορβόρου τοῦ ὄντως οὐχὶ τὰς χεῖρας ὁρᾷς ἐμπεπλησμένας, ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα, καὶ οὐκ ἀποπηδᾷς, οὐκ ἀποφεύγεις, οὐκ ἐπιτιμᾷς· ἀλλ' ἐὰν ἐν δυναστείᾳ ᾖ, καὶ μέγα τὸ πρᾶγμα τίθεσαι καὶ τὴν ψυχὴν ἀπολλύεις τὴν σαυτοῦ, τοιαῦτα σιτούμενος.*

20 *Παντὸς γὰρ βορβόρου πλεονεξία χείρων· ψυχὴν γάρ, οὐ σῶμα μολύνει, καὶ ποιεῖ δυσέκπλυτον. Σὺ τοίνυν ὁρῶν τοῦ βορβόρου τούτου ἀνακεχρωσμένον μὲν τὸν κατακλινόμενον, καὶ τὰς χεῖρας καὶ τὴν ὄψιν, ἐμπεπλησμένην δὲ τὴν οἰκίαν, ἐμπεπλησμένην δὲ καὶ τὴν τράπεζαν (βολβίτων γάρ, καὶ εἴ τι τούτων χεῖρον, ἀκαθαρ-*
25 *τότερα ἐκεῖνα καὶ μιαρώτερα τὰ ἐδέσματα), ὡς δὴ τιμηθεὶς διάκεισαι καὶ ὡς μέλλων τρυφᾶν; Καὶ οὐδὲ τὸν Παῦλον δέδοικας, εἰς μὲν Ἑλλήνων τράπεζαν, εἰ βουλόμεθα, ἀκωλύτως συγχωροῦντα ἀπελθεῖν, εἰς δὲ τὰς τῶν πλεονεκτῶν οὐδὲ βουλομένους ἐῶντα; «Ἐὰν γάρ τις ἀδελφὸς ὀνομαζόμενος, ᾖ», φησί, «πόρνος»· ἀδελφὸν ἐνταῦ-*

12. Σοφ. Σειρ. 31,22.
13. Α' Κορ. 5,11.

ἀφαιρεῖ ἀπὸ τὸν πλησίον του τὰ μέσα γιὰ τὴ ζωή του καὶ τὸν ἄρτο, τὸν φονεύει»[12]. Ἂς τὰ συγκρατήσουμε κάποτε, παρακαλῶ, τὰ χέρια μας, ἂς τὰ συγκρατήσουμε· ἢ καλύτερα ἂς μὴ τὰ συγκρατήσουμε, ἀλλὰ ἂς τὰ ἁπλώσουμε σωστά, ὄχι γιὰ ν' ἁρπάξουμε τὰ ξένα, ἀλλὰ γιὰ ἐλεημοσύνη· ἂς μὴν ἔχουμε ἄκαρπο τὸ χέρι, οὔτε ξηρό· διότι τὸ χέρι ποὺ δὲν ἐλεεῖ, εἶναι ξηρό, ἐνῶ τὸ χέρι ποὺ καὶ ἁρπάζει, εἶναι μιαρὸ καὶ ἀκάθαρτο. Κανεὶς ἂς μὴν τρώγη μὲ τέτοια χέρια· καθόσον αὐτὸ εἶναι προσβολὴ γιὰ τοὺς καλεσμένους. Διότι πές μου, ἐὰν κάποιος μᾶς ἔβαζε νὰ ξαπλώσουμε ἐπάνω σὲ τάπητες καὶ ἁπαλὰ στρώματα καὶ χρυσοῦφαντα σεντόνια σὲ σπίτι λαμπρὸ καὶ μεγάλο καὶ τοποθετοῦσε πλησίον μας πλῆθος ὑπηρετῶν, ἔπειτα, ἀφοῦ ἑτοίμαζε πιάτο χρυσὸ καὶ ἀργυρὸ καὶ τὸ γέμιζε μὲ πολλὰ καὶ πολυτελῆ καὶ κάθε εἴδους φαγώσιμα, μᾶς ἀνάγκαζε νὰ φᾶμε, ὑπὸ τὸν ὅρο μόνο ν' ἀνεχθοῦμε τὰ χέρια του ποὺ τὰ εἶχε ἀλείψει μὲ ἀκαθαρσίες ἢ καὶ ἀνθρώπινη κοπριά, καὶ μ' αὐτὰ νὰ καθίση μαζί μας γιὰ τὸ γεῦμα, θὰ ἀνεχόταν ἄραγε κανεὶς αὐτὸ τὸ μαρτύριο καὶ δὲν θὰ τὸ θεωροῦσε προσβολή; Ἐγὼ τουλάχιστον νομίζω, ὅτι θὰ τὸ θεωροῦσε προσβολὴ καὶ ἀμέσως θὰ ἔφευγε. Ἐνῶ τώρα βλέπεις ὄχι μόνο τὰ χέρια νὰ εἶναι γεμᾶτα μὲ πραγματικὸ βόρβορο, ἀλλὰ καὶ οἱ ἴδιες οἱ τροφὲς καὶ δὲν τινάσσεσαι ἐπάνω, δὲν φεύγεις, δὲν κατακρίνεις τὸ πρᾶγμα· ἀλλά, ἐὰν ἔχη ἐξουσία, θεωρεῖς σπουδαῖο τὸ πρᾶγμα αὐτό, καταστρέφοντας τὴν ψυχή σου, μὲ τὸ νὰ τρέφεσαι μὲ τέτοιες τροφές.

Πραγματικὰ ἡ πλεονεξία εἶναι χειρότερη ἀπὸ κάθε βόρβορο· διότι μολύνει ὄχι τὸ σῶμα, ἀλλὰ τὴν ψυχὴ καὶ τὴν κάνει δύσκολα νὰ πλένεται. Ἐσὺ λοιπόν, ἐνῶ βλέπεις νὰ εἶναι καταλειμμένος ἀπὸ αὐτὸν τὸν βόρβορο αὐτὸς ποὺ κάθεται κοντά σου, καὶ νὰ εἶναι γεμᾶτα καὶ τὰ χέρια του καὶ ἡ ὄψις του, νὰ εἶναι γεμᾶτο καὶ τὸ σπίτι του, γεμᾶτο καὶ τὸ τραπέζι του (διότι τὰ φαγητὰ ἐκεῖνα εἶναι πιὸ ἀκάθαρτα καὶ πιὸ μιαρὰ ἀπὸ τὰ κόπρανα βοδιῶν καὶ ἀπὸ ὁ,τιδήποτε χειρότερο ἀπὸ αὐτά), ἐσὺ αἰσθάνεσαι σὰν νὰ ἔχης τιμηθῆ καὶ σὰν νὰ πρόκειται νὰ εὐφρανθῆς; Καὶ δὲν φοβᾶσαι οὔτε τὸν Παῦλο, ποὺ ἐπιτρέπει, ἂν θέλουμε, ἀνεμπόδιστα νὰ πᾶμε στὸ τραπέζι τῶν εἰδωλολατρῶν, ἐνῶ στὸ τραπέζι τῶν πλεονεκτῶν δὲν μᾶς ἀφήνει νὰ πᾶμε, οὔτε κι' ἂν τὸ θέλουμε; Διότι λέγει, «ἐὰν κάποιος, ποὺ ὀνομάζεται ἀδελφός, εἶναι πόρνος»[13]· ἀδελφὸ ἐδῶ ὀνομάζει κάθε πιστό,

θα λέγων πάντα τὸν πιστὸν ἁπλῶς, οὐ τὸν μονάζοντα. Τί γάρ ἐστι τὸ ποιοῦν τὴν ἀδελφότητα; Τὸ λουτρὸν τῆς παλιγγενεσίας, τὸ δυνηθῆναι καλέσαι Πατέρα τὸν Θεόν. Ὥστε ὁ μὲν κατηχούμενος, κἂν μοναχὸς ᾖ, οὐκ ἀδελφός· ὁ δὲ πιστός, κἂν κοσμικὸς ᾖ, ἀδελφός
5 *ἐστιν. «Εἴ τις», φησίν, «ἀδελφὸς ὀνομαζόμενος». Οὐδὲ γὰρ ἴχνος τότε μονάζοντος ἦν, ἀλλὰ πάντα πρὸς κοσμικοὺς διελέγετο ὁ μακάριος οὗτος. «Ἐάν τις», φησίν, «ἀδελφὸς ὀνομαζόμενος, ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν». Ἀλλ' οὐκ ἐπὶ τῶν Ἑλλήνων οὕτως, ἀλλὰ τί; «Ἐάν τις ὑμᾶς καλέσῃ τῶν ἀπί-*
10 *στων», τοὺς Ἕλληνας λέγων, «καὶ θέλητε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε». «Ἐὰν δέ τις ἀδελφὸς ὀνομαζόμενος ᾖ», φησί, «μέθυσος».*

4. Βαβαί, πόση ἡ ἀκρίβεια! Ἡμεῖς δὲ οὐ μόνον οὐ φεύγομεν τοὺς μεθύσους, ἀλλὰ καὶ ἀπερχόμεθα πρὸς αὐτούς, μεθέξοντες τῶν παρ'
15 *αὐτῶν. Διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γεγένηται, πάντα συγκέχυται καὶ ἀνατέτραπται καὶ ἀπόλωλεν. Εἰπέ γάρ μοι, εἰ καλέσειέ σέ τις τῶν τοιούτων ἐπὶ ἑστίασιν ἡτοιμασμένην, σὲ τὸν πένητα καὶ εὐτελῆ νομιζόμενον, εἶτα ἀκούσειε παρὰ σοῦ ὅτι ἐπειδὴ ἀπὸ πλεονεξίας ἐστὶ τὰ παρατιθέμενα, οὐκ ἀνέξομαι μολύνειν τὴν ἐμαυτοῦ ψυ-*
20 *χήν, οὐκ ἂν ᾐδέσθη; οὐκ ἂν ἐνετράπη; οὐκ ἂν κατῃσχύνθη; Τοῦτο μόνον ἱκανὸν ἦν διορθῶσαι καὶ ποιῆσαι ταλανίσαι μὲν ἐπὶ τῷ πλούτῳ ἑαυτόν, θαυμάσαι δὲ ἐπὶ τῇ πενίᾳ σε, εἴγε ἑώρα ἑαυτὸν μετὰ τοσαύτης σπουδῆς καταφρονούμενον παρὰ σοῦ. Ἀλλὰ γεγόναμεν δοῦλοι ἀνθρώπων, οὐκ οἶδα πόθεν, τοῦ Παύλου ἄνω καὶ*
25 *κάτω βοῶντος· «μὴ γίνεσθε δοῦλοι ἀνθρώπων».*

Πόθεν οὖν γεγόναμεν δοῦλοι ἀνθρώπων; Ἐπειδὴ πρότερον γαστρὸς ἐγενόμεθα δοῦλοι καὶ χρημάτων καὶ δόξης καὶ τῶν ἄλλων ἁπάντων· προεδώκαμεν τὴν ἐλευθερίαν, ἣν ἐχαρίσατο ἡμῖν ὁ Χριστός. Τί οὖν μένει τὸν γενόμενον δοῦλον, εἰπέ μοι; Ἄκουε τοῦ Χρι-
30 *στοῦ λέγοντος· «ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα». Ἔχεις ἀπόφασιν αὐτοτελῆ, ὅτι οὐδέποτε εἰς βασιλείαν εἰσέρχεται· ἡ γὰρ οἰκία τοῦτό ἐστιν. «Ἐν γὰρ τῇ οἰκίᾳ», φησί, «τοῦ Πατρός*

14. Α' Κορ. 10,27.
15. Α' Κορ. 10,27.
16. Ἰω. 8,34.

καὶ ὄχι αὐτὸν ποὺ μονάζει. Διότι ποιό εἶναι αὐτὸ ποὺ κάνει τὴν ἀδελφότητα; Τὸ λουτρὸ τῆς ἀναγεννήσεως, αὐτὸ ποὺ κάνει τὸν ἄνθρωπο νὰ ὀνομάζη Πατέρα τὸν Θεό. Ὥστε ὁ κατηχούμενος, κι' ἂν ἀκόμη εἶναι μοναχός, δὲν εἶναι ἀδελφός· ἐνῶ ὁ πιστός, ἔστω κι' ἂν εἶναι κοσμικός, εἶναι ἀδελφός. «Ἐὰν κάποιος», λέγει, «ποὺ ὀνομάζεται ἀδελφός». Διότι οὔτε ἴχνος μοναχοῦ ὑπῆρχε τότε, ἀλλ' ὅλα αὐτὰ τὰ ἀπηύθυνε σὲ κοσμικοὺς ὁ μακάριος αὐτός. «Ἐὰν κάποιος», λέγει, «ποὺ ὀνομάζεται ἀδελφός, εἶναι πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, μ' αὐτὸν οὔτε νὰ συντρώγετε». Ὅμως δὲν εἶπε τὰ ἴδια καὶ γιὰ τοὺς εἰδωλολάτρες, ἀλλὰ τί εἶπε; «Ἐὰν κάποιος ἀπὸ τοὺς ἀπίστους σᾶς καλέση», ἐννοεῖ τοὺς εἰδωλολάτρες, «καὶ θέλετε νὰ πᾶτε, ὅ,τι σᾶς παραθέτουν νὰ τὸ τρῶτε»[14]. «Ἐὰν ὅμως», λέγει, «κάποιος, ποὺ ὀνομάζεται ἀδελφός, εἶναι μέθυσος».

4. Πώ, πώ, πόση εἶναι ἡ ἀκρίβεια! Ἐνῶ ἐμεῖς ὄχι μόνο δὲν ἀποφεύγουμε τοὺς μέθυσους, ἀλλὰ καὶ πηγαίνουμε πρὸς αὐτούς, γιὰ νὰ πάρουμε μέρος σ' αὐτὰ ποὺ παραθέτουν. Γι' αὐτὸ ὅλα ἔχουν γίνει ἄνω κάτω, ὅλα ἔχουν περιέλθει σὲ σύγχυσι, ἔχουν ἀνατραπῆ καὶ ἔχουν χαθῆ. Διότι πές μου, ἐὰν σὲ προσκαλοῦσε κάποιος ἀπὸ αὐτοὺς σὲ συνεστίασι, ἐσένα ποὺ θεωρεῖσαι φτωχὸς καὶ εὐτελής, κι' ἔπειτα ἄκουγε ἀπὸ ἐσένα, ὅτι, ἐπειδὴ αὐτὰ ποὺ παρατίθενται προέρχονται ἀπὸ πλεονεξία, δὲν ἀνέχομαι νὰ μολύνω τὴν ψυχή μου, δὲν θὰ προσβαλόταν; δὲν θὰ ντρεπόταν; δὲν θὰ ἀτιμαζόταν; Αὐτὸ καὶ μόνο εἶναι ἱκανὸ νὰ τὸν διορθώση καὶ νὰ τὸν κάνη νὰ ἐλεεινολογήση τὸν ἑαυτό του γιὰ τὸν πλοῦτο του, καὶ νὰ θαυμάση ἐσένα γιὰ τὴ φτώχεια σου, ἐὰν βέβαια ἔβλεπε τὸν ἑαυτό του νὰ περιφρονῆται ἀπὸ ἐσένα μὲ τόσο ζῆλο. Ἀλλ' ἔχουμε γίνει δοῦλοι τῶν ἀνθρώπων, δὲν ξέρω γιατί, ἂν καὶ ὁ Παῦλος βροντοφωνάζει συνέχεια· «μὴ γίνεσθε δοῦλοι τῶν ἀνθρώπων»[15].

Γιατί λοιπὸν ἔχουμε γίνει δοῦλοι τῶν ἀνθρώπων; Ἐπειδὴ προηγουμένως γίναμε δοῦλοι τῆς κοιλιᾶς καὶ τῶν χρημάτων καὶ τῆς δόξας καὶ ὅλων τῶν ἄλλων· προδώσαμε τὴν ἐλευθερία, ποὺ μᾶς χάρισε ὁ Χριστός. Τί λοιπόν, ἀπομένει, πές μου, σ' αὐτὸν ποὺ ἔγινε δοῦλος; Ἄκουσε τὸν Χριστὸ ποὺ λέγει· «ὁ δοῦλος δὲν μένει στὸ σπίτι τοῦ κυρίου του ὡς κληρονόμος καὶ παντοτινὸς κάτοχος»[16]. Ἔχεις ξεκεθαρισμένη ἀπόφασι, ὅτι ποτὲ δὲν θὰ μπῆς στὴ βασιλεία τῶν οὐρανῶν· καθόσον αὐτὸ εἶναι τὸ σπίτι. Διότι λέγει, «στὸ σπίτι

μου μοναὶ πολλαί εἰσιν». «Ὁ τοίνυν δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα»· δοῦλον ἐκεῖνον λέγει τὸν τῆς ἁμαρτίας δοῦλον· ὁ δὲ μὴ μένων ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ἐν τῇ γεέννῃ μένει εἰς τὸν αἰῶνα, οὐδαμόθεν ἔχων παραμυθίαν. Ἀλλὰ γὰρ εἰς τοσοῦτον κακίας τὰ 5 *πράγματα ἦλθεν, ὡς καὶ ἐλεημοσύνας αὐτοὺς ἀπὸ τούτων ποιεῖν καὶ πολλοὺς δέχεσθαι. Διὰ τοῦτο ἡ παρρησία ἡμῶν ἐκκέκοπται, καὶ οὐδὲ ἐπιτιμῆσαί τινι δυνάμεθα.*

Ἀλλ' ὅμως κἂν ἀπὸ τοῦ νῦν φεύγωμεν τὴν ἐντεῦθεν βλάβην· ὑμεῖς τε οἱ τὸν βόρβορον τοῦτον ἀνελίττοντες, παύσασθε τῆς τοιαύ- 10 *της λύμης, καὶ ἐπίσχετε τὴν ἐν τοῖς τοιούτοις συμποσίοις ὁρμήν, εἴ πως κἂν νῦν δυνηθῶμεν ἐξιλεώσασθαι τὸν Θεὸν καὶ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ* 15 *εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

17. Ἰω. 14,2.

τοῦ Πατέρα μου πολλοὶ τόποι διαμονῆς ὑπάρχουν»[17]. «Ὁ δοῦλος λοιπὸν δὲν μένει στὸ σπίτι τοῦ κυρίου του ὡς κληρονόμος καὶ παντοτινὸς κάτοχος». Δοῦλο λέγει ἐκεῖνον, τὸν δοῦλο τῆς ἁμαρτίας. Καὶ αὐτὸς ποὺ δὲν μένει στὸ σπίτι ὡς παντοτινὸς κάτοχος, μένει στὴν κόλασι αἰώνια, χωρὶς νὰ ἔχῃ ἀπὸ πουθενὰ κάποια παρηγοριά. Ἀλλὰ σὲ τόσο μέγεθος κακίας ἔφθασαν τὰ πράγματα, ὥστε καὶ ἐλεημοσύνη νὰ κάνουν ἀπὸ αὐτὰ καὶ πολλοὶ νὰ δέχωνται αὐτὴν τὴν ἐλεημοσύνη. Γι᾽ αὐτὸ ἔχει χαθῆ ἡ παρρησία μας καὶ δὲν μποροῦμε νὰ ἐπιτιμήσουμε κανέναν.

Ἀλλ᾽ ὅμως ἔστω καὶ ἀπὸ τώρα ἂς ἀποφεύγουμε τὴ βλάβη ποὺ προέρχεται ἀπὸ αὐτά· καὶ ἐσεῖς ποὺ μὲ εὐκολία ἀνακινεῖτε τὸν βόρβορο αὐτὸν σταματῆστε αὐτὴν τὴν καταστροφὴ καὶ συγκρατῆστε τὴν ὁρμὴ ποὺ ἔχετε πρὸς αὐτοῦ τοῦ εἴδους τὰ συμπόσια, μήπως, ἔστω καὶ τώρα, μπορέσουμε νὰ ἐξιλεώσουμε τὸν Θεὸ καὶ νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχουν ὑποσχεθῆ, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΣΤ'

(Ἑβρ. 11,20–28)

«Πίστει καὶ περὶ μελλόντων ηὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ ηὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ράβδου αὐτοῦ. Πίστει Ἰωσὴφ τελευτῶν, περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ
5 *ἐμνημόνευσε, καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο».*

1. «Πολλοί», φησί, «προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν». Ἆρα πάντα τὰ μέλλοντα ᾔδεσαν οἱ δίκαιοι; Καὶ σφόδρα. Εἰ γὰρ καὶ διὰ τὴν ἀσθένειαν τῶν μὴ δυναμένων αὐτὸν δέξασθαι, οὐκ
10 ἀπεκαλύπτετο ὁ Υἱός, τοῖς ἐν ἀρετῇ διαλάμπουσιν εἰκότως ἀπεκαλύπτετο. Τοῦτο καὶ νῦν ὁ Παῦλός φησιν, ὅτι τὰ μέλλοντα ᾔδεσαν, τουτέστι, τὴν ἀνάστασιν τοῦ Χριστοῦ. Ἢ οὖν τοῦτό φησι, ἢ τό, «πίστει περὶ μελλόντων», οὐ περὶ τοῦ μέλλοντος αἰῶνος, ἀλλὰ περὶ τῶν ἐνταῦθα μελλόντων ὕστερον γίνεσθαι, λέγει. Ἂν γὰρ μὴ
15 τοῦτο, πῶς ἄνθρωπος καθήμενος ἐν ξένῃ, τοιαύτας εὐλογίας ἠδύνατο διδόναι; Πῶς δὲ πάλιν ἐπέτυχεν εὐλογίας, καὶ οὐκ ἔλαβεν αὐτήν;

Ὁρᾷς ὅτι ὅπερ ἔφην ἐπὶ μὲν τοῦ Ἀβραὰμ καὶ ἐπὶ τοῦ Ἰακὼβ ἔστιν εἰπεῖν, ὅτι οὐκ ἀπώνατο τῆς εὐλογίας, ἀλλ' εἰς ἐκγόνους
20 ἐξῆλθε τὰ τῶν εὐλογιῶν, αὐτὸς δὲ τῶν μελλόντων ἔτυχεν; εὐρί-

ΟΜΙΛΙΑ ΚΣΤ'

(Ἑβρ. 11, 20–28)

«Πίστεψε ὁ Ἰσαὰκ καὶ γι' αὐτὸ ἔδωσε εὐχὲς καὶ εὐλογίες στὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ γιὰ πράγματα ποὺ θὰ τοὺς συνέβαιναν στὸ μέλλον. Μὲ πίστι ὁ Ἰακώβ, ὅταν πέθαινε, εὐλόγησε καθένα ἀπὸ τὰ δυὸ παιδιὰ τοῦ Ἰωσήφ, καὶ ἐπροσκύνησε αὐτόν, ἀκουμπώντας τὸ κεφάλι του στὸ ἄκρο τῆς ράβδου του. Ἐξ αἰτίας τῆς πίστεώς του ὁ Ἰωσήφ, ὅταν πέθαινε, μίλησε γιὰ τὴν ἔξοδο τῶν Ἰσραηλιτῶν ἀπὸ τὴν Αἴγυπτο καὶ ἔδωσε ἐντολὴ γιὰ τὴ μεταφορὰ τῶν ὀστῶν του».

1. «Πολλοί», λέγει, «προφῆτες καὶ δίκαιοι ἐπεθύμησαν νὰ δοῦν αὐτὰ ποὺ βλέπετε ἐσεῖς καὶ δὲν τὰ εἶδαν, καὶ ν' ἀκούσουν αὐτὰ ποὺ ἀκοῦτε καὶ δὲν τὰ ἄκουσαν»[1]. Ἄραγε ὅλα τὰ μελλοντικὰ τὰ γνώριζαν οἱ δίκαιοι; Καὶ βέβαια. Διότι, ἐὰν ἐξ αἰτίας τῆς ἀδυναμίας ἐκείνων ποὺ δὲν μποροῦσαν νὰ τὸν δεχθοῦν δὲν ἀποκαλυπτόταν ὁ Υἱός, ὅμως ἀποκαλυπτόταν σ' ἐκείνους ποὺ ἔλαμπαν μὲ τὴν ἀρετή τους. Αὐτὸ καὶ τώρα λέγει ὁ Παῦλος, ὅτι γνώριζαν τὰ μέλλοντα, δηλαδή, τὴν ἀνάστασι τοῦ Χριστοῦ. Ἢ αὐτὸ λοιπὸν λέγει, ἢ τὸ «πίστει περὶ μελλόντων» δὲν ἀναφέρεται στὸν μέλλοντα αἰῶνα, ἀλλὰ σ' αὐτὰ ποὺ πρόκειται νὰ συμβοῦν ἐδῶ ἀργότερα. Διότι, ἐὰν δὲν ἐννοῆ αὐτό, πῶς ἄνθρωπος, ποὺ ἔμενε σὲ ξένη χώρα, θὰ μποροῦσε νὰ δίνη τέτοιες εὐλογίες, καὶ πῶς πάλι ἐπέτυχε τὴν εὐλογία, καὶ δὲν τὴν ἔλαβε;

Βλέπεις ὅτι αὐτὸ ποὺ εἶπα γιὰ τὸν Ἀβραὰμ ἰσχύει καὶ γιὰ τὸν Ἰακώβ, ὅτι δὲν ἀπήλαυσε τὴν εὐλογία, ἀλλὰ οἱ εὐλογίες πραγματοποιήθηκαν στοὺς ἀπογόνους του, ἐνῶ ὁ ἴδιος ἐπέτυχε τὰ ἀγαθὰ τοῦ

1. Ματθ. 13,17.

σκομεν γὰρ τὸν ἀδελφὸν μᾶλλον ἀπολελαυκότα. Ὁ μὲν γὰρ ἐν δουλείᾳ καὶ θητείᾳ καὶ κινδύνοις καὶ ἐπιβουλαῖς καὶ ἀπάταις καὶ φόβοις τὸν ἅπαντα διεγένετο χρόνον, ἐρωτώμενός τε παρὰ τοῦ Φαραὼ φησι· «μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου γεγόνασιν»· ἐκεῖνος δὲ ἐν
5 *ἀδείᾳ καὶ αὐθεντίᾳ πολλῇ, καὶ μετὰ ταῦτα ἦν αὐτῷ φοβερός. Ποῦ οὖν ἐξέβησαν αἱ εὐλογίαι, ἀλλ' ἢ ἐν τῷ μέλλοντι; Ὁρᾷς ὅτι ἄνωθεν οἱ πονηροὶ τῶν ἐνταῦθα ἀπήλαυον, οἱ δὲ δίκαιοι τοὐναντίον, οὐ μὴν πάντες. Ἰδοὺ γὰρ ὁ Ἀβραὰμ δίκαιος ἦν καὶ ἀπήλαυσε καὶ τῶν ἐνταῦθα, πλὴν μετὰ θλίψεως καὶ πειρασμῶν· καὶ γὰρ πλοῦτος ἦν*
10 *αὐτῷ μόνον, ἐπεὶ τὰ ἄλλα πάντα θλίψεως ἔγεμε τὰ κατ' αὐτόν. Οὐ γὰρ ἔστι τὸν δίκαιον μὴ θλίβεσθαι, κἂν πλουτῇ· ὅταν γὰρ βούληται πλεονεκτεῖσθαι, ἀδικεῖσθαι, τὰ ἄλλα πάσχειν, ἀνάγκη θλίβεσθαι. Ὥστε κἂν ἀπολαύῃ τοῦ πλούτου, οὐκ ἀλύπως. Τί δήποτε; Ὅτι ἐν θλίψει ἐστὶ καὶ ὀδύνῃ. Εἰ δὲ τότε ἐν θλίψει οἱ δίκαιοι, πολλῷ μᾶλ-*
15 *λον νῦν.*

«Πίστει περὶ μελλόντων», φησίν, «εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ». Καίτοι γε μείζων ἦν ὁ Ἡσαῦ· ἀλλὰ προτίθησιν ἀπὸ τῆς ἀρετῆς τὸν Ἰακώβ. Ὁρᾷς ὅτι ἦν ἡ πίστις; Πόθεν γὰρ ἐπηγγείλατο τοῖς υἱοῖς τὰ τοσαῦτα ἀγαθά, ἢ ἀπὸ τοῦ πιστεύειν τῷ
20 *Θεῷ πάντως; «Πίστει Ἰακὼβ ἀποθνήσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησεν». Ἐνταῦθα χρὴ θεῖναι τὰς εὐλογίας ὅλας, ἵνα καὶ ἡ πίστις καὶ ἡ προφητεία αὐτοῦ κατάδηλος γένηται. «Καὶ προσεκύνησε», φησίν, «ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ». Ἐνταῦθα δείκνυσιν, ὅτι οὐ μόνον εἶπεν, ἀλλὰ καὶ οὕτως ἐθάρρει τοῖς ἐσομένοις, ὡς*
25 *καὶ τῷ ἔργῳ αὐτῷ ἐπιδεῖξαι. Ἐπειδὴ γὰρ ἔμελλεν ἀπὸ τοῦ Ἐφραὶμ ἀνίστασθαι βασιλεὺς ἕτερος, διὰ τοῦτό φησι· «καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ». Τουτέστι, καὶ γέρων ὢν ἤδη προσεκύνει τῷ Ἰωσήφ, τὴν παντὸς τοῦ λαοῦ προσκύνησιν δηλῶν τὴν ἐσομένην αὐτῷ. Καὶ τοῦτο ἐξέβη μὲν ἤδη, ὅτε αὐτῷ οἱ ἀδελφοὶ*

2. Γέν. 47,9.

μέλλοντος αἰῶνος; διότι βλέπουμε τὸν ἀδελφό του μᾶλλον νὰ τὰ ἔχη ἀπολαύσει. Καθόσον ὁ Ἰακὼβ σ' αὐτὸν τὸν κόσμο πέρασε ὅλη του τὴ ζωὴ σὰν δοῦλος καὶ σὰν ὑπηρέτης μέσα σὲ κινδύνους καὶ ἔχθρες καὶ ἀπάτες καὶ φόβους, κι' ὅταν τὸν ἐρώτησε ὁ Φαραὼ εἶπε· «λίγα καὶ βασανισμένα εἶναι τὰ ἔτη τῆς ζωῆς μου»[2]· ἐνῶ ὁ Ἠσαῦ ζοῦσε μὲ ἀσφάλεια καὶ μὲ πολλὴ δύναμι, καὶ ὕστερα ἀπὸ αὐτὰ ἔγινε φοβερὸς καὶ στὸν ἴδιο τὸν Ἰακώβ. Ποῦ λοιπὸν πραγματοποιήθηκαν οἱ εὐλογίες, ἂν ὄχι στὸν μέλλοντα αἰῶνα; Βλέπεις ὅτι ἀνέκαθεν οἱ πονηροὶ ἀπολάμβαναν τὰ ἀγαθὰ αὐτῆς τῆς ζωῆς, ἐνῶ οἱ δίκαιοι τὰ ἀντίθετα, ὄχι βέβαια ὅλοι. Διότι νά, ὁ Ἀβραὰμ ἦταν δίκαιος καὶ ἀπήλαυσε καὶ τὰ ἀγαθὰ αὐτῆς τῆς ζωῆς, ἂν καὶ μὲ θλίψεις καὶ δοκιμασίες· καθόσον μόνο πλοῦτο εἶχε, ἐνῶ ὅλα τὰ ἄλλα τὰ σχετικὰ μ' αὐτὸν ἦταν γεμᾶτα ἀπὸ θλίψεις. Διότι δὲν εἶναι δυνατὸ νὰ μὴ θλίβεται ὁ δίκαιος, ἔστω κι' ἂν εἶναι πλούσιος· ὅταν δηλαδὴ προτιμᾶ νὰ ἐξαπατᾶται, νὰ ἀδικῆται, καὶ νὰ ὑποφέρη ὅλα τὰ ἄλλα, εἶναι φυσικὸ νὰ θλίβεται. Ὥστε, κι' ἂν ἀκόμη ἀπολαμβάνη τὸν πλοῦτο του, τὸν ἀπολαμβάνει ὄχι χωρὶς λύπη. Γιατί ἄραγε; Διότι ζεῖ μέσα στὶς θλίψεις καὶ τὶς λύπες. Καὶ ἂν τότε ζοῦσαν μέσα στὶς θλίψεις οἱ δίκαιοι, πολὺ περισσότερο τώρα.

«Μὲ πίστι», λέγει, «ὁ Ἰσαάκ, γι' αὐτὰ ποὺ θὰ συνέβαιναν στὸ μέλλον, εὐλόγησε τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ». Ἂν καὶ ἦταν μεγαλύτερος ὁ Ἠσαῦ· ἀλλὰ βάζει μπροστὰ τὸν Ἰακώβ, ἐξ αἰτίας τῆς ἀρετῆς του. Βλέπεις τὸ μεγαλεῖο τῆς πίστεως; Διότι ἀπὸ ποῦ ὑποσχέθηκε τὰ τόσα ἀγαθὰ στὰ παιδιά του, παρὰ ἀπὸ τὸ ὅτι πίστευε ἐξ ὁλοκλήρου στὸν Θεό. «Μὲ πίστι ὁ Ἰακὼβ ὅταν πέθαινε εὐλόγησε καθένα ἀπὸ τὰ δύο παιδιὰ τοῦ Ἰωσήφ». Ἐδῶ πρέπει ν' ἀναφέρουμε ὅλες τὶς εὐλογίες, γιὰ νὰ γίνη ὁλοφάνερη καὶ ἡ πίστις καὶ ἡ προφητεία του. «Καὶ προσκύνησε», λέγει, «τὸν Ἰωσὴφ ἀκουμπώντας τὸ κεφάλι του στὴν ἄκρη τῆς ράβδου του». Μ' αὐτὸ δείχνει ὅτι ὄχι μόνο εἶπε, ἀλλὰ καὶ ἦταν τόσο σίγουρος γιὰ ὅσα θὰ συνέβαιαν στὸ μέλλον, ὥστε καὶ μὲ τὴν ἴδια του τὴν πρᾶξι νὰ τὸ δείξη. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο ἀπὸ τὸν Ἐφραὶμ νὰ προέλθη ἄλλος βασιλιάς, γι' αὐτὸ λέγει, «καὶ προσκύνησε στηριζόμενος στὴν ἄκρη τῆς ράβδου του». Δηλαδή, ἂν καὶ ἦταν ἤδη γέρος, προσκύνησε τὸν Ἰωσήφ, ὑποδηλώνοντας τὴν προσκύνησι ποὺ θὰ τοῦ γινόταν ἀπὸ ὅλο τὸν λαό. Καὶ αὐτὸ ἤδη πραγματοποιήθηκε, ὅταν οἱ ἀδελφοί του τὸν

προσεκύνησαν, ἐκβήσεσθαι δὲ ἔμελλε καὶ ὕστερον διὰ τῶν δέκα φυλῶν.

Ὁρᾷς πῶς τὰ ὕστερον ἐσόμενα προεῖπεν; Ὁρᾷς ὅσην εἶχον πίστιν; πῶς ὑπὲρ τῶν ἐσομένων ἐπίστευον; Τὰ μὲν γὰρ ὑπομονῆς 5 ἐνταῦθά ἐστιν ὑποδείγματα μόνης, τὰ παρόντα, καὶ τοῦ παθεῖν κακῶς καὶ τοῦ μηδὲν ἀπολαμβάνειν ἀγαθόν, οἷον τὸ ἐπὶ τοῦ Ἀβραάμ, τὸ ἐπὶ τοῦ Ἄβελ· τὰ δὲ πίστεως, οἷον ἐπὶ τοῦ Νῶε, ὅτι ἔστιν ὁ Θεός, ὅτι ἔστιν ἀνταπόδοσις. Ἡ πίστις γὰρ πολύσημός ἐστι λέξις· καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο, σημαίνει· ἐνταῦθα δὲ σημαντική 10 ἐστι τοῦ τε εἶναι ἀνταπόδοσιν, καὶ τοῦ μὴ ἐπὶ τοῖς αὐτοῖς αὐτὴν ἀναμένειν πάντας, καὶ τοῦ πρὸ τῶν ἐπάθλων ἀθλεῖν. Καὶ τὰ κατὰ τὸν Ἰωσὴφ δὲ πίστεως μόνης ἐστίν· ὅτι γὰρ ἐπηγγείλατο τῷ Ἀβραάμ, ὅτι ὑπέσχετο· «σοὶ δώσω καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην», ἤκουσεν ὁ Ἰωσήφ· καὶ ἐν ἀλλοτρίᾳ ὤν, καὶ οὐδέπω ὁρῶν 15 ἐκβεβηκυῖαν τὴν ὑπόσχεσιν, οὐδὲ οὕτω κατέπεσεν, ἀλλ' οὕτως ἐπίστευσεν, ὡς καὶ περὶ τῆς ἐξόδου εἰπεῖν καὶ περὶ τῶν ὀστῶν αὐτοῦ ἐντείλασθαι. Οὐκ ἄρα μόνος αὐτὸς ἐπίστευσεν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐνῆγεν εἰς πίστιν. Διὰ τοῦτο καὶ ἐντέλλεται, ἵνα ἀεὶ τῆς ἐξόδου μεμνημένοι ὦσιν· οὐκ ἂν δὲ περὶ τῶν ὀστῶν αὐτοῦ ἐνετείλατο, 20 εἰ μὴ πεπληροφόρητο ἔσεσθαι τὴν ἐπάνοδον. Ὥστε, ὅταν τινὲς λέγωσιν, 'Ἰδοὺ καὶ δίκαιοι ἐφρόντισαν μνημείων', λέγωμεν πρὸς αὐτοὺς ὅτι διὰ τοῦτο, ἄλλως δὲ οὐδαμῶς· ᾔδει γάρ, ὅτι «τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Οὐκ ἂν οὖν ἐν τοσαύτῃ ζήσας φιλοσοφίᾳ τοῦτο ἠγνόησεν, ὁ τὸν ἅπαντα χρόνον ἐν Αἰγύπτῳ ζήσας. Καί-25 τοι γε ἐξῆν, εἴγε ἐβούλετο, ἐπανελθεῖν καὶ μὴ πενθῆσαι μηδὲ δυσχερᾶναι. Ἀλλὰ καὶ τὸν πατέρα ἐκεῖ ἀναγαγών, τίνος ἕνεκεν καὶ τὰ αὐτοῦ ὀστᾶ ἀναγαγεῖν ἐκεῖθεν ἐπέσκηψεν, ἢ δῆλον ὅτι διὰ τοῦτο;

2. Τί δέ, εἰπέ μοι, τοῦ Μωϋσέως αὐτοῦ τὰ ὀστᾶ οὐκ ἐν ξένῃ κεῖται; τὰ δὲ Ἀαρών, τὰ δὲ τοῦ Δανιήλ, τὰ δὲ τοῦ Ἰερεμίου, τὰ δὲ 30 τῶν ἀποστόλων οὐδὲ ἴσμεν τῶν πολλῶν ὅπου κεῖται. Πέτρου μὲν γὰρ καὶ Παύλου καὶ Ἰωάννου καὶ Θωμᾶ δῆλοι οἱ τάφοι, τῶν δὲ

3. Ψαλμ. 23,1.

προσκύνησαν· ἐπρόκειτο ὅμως καὶ ἀργότερα νὰ συμβῇ μέσω τῶν δέκα φυλῶν.

Βλέπεις πῶς προεῖπε αὐτὰ ποὺ θὰ συνέβαιναν στὸ μέλλον; βλέπεις πόση πίστι εἶχαν; πῶς πίστευαν γιὰ ἐκεῖνα ποὺ θὰ συνέβαιναν στὸ μέλλον; Πράγματι ἄλλα ἀπὸ αὐτὰ εἶναι παραδείγματα ὑπομονῆς μόνο, δηλαδὴ αὐτὰ ποὺ συμβαίνουν τώρα, καὶ οἱ κακουχίες καὶ τὸ ὅτι δὲν ἀπήλαυσαν κανένα ἀγαθό, ὅπως συνέβηκε μὲ τὸν Ἀβραάμ, μὲ τὸν Ἄβελ· ἐνῶ ἄλλα εἶναι παραδείγματα πίστεως, ὅπως ἡ περίπτωσις τοῦ Νῶε, ὅτι ὑπάρχει ὁ Θεός, ὅτι ὑπάρχει ἀνταπόδοσις. Διότι ἡ πίστις εἶναι λέξις μὲ πολλὲς σημασίες· καὶ ἄλλοτε σημαίνει αὐτό, ἄλλοτε πάλι ἐκεῖνο· καὶ ἐδῶ σημαίνει καὶ ὅτι ὑπάρχει ἀνταπόδοσις, καὶ ὅτι ὅλοι δὲν πρέπει νὰ τὴν περιμένουν μὲ τοὺς ἴδιους ὅρους, καὶ ὅτι ἀπαιτεῖται ἀγώνας πρὶν ἀπὸ τὰ ἔπαθλα. Καὶ τὰ σχετικὰ μὲ τὸν Ἰωσὴφ ὀφείλονται ἀποκλειστικὰ καὶ μόνο στὴν πίστι. Πράγματι, ἐπειδὴ εἶχε παραγγείλει στὸν Ἀβραάμ, ἐπειδὴ τοῦ εἶχε ὑποσχεθῆ, «σὲ σένα καὶ στοὺς ἀπογόνους σου θὰ δώσω αὐτὴ τὴ γῆ», ὑπάκουσε ὁ Ἰωσήφ· καὶ ἂν καὶ ἦταν σὲ ξένη χώρα καὶ δὲν ἔβλεπε ἀκόμη νὰ πραγματοποιῆται ἡ ὑπόσχεσις, ὅμως δὲν ἔπαυσε ἡ πίστις του καὶ τόσο πολὺ πίστεψε, ὥστε καὶ γιὰ τὴν ἔξοδο μίλησε καὶ γιὰ τὰ ὀστᾶ του ἄφησε παραγγελία. Καὶ ὄχι μόνο αὐτος πίστεψε, ἀλλὰ καὶ τοὺς ἄλλους ὡδήγησε στὴν πίστι. Γι' αὐτὸ καὶ παραγγέλλει νὰ ἔχουν πάντα στὸ νοῦ τους τὴν ἔξοδο. Καὶ δὲν θὰ παρήγγειλε γιὰ τὰ ὀστᾶ του, ἐὰν δὲν εἶχε τὴν βεβαιότητα ὅτι θὰ γίνη ἡ ἐπάνοδος. Ὥστε, ὅταν μερικοὶ λένε, 'νά, καὶ οἱ δίκαιοι φρόντισαν γιὰ τὰ μνήματά τους', ἂς τοὺς λέμε, ὅτι γι' αὐτὸ φρόντισε, ὄχι γιὰ ἄλλον λόγο· διότι γνώριζε ὅτι «τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς»[3]. Αὐτὸ δὲν θὰ τὸ ἀγνοοῦσε αὐτὸς ποὺ ἔζησε μὲ τόση ἀρετή, αὐτὸς ποὺ ἔζησε ὅλη του τὴ ζωὴ στὴν Αἴγυπτο. Ἂν καὶ μποροῦσε, βέβαια, ἐφ' ὅσον τὸ ἤθελε νὰ ἐπανέλθη καὶ νὰ μὴν πενθῆ οὔτε νὰ ὑποφέρη. Ἀλλά, ἀφοῦ ἔφερε καὶ τὸν πατέρα του ἐκεῖ, γιὰ ποιόν ἄλλο λόγο παρήγγειλε καὶ τὰ δικά του ὀστᾶ νὰ τὰ μεταφέρουν ἐκεῖ· δὲν εἶναι φανερὸ ὅτι γι' αὐτό;

2. Ἀλλὰ πές μου, τί; τὰ ὀστᾶ τοῦ Μωϋσῆ δὲν βρίσκονται σὲ ξένη γῆ; τὰ ὀστᾶ πάλι τοῦ Ἀαρών, τοῦ Δανιήλ, τοῦ Ἰερεμία, καθὼς καὶ τὰ ὀστᾶ τῶν ἀποστόλων οὔτε γνωρίζουμε τῶν περισσοτέρων ποῦ βρίσκονται. Διότι τοῦ Πέτρου καὶ τοῦ Παύλου καὶ τοῦ Ἰωάννη καὶ

ἄλλων τοσούτων ὄντων, οὐδαμοῦ γνώριμοι γεγόνασι. Μηδὲν τοίνυν ὑπὲρ τούτου κοπτώμεθα, μηδὲ οὕτω μικροψυχῶμεν· ὅπου γὰρ ἂν ταφῶμεν, «τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς». Πάντως ὃ δεῖ γενέσθαι, γίνεται· τὸ μέντοι πενθεῖν καὶ κόπτεσθαι τοὺς ἀπελ-
5 *θόντας καὶ ὀδύρεσθαι, ἀπὸ μικροψυχίας γίνεται*

«Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ». Ὁρᾷς ὅτι ἐνταῦθα τὰ μετὰ θάνατον ἤλπιζον ἐν τῇ γῇ; Καὶ πολλὰ ἐκβέβηκε μετὰ θάνατον αὐτῶν. Τοῦτο πρὸς τὸ λέγειν τινάς, μετὰ θάνατον γίνεται ταῦτα ἐκείνοις, ὧν οὐκ ἔτυχον ζῶντες,
10 *οὔτε μετὰ θάνατον ἐπίστευον. Καὶ οὐκ εἶπεν ὁ Ἰωσήφ, 'Ζῶντί μοι τὴν γῆν οὐκ ἔδωκεν, οὐδὲ τῷ πατρὶ τῷ ἐμῷ, οὐδὲ τῷ πάππῳ τῷ ἐμῷ, οὗ καὶ τὴν ἀρετὴν αἰδεσθῆναι ἔδει· τούτους δὲ τοὺς μοχθηροὺς ἀξιώσει ὧν ἐκείνους οὐκ ἠξίωσεν;' Οὐδὲν τούτων εἶπεν, ἀλλὰ τῇ πίστει ταῦτα πάντα καὶ ἐνίκησε καὶ ὑπερέβη. Εἶπε τὸν*
15 *Ἄβελ, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Ἰωσήφ, πάντας ἐπιδόξους καὶ θαυμαστούς. Πάλιν αὔξει τὴν παράκλησιν, εἰς πρόσωπα εὐτελῆ κατάγων τὸ πρᾶγμα. Τὸ μὲν γὰρ θαυμαστὰ πρόσωπα τοῦτο παθεῖν θαυμαστὸν οὐδέν, καὶ τὸ ἐκείνων ἐλάττους φανῆναι οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ ἀνωνύμων ἐλάττους*
20 *ὀφθῆναι, τοῦτό ἐστι τὸ δεινόν. Καὶ ἄρχεται ἀπὸ τῶν γονέων τοῦ Μωϋσέως, ἀσήμων τινῶν ἀνδρῶν καὶ οὐδὲν τοσοῦτον ἐχόντων ὅσον ὁ παῖς. Διὰ τοῦτο καὶ προϊὼν αὔξει τὴν ἀτοπίαν καὶ πόρνας γυναῖκας καὶ χήρας καταλέγων· «πίστει γάρ», φησί, «Ραὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους*
25 *μετ' εἰρήνης». Καὶ οὐ μόνον τῆς πίστεως, ἀλλὰ καὶ τῆς ἀπιστίας τίθησι τὰ ἐπίχειρα, ὡς ἐπὶ τοῦ Νῶε. Τέως δὲ περὶ τῶν γονέων τοῦ Μωϋσέως ἀναγκαῖον εἰπεῖν.*

Πάντα τὰ ἄρρενα ἀπόλλυσθαι ἐκέλευσεν ὁ Φαραώ, καὶ οὐδεὶς ἐξέφυγε τὸν κίνδυνον. Πόθεν οὖν οὗτοι προσεδόκησαν σῶσαι

4. Ψαλμ. 23,1.

τοῦ Θωμᾶ εἶναι γνωστοὶ οἱ τάφοι, τῶν ἄλλων ὅμως, ἂν καὶ εἶναι τόσοι πολλοί, πουθενὰ δὲν ἔχουν ἀνακαλυφθῆ. Ἂς μὴ θρηνοῦμε λοιπὸν γι' αὐτό, ἂς μὴν μικροψυχοῦμε· διότι ὅπου κι' ἂν ταφοῦμε «τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς»[4]. Ὁπωσδήποτε ἐκεῖνο ποὺ πρέπει νὰ γίνη γίνεται· τὸ νὰ πενθῆ λοιπὸν κανεὶς καὶ νὰ θρηνῆ γι' αὐτοὺς ποὺ ἔχουν φύγει ἀπὸ τὴ ζωὴ καὶ νὰ ὀδύρεται, προέρχεται ἀπὸ τὴν μικροψυχία.

«Λόγῳ τῆς πίστεως τῶν γονέων του ὁ Μωϋσῆς ὅταν γεννήθηκε κρύφθηκε τρεῖς μῆνες ἀπὸ αὐτούς». Βλέπεις ὅτι ἐδῶ ἤλπιζαν τὰ μετὰ θάνατο νὰ τ' ἀπολαύσουν στὴ γῆ; Καὶ πολλὰ πραγματοποιήθηκαν μετὰ τὸν θάνατό τους. Αὐτὸ πρὸς ἐκείνους ποὺ λένε, ὅτι μετὰ τὸν θάνατο συμβαίνουν αὐτὰ σ' ἐκείνους, ποὺ δὲν τὰ ἀπέκτησαν ὅσο ζοῦσαν, οὔτε μετὰ τὸν θάνατο πίστευαν νὰ τὰ λάβουν. Καὶ δὲν εἶπε ὁ Ἰωσήφ, 'ὅσο ζῶ δὲν μοῦ ἔδωσε τὴ γῆ, οὔτε στὸν πατέρα μου τὴν ἔδωσε, οὔτε στὸν παπποῦ μου, τοῦ ὁποίου μάλιστα ἔπρεπε νὰ σεβασθῆ καὶ τὴν ἀρετή, καὶ θα δώση σ' αὐτοὺς τοὺς μοχθηροὺς αὐτὰ ποὺ δὲν ἔδωσε σ' ἐκείνους;' Τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε, ἀλλὰ μὲ τὴν πίστι ὅλα αὐτὰ καὶ τὰ νίκησε καὶ τὰ ξεπέρασε. Ἀνέφερε τὸν Ἄβελ, τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Ἰωσήφ, ὅλους τοὺς μεγάλους καὶ ἀξιοθαύμαστους. Πάλι αὐξάνει τὴν παρηγοριά, μεταφέροντας τὸ πρᾶγμα σὲ πρόσωπα εὐτελῆ. Διότι τὸ νὰ τὸ ἔπαθαν αὐτὸ πρόσωπα θαυμαστὰ δὲν εἶναι καθόλου θαυμαστό, καὶ τὸ νὰ φανοῦμε κατώτεροι ἀπὸ ἐκείνους δὲ εἶναι τόσο φοβερό, τὸ νὰ φανοῦμε ὅμως κατώτεροι ἀπὸ κοινὰ πρόσωπα, αὐτὸ εἶναι τὸ φοβερό. Καὶ ἀρχίζει ἀπὸ τοὺς γονεῖς τοῦ Μωϋσῆ, ποὺ ἦταν ἀσήμαντοι ἄνθρωποι καὶ δὲν εἶχαν τίποτε στὸν κόσμο τόσο πολύτιμο, ὅσο τὸ παιδί τους. Γι' αὐτὸ καὶ προχωρώντας αὐξάνει τὴν παραλογία, ἀναφέροντας καὶ πόρνες γυναῖκες καὶ χῆρες· διότι λέγει, «λόγῳ τῆς πίστεώς της ἡ Ραὰβ ἡ πόρνη δὲν θανατώθηκε μαζὶ μὲ τοὺς συμπατριῶτες της ποὺ δὲν πειθάρχησαν, ἐπειδὴ δέχθηκε μὲ εἰρηνικὲς διαθέσεις τοὺς κατασκόπους». Καὶ ὄχι μόνο τῆς πίστεως, ἀλλὰ καὶ τῆς ἀπιστίας παρουσιάζει τὶς ἀμοιβές, ὅπως ἐπὶ τῆς ἐποχῆς τοῦ Νῶε. Πρῶτα ὅμως εἶναι ἀνάγκη νὰ μιλήσουμε γιὰ τοὺς γονεῖς τοῦ Μωϋσῆ.

Διέταξε τότε ὁ Φαραὼ ὅλα τὰ ἀρσενικὰ παιδιὰ νὰ θανατώνωνται καὶ κανεὶς δὲν διέφυγε τὸν κίνδυνο. Ἀπὸ ποῦ λοιπὸν αὐτοὶ πε-

τὸ παιδίον; «Ἀπὸ πίστεως»· ποίας πίστεως; «Εἶδον», φησίν, «ἀστεῖον τὸ παιδίον». Αὕτη ἡ ὄψις αὐτοὺς πρὸς τὴν πίστιν ἐπεσπάσατο. Οὕτως ἄνωθεν· καὶ ἐξ αὐτῶν τῶν σπαργάνων πολλὴ τῷ δικαίῳ ἡ χάρις ἐπεκέχυτο, οὐ τῆς φύσεως, ἀλλὰ τοῦ Θεοῦ τοῦτο ἐρ-
5 *γαζομένης. Σκόπει γάρ· εὐθέως τεχθὲν καλὸν φαίνεται τὸ παιδίον, ἀλλ' οὐχὶ εἰδεχθές. Τίνος οὖν ἦν τοῦτο; Οὐ τῆς φύσεως, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ, ἣ καὶ τὴν βάρβαρον ἐκείνην γυναῖκα τὴν Αἰγυπτίαν διήγειρε καὶ ἀνέρρωσε, καὶ εἷλε καὶ ἐπεσπάσατο· καίτοι γε ἡ πίστις οὐχ ἱκανὴν εἶχεν ἐπὶ τούτων τὴν ὑπόθεσιν· τί γὰρ ἦν ἀπὸ τῆς*
10 *ὄψεως πιστεῦσαι; Ἀλλ' ὑμεῖς, φησίν, ἀπὸ πραγμάτων πιστεύετε, καὶ πολλὰ τῆς πίστεως ἐνέχυρα ἔχοντες· τὸ γὰρ «μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων προσδέξασθαι», καὶ ὅσα τοιαῦτα, πίστεώς ἐστι καὶ ὑπομονῆς. Ἀλλ' ἐπειδὴ καὶ οὗτοι ἐπίστευσαν, εἶτα ὠλιγοψύχησαν, δείκνυσιν ὅτι καὶ ἡ πίστις ἡ ἐκείνων εἰς πολὺ πα-*
15 *ρετείνετο· οἷα ἡ τοῦ Ἀβραάμ, καίτοι τῶν πραγμάτων δοκούντων μάχεσθαι. «Καὶ οὐκ ἐφοβήθησαν, φησί, τὸ διάταγμα τοῦ βασιλέως». Καίτοι γε ἐκεῖνο ἐνεργεῖτο· τοῦτο δὲ ἁπλῶς ψιλή τις ἦν προσδοκία. Καὶ τοῦτο μὲν τῶν γονέων ἦν· αὐτὸς δὲ ὁ Μωϋσῆς οὐδὲν εἰσήνεγκεν.*

20 *Εἶτα πάλιν οἰκεῖον αὐτοῖς τὸ ὑπόδειγμα ἕτερον λέγει· μᾶλλον δὲ ἐκείνου μεῖζον. Ποῖον δὴ τοῦτο; «Πίστει», γάρ, φησί, «Μωϋσῆς γενόμενος μέγας, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰ-*
25 *γύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν». Ὡς ἂν εἰ ἔλεγε πρὸς αὐτούς, 'Οὐδεὶς ὑμῶν ἀφῆκε βασίλεια, καὶ βασίλεια λαμπρά, οὐ θησαυροὺς τοιούτους, οὐδέ, ἐξὸν εἶναι βασιλέως υἱόν, κατεφρόνησε τούτου, καθὼς ὁ Μωϋσῆς πεποίηκε'. Καὶ ὅτι οὐχ ἁπλῶς ἀφῆκεν, ἐδήλωσεν εἰπών,*
30 *«ἠρνήσατο»· τουτέστιν, ἐμίσησεν, ἀπεστράφη. Τοῦ γὰρ οὐρανοῦ προκειμένου, περιττὸν ἦν τὰ βασίλεια θαυμάζειν τὰ Αἰγύπτου.*

ρίμεναν νὰ σώσουν τὸ παιδί; Ἀπὸ τὴν πίστι τους. Ἀπὸ ποιά πίστι; «Εἶδαν», λέγει, «χαριτωμένο τὸ παιδί». Αὐτὴ ἡ ὄψις τοῦ παιδιοῦ τοὺς προσείλκυσε πρὸς τὴν πίστι. Ἔτσι ἀπὸ τὴν πρώτη στιγμὴ καὶ ἐνῶ ἀκόμη βρισκόταν στὰ σπάργανα χύθηκε πλούσια ἡ χάρις ἐπάνω στὸν δίκαιο, ὄχι τῆς φύσεως, ἀλλὰ τοῦ Θεοῦ, ποὺ τὸ ἔκανε αὐτό. Διότι πρόσεχε· ἀμέσως τὸ παιδὶ μόλις γεννήθηκε φαίνεται ὡραῖο καὶ ὄχι ἄσχημο. Τίνος ἔργο ἦταν αὐτό; Ἀσφαλῶς ὄχι τῆς φύσεως, ἀλλὰ τῆς χάριτος τοῦ Θεοῦ, ἡ ὁποία καὶ τὴν βάρβαρη ἐκείνη αἰγύπτια γυναῖκα, γιὰ νὰ τὸ προστατεύση ἀπὸ τὸν κίνδυνο, τὴν διήγειρε καὶ τὴν ἐνδυνάμωσε, τὴν προσείλκυσε καὶ τὴν συνάρπασε· ἂν καὶ βέβαια ἡ πίστις δὲν εἶχε ἀρκετὴ ἀφορμὴ γιὰ ὅλα αὐτά· διότι τί θὰ μποροῦσε νὰ τὴν κάνη νὰ πιστέψη ἀπὸ τὴν ὄψι; Ἀλλὰ ἐσεῖς, λέγει, πιστεύετε παρακινημένοι ἀπὸ τὰ ἴδια τὰ γεγονότα καὶ ἐπειδὴ ἔχετε πολλὰ ἐνέχυρα τῆς πίστεως· διότι, τὸ ὅτι μὲ χαρὰ δεχθήκατε τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων σας, καὶ ὅλα τὰ ἄλλα, εἶναι ἔνδειξις πίστεως καὶ ὑπομονῆς. Ἀλλ' ἐπειδὴ καὶ αὐτοὶ πίστεψαν κι' ἔπειτα ὀλιγοψύχησαν, δείχνει ὅτι καὶ ἡ πίστις ἐκείνων πολὺ διαρκοῦσε· ὅπως ἡ πίστις τοῦ Ἀβραάμ, ἂν καὶ τὰ πράγματα φαίνονταν νὰ μάχωνται μεταξύ τους. «Καὶ δὲν φοβήθηκαν», λέγει, «τὸ διάταγμα τοῦ βασιλιᾶ». Ἂν καὶ βέβαια ἐκεῖνο βρισκόταν σὲ ἐνέργεια· ἐνῶ αὐτὸ ἦταν μιὰ ἁπλῆ προσδοκία. Καὶ αὐτὸ ἦταν προσφορὰ τῶν γονέων του· ὁ ἴδιος ὁ Μωϋσῆς ὅμως τίποτε δὲν εἰσέφερε.

Ἔπειτα πάλι ἀναφέρει ἄλλο γνωστὸ σ' αὐτοὺς παράδειγμα καὶ μᾶλλον ἀνώτερο ἀπὸ τὸ προηγούμενο. Ποιό λοιπὸν εἶναι αὐτό; «Ἐξ αἰτίας τῆς πίστεώς του ὁ Μωϋσῆς», λέγει, «ὅταν μεγάλωσε, ἀρνήθηκε νὰ ὀνομασθῆ υἱὸς τῆς κόρης τοῦ Φαραὼ καὶ προτίμησε νὰ κακοπαθῆ μᾶλλον μὲ τὸν λαὸ τοῦ Θεοῦ, παρὰ νὰ ἔχη προσωρινὴ ἀπόλαυσι τῆς ἁμαρτίας· καὶ ἐθεώρησε μεγαλύτερο πλοῦτο, ἀπὸ τοὺς θησαυροὺς τῆς Αἰγύπτου, τὴν περιφρόνησι ποὺ ὑπέστη ἀργότερα καὶ ὁ Χριστός· διότι ἀπέβλεπε στὴν μισθαποδοσία». Σὰν νὰ τοὺς ἔλεγε· 'κανεὶς ἀπὸ σᾶς δὲν ἄφησε ἀνάκτορα καὶ μάλιστα ἀνάκτορα λαμπρά, οὔτε τέτοιους θησαυρούς, οὔτε περιφρόνησε τὸν τίτλο τοῦ υἱοῦ τοῦ βασιλιᾶ, ὅπως ἔκανε ὁ Μωϋσῆς'. Καὶ ὅτι δὲν τὰ ἄφησε τυχαῖα, τὸ φανέρωσε λέγοντας, «ἀρνήθηκε»· δηλαδή, τὰ μίσησε, τὰ ἀποστράφηκε. Ἐφ' ὅσον ὁ οὐρανὸς ἦταν μπροστά του, ἦταν περιττὸ νὰ θαυμάζη τὰ ἀνάκτορα τῆς Αἰγύπτου.

*3. Καὶ βλέπε τί θαυμαστῶς αὐτὸ τέθεικεν ὁ Παῦλος. Οὐκ εἶπε, 'μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, ἀλλὰ τί; «Τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ». Τὸ γὰρ διὰ Χριστὸν ὀνειδίζεσθαι βέλτιον ἡγήσατο τοῦ ἀνίε-
5 σθαι· οὕτω καὶ τοῦτο αὐτὸ καθ' ἑαυτὸ μισθὸς ἦν. «Μᾶλλον ἑλόμενος», φησί, «συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ». Ὑμεῖς μὲν γὰρ ὑπὲρ ὑμῶν αὐτῶν πάσχετε, ἐκεῖνος δὲ ὑπὲρ ἄλλων εἵλετο· καὶ ἑκὼν ἑαυτὸν ἔρριψεν εἰς τοσούτους κινδύνους, ἐξὸν αὐτῷ καὶ εὐσεβεῖν καὶ ἀπολαύειν τῶν ἀγαθῶν. «Ἢ πρόσκαιρον ἔχειν», φησίν,
10 «ἁμαρτίας ἀπόλαυσιν». «Ἁμαρτίαν» εἶπε τὸ μὴ θελῆσαι τοῖς ἄλλοις συγκακουχεῖσθαι· τοῦτο ἁμαρτίαν, φησίν, ἐνόμισεν. Εἰ τοίνυν ἐκεῖνος τὸ μὴ προθύμως συγκακουχηθῆναι τοῖς ἄλλοις ἁμαρτίαν ἐνόμισε, μέγα ἄρα ἀγαθὸν ἡ κακουχία, ἐφ' ἣν ἀπὸ τῶν βασιλείων ἔρριψεν ἑαυτόν. Ταῦτα δὲ ἐποίει, μεγάλα τινὰ προορῶν· διὸ καὶ οὕ-
15 τως εἶπε· «πλοῦτον μείζονα ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ».*

*Τί ἐστι, «τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ»; Τουτέστι, τὸ ὀνειδίζεσθαι τοιαῦτα οἷα ὑμεῖς, τὸν ὀνειδισμὸν ὃν ὁ Χριστὸς ὑπέμεινεν· ἢ ὅτι διὰ τὸν Χριστὸν ὑπέμεινεν, ὅτε ὑπὲρ τῆς πέτρας ἐλοιδορεῖτο, ἐξ
20 ἧς ὕδωρ ἐξήγαγεν. «Ἡ δὲ πέτρα», φησίν, «ἦν ὁ Χριστός». Πῶς δέ ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ; Ὅτι καταπτύομεν τῶν πατρῴων ὀνειδιζόμεθα, ὅτι πάσχομεν κακῶς Θεῷ προσδραμόντες. Εἰκὸς δὲ ἦν κἀκεῖνον ὀνειδίζεσθαι, ὅτε ἤκουσε, «μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον;». Τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ
25 Χριστοῦ, τὸ μέχρι τέλους καὶ ἐσχάτης ἀναπνοῆς πάσχειν κακῶς, ὥσπερ αὐτὸς ὠνειδίζετο καὶ ἤκουεν· «εἰ Υἱὸς εἶ τοῦ Θεοῦ», ὑπὸ τούτων ὑπὲρ ὧν ἐσταυροῦτο, ὑπὸ τούτων τῶν συμφυλετῶν. Τοῦτό ἐστιν ὀνειδισμὸς τοῦ Χριστοῦ, ὅταν τις παρὰ οἰκείων, ὅταν τις παρ' ὧν εὐεργετεῖ ὀνειδίζηται· καὶ γὰρ ἐκεῖνος παρὰ τοῦ εὐεργετηθέντος
30 ταῦτα ἔπασχεν. Ἐνταῦθα αὐτοὺς ἀνέστησε, δεικνὺς ὅτι καὶ ὁ Χρι-*

5. Α' Κορ. 10,4.
6. Ἐξ. 2,4.
7. Ματθ. 27,40.

3. Καὶ πρόσεχε πόσο θαυμαστὰ τὸ ἔθεσε ὁ Παῦλος. Δὲν εἶπε, 'ἐπειδὴ θεώρησε ὡς μεγαλύτερο πλοῦτο ἀπὸ τοὺς θησαυροὺς τῆς Αἰγύπτου τὸν οὐρανὸ καὶ αὐτὰ ποὺ ὑπάρχουν στοὺς οὐρανούς'· ἀλλὰ τί; «Τὴν περιφρόνησι τοῦ Χριστοῦ». Διότι θεώρησε προτιμότερο τὸ νὰ περιφρονῆται γιὰ τὸν Χριστὸ ἀπὸ τὸ νὰ τὸν ἐγκαταλείψη· ἔτσι καὶ αὐτὸ καθ' ἑαυτὸ ἦταν μισθός. «Μᾶλλον», λέγει, «προτίμησε νὰ κακοπαθῆ μαζὶ μὲ τὸν λαὸ τοῦ Θεοῦ». Ἐσεῖς δηλαδὴ ὑποφέρετε χάριν τοῦ ἑαυτοῦ σας, ἐνῶ ἐκεῖνος προτίμησε νὰ ὑποφέρη χάριν τῶν ἄλλων. Καὶ μὲ τὴ θέλησί του ριψοκινδύνευσε τόσο πολύ, ἐνῶ μποροῦσε νὰ ζῆ μὲ εὐσέβεια καὶ ν' ἀπολαμβάνη τὰ ἀγαθά. «Παρὰ νὰ ἔχη», λέγει, «προσωρινὴ ἀπόλαυσι ἁμαρτίας». Ἁμαρτία εἶπε τὸ ὅτι δὲν θέλησε νὰ συμπάσχη μὲ τοὺς ἄλλους· αὐτό, λέγει, τὸ θεώρησε ἁμαρτία. Ἐὰν λοιπὸν ἐκεῖνος θεώρησε ἁμαρτία, τὸ νὰ μὴν κακοπαθῆ πρόθυμα μαζὶ μὲ τοὺς ἄλλους, ἄρα εἶναι μεγάλο ἀγαθὸ ἡ κακοπάθεια, στὴν ὁποία ὑπέβαλε τὸν ἑαυτό του, ἀφοῦ ἀπομακρύνθηκε ἀπὸ τὰ ἀνάκτορα. Καὶ αὐτὰ τὰ ἔκανε, ἐπειδὴ προέβλεπε κάποια μεγάλα ἀγαθά· γι' αὐτὸ καὶ ἔτσι μίλησε· «ἐπειδὴ θεώρησε ὡς πλοῦτο μεγαλύτερο τὸν ὀνειδισμὸ τὸν ὁποῖο ὑπέμεινε καὶ ὁ Χριστός».

Τί σημαίνει, «τὸν ὀνειδισμὸ τοῦ Χριστοῦ»; Δηλαδὴ τὸ νὰ περιφρονῆται γι' αὐτὰ ποὺ περιφρονεῖσθε καὶ σεῖς, τὴν περιφρόνησι ποὺ ὑπέμεινε ὁ Χριστός· ἢ ὅτι γιὰ τὸν Χριστὸ ὑπέμεινε, ὅταν τὸν περιγελοῦσαν γιὰ τὴν πέτρα, ἀπὸ τὴν ὁποία ἔβγαλε νερό. «Καὶ ἡ πέτρα», λέγει, ἦταν ὁ Χριστός»[5]. Καὶ πῶς εἶναι ὀνειδισμὸς τοῦ Χριστοῦ; Ἐπειδὴ ἀπορρίπτουμε αὐτὰ ποὺ παραλάβαμε ἀπὸ τοὺς προγόνους, περιφρονούμαστε, ἐπειδὴ προστρέχουμε στὸν Θεό, κακοπαθοῦμε. Ἦταν φυσικὸ κι' ἐκεῖνος νὰ περιφρονοῦνταν ὅταν ἄκουσε, «μήπως θέλεις νὰ μὲ φονεύσης, μὲ τὸν τρόπο ποὺ φόνευσες χθὲς τὸν Αἰγύπτιο;»[6]. Αὐτὸ εἶναι ὀνειδισμὸς τοῦ Χριστοῦ, τὸ νὰ ὑποφέρη κανεὶς μέχρι τέλους καὶ μέχρι τελευταίας ἀναπνοῆς, ὅπως ἀκριβῶς ὁ Χριστὸς ὠνειδιζόταν καὶ ἄκουγε, «ἐὰν εἶσαι Υἱὸς τοῦ Θεοῦ»[7], ἀπὸ ἐκείνους γιὰ τοὺς ὁποίους σταυρωνόταν, ἀπὸ τοὺς ἴδιους τοὺς ὁμοεθνεῖς του. Αὐτὸ εἶναι ὀνειδισμὸς τοῦ Χριστοῦ, ὅταν κάποιος περιφρονῆται ἀπὸ τοὺς δικούς του, ὅταν κάποιος περιφρονῆται ἀπὸ ἐκείνους ποὺ εὐεργετεῖ. Διότι καὶ ἐκεῖνος τὰ ἔπαθε αὐτὰ ἀπὸ ἐκεῖνον ποὺ εὐεργέτησε. Ἐδῶ τοὺς ἀνύψωσε, δείχνοντας

στὸς ταῦτα ἔπασχε, καὶ ὁ Μωϋσυῆς, δύο πρόσωπα ἔνδοξα· ὥστε τοῦ Χριστοῦ μᾶλλόν ἐστιν οὗτος ὁ ὀνειδισμὸς ἢ τοῦ Μωϋσέως, ἐπειδὴ παρὰ τῶν ἰδίων τοιαῦτα ἔπαθεν. Ἀλλ' οὔτε ἐκεῖνος ἔπαθέ τι, οὔτε οὗτος κεραυνοὺς ἠφίει, ἀλλ' ὠνειδίζετο καὶ ἔφερε πάντα,
5 *κινούντων ἐκείνων τὰς κεφαλάς. Ἐπεὶ οὖν εἰκὸς ἦν τοιαῦτα ἀκούειν καὶ αὐτοὺς καὶ ἐπιθυμεῖν τὴν ἀνταπόδοσιν, λέγει ὅτι καὶ ὁ Χριστὸς καὶ ὁ Μωϋσῆς τοιαῦτα πεπόνθασιν. Ἄρα οὖν ἡ μὲν ἄνεσις, τῆς ἁμαρτίας ἐστί, τὸ δὲ ὀνειδίζεσθαι, τοῦ Χριστοῦ. Τί γὰρ βούλει; Τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ, ἢ τὴν ἄνεσιν;*

10 *«Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε». Τί λέγεις; Ὅτι οὐκ ἐφοβήθη; Καὶ μὴν ἡ Γραφὴ τοῦτό φησιν, ὅτι ἀκούσας ἐφοβήθη, καὶ διὰ τοῦτο φυγῇ τὴν σωτηρίαν ἐπορίσατο καὶ ἀπέδρα καὶ ἐξέκλεψεν ἑαυτόν, καὶ μετὰ ταῦτα περιδεὴς ἦν. Πρόσεχε μετὰ*
15 *ἀκριβείας τῷ εἰρημένῳ τό, «μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως», πρὸς τὸ καὶ πάλιν ἐπιστῆναι εἴρηκε. Φοβουμένου γὰρ ἦν μη ἅψασθαι τῆς προστασίας πάλιν, μηδὲ ἐγχειρῆσαι τῷ πράγματι· τὸ μέντοι ἅψασθαι πάλιν, τῷ Θεῷ τὸ πᾶν ἐπιτρέποντος ἦν. Οὐ γὰρ εἶπεν ὅτι 'Ζητεῖ με καὶ περιεργάζεται καὶ οὐκ ἀνέχομαι πάλιν τῶν*
20 *αὐτῶν ἅψεσθαι'. Ὥστε καὶ τὸ φυγεῖν πίστεως ἦν. Τί οὖν οὐκ ἔμεινε, φησίν; Ὥστε μὴ εἰς προὖπτον ἑαυτὸν κίνδυνον ἐμβαλεῖν. Τοῦτο γὰρ λοιπὸν πειράζοντος ἦν τὸ ἅλλεσθαι εἰς μέσους κινδύνους καὶ λέγειν, ''Ἴδω εἰ σώζει με ὁ Θεός'. Τοῦτο καὶ τῷ Χριστῷ εἶπεν ὁ διάβολος· «ρῖψον σευατὸν κάτω». Ὁρᾷς ὅτι τοῦτο διαβολικόν ἐστι,*
25 *τὸ εἰκῇ καὶ μάτην ρίπτειν ἑαυτοὺς εἰς κινδύνους καὶ πειράζειν, εἰ σώζειν ὁ Θεός; Παρεστάναι γὰρ αὐτῶν οὐκέτι ἠδύνατο, οὕτως ἀγνωμόνως τῶν εὐεργετουμένων διακειμένων· μωρὸν τοίνυν ἦν καὶ ἀνόητον, μένειν αὐτόθι. Ταῦτα δὲ πάντα γέγονε, «διότι ὡς ὁρῶν τὸν ἀόρατον, οὕτως ἐκαρτέρει».*

30 *Ἂν τοίνυν καὶ ἡμεῖς ὁρῶμεν ἀεὶ τὸν Θεὸν τῷ νῷ, ἂν ἀεὶ ἐν τῇ μνήμῃ αὐτοῦ στρέφωμεν τὴν διάνοιαν, πάντα ἡμῖν ρᾷστα φανή-*

8. Ματθ. 4,6.

ὅτι και ὁ Χριστὸς τὰ ἴδια ἔπαθε καὶ ὁ Μωϋσῆς, δύο πρόσωπα δηλαδὴ ἔνδοξα. Ὥστε ὁ ὀνειδισμὸς αὐτὸς εἶναι μᾶλλον τοῦ Χριστοῦ παρὰ τοῦ Μωϋσῆ, ἐπειδὴ ἔπαθε ἀπὸ τοὺς δικούς του τέτοια. Ὅμως οὔτε ἐκεῖνος ἔπαθε κάτι, οὔτε αὐτὸς κεραυνοὺς ἔστειλε, ἀλλὰ περιφρονοῦνταν καὶ τὰ ὑπέμενε ὅλα, ἂν καὶ ἐκεῖνοι κουνοῦσαν τὰ κεφάλια. Ἐπειδὴ λοιπὸν ἦταν φυσικὸ τέτοια ν' ἀκοῦν καὶ αὐτοὶ καὶ νὰ ἐπιθυμοῦν τὴν ἀνταπόδοσι, λέγει, ὅτι καὶ ὁ Χριστὸς καὶ ὁ Μωϋσῆς τέτοια ὑπέφεραν. Ἄρα λοιπὸν ἡ ἄνεσις εἶναι τῆς ἁμαρτίας, ἐνῶ ἡ περιφρόνησις τοῦ Χριστοῦ. Τί λοιπὸν θέλεις; Τὸν ὀνειδισμὸ τοῦ Χριστοῦ, ἢ τὴν ἄνεσι;

«Μὲ πίστι πρὸς τὸν Θεὸ ἐγκατέλειψε τὴν Αἴγυπτο, καὶ δὲν φοβήθηκε τὸν θυμὸ τοῦ βασιλιᾶ, καὶ ἔδειξε μεγάλη καρτερία, σὰν νὰ ἔβλεπε τὸν ἀόρατο Θεό». Τί λές; Ὅτι δὲν φοβήθηκε; Καὶ ὅμως, ἡ Γραφὴ λέγει αὐτό, ὅτι μόλις τὸ ἄκουσε φοβήθηκε, καὶ γι' αὐτὸ μὲ φυγὴ σώθηκε, ἀφοῦ ἀναχώρησε ἀπὸ ἐκεῖ καὶ πῆγε καὶ κρύφθηκε, καὶ μετὰ ἀπὸ αὐτὰ ἀκόμα φοβόταν. Πρόσεχε μὲ ἀκρίβεια τὰ λόγια, «δὲν φοβήθηκε τὸν θυμὸ τοῦ βασιλέως»· αὐτὸ τὸ ἔχει πεῖ ἐπειδὴ καὶ πάλι παρουσιάσθηκε μπροστά του. Διότι, ἐὰν φοβόταν δὲν θὰ ἀναλάμβανε πάλι τὴν προστασία τῶν Ἑβραίων οὔτε θὰ τὴν ἐπιχειροῦσε· τὸ ὅτι ὅμως τὴν ἀνέλαβε πάλι, δείχνει ὅτι τὰ ἀνέθεσε ὅλα στὸν Θεό. Δὲν εἶπε δηλαδή, 'μὲ ἀναζητᾶ καὶ κάμνει τὸ πᾶν γιὰ νὰ μὲ βρῆ καὶ δὲν ἀνέχομαι πάλι ν' ἀσχοληθῶ μὲ τὰ ἴδια'. Ὥστε καὶ τὸ ὅτι ἔφυγε ἦταν δεῖγμα πίστεως. Γιατί λοιπόν, λέγει, δὲν ἔμεινε; Γιὰ νὰ μὴν βάλη τὸν ἑαυτό του σὲ ὁλοφάνερο κίνδυνο. Διότι αὐτὸ θὰ ἦταν προσπάθεια νὰ πειράξη τὸν Θεό, τὸ νὰ πηδᾶ μέσα στοὺς κινδύνους καὶ νὰ λέγη· 'ἂς δῶ ἐὰν μὲ σώζη ὁ Θεός'. Αὐτὸ εἶπε καὶ στὸν Χριστὸ ὁ διάβολος· «ρίξε κάτω τὸν ἑαυτό σου»[8]. Βλέπεις ὅτι αὐτὸ εἶναι διαβολικό, τὸ νὰ ρίχνουμε ἄσκοπα καὶ μάταια τοὺς ἑαυτούς μας στοὺς κινδύνους καὶ νὰ δοκιμάζουμε, ἐὰν μᾶς σώζη ὁ Θεός; Διότι αὐτὸς δὲν μποροῦσε πιὰ νὰ παρουσιασθῆ μπροστὰ στοὺς Ἑβραίους, ἐφόσον μὲ τόση ἀχαριστία τοῦ φέρθηκαν ἐκεῖνοι ποὺ εὐεργέτησε· θὰ ἦταν ἑπομένως μωρὸ καὶ ἀνόητο νὰ μένη στὸν ἴδιο τόπο. Καὶ ὅλα αὐτὰ ἔγιναν, «ἐπειδὴ ἦταν σὰν νὰ ἔβλεπε τὸν ἀόρατο Θεό, καὶ μὲ καρτερία πολλὴ περίμενε τὴ βοήθειά του».

Ἂν λοιπὸν καὶ ἐμεῖς βλέπουμε πάντοτε μὲ τὸν νοῦ μας τὸν Θεό, ἂν στρέφουμε πάντοτε πρὸς αὐτὸν τὴ σκέψι μας, ὅλα θὰ μᾶς

σεται, πάντα φορητά, πάντα εὐκόλως οἴσομεν, πάντων ἀνώτεροι γενησόμεθα. Εἰ γὰρ ἀγαπώμενόν τις ὁρῶν, μᾶλλον δὲ μεμνημένος τούτου, διανίσταται τὴν ψυχὴν καὶ ὑψηλὸς γίνεται τὴν διάνοιαν καὶ πάντα εὐκόλως φέρει ἐντρυφῶν τῇ μνήμῃ, ὁ τὸν ὄντως ἀγαπῆσαι 5 *ἡμᾶς καταξιώσαντα ἔχων ἐν διανοίᾳ καὶ μεμνημένος αὐτοῦ, πότε ἢ λυπηροῦ τινος αἰσθήσεται ἢ φοβερόν τι καὶ ἐπικίνδυνον φοβηθήσεται; πότε δὲ ὀλιγοψυχήσει; Οὐδέποτε. Πάντα γὰρ ἡμῖν δύσκολα φαίνεται, ὅτι τοῦ Θεοῦ τὴν μνήμην οὐκ ἔχομεν ὡς ἔχειν δεῖ, ὅτι οὐ περιφέρομεν αὐτὸν ἐν τῇ διανοίᾳ διαπαντός· εἴποι γὰρ ἂν δικαίως* 10 *πρὸς ἡμᾶς· 'Επελάθου μου σύ, ἐπιλήσομαί σου κἀγώ'. Ὥστε διπλοῦν τὸ κακὸν γίνεται, ὅτι καὶ ἡμεῖς αὐτοῦ ἐπιλανθανόμεθα, καὶ αὐτὸς ἡμῶν. Ταῦτα γὰρ δύο ἐστὶν ἀλλήλοις μὲν συμπεπλεγμένα, δύο δὲ ὅμως ἐστί. Μέγα μὲν γὰρ τὸ καὶ ἡμᾶς ἐν μνήμῃ ποιεῖσθαι τοῦ Θεοῦ, μέγα δὲ καὶ τὸ μνημονεύεσθαι αὐτὸν παρ' ἡμῶν· τοῦτο* 15 *ποιεῖ αἱρεῖσθαι τὰ ἀγαθά, ἐκεῖνο δὲ ἀνύειν καὶ εἰς τέλος ἄγειν. Διὰ τοῦτό φησιν ὁ προφήτης· «μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιεὶμ ἀπὸ ὄρους μικροῦ». Ταῦτά φησιν ὁ λαὸς ὁ ἐν Βαβυλῶνι, «ἐκεῖ ὢν μνησθήσομαί σου».*

4. *Καὶ ἡμεῖς τοίνυν ὥσπερ ἐν Βαβυλῶνι ὄντες τὰ αὐτὰ λέγωμεν.* 20 *Εἰ γὰρ καὶ μὴ μεταξὺ τῶν πολεμίων καθήμεθα, ἀλλὰ μεταξὺ τῶν ἐχθρῶν ἐσμεν. Οἱ μὲν γὰρ ὡς αἰχμάλωτοι ἐκάθηντο, οἱ δὲ οὐδὲ ᾐσθάνοντο τῆς αἰχμαλωσίας, ὡς ὁ Δανιήλ, ὡς οἱ τρεῖς παῖδες· οἳ καὶ ἐν αἰχμαλωσίᾳ ὄντες, αὐτοῦ τοῦ αἰχμαλωτεύσαντος αὐτοὺς βασιλέως ἐγένοντο λαμπρότεροι ἐν αὐτῇ τῇ χώρᾳ ἐκείνῃ· καὶ τοὺς* 25 *αἰχμαλώτους γὰρ ὁ αἰχμαλωτεύσας προσεκύνει. Εἶδες ὅσον ἀρετή ἐστιν; Ἐν αὐτῇ τῇ αἰχμαλωσίᾳ ὄντας ἐθεράπευσεν ὡς δεσπότας· ἄρα ἐκεῖνος ὁ αἰχμάλωτος ἦν, μᾶλλον ἢ οὗτοι. Οὐκ ἦν οὕτω θαυμαστόν, εἰ ἐν τῇ πατρίδι ὄντας ἐλθὼν προσεκύνησε τῇ ἑαυτῶν, ἢ βασιλεύοντας ἐκεῖ· τὸ δὲ θαυμαστόν, ὅτι δεσμεύσας αὐτοὺς καὶ λα-*

9. Ψαλμ. 41,7.

φανοῦν εὔκολα, ὅλα ὑποφερτά, ὅλα θὰ τὰ ὑπομείνουμε μὲ εὐκολία, ὅλα τὰ θὰ ξεπεράσουμε. Διότι, ἐὰν κάποιος, βλέποντας ἕνα ἀγαπημένο του πρόσωπο, ἢ καλύτερα ἐνθυμούμενος αὐτὸ διεγείρεται ψυχικὰ καὶ ὑψώνεται ἡ διάνοιά του καὶ ὅλα τὰ ὑπομένει μὲ εὐκολία, καὶ εὑρίσκεται σὲ εὐχάριστη κατάστασι ἐξ αἰτίας τῆς ἀναμνήσεώς του, ἐκεῖνος ποὺ ἔχει μέσα στὴ σκέψι του αὐτὸν ποὺ θέλησε πραγματικὰ νὰ μᾶς ἀγαπήση καὶ τὸν θυμᾶται, πότε ἢ θὰ αἰσθανθῆ κάτι λυπηρό, ἢ θὰ φοβηθῆ κάτι φοβερὸ καὶ ἐπικίνδυνο; καὶ πότε θὰ ὀλιγοψυχήση; Ποτέ. Διότι ὅλα μᾶς φαίνονται δύσκολα, ἐπειδὴ δὲν ἔχουμε στὴ μνήμη μας τὸν Θεὸ ὅπως πρέπει νὰ τὸν ἔχουμε, ἐπειδὴ δὲν τὸν ἔχουμε διαρκῶς στὴ σκέψι μας. Δίκαια λοιπὸν θὰ μποροῦσε νὰ πῆ πρὸς ἐμᾶς· 'Μὲ ξέχασες ἐσύ, θὰ σὲ ξεχάσω καὶ ἐγώ'. Ὥστε γίνεται διπλὸ τὸ κακό· καὶ ἐμεῖς λησμονοῦμε τὸν Θεὸ καὶ ὁ Θεὸς ἐμᾶς. Διότι αὐτὰ τὰ δύο, ἂν καὶ εἶναι στενὰ συνδεδεμένα μεταξύ τους, ὅμως εἶναι δύο. Εἶναι μεγάλο λοιπὸν πρᾶγμα, τὸ νὰ μᾶς θυμᾶται ὁ Θεός, εἶναι μεγάλο ὅμως καὶ τὸ νὰ τὸν θυμώμαστε κι' ἐμεῖς· αὐτὸ μᾶς κάνει νὰ προτιμοῦμε τὰ ἀγαθά, ἐνῶ ἐκεῖνο μᾶς καταρτίζει καὶ μᾶς ὁδηγεῖ πρὸς τὴν τελειότητα. Γι' αὐτὸ λέγει ὁ προφήτης· «στρέφω πρὸς ἐσένα τὴ σκέψι μου ἀπὸ τὴ γῆ τοῦ Ἰορδάνη καὶ ἀπὸ τὶς κορυφὲς τοῦ ὄρους Ἑρμὼν καὶ ἀπὸ τὸν μικρὸ λόφο»[9]. Αὐτὰ λέγει ὁ λαὸς ποὺ βρισκόταν στὴ Βαβυλώνα, «θὰ σὲ θυμᾶμαι, ἂν καὶ θὰ βρίσκομαι ἐκεῖ».

4. Καὶ ἐμεῖς λοιπόν, σὰν νὰ εἴμαστε στὴ Βαβυλώνα, τὰ ἴδια ἂς λέμε. Διότι, ἂν καὶ δὲν ζοῦμε ἀνάμεσα σὲ ἀνθρώπους ποὺ μᾶς πολεμοῦν, ζοῦμε ὅμως ἀνάμεσα σὲ ἐχθρούς. Καθόσον ἄλλοι ἀπὸ ἐκείνους ζοῦσαν σὰν αἰχμάλωτοι, ἐνῶ ἄλλοι δὲν αἰσθάνονταν τὴν αἰχμαλωσία, ὅπως ὁ Δανιήλ, ὅπως οἱ τρεῖς παῖδες· αὐτοί, ἂν καὶ βρίσκονταν στὴν αἰχμαλωσία, ἔγιναν λαμπρότεροι μέσα σ' ἐκείνη τὴ χώρα κι' ἀπὸ τὸν ἴδιο τὸν βασιλιᾶ ποὺ τοὺς αἰχμαλώτισε · διότι προσκυνοῦσε τοὺς αἰχμαλώτους ἐκεῖνος ποὺ τοὺς αἰχμαλώτισε. Εἶδες πόσο μεγάλη εἶναι ἡ ἀρετή; Ἐνῶ ἦταν αἰχμάλωτοι, σὰν ἄρχοντες τοὺς φρόντιζε· ἑπομένως ὁ βασιλιὰς μᾶλλον ἦταν ὁ αἰχμάλωτος καὶ ὄχι αὐτοί. Δὲν θὰ ἦταν τόσο ἀξιοθαύμαστο ἐὰν ζῶντας στὴν πατρίδα τους ἐρχόταν καὶ τοὺς προσκυνοῦσε, παρὰ ἐνῶ ἐβασίλευαν ἐκεῖ· καὶ τὸ ἀξιοθαύμαστο εἶναι τὸ ὅτι, ἂν καὶ τοὺς ἔδεσε καὶ τοὺς ἔλαβε αἰχμαλώτους καὶ τοὺς εἶχε στὴν ἐξουσία του, δὲν ντρεπόταν,

*βὼν αἰχμαλώτους καὶ ἔχων ἐν τῇ ἑαυτοῦ ἐξουσίᾳ, πάντων ὁρών-
των οὐκ ᾐσχύνετο προσκυνῆσαι καὶ μαναὰ σπεῖσαι. Ὁρᾶτε ὅτι τὰ
ὄντως λαμπρὰ πράγματα τὰ κατὰ Θεόν ἐστι, τὰ δὲ ἀνθρώπινα
σκιά; Ἠγνόει ἄρα δεσπότας ἀπάγων ἑαυτῷ καὶ οὓς ἔμελλε προ-
5 σκυνεῖν ἐνέβαλεν εἰς κάμινον· ἀλλ' ὡς ὄναρ ταῦτα ἐκείνοις ἦν.*

*Φοβηθῶμεν οὖν, ἀγαπητοί, τὸν Θεόν, φοβηθῶμεν· κἂν ἐν
αἰχμαλωσίᾳ ὦμεν, πάντων ἐσόμεθα λαμπρότεροι· φόβος παρέστω
Θεοῦ καὶ οὐδὲν ἔσται λυπηρόν, κἂν πενίαν εἴπῃς, κἂν νόσον, κἂν
αἰχμαλωσίαν, κἂν δουλείαν, κἂν ὁτιοῦν τῶν λυπηρῶν· ἀλλὰ καὶ
10 αὐτὰ ἐκεῖνα ἡμῖν συνεργήσει πρὸς τὰ ἐναντία. Αἰχμάλωτοι ἦσαν οὗ-
τοι καὶ προσεκύνησεν αὐτοῖς ὁ βασιλεύς· σκηνοποιὸς ἦν ὁ Παῦλος
καὶ ἔθυον αὐτῷ ὡς θεῷ. Ἐνταῦθα ζήτημα ἀνακύπτει· ἐρωτῶσι
γὰρ πολλοὶ λέγοντες· Τί δήποτε οἱ μὲν ἀπόστολοι τὰς θυσίας
ἀπεῖρξαν καὶ διέρρηξαν αὐτῶν τὰ ἱμάτια καὶ ἀπήγαγον αὐτοὺς τῆς
15 ἐπιχειρήσεως καὶ ἀπωδύροντο λέγοντες, «τί ποιεῖτε; καὶ ἡμεῖς
ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι», ὁ δὲ Δανιὴλ οὐδὲν τοιοῦτον
ἐποίησεν'.*

*Ὅτι γὰρ καὶ αὐτὸς ταπεινὸς ἦν καὶ τούτων οὐχ ἧττον ἀνέφε-
ρε τῷ Θεῷ δόξαν, πολλαχόθεν δῆλον. Μάλιστα μὲν γὰρ καὶ
20 πρῶτον καὶ ἐξ αὐτοῦ τοῦ φιλεῖσθαι παρὰ τοῦ Θεοῦ, τοῦτο δῆλον·
οὐ γὰρ ἂν αὐτὸν σφετεριζόμενον τοῦ Θεοῦ τὴν τιμὴν εἴα ζῆσαι, οὐ
λέγω εὐδοκιμῆσαι· δεύτερον, ὅτι καὶ μετὰ πολλῆς τῆς παρρησίας
ἔλεγε, «καὶ ἐμοί, βασιλεῦ, οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύ-
φθη τὸ μυστήριον τοῦτο»· καὶ τρίτον πάλιν, ὅτι ἐν λάκκῳ ἦν διὰ
25 τὸν Θεόν· καὶ ἐπειδὴ τροφὴν αὐτῷ ἐκόμισεν ὁ προφήτης, φησίν,
«ἐμνήσθη γάρ μου ὁ Θεός»· οὕτως ἦν ταπεινὸς καὶ συντετριμμέ-
νος. Ἐν λάκκῳ ἦν διὰ τὸν Θεόν, καὶ ἀνάξιον ἑαυτὸν ἡγεῖτο τῆς
μνήμης καὶ τοῦ ἀκουσθῆναι. Ἡμεῖς δὲ μυρία τολμῶντες μιαρὰ καὶ
πάντων ὄντες μιαρώτερι, ἐὰν μὴ ἐκ πρώτης εὐχῆς ἀκουσθῶμεν,
30 ἀναχωροῦμεν. Ὄντως πολὺ τὸ μέσον ἐκείνων καὶ ἡμῶν, ὅσον τοῦ
οὐρανοῦ πρὸς τὴν γῆν, καὶ εἴ τι πλέον. Τί λέγεις; μετὰ τοσαῦτα κα-*

10. Πράξ. 14,15.
11. Δαν. 2,30.
12. Δαν. 14,37.

ἐνῶ ὅλοι τὸν ἔβλεπαν, νὰ τοὺς προσκυνήση καὶ νὰ τοὺς προσφέρη σπονδές. Βλέπετε ὅτι τὰ πραγματικὰ λαμπρὰ πράγματα εἶναι ἐκεῖνα ποὺ ἀναφέρονται στὸν Θεό, ἐνῶ τὰ ἀνθρώπινα εἶναι σκιά; Ἀγνοοῦσε ἐπομένως ὅτι ἔφερνε μαζί του ἄρχοντες γιὰ τὸν ἑαυτό του, καὶ ἐκείνους ποὺ ἐπρόκειτο νὰ τοὺς προσκυνήση, τοὺς ἔρριξε στὸ καμίνι· ἀλλ' αὐτὰ ἦταν σὰν ὄνειρο γιὰ ἐκείνους.

Ἂς φοβηθοῦμε λοιπόν, ἀγαπητοί, τὸν Θεό, ἂς τὸν φοβηθοῦμε· κι' ἂν βρισκώμαστε στὴν αἰχμαλωσία, θὰ γίνουμε λαμπρότεροι ἀπὸ ὅλους· ἂς ὑπάρχη ὁ φόβος τοῦ Θεοῦ, καὶ τίποτε λυπηρὸ δὲν θὰ συμβῆ, εἴτε πῆς πεῖνα, εἴτε ἀρρώστια, εἴτε αἰχμαλωσία, εἴτε σκλαβιά, εἴτε ὁ,τιδήποτε ἄλλο ἀπὸ αὐτὰ ποὺ θεωροῦνται λυπηρά· ἀλλὰ καὶ αὐτὰ ἀκόμη πρὸς χάριν μας θὰ φέρουν ἀντίθετα ἀποτελέσματα. Αἰχμάλωτοι ἦταν ἐκεῖνοι καὶ τοὺς προσκύνησε ὁ βασιλιάς· σκηνοποιὸς ἦταν ὁ Παῦλος, καὶ τοῦ πρόσφεραν θυσίες, σὰν νὰ ἦταν θεός. Ἐδῶ ἀνακύπτει κάποιο πρόβλημα. Πολλοὶ ἐρωτοῦν καὶ λένε· 'Γιατί οἱ ἀπόστολοι ἐμπόδισαν τὶς θυσίες καὶ διέρρηξαν τὰ ἱμάτιά τους καὶ ἀπομάκρυναν τοὺς ἑαυτούς τους ἀπὸ αὐτὴν τὴν ἀπόπειρα καὶ θρηνολογοῦσαν λέγοντας, «τί κάνετε; κι' ἐμεῖς εἴμαστε ἄνθρωποι ὅμοιοι μ' ἐσᾶς»[10], ἐνῶ ὁ Δανιὴλ δὲν ἔκανε κάτι τέτοιο;'

Πράγματι, τὸ ὅτι καὶ αὐτὸς ἦταν ταπεινὸς καὶ ἀπέδιδε τὴ δόξα στὸν Θεό, ὄχι λιγώτερο ἀπ' αὐτούς, γίνεται φανερὸ ἀπὸ πολλά. Καὶ πρῶτα βέβαια γίνεται φανερὸ αὐτὸ κυρίως ἀπὸ τὸ ὅτι τὸν ἀγαποῦσε ὁ Θεός· διότι δὲν θὰ τὸν ἄφηνε νὰ ζήση, ἐὰν σφετεριζόταν τὴν τιμὴ τοῦ Θεοῦ, δὲν λέγω νὰ εὐδοκιμήση· δεύτερον, διότι μὲ πολλὴ παρρησία ἔλεγε, «καὶ σὲ μένα, βασιλιά μου, δὲν ἀποκαλύφθηκε τὸ παράξενο αὐτὸ ὄνειρο ἀπὸ τὴ σοφία ποὺ ὑπάρχει μέσα μου»[11]· καὶ τρίτο πάλι, ἀπὸ τὸ ὅτι βρισκόταν στὸν λάκκο τῶν λιονταριῶν χάριν τοῦ Θεοῦ· καὶ ὅταν τοῦ ἔφερε τροφὴ ὁ προφήτης, εἶπε, «μὲ θυμήθηκες, Θεέ μου»[12]· τόσο ταπεινὸς καὶ κατασυντριμμένος ἦταν. Στὸν λάκκο βρισκόταν γιὰ τὸν Θεό, καὶ θεωροῦσε ἀνάξιο τὸν ἑαυτό του νὰ τὸν θυμᾶται καὶ νὰ τὸν εἰσακούη ὁ Θεός. Ἐνῶ ἐμεῖς, ἂν καὶ ἀποτολμοῦμε πολλὰ βδελυρὰ καὶ εἴμαστε πιὸ ἐλεεινοὶ ἀπ' ὅλους, ἐὰν δὲν εἰσακουσθοῦμε μὲ τὴν πρώτη μας προσευχή, ἀναχωροῦμε. Πράγματι ὑπάρχει μεγάλη ἀπόστασις ἀνάμεσα σ' ἐκείνους καὶ σ' ἐμᾶς, ὅση ὑπάρχει ἀνάμεσα στὸν οὐρανὸ καὶ στὴ γῆ κι' ἀκόμα μεγαλύτερη. Τί λές; Ὕστερα ἀπὸ τόσα κατορθώματα, μετὰ ἀπὸ τὸ

τορθώματα, μετὰ τὸ ἐν λάκκῳ γενόμενον θαῦμα, οὕτω σεαυτὸν ταπεινὸν ἡγῇ; Ναί, φησίν· ὅσα γὰρ ἂν ἐργασώμεθα, «ἀχρεῖοι δοῦλοί ἐσμέν». Οὕτω προλαβών, τὸ εὐαγγελικὸν παράγγελμα ἐπλήρου καὶ οὐδὲν ἡγεῖτο ἑαυτόν. «Ἐμνήσθη γάρ μου ὁ Θεός», ἔλεγε. Καὶ ἡ
5 εὐχὴ αὐτοῦ ὅρα πάλιν ὅσης ταπεινοφροσύνης γέμει.

Οὕτω καὶ οἱ τρεῖς παῖδες ἔλεγον· «ἡμάρτομεν, ἠνομήσαμεν»· καὶ πανταχοῦ τὸ ταπεινὸν ἑαυτῶν δεικνύουσι. Καίτοι γε εἶχε ὁ Δανιὴλ μυρίας ἀφορμὰς τοῦ ἐπαίρεσθαι, ἀλλ' ᾔδει ὅτι καὶ ταῦτα αὐτῷ ὑπῆρχεν ἀπὸ τοῦ μὴ ἐπαίρεσθαι, καὶ οὐ διέφθειρε τὸν θησαυ-
10 ρόν. Παρὰ πάντας γὰρ ἀνθρώπους καὶ ἐν τῇ οἰκουμένῃ πάσῃ οὐκ ἐπὶ τούτοις ᾔδετε μόνον, ὅτι ρίψας ἑαυτὸν εἰς πρόσωπον ὁ βασιλεὺς ἔσπεισεν αὐτῷ, ἀλλ' ὅτι καὶ θεὸν ἐνόμισεν αὐτὸν ὁ πανταχοῦ τῆς γῆς ὡς θεὸς τιμώμενος· πάσης γὰρ αὐτὸς ἐκράτει· καὶ δῆλον ἀπὸ τοῦ Ἱερεμίου· «ὁ ἀναβαλλόμενος» γάρ, φησί, «τὴν γῆν, ὡς
15 ἱμάτιον»· καὶ πάλιν, «ἐγὼ ἔδωκα αὐτὴν Ναβουχοδονόσορ τῷ δούλῳ μου». Καὶ ἐξ ὧν ἐπιστέλλει δῆλον τοῦτο πάλιν, ὅτι οὐκ ἐκεῖ μόνον ἐθαυμάζετο, ἔνθα ἦν, ἀλλὰ καὶ πανταχοῦ, καὶ μείζων ἦν ἀκουόμενος ἢ εἰ παρόντα εἶδον αὐτὸν τὰ λοιπὰ ἔθνη, ὁπότε καὶ διὰ γραμμάτων ὡμολόγησε τὴν δουλείαν καὶ τὸ θαῦμα. Ἀλλ' ὅμως καὶ
20 ἐπὶ σοφίᾳ πάλιν ἐθαυμάζετο· «μὴ σοφώτερος γὰρ εἶ», φησί, «σὺ τοῦ Δανιήλ;». Καὶ μετὰ ταῦτα πάντα οὕτως ἦν ταπεινός, ὡς μυριάκις διὰ τὸν Δεσπότην ἀποθανεῖν.

5. Τί δήποτ' οὖν οὕτω ταπεινὸς ὤν, οὐ διεκρούσατο οὔτε τὴν προσκύνησιν τὴν παρὰ τοῦ βασιλέως, οὔτε τὰς σπονδάς; Τοῦτο
25 οὐκ ἐρῶ· ἀρκεῖ γάρ μοι τὸ ζήτημα μόνον εἰπεῖν· τὸ δὲ λοιπὸν ὑμῖν ἀφίημι, ἵνα κἂν οὕτω διαναστήσω ὑμῶν τὴν διάνοιαν. Ἐκεῖνο μέντοι παρεγγυῶ, πάντα διὰ τὸν τοῦ Θεοῦ φόβον αἱρεῖσθαι, ὑποδείγματα τοιαῦτα ἔχοντας· καὶ ὅτι ὄντως καὶ τῶν ἐνταῦθα ἐπιτευξόμεθα, ἐὰν τῶν μελλόντων γνησίως ἀντιλαβώμεθα. Ὅτι γὰρ οὐκ ἀπονοίᾳ
30 τοῦτο ἐποίησε, δῆλον ἀπὸ τοῦ εἰπεῖν, «τὰ δόματά σού σοι ἔστω».

13. Λουκᾶ 17,10.
14. Ἰερ. 34,6.
15. Ἰεζ. 28,3.
16. Δαν. 5,17.

θαῦμα ποὺ ἔγινε στὸν λάκκο, θεωρεῖς τόσο ταπεινὸ τὸν ἑαυτό σου; Ναί, λέγει· διότι ὅσα κι' ἂν κάνουμε «εἴμαστε ἄχρηστοι δοῦλοι»[13]. Ἔτσι ἀπὸ πρὶν πραγματοποιοῦσε τὸ εὐαγγελικὸ παράγγελμα, καὶ δὲν ὑπολόγιζε καθόλου τὸν ἑαυτό του. «Μὲ θυμήθηκες, Θεέ μου»[14], ἔλεγε. Καὶ ἡ προσευχή του πρόσεχε πάλι ἀπὸ πόση ταπεινοφροσύνη εἶναι γεμάτη.

Αὐτὸ ἔλεγαν καὶ οἱ τρεῖς παῖδες· «ἁμαρτήσαμε, ἀνομήσαμε». Καὶ παντοῦ δείχνουν τὸ ταπεινό τους φρόνημα. Ἂν καὶ βέβαια εἶχε ὁ Δανιὴλ πάρα πολλὲς ἀφορμὲς γιὰ νὰ ὑπερηφανεύεται, ὅμως γνώριζε ὅτι καὶ αὐτὲς προέρχονταν ἀπὸ τὸ ὅτι δὲν ὑπερηφανευόταν καὶ δὲν κατέστρεψε τὸν θησαυρό. Καθόσον περισσότερο ἀπὸ ὅλους τοὺς ἀνθρώπους καὶ σὲ ὅλη τὴν οἰκουμένη ὄχι μόνο γι' αὐτὰ θαυμαζόταν, διότι τὸν προσκύνησε ὁ βασιλιὰς καὶ τοῦ πρόσφερε σπουδή, ἀλλὰ καὶ διότι τὸν ἐνόμισε θεό, ἐκεῖνος ποὺ σ' ὅλη τὴν οἰκουμένη τὸν τιμοῦσαν ὡς θεό· διότι αὐτὸς ἐξουσίαζε ὅλη τὴ γῆ. Καὶ φαίνεται ἀπὸ αὐτὸ ποὺ λέγει ὁ Ἰερεμίας· «αὐτὸς ποὺ φορεῖ», λέγει, «τὴ γῆ ὡς ἱμάτιο»· καὶ πάλι· «ἐγὼ ἔδωσα τὴ γῆ αὐτὴ στὸν Ναβουχοδονόσορα τὸν δοῦλο μου»[15]. Καὶ ἀπ' ὅσα γράφει καὶ στέλλει γίνεται πάλι φανερὸ αὐτό, ὅτι δὲν θαυμαζόταν μόνο ἐκεῖ, ὅπου ἦταν, ἀλλὰ παντοῦ, καὶ θεωροῦνταν ἀνώτερος ἀπὸ αὐτοὺς ποὺ ἐξ ἀκοῆς τὸν ἐγνώριζαν, παρὰ ἀπὸ τὰ ὑπόλοιπα ἔθνη ποὺ ἦταν στὴν ἐξουσία του, ἀφοῦ καὶ μὲ γράμματα ὡμολόγησε τὴ δουλεία καὶ τὸ θαῦμα. Ἀλλ' ὅμως θαυμαζόταν πάλι καὶ γιὰ τὴν σοφία του· διότι λέγει, «μήπως εἶσαι σοφώτερος ἐσὺ ἀπὸ τὸν Δανιήλ;»[16]. Καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἦταν τόσο ταπεινός, ὥστε ἦταν ἕτοιμος μύριες φορὲς νὰ πεθάνη γιὰ τὸν Κύριο.

5. Ἀλλὰ γιὰ ποιό λόγο, ἐνῶ ἦταν τόσο ταπεινός, δὲν ἀπέκρουσε οὔτε τὴν προσκύνησι τοῦ βασιλιᾶ οὔτε τὶς σπονδές; Αὐτὸ δὲν θὰ τὸ πῶ· διότι μοῦ εἶναι ἀρκετὸ ν' ἀναφέρω μόνο τὸ ζήτημα· τὸ ὑπόλοιπο τὸ ἀφήνω σὲ σᾶς, μήπως ἔστω κι' ἔτσι διεγείρω τὴ σκέψι σας. Ἐκεῖνο ὅμως σᾶς συνιστῶ, ὅλα νὰ τὰ προτιμᾶται ἀπὸ σεβασμὸ πρὸς τὸν Θεό, μιὰ καὶ ἔχετε τέτοια παραδείγματα· καὶ ὅτι πράγματι καὶ τὰ ἐδῶ ἀγαθὰ θ' ἀπολαύσουμε, ἐὰν ἀληθινὰ κατανοήσουμε τὰ ἀγαθὰ ποὺ ὑπάρχουν στὸ μέλλον. Τὸ ὅτι λοιπὸν δὲν τὸ ἔκανε αὐτὸ ἀπὸ ἀλαζονεία, γίνεται φανερὸ ἀπὸ αὐτὸ ποὺ εἶπε, «τὰ δῶρα σου ἂς εἶναι δικά σου» . Πράγματι καὶ αὐτὸ πάλι δημιουργεῖ ἄλλο ζήτημα·

Καὶ γὰρ καὶ τοῦτο πάλιν ἕτερον ζήτημα, πῶς τῷ λόγῳ διακρουόμενος, διὰ τῶν ἔργων ἐδέξατο τὴν τιμὴν καὶ ἐφόρεσε τὸν μανιάκην. Καὶ ὁ μὲν Ἡρώδης ἀκούσας, «φωνὴ Θεοῦ καὶ οὐκ ἀνθρώπου», ἐπειδὴ μὴ ἔδωκε δόξαν τῷ Θεῷ, διερράγη καὶ ἐξεχύθη τὰ σπλάγ-
5 *χνα αὐτοῦ· οὗτος δὲ καὶ Θεοῦ τιμὴν προσήκατο, οὐχὶ ῥήματα μόνον.*

Ἐνταῦθα ἀναγκαῖον εἰπεῖν τί δὴ τοῦτό ἐστιν. Ὅτι ἐκεῖθεν μὲν εἰς εἰδωλολατρίαν ἐξέπιπτον οἱ ἄνθρωποι μείζονα, ἐντεῦθεν δὲ οὐκέτι. Πῶς; Τὸ γὰρ νομισθῆναι τοῦτον τοιοῦτον, τιμὴ εἰς τὸν
10 *Θεὸν ἦν· διὰ γὰρ τοῦτο προλαβὼν εἶπε· «καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη». Ἄλλως δέ, οὐδὲ φαίνεται προσιέμενος τὰς σπονδάς· εἶπε μὲν γάρ, φησίν, ὅτι χρὴ σπεῖσαι, οὔπω δὲ δῆλον ἐγένετο, ὅτι καὶ τὸ ἔργον παρηκολούθησεν. Ἐκεῖ δὲ ἤνεγκαν ὥστε τοὺς ταύρους καταθῦσαι· «καὶ ἐκάλουν τὸν μὲν Δία, τὸν δὲ*
15 *Ἑρμῆν». Τὸν μὲν οὖν μανιάκην προσήκατο, ἵνα δῆλον ἑαυτὸν ποιήσῃ, τὴν μέντοι σπονδὴν διὰ τί μὴ φαίνεται διακρουόμενος; Καὶ γὰρ ἐκεῖ οὐκ ἐποίησαν, ἀλλ' ἐπεχείρησαν, καὶ ἐκώλυσαν οἱ ἀπόστολοι· ὥστε καὶ ἐνταῦθα ἔδει εὐθέως διακρούσασθαι· καὶ ἐκεῖ μὲν δῆμος ὁλόκληρος ἦν, ἐνταῦθα δὲ τύραννος.*

20 *Τί οὖν αὐτὸν οὐκ ἀπήγαγε, προλαβὼν εἶπον, ὅτι οὐχ ὡς θεῷ ἔσπενδεν ἐπὶ ἀνατροπῇ τοῦ σεβάσματος, ἀλλ' ἐπὶ μείζονι θαύματι. Πῶς; Ὅτι τοῦ Θεοῦ ἕνεκεν διάταγμα τέθεικεν, ὁμολογῶν αὐτοῦ τὴν δεσποτείαν· ὥστε οὐκ ἠκρωτηρίαζε τὴν τιμήν. Ἐκεῖνοι δὲ οὐχ οὕτως, ἀλλ' αὐτοὺς ἐνόμιζον εἶναι τοὺς θεούς· διὰ τοῦτο διεκρούον-*
25 *το. Ἄλλως δέ, καὶ προσκυνήσας ἐνταῦθα, τότε ταῦτα ποιεῖ· οὐδὲ γὰρ ὡς θεῷ προσεκύνησεν, ἀλλ' ὡς ἀνθρώπῳ σοφῷ. Οὐ δῆλον δὲ οὐδὲ ὅτι ἔσπεισεν· εἰ δὲ καὶ ἔσπεισεν, ἀλλ' οὐ δεχομένου τοῦ Δανιήλ. Τί δέ, ὅτι αὐτὸν καὶ Βαλτάσαρ ἐκάλεσεν, τοῦ θεοῦ αὐτοῦ τὸ ὄνομα; Οὕτως οὐδὲν θαῦμα ἡγοῦντο αὐτῶν τοὺς θεούς, ὅπου γε καὶ*
30 *τὸν αἰχμάλωτον οὕτως ἐκάλει ὁ πάντας κελεύων τὴν εἰκόνα προσκυνεῖν τὴν παντοδαπὴν καὶ ποικίλην καὶ τὸν δράκοντα σέβων·*

17. Πράξ. 12,22.
18. Δαν. 2,30.

πῶς, ἐνῶ μὲ τὸν λόγο τὰ ἀπέκρουσε, στὴν πρᾶξι δέχθηκε τὴν τιμὴ καὶ φόρεσε τὸ χρυσὸ περιδέραιο. Καὶ ὁ Ἡρώδης βέβαια, ὅταν ἄκουσε ἀπὸ τὰ πλήθη «αὐτὰ εἶναι φωνὴ Θεοῦ καὶ ὄχι φωνὴ ἀνθρώπου»[17], ἐπειδὴ δὲν ἀπέδωσε τὴ δόξα στὸν Θεό, ἔσκασε καὶ χύθηκαν ἔξω τὰ σπλάχνα του, ἐνῶ αὐτὸς καὶ τὴν τιμὴ τοῦ Θεοῦ δέχθηκε, ὄχι μόνο λόγια.

Ἐδῶ εἶναι ἀνάγκη νὰ ποῦμε, γιατί ἔγινε αὐτό. Διότι ἀπὸ ἐκεῖνο τὸ γεγονὸς οἱ ἄνθρωποι ἔπεφταν σὲ μεγαλύτερη εἰδωλολατρία, ἐνῶ ἀπὸ αὐτὸ καθόλου. Πῶς; Διότι, τὸ ὅτι θεωρήθηκε αὐτὸς τέτοιος, ἦταν τιμὴ γιὰ τὸν Θεό· γι' αὐτὸ προλαβαίνει καὶ λέγει· «καὶ σὲ μένα δὲν ἀποκαλύφθηκε ἀπὸ τὴ σοφία ποὺ ὑπάρχει μέσα μου»[18]. Ἄλλωστε οὔτε φαίνεται ὅτι ἀποδέχθηκε τὶς σπονδές· διότι, εἶπε βέβαια, λέγει, ὅτι πρέπει νὰ θυσιάσουν, δὲν ἔγινε ὅμως φενερὸ ὅτι ἀκολούθησε καὶ τὸ ἔργο. Ἐνῶ στὴν περίπτωσι τῶν ἀποστόλων ἔφεραν ἐκεῖ τοὺς ταύρους γιὰ νὰ τοὺς θυσιάσουν· «καὶ ὠνόμαζαν τὸν ἕνα (τὸν Βαρνάβα) Δία, ἐνῶ τὸν ἄλλο (τὸν Παῦλο) Ἑρμῆ». Τὸ χρυσὸ λοιπὸν περιδέραιο τὸ δέχθηκε ὁ Δανιήλ, γιὰ νὰ κάνῃ φανερὸ τὸν ἑαυτό του, τὴν σπονδὴ ὅμως γιατί δὲν φαίνεται ὅτι τὴν ἀπέκρουσε; Διότι καὶ ἐκεῖ δὲν τὴν ἔκαναν, ἀλλ' ἐπεχείρησαν νὰ τὴν κάνουν καὶ τὴν ἐμπόδισαν οἱ ἀπόστολοι· ὥστε καὶ ἐδῶ ἔπρεπε ἀμέσως νὰ τὴν ἀποκρούσῃ. Καὶ ἐκεῖ ἦταν ὅλος ὁ λαός, ἐνῶ ἐδῶ ὁ ἀνώτατος ἄρχοντας.

Γιατί λοιπὸν δὲν τὸν ἀπομάκρυνε, τὸ εἶπα προηγουμένως, ἐπειδὴ δὲν πρόσφερε τὴν σπονδὴ σὰν σὲ θεό, ὥστε ν' ἀνατραπῆ τὸ ἀντικείμενο τῆς λατρείας, ἀλλ' ἐξ αἰτίας τοῦ μεγάλου θαύματος. Πῶς; Διότι ἐξ αἰτίας τοῦ Θεοῦ εἶχε ἐκδόσει τὸ διάταγμα, ὁμολογώντας τὴν κυριαρχία του. Ἐπομένως δὲν ἀκρωτηρίαζε τὴν τιμή. Ἐνῶ ἐκεῖνοι δὲν ἔκαναν τὸ ἴδιο, ἀλλὰ πίστευαν ὅτι εἶναι οἱ ἴδιοι οἱ θεοί· γι' αὐτὸ καὶ τοὺς ἐμπόδιζαν. Ἐξ ἄλλου καὶ ἐδῶ, ἀφοῦ τὸν προσκύνησε, τότε τὰ ἔκανε αὐτά· διότι δὲν τὸν προσκύνησε σὰν Θεό, ἀλλὰ σὰν ἄνθρωπο σοφό. Καὶ οὔτε εἶναι φανερό, ὅτι θυσίασε· καὶ ἐὰν ἀκόμη θυσίασε, ὅμως δὲν ἀποδέχθηκε ὁ Δανιὴλ τὴ θυσία. Τί ὅμως, τὸ ὅτι καὶ Βαλτάσαρ τὸν ὠνόμασε, τοῦ θεοῦ του τὸ ὄνομα; Ἔτσι δὲν θεωροῦσαν τοὺς θεοὺς τους θαυμαστούς, ἀφοῦ καὶ τὸν αἰχμάλωτο ἔτσι τὸν ὠνόμαζε, αὐτὸς ποὺ διέτασσε ὅλους νὰ προσκυνοῦν τὴν εἰκόνα του τὴν πολύπλοκη καὶ πολύχρωμη καὶ νὰ σέβωνται τὸν

καὶ ἐκείνων πολὺ ἦσαν ἀνοητότεροι οἱ Βαβυλώνιοι τῶν ἐν Λύστρᾳ· διὸ οὐκ ἐνῆν εὐθέως ἐνάγειν αὐτοὺς εἰς τοῦτο. Καὶ πολλὰ ἂν τις εἴποι· τέως δὲ ταῦτα ἀρκεῖ.

Ἂν τοίνυν βουλώμεθα πάντων ἐπιτυχεῖν τῶν ἀγαθῶν, τὰ
5 *κατὰ Θεὸν ζητῶμεν. Ὥσπερ γὰρ οἱ τὰ τοῦ κόσμου ζητοῦντες καὶ τούτων καὶ ἐκείνων ἐκπίπτουσιν, οὕτως οἱ τὰ κατὰ Θεὸν προτιμῶντες, ἀμφοτέρων ἐπιτυγχάνουσι. Μὴ δὴ ταῦτα λοιπὸν ζητῶμεν, ἀλλ' ἐκεῖνα, ἵνα καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.*

δράκοντα· καὶ ἀπὸ ἐκείνους ποὺ κατοικοῦσαν στὰ Λύστρα, οἱ Βαβυλώνιοι ἦταν πολὺ πιὸ ἀνόητοι· γι' αὐτὸ δὲν ἦταν δυνατὸ ἀμέσως νὰ τοὺς παροτρύνουν σ' αὐτό. Καὶ πολλὰ ἄλλα θὰ μποροῦσε νὰ πῆ κανείς. Γιὰ τὴν ὥρα ὅμως εἶναι ἀρκετὰ αὐτά.

Ἂν λοιπὸν θέλουμε ν' ἀπολαύσουμε ὅλα τὰ ἀγαθά, ἃς ζητοῦμε αὐτὰ ποὺ ἀρέσουν στὸν Θεό. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἐπιζητοῦν αὐτὰ ποὺ ἀνήκουν στὸν κόσμο, χάνουν καὶ αὐτὰ καὶ ἐκεῖνα τὰ ἀγαθά, ἔτσι ὅσοι προτιμοῦν αὐτὰ ποὺ ἀρέσουν στὸν Θεό, κερδίζουν καὶ τὰ δύο. Ἂς μὴ ἐπιδιώκουμε λοιπὸν αὐτά, ἀλλ' ἐκεῖνα τὰ ἀγαθά, γιὰ νὰ κερδίσουμε καὶ τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ ὁ Θεὸς μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου μας.

ΟΜΙΛΙΑ ΚΖ'

(Ἑβρ. 11,29–37)

«Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. Πίστει διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι, κατεπόθησαν. Πίστει τὰ τείχη Ἰεριχὼ ἔπεσε, κυκλω-
5 *θέντα ἐπὶ ἑπτὰ ἡμέρας. Πίστει Ραὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης».*

1. Πολλὰ μεταξὺ κατασκευάζειν ὁ Παῦλος εἴωθε καὶ πυκνός ἐστι τοῖς νοήμασι. Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις· οὐκ ἐν πλήθει λόγων ὀλίγα περιέχει νοήματα, ἀλλὰ βραχύτητι ρημάτων
10 μεγάλην καὶ πολλὴν διάνοιαν ἐντίθησιν. Ὅρα γοῦν πῶς ἐν τάξει παρακλήσεως καὶ περὶ πίστεως διαλεγόμενος, οἵου ὑπομιμνήσκει τύπου καὶ μυστηρίου, οὗ τὴν ἀλήθειαν ἔχομεν. «Πίστει», φησί, «πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν». Τί δέ ἐστιν, «ἡ πρόσχυσις τοῦ
15 αἵματος;» Ἀρνίον ἐθύετο κατὰ οἰκίαν καὶ τὸ αἷμα αὐτοῦ ἐπεχρίετο ταῖς φλιαῖς, καὶ τοῦτο ἦν ἀποτείχισις τῆς ἀπωλείας τῆς Αἰγυπτιακῆς. Εἰ τοίνυν αἷμα ἀρνίου ἐν μέσοις Αἰγυπτίοις καὶ ἐν ὀλέθρῳ τοσούτῳ ἀσινεῖς διεφύλαττε τοὺς Ἰουδαίους, πολλῷ μᾶλλον διασώσει ἡμᾶς, οὐκ ἐν ταῖς φλιαῖς, ἀλλ' ἐπὶ ταῖς ψυχαῖς τὸ αἷμα ἐπιχριό-
20 μενον τοῦ Χριστοῦ· καὶ γὰρ καὶ νῦν ὁ ὀλοθρεύων ἐν τῇ βαθείᾳ νυκτὶ ταύτῃ περιέρχεται. Ἀλλ' ὁπλιζώμεθα ἐκείνῃ τῇ θυσίᾳ.

ΟΜΙΛΙΑ ΚΖ'

(Έβρ. 11, 28-37)

«Μὲ πίστι ἔκανε ὁ Μωϋσῆς τὸ πάσχα καὶ τὸν ραντισμὸ τοῦ αἵματος, γιὰ νὰ μὴν ἀγγίξῃ τὰ πρωτότοκά τους ὁ ἐξολοθρευτὴς ἄγγελος. Μὲ τὴν πίστι πέρασαν τὴν Ἐρυθρὰ θάλασσα, σὰν νὰ ἦταν ξηρά, ἐνῶ οἱ Αἰγύπτιοι, ὅταν ἐπιχείρησαν νὰ τὴν περάσουν, καταποντίσθηκαν. Μὲ τὴν πίστι ἔπεσαν τὰ τείχη τῆς Ἰεριχώ, ἀφοῦ περικυκλώθηκαν ἐπὶ ἑπτὰ ἡμέρες. Μὲ τὴν πίστι της ἡ πόρνη Ραὰβ δὲν θανατώθηκε μαζὶ μὲ τοὺς ἀπειθεῖς, ἐπειδὴ δέχθηκε τοὺς κατασκόπους μὲ εἰρηνικὲς διαθέσεις».

1. Πολλὰ συνηθίζει ὁ Παῦλος νὰ παραθέτῃ ἐνδιάμεσα καὶ εἶναι πυκνὸς στὰ νοήματα. Πράγματι τέτοια εἶναι ἡ χάρις τοῦ ἁγίου Πνεύματος· δὲν περιλαμβάνει λίγα νοήματα μέσα σὲ πολλὰ λόγια, ἀλλὰ μέσα σὲ σύντομα λόγια βάζει πολλὰ καὶ μεγάλα νοήματα. Πρόσεχε λοιπὸν πῶς, ἐνῶ ὁμιλεῖ γιὰ τὴν πίστι καὶ ὑπὸ μορφὴ παρηγοριᾶς, ποιό μεγάλο τύπο καὶ μυστήριο μᾶς ὑπενθυμίζει, τοῦ ὁποίου τὴν ἀλήθεια ἔχουμε. «Μὲ πίστι», λέγει, «ἔκανε ὁ Μωϋσῆς τὸ πάσχα καὶ τὸν ραντισμὸ τοῦ αἵματος, γιὰ νὰ μὴν ἀγγίσῃ τὰ πρωτότοκά τους ὁ ἐξολοθρευτὴς ἄγγελος». Καὶ ποιά εἶναι «ἡ πρόσχυσις τοῦ αἵματος»; Σὲ κάθε σπίτι θυσιαζόταν ἕνα ἀρνί, καὶ μὲ τὸ αἷμα του ἔχριαν τοὺς παραστάτες τῆς θύρας, καὶ αὐτὸ ἦταν ἡ ὀχύρωσις ἀπὸ τὴν καταστροφὴ τὴν αἰγυπτιακή. Ἐὰν λοιπὸν τὸ αἷμα τοῦ ἀρνιοῦ διαφύλαττε τόσο ἀβλαβεῖς τοὺς Ἰουδαίους ποὺ ἦταν ἀνάμεσα στοὺς Αἰγυπτίους καὶ διέτρεχαν τέτοιο κίνδυνο, πολὺ περισσότερο θὰ διασώσῃ ἐμᾶς τὸ αἷμα τοῦ Χριστοῦ, ἐπιχριόμενο ὄχι στοὺς παραστάτες τῶν θυρῶν, ἀλλὰ στὶς ψυχές μας· διότι καὶ τώρα ὁ ἐξολοθρευτὴς περιφέρεται μέσα στὴ βαθειὰ αὐτὴ νύχτα. Ἀλλὰ ἂς ὁπλιζώμαστε μ' ἐκείνη τὴν θυσία.

«Πρόσχυσιν» τὴν χρίσιν καλεῖ· ἀπὸ γὰρ Αἰγύπτου ἐξήγαγεν ἡμᾶς ὁ Θεός, ἀπὸ τοῦ σκότους, ἀπὸ τῆς εἰδωλολατρίας. Καίτοι τὸ γενόμενον οὐδὲν ἦν, τὸ δὲ κατορθούμενον μέγα· τὸ μὲν γὰρ γενόμενον αἷμα, τὸ δὲ κατορθούμενον σωτηρία καὶ ἔμφραξις καὶ κώλυμα
5 *ἀπωλείας. Ἐφοβήθη τὸ αἷμα ὁ ἄγγελος· ᾔδει γὰρ τίνος ἦν τύπος· ἔφριξε, τὸν Δεσποτικὸν θάνατον ἐννοήσας· διὰ τοῦτο οὐκ ἔθιγε τῶν φλιῶν. Εἶπε Μωϋσῆς, «χρίσατε», καὶ ἔχρισαν, καὶ ἐθάρρησαν χρίσαντες. Ὑμεῖς δὲ αὐτοῦ τοῦ ἀμνοῦ ἔχοντες τὸ αἷμα, οὐ θαρσεῖτε; «Πίστει διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν, ὡς διὰ ξηρᾶς γῆς».*
10 *Πάλιν λαὸν ὁλόκληρον παραβάλλει λαῷ, ἵνα μὴ λέγωσιν, ὅτι οὐ δυνάμεθα κατὰ τοὺς ἁγίους γενέσθαι. «Πίστει», φησί, «διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς γῆς· ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν». Ἐνταῦθα αὐτοὺς καὶ εἰς ὑπόμνησιν ἄγει τῶν παθημάτων τῶν ἐν Αἰγύπτῳ. Πῶς «πίστει»; Ὅτι ἤλπισαν*
15 *διὰ τῆς θαλάσσης διαβήσεσθαι, καὶ διὰ τοῦτο ηὔχοντο· μᾶλλον δὲ Μωϋσῆς ἦν ὁ εὐχόμενος.*

Ὁρᾷς ὅτι πανταχοῦ ἡ πίστις τοὺς λογισμοὺς ὑπερβαίνει τοὺς ἀνθρωπίνους καὶ τὴν ἀσθένειαν καὶ τὴν ταπεινότητα; Ὁρᾷς ὁμοῦ καὶ ἐπίστευον καὶ τὴν κόλασιν ἐδεδοίκεσαν ἔν τε τῷ αἵματι τῶν
20 *θυρῶν, ἔν τε τῇ Ἐρυθρᾷ θαλάττῃ; Καὶ τοῦτο ἐδήλου, ὅτι ὕδωρ ἦν, διὰ τῶν ἐμπεσόντων καὶ ἀποπνιγέντων, καὶ ὅτι οὐκ ἦν φαντασία, ἀλλ' ἀλήθεια. Ὥσπερ δὲ ἐπὶ τῶν λεόντων οἱ ἀναλωθέντες ἐδείκνυον τῶν πραγμάτων τὴν ἀλήθειαν, καὶ ἐπὶ τῆς καμίνου οἱ καέντες· οὕτω καὶ νῦν ὁρᾷς τὰ αὐτὰ πράγματα τοῖς μὲν πρὸς σωτηρίας*
25 *καὶ εὐδοκιμήσεως, τοῖς δὲ πρὸς ἀπωλείας γινόμενα. Τοσοῦτόν ἐστιν ἡ πίστις ἀγαθόν· καὶ γὰρ ὅταν εἰς ἀμηχανίαν ἐμπέσωμεν, τότε ἀπαλλαττόμεθα, κἂν πρὸς αὐτὸν τὸν θάνατον ἔλθωμεν, κἂν ἀπογνωσθῇ τὰ καθ' ἡμᾶς. Τί γὰρ ἄλλο ἦν λοιπόν; Αἰγύπτιοι καὶ θάλασσα αὐτοὺς ἀόπλους ἐκύκλουν, καὶ ἢ ἀποπνιγῆναι ἐχρῆν φεύγον-*

«Πρόσχυσι» τὴν ἐπίχρυσι ὀνομάζει· διότι ἀπὸ τὴν Αἴγυπτο μᾶς ἔβγαλε ὁ Θεός, ἀπὸ τὸ σκοτάδι, ἀπὸ τὴν εἰδωλολατρία. Ἂν καὶ ἐκεῖνο ποὺ ἔγινε δὲν ἦταν τίποτε, ἐνῶ ἐκεῖνο ποὺ κατωρθώθηκε ἦταν μεγάλο· καθόσον ἐκεῖνο ποὺ ἔγινε ἦταν χρίσις μὲ αἷμα, ἐνῶ αὐτὸ ποὺ κατωρθώθηκε ἦταν ἡ σωτηρία καὶ ἡ ἔμφραξις καὶ ἡ ἐμπόδισις τῆς ἀπώλειας. Φοβήθηκε τὸ αἷμα ὁ ἄγγελος· διότι ἤξερε τίνος τύπος ἦταν· ἔφριξε, διότι σκέφθηκε τὸν θάνατο τοῦ Κυρίου· γι' αὐτὸ δὲν ἄγγιζε τοὺς παραστάτες. Εἶπε ὁ Μωϋσῆς, «χρίσατε», καὶ ἔχρισαν, καὶ ἀφοῦ ἔχρισαν, ἀπέκτησαν θάρρος. Καὶ ἐσεῖς, ἐνῶ ἔχετε τὸ αἷμα τοῦ ἴδιου τοῦ ἀμνοῦ, δὲν ἔχετε θάρρος; «Μὲ τὴν πίστι πέρασαν τὴν Ἐρυθρὰ θάλασσα, σὰν νὰ περνοῦσαν ξηρά». Πάλι λαὸ ὁλόκληρο ἀντιπαραβάλλει μὲ λαό, γιὰ νὰ μὴν λένε, ὅτι δὲν μποροῦμε νὰ γίνουμε ὅμοιοι μὲ τοὺς ἁγίους. «Μὲ τὴν πίστι», λέγει, «πέρασαν τὴν Ἐρυθρὰ θάλασσα, σὰν νὰ περνοῦσαν ξηρά, ἐνῶ ὅταν ἀποπειράθηκαν οἱ Αἰγύπτιοι νὰ τὴν διαβοῦν, καταποντίσθηκαν». Ἐδῶ τοὺς ὑπενθυμίζει καὶ τὰ παθήματα τῶν προγόνων τους στὴν Αἴγυπτο. Πῶς μὲ τὴν πίστι; Διότι πίστευσαν ὅτι θὰ περάσουν μέσα ἀπὸ τὴ θάλασσα καὶ γι' αὐτὸ προσεύχονταν· ἢ καλύτερα ὁ Μωϋσῆς ἦταν ἐκεῖνος ποὺ προσευχόταν.

Βλέπεις ὅτι παντοῦ ἡ πίστις ξεπερνᾶ τοὺς ἀνθρώπινους λογισμοὺς καὶ τὴν ἀδυναμία καὶ τὴν κατάπτωσι τῆς διαθέσεως; Βλέπεις, ὅτι συγχρόνως καὶ πίστευαν καὶ εἶχαν φοβηθῆ τὴν τιμωρία καὶ διὰ τῆς χρίσεως τῶν θυρῶν μὲ αἷμα καὶ διὰ τῆς διαβάσεως μέσω τῆς Ἐρυθρᾶς θαλάσσης; Καὶ ὁ θάνατος ἐκείνων ποὺ ἔπεσαν καὶ πνίγηκαν μέσα στὴ θάλασσα φανέρωνε καὶ αὐτό, ὅτι ἦταν νερὸ καὶ ὅτι δὲν ἦταν φαντασία, ἀλλὰ πραγματικὸ γεγονός. Καὶ ὅπως ἀκριβῶς στὴν περίπτωσι τῶν λιονταριῶν ἐκεῖνοι ποὺ καταβροχθίσθηκαν φανέρωναν τὴν ἀλήθεια τῶν πραγμάτων, καθὼς καὶ στὴν περίπτωσι τῆς καμίνου ἐκεῖνοι ποὺ κάηκαν, ἔτσι καὶ τώρα βλέπεις τὰ ἴδια πράγματα σὲ ἄλλους νὰ εἶναι αἰτία σωτηρίας καὶ εὐδοκιμήσεως, καὶ σὲ ἄλλους αἰτία καταδίκης. Τόσο μεγάλο ἀγαθὸ εἶναι ἡ πίστις· διότι, ὅταν περιέλθουμε σὲ ἀμηχανία, τότε μᾶς ἀνακουφίζει ἡ πίστις, ἔστω κι' ἂν φθάσουμε στὸν θάνατο ἢ ἀπογοητευθοῦμε ἀπ' ὅσα μᾶς συμβαίνουν. Πράγματι τί ἄλλο ἀπέμεινε; Οἱ Αἰγύπτιοι καὶ ἡ θάλασσα περικύκλωναν αὐτοὺς ἄοπλους, καὶ ἢ ἔπρεπε νὰ πνιγοῦν στὴν προσπάθειά τους νὰ διαφύγουν, ἢ νὰ πέσουν στὰ χέρια τῶν Αἰγυ-

τας, ἢ εἰς τὰς Αἰγυπτιακὰς χεῖρας ἐμπεσεῖν. Ἀλλ' ὅμως ἀπὸ ἀμηχάνων αὐτοὺς διέσωσε· τὸ αὐτὸ ὕδωρ τοῖς μὲν ὑπεστρώννυτο καθάπερ γῆ, τοὺς δὲ κατεπόντιζε καθάπερ θάλαττα· ἐκεῖ μὲν τῆς φύσεως ἐπελανθάνετο, ἐνταῦθα δὲ καὶ ὡπλίζετο κατ' αὐτῶν. «Πίστει 5 τὰ τείχη Ἰεριχὼ ἔπεσε, κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας». Οὐ γὰρ δὴ σαλπίγγων ἠχὴ λίθους οἷά τε καταβάλλειν ἐστί, κἂν μυρία τις ἔτη σαλπίζῃ, ἀλλ' ἡ πίστις πάντα δύναται.

2. Ὁρᾷς πανταχοῦ, οὐχὶ ἀκολουθίᾳ, οὐδὲ φύσεως νόμῳ μεταβαλλομένην αὐτήν, ἀλλὰ παρὰ προσδοκίαν ἅπαντα γινόμενα; Οὐ-10 κοῦν καὶ ἐνταῦθα παρὰ προσδοκίαν ἅπαντα γίνεται. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ἔλεγεν, ὅτι δεῖ πιστεύειν ταῖς ἐλπίσι ταῖς μελλούσαις, εἰκότως τοῦτον ἅπαντα τὸν λόγον ἐκίνησε, δεικνὺς ὅτι οὐ νῦν, ἀλλὰ καὶ ἐξ ἀρχῆς πάντα τὰ θαύματα διὰ ταύτης ἤνυσται καὶ κατώρθωται. «Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσα-15 σι, δεξαμένη κατασκόπους μετ' εἰρήνης». Οὐκοῦν αἰσχρόν, εἰ καὶ πόρνης ἀπιστότεροι φανείητε· καίτοι γε ἐκείνη τῶν ἀνδρῶν ἤκουσεν ἀπαγγελλόντων, καὶ εὐθέως ἐπίστευσε. Τοιγαροῦν καὶ τὸ τέλος ἐπηκολούθησε· πάντων γὰρ ἀπολωλότων, μόνη διεσώθη. Οὐκ εἶπε πρὸς ἑαυτήν, ὅτι 'Μετὰ πολλῶν ἔσομαι τῶν ἐμῶν'· οὐκ εἶπεν, 20 Ἐγὼ τοσούτων φρονιμωτέρα δύναμαι εἶναι ἀνδρῶν συνετῶν, οἵτινες ἀπιστοῦσι, καὶ ἐγὼ πιστεύσω;' Οὐδὲν τοιοῦτον, ὅπερ εἰκὸς ἦν ἄλλον καὶ εἰπεῖν καὶ παθεῖν, ἀλλὰ τοῖς λεγομένοις ἐπίστευσε.

«Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος». Οὐκέτι λοιπὸν τὰ ὀνόματα τίθησιν, ἀλλὰ τελευτήσας εἰς τὴν πόρ-25 νην καὶ ἐντρέψας διὰ τῆς τοῦ προσώπου ποιότητος, οὐκέτι πλατύνει τὰς ἱστορίας, ἵνα μὴ δόξῃ μακρηγορεῖν· οὐ μὴν αὐτὰς ἀφίησιν, ἀλλ' ἐπιτρέχει σφόδρα συνετῶς, τηρῶν ἀμφότερα, καὶ τὸν κόρον φεύγων, καὶ τὴν πυκνότητα οὐ λυμαινόμενος· οὔτε πάντη ἐσίγησεν, οὔτε λέγων ἠνώχλησεν, ἀλλ' ἀμφότερα ποιεῖ. Ὅταν γάρ τις ἰσχυ-30 ρῶς ἀγωνίζηται, ἂν ἐπιμένῃ ἀγωνιζόμενος, ἀποκναίει τὸν ἀκροα-

πτίων. Ἀλλ' ὅμως ἡ πίστις τοὺς διέσωσε, ἂν καὶ βρίσκονταν σὲ ἀμηχανία· τὸ ἴδιο νερὸ στοὺς Ἑβραίους στρωνόταν κάτω σὰν γῆ, ἐνῶ τοὺς Αἰγυπτίους τοὺς κατέπνιγε σὰν θάλασσα· γιὰ τοὺς Ἑβραίους ξεχνοῦσε τὴ φύσι του, ἐνῶ γιὰ τοὺς Αἰγυπτίους καὶ ὡπλιζόταν ἐναντίον τους. «Μὲ τὴν πίστι ἔπεσαν τὰ τείχη τῆς Ἰεριχώ, ἀφοῦ περικυκλώθηκαν ἑπτὰ ἡμέρες». Διότι ὁ ἦχος τῶν σαλπίγγων δὲν εἶναι σὲ θέσι νὰ γκρεμίζη λίθους, κι' ἂν ἀκόμα σαλπίζη κάποιος πολλὰ χρόνια, ἐνῶ ἡ πίστις ὅλα τὰ κατορθώνει.

2. Βλέπεις ὅτι ἡ πίστις σὲ ὅλες τὶς περιπτώσεις δὲν ὑπακούει οὔτε στὴ λογικὴ τῶν γεγονότων οὔτε στὸν νόμο τῆς φύσεως, ἀλλ' ὅλα γίνονται ἀντίθετα πρὸς τὴν προσδοκία; Λοιπὸν καὶ ἐδῶ ὅλα γίνονται ἀντίθετα πρὸς τὴν προσδοκία. Ἐπειδὴ δηλαδὴ ἔλεγε συνεχῶς, ὅτι πρέπει νὰ πιστεύουμε σ' αὐτὰ ποὺ ἐλπίζουμε ν' ἀπολαύσουμε στὸ μέλλον, εὔλογα ὅλα αὐτὰ τὰ ἀνέφερε, γιὰ νὰ δείξη, ὅτι ὄχι τώρα ἀλλ' ἀνέκαθεν ὅλα τὰ θαύματα μὲ τὴν πίστι ἔχουν πραγματοποιηθῆ καὶ ἔχουν κατορθωθῆ. «Ἐξ αἰτίας τῆς πίστεώς της ἡ Ραὰβ ἡ πόρνη δὲν θανατώθηκε μαζὶ μὲ τοὺς ἀπειθεῖς, διότι δέχθηκε τοὺς κατασκόπους μὲ εἰρηνικὲς διαθέσεις». Λοιπόν, εἶναι ντροπὴ νὰ φανῆτε πιὸ ἄπιστοι κι' ἀπὸ τὴν πόρνη· ἂν καὶ ἐκείνη τὸ πληροφορήθηκε ἀπὸ τοὺς πρέσβεις καὶ ἀμέσως πίστεψε. Ἔτσι λοιπὸν καὶ τὸ τέλος ἐπακολούθησε· διότι, ἐνῶ ὅλοι σκοτώθηκαν, αὐτὴ μόνη διέφυγε τὸν θάνατο. Δὲν εἶπε στὸν ἑαυτό της, 'θὰ εἶμαι μαζὶ μὲ πολλοὺς συμπατριῶτες μου'· δὲν εἶπε, 'ἐγὼ εἶμαι ἡ πιὸ φρόνιμη ἀπὸ τόσους συνετοὺς ἄνδρες, ποὺ δὲν πιστεύουν, κι' ἐγὼ θὰ πιστεύσω;' Τίποτε τέτοιο δὲν εἶπε, ποὺ θὰ ἦταν φυσικὸ κάποιος ἄλλος καὶ νὰ τὸ πῆ καὶ νὰ τὸ κάνη, ἀλλὰ πίστεψε σ' αὐτὰ ποὺ τῆς εἶπαν.

«Καὶ τί ἀκόμα νὰ σᾶς πῶ; Διότι δὲν θὰ μοῦ φθάση ὁ χρόνος νὰ σᾶς διηγηθῶ». Δὲν ἀναφέρει ἀκόμη τὰ ὀνόματα, ἀλλ', ἀφοῦ σταμάτησε στὴν πόρνη καὶ ἔνοιωσε ντροπὴ ἐξ αἰτίας τῆς ποιότητας τοῦ προσώπου, δὲν ἐπιμηκύνει πλέον τὸν λόγο, γιὰ νὰ μὴ φανῆ ὅτι μακρηγορεῖ· δὲν σταματᾶ βέβαια ν' ἀναφέρη παραδείγματα, ἀλλὰ τὰ διατρέχει μὲ πολλὴ σύνεσι, διατηρώντας καὶ τὰ δύο, καὶ τὸν κόρο ἀποφεύγει καὶ τὴν στερεότητα τοῦ λόγου δὲν καταστρέφει· οὔτε τελείως τὰ ἀποσιώπησε, οὔτε ἔγινε ἐνοχλητικὸς λέγοντάς τα, ἀλλὰ κάμνει καὶ τὰ δύο. Διότι ὅταν κάποιος ἀγωνίζεται πολὺ δυνατά, ἂν συνεχίση ν' ἀγωνίζεται, καταπονεῖ τὸν ἀκροατή, διότι ἔχει τὴν πε-

τήν, πεπεισμένον λοιπὸν ἐνοχλῶν καὶ φιλοτιμίας λαμβάνων δόξαν· δεῖ γὰρ πρὸς τὸ λυσιτελὲς ἁρμόζεσθαι.

«Καὶ τί ἔτι λέγω», φησίν; «Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν Βαράκ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαυῒδ τε,
5 *καὶ Σαμουήλ, καὶ τῶν προφητῶν». Ἐγκαλοῦσι τῷ Παύλῳ τινὲς ὅτι τὸν Βαρὰκ καὶ τὸν Σαμψὼν καὶ τὸν Ἰεφθάε ἐν τούτοις τίθησι τοῖς τόποις. Τί λέγεις; Ὁ τὴν πόρνην θείς, τούτους οὐ θήσει; Μὴ γάρ μοι τὸν ἄλλον αὐτῶν βίον εἴπῃς, ἀλλ' εἰ μὴ ἐπίστευσαν καὶ ἔλαμψαν ἐν τῇ πίστει. «Καὶ τῶν προφητῶν», φησίν, «οἳ διὰ πίστε-*
10 *ως κατηγωνίσαντο βασιλείας». Ὁρᾷς ὅτι οὐχὶ βίον ἐνταῦθα αὐτοῖς μαρτυρεῖ λαμπρόν· οὐδὲ γὰρ τοῦτο προηγουμένως ἦν τὸ ζητούμενον· ἀλλὰ πίστεως τέως ἐξέτασις ἦν. Εἰπὲ γάρ μοι εἰ μὴ πίστει τὸ πᾶν ἤνυσαν; Πῶς; «Διὰ πίστεως», φησί, «κατηγωνίσαντο βασιλείας οἱ περὶ τὸν Γεδεών. Εἰργάσαντο δικαιοσύνην». Τίνες; Αὐτοὶ*
15 *οὗτοι· ἤτοι τὴν φιλανθρωπίαν ἐνταῦθα δικαιοσύνην εἶπεν.*

«Ἐπέτυχον ἐπαγγελιῶν». Περὶ τοῦ Δαυῒδ οἶμαι αὐτὸν τοῦτο λέγειν. Ποίων δὲ τούτων ἔτυχεν ἐπαγγελιῶν; Ὧν ἔλεγεν, ὅτι «τὸ σπέρμα αὐτοῦ καθίσει ἐπὶ τὸν θρόνον αὐτοῦ». «Ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας».
20 *Ὅρα πῶς ἐν αὐτῷ τῷ θανάτῳ ἦσαν, ὁ Δανιὴλ κυκλούμενος ὑπὸ τῶν λεόντων, οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ διατρίβοντες, ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακὼβ ἐν διαφόροις πειρασμοῖς, καὶ οὐδὲ οὕτως ἀπέγνωσαν. Τοῦτο γὰρ πίστις· ὅταν τὰ πράγματα πρὸς τὸ ἐναντίον ἐκβαίνῃ, τότε δεῖ πιστεύειν ὅτι οὐδὲν ἐναντίον γέγονεν,*
25 *ἀλλὰ πάντα ἀκόλουθα. «Ἔφυγον στόματα μαχαίρας». Περὶ τῶν τριῶν πάλιν οἶμαι παίδων λέγειν αὐτόν. «Ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων». Τὰ κατὰ τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος ἐνταῦθα αἰνίττεται. «Ἀπὸ ἀσθενείας», φησί· τουτέστιν, ἀπὸ αἰχμαλωσίας.*
30 *Ὅτε ἤδη ἀπέγνωστο τὰ ἰουδαϊκά, ὅτε ὀστῶν νεκρῶν οὐδὲν διενηνόχεσαν, τότε αὐτοῖς γέγονε τὰ τῆς ἐπανόδου. Τίς γὰρ ἂν ἤλπισεν*

ποίθησι ὅτι ἐνοχλεῖ καὶ ἀποκτᾶ τὴν φήμη τῆς ἰσχυρογνωμοσύνης. Πρέπει λοιπὸν νὰ προσαρμόζεται πρὸς ἐκεῖνο ποὺ εἶναι ὠφέλιμο.

«Καὶ τί ἀκόμη», λέγει, «νὰ σᾶς πῶ; Διότι δὲν θὰ μοῦ φθάση ὁ χρόνος νὰ σᾶς διηγηθῶ γιὰ τὸν Γεδεὼν καὶ τὸν Βαρὰκ καὶ τὸν Σαμψὼν καὶ τὸν Ἰεφθάε καὶ τὸν Δαυΐδ καὶ τὸν Σαμουὴλ καὶ τοὺς προφῆτες». Κατηγοροῦν μερικοὶ τὸν Παῦλο, γιατί ἀναφέρει σ' αὐτὸ τὸ σημεῖο τὸν Βαρὰκ καὶ τὸν Σαμψὼν καὶ τὸν Ἰεφθάε. Τί λές; Αὐτὸς ποὺ ἀνέφερε τὴν πόρνη, δὲν θ' ἀναφέρη αὐτούς; Μὴ μοῦ ἀναφέρης τὴν ἄλλη ζωή τους, παρὰ μόνο τὸ ἂν πίστεψαν καὶ ἔλαμψαν ὡς πρὸς τὴν πίστι. «Καὶ τοὺς προφῆτες» λέγει, «πού, ἐπειδὴ εἶχαν πίστι, καταπολέμησαν καὶ ὑπέταξαν βασίλεια». Βλέπεις ὅτι ἐδῶ δὲν παρουσιάζει τὴ λαμπρὴ ζωή τους· διότι δὲν ἦταν αὐτὸ προηγουμένως τὸ ζητούμενο· ἀλλ' ἡ ἐξέτασις προηγουμένως ἦταν γιὰ τὴν πίστι. Διότι πές μου, δὲν τὰ κατώρθωσαν ὅλα μὲ τὴν πίστι; Πῶς; «Μὲ τὴν πίστι», λέγει, «καταπολέμησαν βασίλεια οἱ ὅμοιοι μὲ τὸν Γεδεών. Ἄσκησαν δικαιοσύνη». Ποιοί; αὐτοὶ οἱ ἴδιοι οἱ παραπάνω. Τὴν φιλανθρωπία ἐδῶ τὴν ὠνόμασε δικαιοσύνη.

«Ἐπέτυχαν τὴν πραγματοποίησι τῶν ὑποσχέσεων». Νομίζω ὅτι αὐτὸ τὸ λέγει γιὰ τὸν Δαυΐδ. Καὶ ποιές ἀπὸ αὐτὲς τὶς ὑποσχέσεις ἐπέτυχε; Αὐτὲς ποὺ τοῦ εἶπε, ὅτι τὸ σπέρμα του θὰ καθίση στὸν θρόνο του. «Ἔφραξαν στόματα λιονταριῶν, ἔσβησαν τὴν δύναμι τῆς φωτιᾶς, διέφυγαν τὸν κίνδυνο τῆς σφαγῆς». Πρόσεχε πῶς ἦταν μέσα στὸν ἴδιο τὸν θάνατο, ὁ Δανιὴλ περικυκλωμένος ἀπὸ τὰ λιοντάρια, οἱ τρεῖς παῖδες μέσα στὸ καμίνι τοῦ πυρός, ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακὼβ περιβαλλόμενοι ἀπὸ διαφόρους πειρασμούς, κι' ὅμως δὲν ἀπογοητεύθηκαν. Πράγματι αὐτὸ εἶναι πίστις· ὅταν τὰ γεγονότα ἐκπληρώνωνται ἀντίθετα ἀπὸ ὅτι προσδοκοῦμε, τότε πρέπει νὰ πιστεύουμε ὅτι τίποτε τὸ ἀντίθετο δὲν ἔγινε, ἀλλ' ὅλα ἦταν ἐπακόλουθα. «Διέφυγαν τὴ σφαγή». Αὐτὸ νομίζω πάλι ὅτι τὸ λέγει γιὰ τοὺς τρεῖς παῖδες. «Πῆραν δύναμι κι' ἔγιναν καλὰ ἀπὸ τὶς ἀσθένειες, ἀνεδείχθησαν ἰσχυροὶ στὸν πόλεμο, ἔτρεψαν σὲ φυγὴ τοὺς ἐχθρούς». Ἐδῶ ὑπαινίσσεται ἐκεῖνα ποὺ συνέβηκαν κατὰ τὴν ἐπάνοδό τους ἀπὸ τὴ Βαβυλῶνα. «Ἀπὸ ἀσθενείας», λέγει· δηλαδή, ἀπὸ τὴν αἰχμαλωσία. Ὅταν πιὰ εἶχαν ἐγκαταλείψει τὰ ἰουδαϊκά, ὅταν δὲν διέφεραν σὲ τίποτε ἀπὸ τὰ ὀστᾶ τῶν νεκρῶν, τότε ἔγινε ἡ ἐπάνοδός τους. Πράγματι, ποιός θὰ ἔλπιζε νὰ ἐπανέλθουν ἀπὸ τὴ Βα-

ἀπὸ Βαβυλῶνος ἐπανήκειν αὐτούς, καὶ οὐκ ἐπανήκειν μόνον, ἀλλὰ καὶ ἰσχυροὺς γενήσεσθαι καὶ κλῖναι παρεμβολὰς ἀλλοτρίων; Ἀλλ' ἡμῖν οὐδὲν τοιοῦτον συνέβη, φησίν. Ἀλλὰ ταῦτα τύποι τῶν μελλόντων εἰσίν.

5 *«Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν». Τὰ κατὰ τοὺς προφήτας ἐνταῦθα λέγει, τὸν Ἐλισσαῖον, τὸν Ἠλίαν· νεκροὺς γὰρ ἀνέστησαν οὗτοι. «Ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν». Ἀλλ' οὐχ ἡμεῖς ἀναστάσεως ἐτύχομεν. Ἀλλ' ἔχω δεῖξαι 10 καὶ ἐκείνους, φησίν, ἀποτμηθέντας, καὶ μὴ δεξαμένους, ἵνα κρείττονος ἀναστάσεως τύχωσι. Διὰ τί γάρ, εἰπέ μοι, παρὸν ζῆσαι, οὐκ ἠβουλήθησαν; Οὐκ ἆρα ὅτι κρείττονα προσεδόκων ζωήν; Καὶ οἱ τοὺς ἄλλους ἀναστήσαντες, αὐτοὶ εἵλοντο ἀποθανεῖν, ὥστε κρείττονος ἀναστάσεως τυχεῖν, οὐ τοιαύτης, οἵας τὰ παιδία τῶν γυναι-15 κῶν. Ἐνταῦθά μοι δοκεῖ καὶ τὸν Ἰωάννην αἰνίττεσθαι καὶ τὸν Ἰάκωβον· 'ἀποτυμπανισμὸς' γὰρ λέγεται ὁ ἀποκεφαλισμός. Ἐξῆν αὐτοῖς ὁρᾶν τὸν ἥλιον, ἐξῆν αὐτοῖς μὴ ἐλέγξαι, καὶ ὅμως εἵλοντο ἀποθανεῖν, καὶ οἱ ἀναστήσαντες ἄλλους, αὐτοὶ εἵλοντο ἀποθανεῖν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. «Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ 20 μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς, ἐλιθάσθησαν, ἐπρίσθησαν ἐπειράσθησαν».*

3. Ἐν τούτοις τελευτᾷ, ἐν τοῖς οἰκειοτέροις. Μάλιστα γὰρ ταῦτα φέρει τὴν παράκλησιν, ὅταν τῆς αὐτῆς ὑποθέσεως ἡ λύπη ᾖ· ἐπεὶ κἂν σφοδρότερον εἴπῃς, μὴ ᾖ δὲ ἐκ τῆς αὐτῆς ὑποθέσεως τεχθεῖσα, 25 οὐδὲν ἐποίησας. Διὰ τοῦτο εἰς τοῦτο τὸν λόγον συνέκλεισε, δεσμὰ λέγων, φυλακάς, μάστιγας, λιθασμούς, τὰ κατὰ τὸν Στέφανον, τὰ κατὰ τὸν Ζαχαρίαν αἰνιττόμενος· διὸ ἐπήγαγεν, «ἐν φόνῳ μαχαίρας ἀπέθανον». Τί λέγεις; Οἱ μὲν ἔφυγον στόματα μαχαίρας, οἱ δὲ ἐν φόνῳ μαχαίρας ἀπέθανον; Τί ἐστι τοῦτο; Ποῖον ἐπαινεῖς, ποῖον 30 θαυμάζεις; Τοῦτο, ἢ ἐκεῖνο; Ναί, φησί, καὶ τοῦτο κἀκεῖνο· τοῦτο μέν, ὅτι ὑμῖν οἰκεῖον, ἐκεῖνο δέ, ὅτι καὶ πρὸς αὐτὴν τὴν τελευτὴν ἴσχυσεν ἡ πίστις, καὶ τύπος τῶν μελλόντων ἐστί. Δύο γάρ ἐστι τὰ θαύματα τῆς πίστεως, ὅτι καὶ ἀνύει μεγάλα, καὶ πάσχει μεγάλα,

βυλώνα, καὶ ὄχι μόνο νὰ ἐπανέλθουν, ἀλλὰ καὶ νὰ γίνουν ἰσχυροὶ καὶ νὰ τρέψουν σὲ φυγὴ τὰ στρατεύματα τῶν ἐχθρῶν; Σὲ μᾶς ὅμως δὲν συνέβηκε κάτι τέτοιο, λέγει. Ἀλλὰ αὐτὰ εἶναι τύποι τῶν μελλοντικῶν.

«Ἔλαβαν οἱ γυναῖκες διὰ τῆς ἀναστάσεως τοὺς νεκρούς τους». Ἐδῶ ἀναφέρει ἐκεῖνα ποὺ ἔγιναν ἀπὸ τοὺς προφῆτες, τὸν Ἐλισσαῖο, τὸν Ἠλία· διότι αὐτοὶ ἀνέστησαν νεκρούς. «Ἐνῶ ἄλλοι θανατώθηκαν μὲ ἀποτυμπανισμό, χωρὶς νὰ δεχθοῦν νὰ ἐλευθερωθοῦν ἀπὸ τὸ μαρτύριο γιὰ νὰ ἐπιτύχουν καλύτερη ἀνάστασι». Ἐνῶ ἐμεῖς δὲν ἐπετύχαμε τὴν ἀνάστασι. Ἀλλὰ ἔχω νὰ σᾶς παρουσιάσω, λέγει, κι' ἐκείνους ποὺ ἀποκεφαλίσθηκαν καὶ δὲν δέχθηκαν τὴν σωτηρία, γιὰ νὰ πετύχουν καλύτερη ἀνάστασι. Διότι πές μου, γιατί, ἐνῶ μποροῦσαν, δὲν θέλησαν νὰ ζήσουν; Δὲν τὸ ἔκαναν ἐπειδὴ περίμεναν καλύτερη ζωή; Κι' αὐτοὶ ποὺ ἀνέστησαν τοὺς ἄλλους, προτίμησαν οἱ ἴδιοι νὰ πεθάνουν, γιὰ νὰ ἐπιτύχουν καλύτερη ἀνάστασι, ὄχι σὰν ἐκείνη ποὺ ἐπέτυχαν τὰ παιδιὰ τῶν γυναικῶν. Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπονοεῖ καὶ τὸν Ἰωάννη καὶ τὸν Ἰάκωβο· καθόσον ἀποτυμπανισμὸς λέγεται ὁ ἀποκεφαλισμός. Μποροῦσαν νὰ βλέπουν τὸν ἥλιο, μποροῦσαν νὰ μὴν ἐλέγχουν, κι' ὅμως προτίμησαν νὰ πεθάνουν· καὶ αὐτοὶ ποὺ ἄλλους ἀνέστησαν, προτίμησαν νὰ πεθάνουν οἱ ἴδιοι γιὰ νὰ ἐπιτύχουν καλύτερη ἀνάστασι. «Ἄλλοι πάλι δοκίμασαν ἐμπαιγμοὺς καὶ μαστιγώσεις καὶ ἀκόμη δεσμὰ καὶ φυλακή· λιθοβολήθηκαν, πριονίσθηκαν, δοκίμασαν πολλοὺς πειρασμούς».

3. Σταματᾶ σ' αὐτοὺς ποὺ τοὺς ἦταν πιὸ γνωστοί. Καθόσον μεγαλύτερη παρηγοριὰ φέρνουν αὐτά, ὅταν ἡ αἰτία τῆς λύπης τους εἶναι κοινή· διότι, κι' ἂν πῇς κάτι μεγαλύτερο, ποὺ δὲν προῆλθε ὅμως ἀπὸ τὴν ἴδια αἰτία, δὲν ἔκανες τίποτε. Γι' αὐτὸ σταμάτησε σ' αὐτὸ τὸν λόγο του, μιλώντας γιὰ δεσμά, φυλακές, μαστιγώσεις, λιθοβολισμούς, θυμίζοντάς τους ὅσα ἔχουν σχέσι μὲ τὸν Στέφανο καὶ τὸν Ζαχαρία· γι' αὐτὸ καὶ συμπλήρωσε, «πέθαναν σφαγμένοι μὲ μαχαίρι». Τί λές; ἄλλοι διέφυγαν τὴ σφαγή, καὶ ἄλλοι πέθαναν διὰ σφαγῆς; τί σημαίνει αὐτό; ποιόν ἐπαινεῖς, ποιόν θαυμάζεις; αὐτὸ ἢ ἐκεῖνο; Ναί, λέγει, καὶ αὐτὸ καὶ ἐκεῖνο· αὐτό, διότι σᾶς εἶναι πιὸ οἰκεῖο, καὶ ἐκεῖνο, διότι ἡ πίστις ἐνίκησε καὶ τὸν ἴδιο τὸν θάνατο καὶ ἡ νίκη αὐτὴ εἶναι τύπος τῶν μελλοντικῶν. Διότι δύο εἶναι τὰ θαύματα τῆς πίστεως, καὶ κατορθώνει μεγάλα πράγματα καὶ πάσχει μεγάλα,

*καὶ ὅτι οὐδὲν ἡγεῖται πάσχειν. Καὶ οὐκ ἔχεις εἰπεῖν, φησίν, ὅτι ἁμαρτωλοί τινες ἦσαν καὶ οὐδαμινοί· κἂν γὰρ τὸν κόσμον ἀντιστήσῃς ὅλον, ἐκείνους εὑρίσκω καθέλκοντας τὸν ζυγὸν καὶ τιμιωτέρους ὄντας. Διὰ τοῦτο καὶ οὕτως εἶπεν. «Ὧν οὐκ ἦν ἄξιος ὁ κό-
5 σμος». Τί τοίνυν ἔμελλον ἐνταῦθα ἀπολαμβάνειν, ὧν οὐδὲν τῶν ἐν τῷ κόσμῳ ἦν ἄξιον; Ἐνταῦθα αὐτῶν διανίστησι τὴν διάνοιαν, παιδεύων μὴ προσηλοῦσθαι τοῖς παροῦσιν, ἀλλὰ πάντων μείζω φρονεῖν τῶν ἐν τῷ παρόντι βίῳ, εἴγε ὁ πᾶς κόσμος οὐκ ἔστιν αὐτῶν ἄξιος. Τί τοίνυν βούλει ἐνταῦθα λαβεῖν; Ὕβρις γάρ ἐστιν, ἐὰν ἐν-
10 ταῦθα λάβῃς τὸν μισθόν.*

*Μὴ τοίνυν κοσμικὰ φρονῶμεν, μηδὲ ἐνταῦθα ζητῶμεν τὴν ἀνταπόδοσιν, μηδὲ οὕτως ὦμεν πένητες· εἰ γὰρ ὁ πᾶς κόσμος οὐκ ἄξιος αὐτῶν, τί τὸ μέρος ἐπιζητεῖς; Καὶ εἰκότως· φίλοι γάρ εἰσι τοῦ Θεοῦ. «Κόσμον» δὲ ἐνταῦθα ἄρα τὸ πλῆθός φησιν, ἢ τὴν κτίσιν
15 αὐτήν· ἀμφότερα γὰρ οἶδε λέγειν ἡ Γραφή. Εἰ πᾶσα ἡ κτίσις μετὰ τῶν ἀνθρώπων, φησί, στῇ τῶν αὐτῆς, οὐδέπω ἀντάξιοι φανοῦνται τούτων· καὶ εἰκότως. Ὥσπερ γὰρ μυρίοι σταθμοὶ ἀχύρου καὶ χόρτου δέκα μαργαριτῶν οὐκ ἂν εἶεν ἀντάξιοι, οὕτως οὐδὲ ἐκεῖνοι· κρείσσων γὰρ εἷς ποιῶν θέλημα Κυρίου, ἢ μυρίοι παράνομοι· μυ-
20 ρίους οὐχὶ τοὺς πολλοὺς λέγει, ἀλλὰ τὸ πλῆθος τὸ ἄπειρον. Ἐννόησον ὅσον ἐστὶν ὁ δίκαιος. Εἶπεν Ἰησοῦς ὁ τοῦ Ναυῆ, «στήτω ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλών»[1], καὶ ἐγένετο. Ἡκέτω τοίνυν πᾶσα ἡ οἰκουμένη, μᾶλλον δὲ δύο καὶ τρεῖς καὶ τέσσαρες καὶ δέκα καὶ εἴκοσιν οἰκουμέναι καὶ λεγέτωσαν, καὶ
25 ποιείτωσαν τοῦτο· ἀλλα οὐ δυνήσονται. Ὁ δὲ τοῦ Θεοῦ φίλος τοῖς τοῦ φίλου κτίσμασιν ἐπέταττε, μᾶλλον δὲ τὸν φίλον παρεκάλει, καὶ εἶκε τὰ δοῦλα, καὶ ὁ κάτω τοῖς ἄνω προσέταττεν. Ὁρᾷς ὅτι εἰς δουλείαν ταῦτα γέγονε, τὸν δρόμον τὸν διατεταγμένον πληροῦντα;*

Τοῦτο τῶν Μωϋσέως μεῖζον. Τί δήποτε; Οὐ γάρ ἐστιν ἴσον

1. Ἰησ. Ναυῆ 10,12.

χωρὶς νὰ ὑπολογίζῃ τὰ παθήματα. Καὶ δὲν μπορεῖς νὰ πῇς, λέγει, ὅτι ἦταν κάποιοι ἁμαρτωλοὶ καὶ μηδαμινοί· διότι, κι' ἂν ἀκόμη ὅλο τὸν κόσμο παραβάλῃς μαζί τους, θὰ δῇς ὅτι πρὸς αὐτοὺς θὰ κλείνῃ ἡ ζυγαριὰ καὶ ὅτι αὐτοὶ εἶναι τιμιώτεροι. Γι' αὐτὸ καὶ ἔτσι μίλησε· «ἀπέναντι στοὺς ὁποίους δὲν ἦταν ἄξιος ὁ κόσμος». Τί λοιπὸν ἐπρόκειτο ἐδῶ νὰ ἀπολαύσουν, ἐφ' ὅσον τίποτε ἀπὸ τὰ τοῦ κόσμου δὲν ἦταν ἄξιο γι' αὐτούς; Ἐδῶ διεγείρει τὴ διάνοιά τους, γιὰ νὰ τοὺς διδάξῃ ὅτι δὲν πρέπει νὰ προσηλώνωνται στὰ παρόντα, ἀλλὰ νὰ ἔχουν τὴ σκέψι τους πάνω ἀπὸ ὅλα τὰ ἀγαθὰ αὐτῆς τῆς ζωῆς, ἐφ' ὅσον ὅλος ὁ κόσμος δὲν μπορεῖ νὰ συγκριθῇ μαζί τους. Γιατί λοιπὸν θέλεις νὰ λάβῃς ἐδῶ μισθό; διότι εἶναι ἀτιμία γιὰ σένα, ἐὰν λάβῃς ἐδῶ τὸν μισθό.

Ἂς μὴ σκεπτώμαστε λοιπὸν κοσμικά, ἂς μὴ περιμένουμε ἐδῶ τὴν ἀνταπόδοσι, κι' ἂς μὴν εἴμαστε τόσο φτωχοί· ἐφ' ὅσον ὅλος ὁ κόσμος δὲν μπορεῖ νὰ συγκριθῇ μαζί τους, γιατί θέλεις νὰ συγκρίνῃς ἕνα μέρος αὐτοῦ; Καὶ σωστά· διότι αὐτοὶ εἶναι φίλοι τοῦ Θεοῦ. «Κόσμο» ἐδῶ λέγει τὸ πλῆθος τῶν ἀνθρώπων ἢ τὴν ἴδια τὴν κτίσι· καθόσον καὶ τὰ δύο συνηθίζει ἡ Γραφὴ νὰ τὰ ὀνομάζῃ ἔτσι. Ἐὰν ὅλη ἡ κτίσις μαζὶ μὲ τοὺς ἀνθρώπους της, λέγει, σταθῇ δίπλα τους, δὲν θὰ μπορέσουν νὰ φανοῦν ἀντάξιοι αὐτῶν· καὶ σωστά. Διότι, ὅπως ἀκριβῶς μύριες ζυγαριὲς ἀχύρου καὶ χόρτου δὲν θὰ ἦταν ἀντάξιες δέκα μαργαριταριῶν, ἔτσι οὔτε καὶ ἐκεῖνοι· διότι «εἶναι ἀνώτερος ἕνας ποὺ πράττει τὸ θέλημα τοῦ Κυρίου, παρὰ μύριοι παράνομοι»· «μυρίους» δὲν λέγει τοὺς πολλούς, ἀλλὰ τὸ πλῆθος τὸ ἄπειρο. Σκέψου πόσο ἀνώτερος εἶναι ὁ δίκαιος. Εἶπε ὁ Ἰησοῦς τοῦ Ναυῆ, «ἂς σταθῇ ὁ ἥλιος πάνω ἀπὸ τὴν πόλι Γαβαὼν καὶ ἡ σελήνη πάνω ἀπὸ τὴν φάραγγα Αἰλὼν»[1], καὶ ἔγινε. Ἂς ἔλθῃ λοιπὸν ὅλη ἡ οἰκουμένη, ἢ μᾶλλον δύο καὶ τρεῖς καὶ τέσσερεις καὶ δέκα καὶ εἴκοσι οἰκουμένες, κι' ἂς ποῦν κι' ἂς τὸ κάνουν αὐτό· ὅμως δὲν θὰ μπορέσουν. Ἐνῶ ὁ φίλος τοῦ Θεοῦ διέτασσε τὰ κτίσματα τοῦ φίλου, ἢ καλύτερα παρακαλοῦσε τὸν φίλο του καὶ ὑποχωροῦσαν τὰ στοιχεῖα τῆς φύσεως, οἱ ὑπηρέτες τοῦ Θεοῦ, καὶ ὁ ἄνθρωπος ποὺ ἦταν στὴ γῆ διέτασσε αὐτὰ ποὺ ἦταν στὸν οὐρανό. Βλέπεις ὅτι αὐτὰ ἔχουν γίνει γιὰ νὰ ὑπηρετοῦν καὶ νὰ ἐκπληρώνουν τὸν δρόμο τὸν διατεταγμένο;

Αὐτὸ εἶναι μεγαλύτερο ἀπὸ τὰ ἔργα τοῦ Μωϋσῆ. Γιατί ἄραγε;

θαλάττη ἐπιτάξαι, καὶ τοῖς κατ' οὐρανόν· μέγα μὲν γὰρ κἀκεῖνο, καὶ σφόδρα μέγα, πλὴν ἀλλ' οὐδὲν ἴσον. Ἄκουε δὲ καὶ πόθεν τοιοῦτος γέγονε. Τί δήποτε; Τύπος ἦν τοῦ Χριστοῦ τὸ τοῦ Ἰησοῦ ὄνομα. Διὰ τοῦτο τοίνυν, ἐπεὶ τὴν τοιαύτην κλῆσιν ἔσχεν ἐν τύπῳ, ἣν Ἰησοῦς,
5 *αὐτὴν τὴν προσηγορίαν ᾐδέσθη ἡ κτίσις. Τί οὖν; Ἄλλος οὐκ ἐκλήθη Ἰησοῦς; Ἀλλ' οὗτος ἐπὶ τούτῳ ἐκλήθη ἐν τύπῳ· καὶ γὰρ καὶ Αὐσῆς ἐλέγετο· διὰ τοῦτο μεταβλήθη τὸ ὄνομα· πρόρρησις γὰρ ἦν καὶ προφητεία. Οὗτος εἰσήγαγε τὸν λαὸν εἰς τὴν ἐπαγγελίαν, ὥσπερ ὁ Ἰησοῦς εἰς τὸν οὐρανόν, οὐχ ὁ νόμος, ὥσπερ οὐδὲ ὁ*
10 *Μωϋσῆς, ἀλλ' ἔξω ἔμενεν· οὐκ ἰσχύει νόμος εἰσαγαγεῖν, ἀλλ' ἡ χάρις. Ὁρᾷς τοὺς τύπους ἄνωθεν προδιαγραφομένους; Ἐπέταξε τῇ κτίσει, μᾶλλον δὲ τῷ κυρίῳ τῆς κτίσεως μέρει, αὐτῇ τῇ κεφαλῇ κάτω ἑστώς· ἵνα, ὅταν ἴδῃς ἐν ἀνθρώπου σχήματι τὸν Ἰησοῦν τὰ αὐτὰ λέγοντα, μὴ θορυβηθῇς μηδὲ ξενισθῇς. Αὐτός, καὶ Μωϋσέως*
15 *ζῶντος, ἐτροπώσατο τοὺς πολεμίους· οὗτος, καὶ τοῦ νόμου ζῶντος, τὰ πάντα διοικεῖ, ἀλλ' οὐ φανερῶς. Πλὴν ἴδωμεν ὅση ἡ ἀρετὴ τῶν ἁγίων.*

4. Εἰ ἐνταῦθα τοιαῦτα ἐργάζονται, εἰ ἐνταῦθα τοιαῦτα ποιοῦσιν, ἅπερ οἱ ἄγγελοι, τί ἄρα ἐκεῖ; πόσην ἔχουσι τὴν λαμπρότητα; Τάχα
20 *τις ὑμῶν ἕκαστος ἐβούλετο εἶναι τοιοῦτος, ὥστε δύνασθαι ἐπιτάττειν τῷ ἡλίῳ καὶ τῇ σελήνῃ. Ἐνταῦθα οἱ λέγοντες τὸν οὐρανὸν σφαῖραν εἶναι, πρὸς τοῦτο τί ἂν εἴποιεν; Διὰ τί γὰρ μὴ εἶπε, 'στήτω ὁ ἥλιος', ἀλλὰ προσέθηκε, «στήτω ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλών»; Τουτέστι, μείζονα τὴν ἡμέραν ἐρ-*
25 *γασάσθω. Τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου γέγονεν· ἀνεπόδισε γὰρ ὁ ἥλιος. Ἀλλὰ τοῦτο ἐκείνου θαυμαστότερον, τὸ τὴν ἐναντίαν ἐλθεῖν πάλιν ὁδόν, μήπω περιελθόντα τὸν δρόμον. Ἀλλὰ τούτων ἡμεῖς μείζονα ἐπιτευξόμεθα, ἐὰν ἐθέλωμεν. Τίνα γὰρ ἡμῖν ἐπηγγείλατο ὁ Χριστός; Οὐχὶ ἥλιον στήσειν, οὐδὲ σελήνην, οὐδὲ ἀναποδισμὸν*
30 *ἡλίου, ἀλλὰ τί; «Ἐλευσόμεθα πρὸς αὐτὸν ἐγὼ καὶ ὁ Πατήρ», φησί, «καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν».*

Τί μοι δεῖ ἡλίου καὶ σελήνης καὶ τῶν θαυμάτων τούτων, αὐ-

2. Ἰησ. Ναυῆ 10, 12.
3. Ἰω. 14,23.

Διότι δὲν εἶναι τὸ ἴδιο νὰ διατάσσης τὴ θάλασα καὶ αὐτὰ ποὺ βρίσκονται στὸν οὐρανό· πράγματι εἶναι μεγάλο καὶ ἐκεῖνο καὶ πολὺ μεγάλο μάλιστα, ἀλλ' ὅμως δὲν μπορεῖ νὰ θεωρηθῆ ἴσο μ' αὐτό. Ἄκουσε καὶ πῶς ἔγινε τόσο μεγάλος. Γιατί δηλαδή; Τὸ ὄνομα τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἦταν τύπος τοῦ Χριστοῦ. Γι' αὐτὸ λοιπόν, ἐξ αἰτίας αὐτῆς τῆς προσωποποιημένης προσφωνήσεως, τὴν ὁποία εἶχε ὁ Ἰησοῦς, ἡ κτίσις ὑποτάχθηκε μὲ σεβασμό. Τί λοιπόν; ἄλλος δὲν ὠνομάσθηκε Ἰησοῦς; Ἀλλ' αὐτὸς γι' αὐτὸ τὸν σκοπὸ ὠνομάσθηκε, γιὰ νὰ εἶναι τύπος· διότι ὠνομαζόταν καὶ Αὐσῆς· γι' αὐτὸ ἀλλάχθηκε τὸ ὄνομα· διότι ἦταν πρόρρησις καὶ προφητεία. Αὐτὸς εἰσήγαγε στὴ γῆ τῆς ἐπαγγελίας τὸν λαό, ὅπως ὁ Ἰησοῦς στὸν οὐρανό· δὲν τὸν εἰσήγαγε ὁ νόμος, ὅπως οὔτε ὁ Μωϋσῆς, ἀλλ' ἔμενε ἔξω· δὲν ἔχει τὴ δύναμι ὁ νόμος νὰ εἰσαγάγη, ἀλλ' ἡ χάρις. Βλέπεις ὅτι οἱ τύποι ἀπὸ παλιὰ ἔχουν προκαθορισθῆ; Διέταξε τὴν κτίσι, ἢ καλύτερα τὸ κύριο μέρος τῆς κτίσεως, ποὺ βρισκόταν πάνω ἀπὸ τὸ κεφάλι του, γιὰ νὰ μὴ τρομάξης οὔτε νὰ παραξενευθῆς, ὅταν δῆς τὸν Ἰησοῦ μὲ τὴν ἀνθρώπινη μορφὴ νὰ λέγη τὰ ἴδια. Αὐτός, καὶ ἐνῶ ζοῦσε ὁ Μωϋσῆς, κατατρόπωσε τοὺς ἐχθρούς, αὐτός, ἂν καὶ ὑπάρχει ὁ νόμος, διοικεῖ τὰ πάντα, ἀλλ' ὄχι φανερά. Ἂς δοῦμε ὅμως πόσο μεγάλη εἶναι ἡ ἀρετὴ τῶν ἁγίων.

4. Ἐὰν ἐδῶ τόσο μεγάλα ἐργάζωνται, ἐὰν ἐδῶ τόσο μεγάλα κάμνουν, ὅσα οἱ ἄγγελοι, τί ἄραγε θὰ κάνουν ἐκεῖ; πόση λαμπρότητα θὰ ἔχουν; Ἴσως καθένας ἀπὸ σᾶς θὰ ἤθελε νὰ εἶναι τέτοιος, ὥστε νὰ μπορῆ νὰ διατάσση τὸν ἥλιο καὶ τὴ σελήνη. Ὡς πρὸς αὐτὸ τί θὰ μποροῦσαν νὰ ποῦν αὐτοί, ποὺ ἰσχυρίζονται ὅτι ὁ οὐρανὸς εἶναι σφαιρικός; Γιατί λοιπὸν δὲν εἶπε, 'ἂς σταθῆ ὁ ἥλιος', ἀλλὰ πρόσθεσε, «ἂς σταθῆ ὁ ἥλιος πάνω ἀπὸ τὴν πόλι Γαβαὼν καὶ ἡ σελήνη πάνω ἀπὸ τὴ φάραγγα Αἰλών»[2]; Δηλαδή, νὰ κάνη τὴν ἡμέρα μεγαλύτερη. Αὐτὸ ἔγινε καὶ ἐπὶ τοῦ Ἐζεκία· διότι ὀπισθοδρόμησε ὁ ἥλιος. Ἀλλὰ αὐτὸ είναι θαυμαστότερο ἀπὸ ἐκεῖνο, τὸ νὰ ἔλθη πάλι πίσω στὸν ἴδιο δρόμο, χωρὶς νὰ περιέλθη τὸν δρόμο. Ἀλλ' ἐμεῖς, ἐὰν θέλουμε, μεγαλύτερα ἀπὸ αὐτὰ θὰ κατορθώσουμε. Πράγματι τί μᾶς ὑποσχέθηκε ὁ Χριστός; Δὲν μᾶς εἶπε ὅτι θὰ σταματήσουμε τὸν ἥλιο, ἀλλὰ τί; «Θὰ ἔλθουμε», λέγει, «πρὸς αὐτὸν ἐγὼ καὶ ὁ Πατέρας μου καὶ θὰ μείνουμε μαζί του»[3].

Τί μοῦ χρειάζεται ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ θαυμαστά τους,

τοῦ τοῦ Δεσπότου πάντων παρ' ἐμοὶ καταγομένου καὶ ἐνιδρυμένου· οὐ δεῖ μοι τούτου. Τί γὰρ δεῖ μοί τινος τούτων; Αὐτὸς ἔσται μοι εἰς ἥλιον καὶ σελήνην καὶ εἰς φῶς. Εἰπὲ γάρ μοι, τί ἐβούλου, εἰς βασίλεια εἰσελθών, δυνηθῆναί τι τῶν πεπηγότων μεταρρυθμίσαι, ἢ τὸν 5 βασιλέα οὕτως οἰκειώσασθαι, ὡς πεῖσαι πρὸς σὲ καταχθῆναι; Οὐ πολλῷ μᾶλλον τοῦτο, ἢ ἐκεῖνο; Τί δαί; Οὐ θαυμαστόν, εἴπερ ἄνθρωπος ἐπιτάττει ταῦτα ἃ καὶ ὁ Χριστός; Ἀλλ' ὁ Χριστός, φησίν, οὐ δεῖται τοῦ Πατρός, ἀλλ' αὐθεντικῶς ποιεῖ. Καλῶς· οὐκοῦν ὁμολόγησον πρῶτον καὶ εἰπέ, ὅτι οὐ δεῖται τοῦ Πατρός, καὶ αὐθεντι- 10 κῶς ποιεῖ, καὶ τότε σε ἐρήσομαι πάλιν, μᾶλλον δὲ διδάξω περὶ τῆς εὐχῆς ἧς ποιεῖται, ὅτι συγκαταβάσεως καὶ οἰκονομίας ἦν (οὐ γὰρ δὴ τοῦ Ἰησοῦ τοῦ Ναυῆ ἐλάττων ἦν ὁ Χριστός), καὶ τοῦ δύνασθαι διδάσκειν ἡμᾶς χωρὶς εὐχῆς.

Ὥσπερ γὰρ διδασκάλου ἀκούων ψελλίζοντος καὶ τὰ στοι- 15 χεῖα καταλέγοντος, οὐ φῄς αὐτὸν ἀγνοεῖν, καὶ ὅταν ἐρωτᾷ, ποῦ ἔστι τόδε τὸ στοιχεῖον, οἶδας ὅτι οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ τὸν μαθητευόμενον θέλων ἐναγαγεῖν· οὕτω καὶ ὁ Χριστὸς οὐ δεόμενος εὐχῆς ἐποιεῖτο τὴν εὐχήν, ἀλλὰ σὲ θέλων ἐναγαγεῖν, ἵνα συνεχῶς προσέχῃς τῇ εὐχῇ, ἵνα ἀδιαλείπτως, ἵνα νηφόντως καὶ μετὰ πολλῆς 20 τῆς ἀγρυπνίας ταύτην ποιῇς. Ἀγρυπνεῖν δὲ οὐ τὸ νυκτὸς ἐγείρεσθαι λέγω μόνον, ἀλλὰ καὶ τὸ ἐν ἡμέρᾳ νήφειν ἐν ταῖς προσευχαῖς· ἄγρυπνος γὰρ καλεῖται ὁ τοιοῦτος. Ἐπεὶ ἔστι καὶ νυκτὸς εὐχόμενον καθεύδειν, καὶ ἐν ἡμέρᾳ μὴ εὐχόμενον ἀγρυπνεῖν, ὅταν ἡ ψυχὴ τεταμένη ᾖ πρὸς τὸν Θεόν, ὅταν ἐννοῇ τίνι διαλέγεται, πρὸς τίνα ὁ 25 λόγος αὐτῇ, ὅταν λάβῃ ἐν νῷ ὅτι ἄγγελοι παρεστήκασι μετὰ τρόμου καὶ φόβου, αὐτὸς δὲ προσίῃ χασμώμενος καὶ κνώμενος.

Μέγα ὅπλον εὐχή, ἐὰν μετὰ τῆς προσηκούσης γίνηται διανοίας. Καὶ ἵνα μάθῃς αὐτῆς τὴν ἰσχύν, σκόπει ἐντεῦθεν· ἀναισχυντίας καὶ ἀδικίας καὶ ὠμότητος καὶ ἰταμότητος ἐκράτησεν ἡ συνε- 30 χὴς ἔντευξις· «ἀκούσατε» γάρ, φησί, «τί ὁ κριτὴς λέγει τῆς ἀδι-

ὅταν ὁ ἴδιος ὁ Δεσπότης πάντων κατέρχεται καὶ ἐγκαθίσταται σ' ἐμένα; δὲν μοῦ χρειάζονται αὐτά. Διότι σὲ τί θὰ μοῦ χρειασθῆ κάτι ἀπὸ αὐτά; Αὐτὸς θὰ μοῦ εἶναι ἥλιος καὶ σελήνη καὶ φῶς. Διότι πές μου, τί θὰ ἤθελες, ἐὰν εἰσερχόσουν στὰ ἀνάκτορα, νὰ μποροῦσες νὰ μεταρρυθμίσης κάτι ἀπὸ αὐτὰ ποὺ εἶναι στερεωμένα, ἢ νὰ ἐπιτύχης τὴ φιλία τοῦ βασιλιᾶ, ὥστε νὰ τὸν πείσης νὰ κατέλθη πρὸς ἐσένα; Δὲν θὰ προτιμοῦσες πολὺ περισσότερο αὐτὸ παρὰ ἐκεῖνο; Τί ὅμως; Δὲν εἶναι θαυμαστὸ πράγματι ὅτι ἄνθρωπος προστάσσει αὐτὰ ποὺ προστάσσει καὶ ὁ Χριστός; 'Αλλ' ὁ Χριστός, λέγει, δὲν χρειάζεται τὸν Πατέρα, ἀλλὰ μὲ ἀπόλυτη ἐξουσία ἐνεργεῖ. Καλῶς· λοιπὸν ὁμολόγησε πρῶτα καὶ πές, ὅτι δὲν ἔχει ἀνάγκη τοῦ Πατρὸς καὶ ὅτι μὲ ἀπόλυτη ἐξουσία ἐνεργεῖ, καὶ τότε θὰ σοῦ πῶ πάλι, ἢ καλύτερα θὰ σὲ διδάξω γιὰ τὴν προσευχὴ ποὺ κάνει, ὅτι γινόταν ἀπὸ συγκατάβασι καὶ θεία οἰκονομία (διότι δὲν ἦταν κατώτερος ἀπὸ τὸν Ἰησοῦ τοῦ Ναυῆ ὁ Χριστός), καὶ ὅτι μποροῦσε νὰ μᾶς διδάσκη χωρὶς προσευχή.

῞Οπως ἀκριβῶς δηλαδὴ ὅταν ἀκοῦς τὸν διδάσκαλο νὰ ὁμιλῆ σὰν παιδὶ καὶ νὰ διηγῆται τὰ στοιχειώδη, δὲν λὲς ὅτι εἶναι ἀμαθής, καὶ ὅταν ἐρωτᾶ, 'ποῦ εἶναι αὐτὸ τὸ στοιχεῖο', γνωρίζεις ὅτι δὲν τὸ ἐρωτᾶ ἀπὸ ἄγνοια, ἀλλ' ἐπειδὴ θέλει νὰ διδάξη τὸν μαθητή· ἔτσι καὶ ὁ Χριστὸς προσευχήθηκε ὄχι ἐπειδὴ εἶχε ἀνάγκη προσευχῆς, ἀλλ' ἐπειδὴ θέλει νὰ διδάξη ἐσένα, νὰ προσεύχεσαι συνεχῶς, ἀδιαλείπτως, μὲ νηφαλιότητα, καὶ νὰ κάμνης αὐτὴν μὲ πολλὴ ἀγρυπνία. Καὶ ὅταν λέγω νὰ ἀγρυπνῆς δὲν ἐννοῶ μόνο τὸ νὰ σηκώνεσαι τὴ νύχτα, ἀλλὰ καὶ κατὰ τὸ διάστημα τῆς ἡμέρας νὰ ἐπαγρυπνῆς στὶς προσευχές· διότι αὐτὸς ποὺ ἐνεργεῖ ἔτσι ὀνομάζεται ἄγρυπνος. 'Αφοῦ εἶναι δυνατὸ νὰ κοιμᾶται κανεὶς κι' ὅταν προσεύχεται τὴ νύχτα καὶ νὰ ἀγρυπνῆ κατὰ τὸ διάστημα τῆς ἡμέρας κι' ὅταν δὲν προσεύχεται, ὅταν ἡ ψυχὴ ὑψώνεται πρὸς τὸν Θεό, ὅταν γνωρίζη μὲ ποιόν συνομιλῆ, σὲ ποιόν ἀπευθύνεται, ὅταν σκεφθῆ ὅτι οἱ ἄγγελοι στέκονται δίπλα στὸ Θεὸ μὲ φόβο καὶ τρόμο, ἐνῶ αὐτὸς προσέρχεται μὲ χασμωρητὰ καὶ ξυνόμενος.

Εἶναι μεγάλο ὅπλο ἡ προσευχή, ὅταν γίνεται μὲ τὴν ἁρμόζουσα διάθεσι. Καὶ γιὰ νὰ μάθης τὴ δύναμί της, πρόσεχε ἐδῶ· ἡ συνεχὴς προσευχὴ κατανίκησε τὴν ἀδιαντροπιὰ καὶ τὴν ἀδικία καὶ τὴν ὠμότητα καὶ τὴν θρασύτητα· διότι λέγει, «ἀκοῦστε τί λέγει ὁ κριτὴς

κίας». Καὶ ὄκνου πάλιν ἐκράτησε· καὶ ὅπερ οὐκ ἐποίησε φιλία, τοῦτο ἐποίησεν ἔντευξις συνεχής· «καὶ εἰ μὴ διὰ τὸ φίλον αὐτοῦ εἶναι», φησί, «δώσει αὐτῷ, ἀλλά γε διὰ τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ». Καὶ ἀναξίαν οὖσαν ἀξίαν ἐποίησεν ἡ συνεχὴς προσ- 5 *εδρεία. «Οὐκ ἔστι», φησί, «καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δέ, ναί, φησί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν».*

5. *Προσέχωμεν τοίνυν τῇ εὐχῇ· μέγα ὅπλον ἐστίν, ἐὰν μετὰ ἐκτενείας γίνηται, ἐὰν χωρὶς κενοδοξίας, ἐὰν μετὰ ψυχῆς εἰλικρι-* 10 *νοῦς. Αὕτη πολεμίους ἐτροπώσατο, αὕτη ἔθνος ὁλόκληρον καὶ ἀνάξιον εὐηργέτησεν. «Ἤκουσα», φησί, «τοῦ στεναγμοῦ αὐτῶν, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς»· αὕτη φάρμακόν ἐστι σωτήριον καὶ κωλυτικὸν τῶν ἁμαρτημάτων, καὶ ἰατρεῖον τῶν πλημμελημάτων· ταύτῃ καὶ ἡ χήρα ἡ μεμονωμένη προσήδρευεν. Ἐὰν οὖν μετὰ* 15 *ταπεινοφροσύνης εὐχώμεθα, ἐὰν τὸ στῆθος πλήττοντες ὡς ὁ τελώνης, ἐὰν ἐκεῖνα φθεγγώμεθα ἅπερ ἐκεῖνος, ἐὰν λέγωμεν, «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», πάντων ἐπιτευξόμεθα. Εἰ γὰρ καὶ μὴ τελῶναί ἐσμεν, ἀλλ' ἕτερα ἔχομεν ἐκείνου οὐχ ἧττονα ἁμαρτήματα. Μὴ γάρ μοι εἴπῃς, ὅτι ἐν μικρῷ τινι διήμαρτες· τὴν γὰρ αὐτὴν ἔχει τὸ πρᾶ-* 20 *γμα φύσιν. Καθάπερ γὰρ ὁμοίως ἀνδροφόνος λέγεται, ὅ τε παῖδα ἀνελών, ὅ τε ἄνδρα, οὕτω καὶ πλεονέκτης καὶ ὁ πολλὰ καὶ ὁ μικρὰ πλεονεκτῶν.*

Καὶ ἡ μνησικακία δὲ οὐ μικρόν, ἀλλὰ καὶ μέγα ἁμάρτημα. «Μνησικάκων» γάρ, φησίν, «ὁδοὶ εἰς θάνατον»· καί, «πᾶς ὁ ὀργι- 25 *ζόμενος εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται τῇ γεέννῃ· καὶ ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρὸν καὶ ἀνόητον», καὶ ὅσα τοιαῦτα. Μεταλαμβάνομεν δὲ καὶ τῶν φρικτῶν μυστηρίων ἀναξίως καὶ φθονοῦμεν καὶ λοιδοροῦμεν· τινὲς δὲ ἡμῶν καὶ ἐμεθύσθησαν πολλάκις. Τούτων δὲ ἕκαστον καὶ αὐτὸ καθ' ἑαυτὸ ἱκανὸν ἐκβαλεῖν* 30 *τῆς βασιλείας· ὅταν δὲ καὶ ὁμοῦ συμφέρηται, τίνα ἕξομεν ἀπολο-*

4. Λουκᾶ 18,6.
5. Λουκᾶ 11,88.
6. Ματθ. 15,26–27.
7. Ἔξοδ. 3,8.
8. Λουκᾶ 18,13.
9. Παρμ. 12,28.
10. Ματθ. 5,22.

τῆς ἀδικίας»[4]. Ἐπίσης καὶ τὴν ἀπροθυμία νίκησε· καὶ αὐτὸ ποὺ δὲν ἐπέτυχε ἡ φιλία, αὐτὸ τὸ κατώρθωσε ἡ συνεχὴς αἴτησις· «καὶ ἐὰν δὲν τοῦ δώση λόγω τοῦ ὅτι εἶναι φίλος του, ὁπωσδήποτε ὅμως ἐξ αἰτίας τῆς ἀναίδειάς του θὰ σηκωθῆ καὶ θὰ τοῦ δώση ἐκεῖνα ποὺ τοῦ χρειάζονται»[5]. Καὶ μιὰ ἀνάξια πάλι ἡ συνεχὴς ἐπιμονὴ τὴν ἔκανε ἄξια· «δὲν εἶναι σωστό», λέγει, «νὰ πάρη κανεὶς τὸν ἄρτο τῶν τέκνων του καὶ νὰ τὸν δώση στὰ σκυλιά. Καὶ ἐκείνη εἶπε· ναί, Κύριε· ὅμως καὶ τὰ σκυλιὰ τρῶνε ἀπὸ τὰ ψίχουλα ποὺ πέφτουν ἀπὸ τὸ τραπέζι τῶν κυρίων τους»[6].

5. Ἂς εἴμαστε λοιπὸν προσεκτικοὶ κατὰ τὴν προσευχή· εἶναι μεγάλο ὅπλο, ὅταν γίνεται μὲ προθυμία, χωρὶς κενοδοξία, ὅταν γίνεται μὲ εἰλικρίνεια ψυχῆς. Αὐτὴ κατετρόπωσε ἐχθρούς, αὐτὴ ἔθνος ὁλόκληρο καὶ ἀνάξιο εὐεργέτησε. «Ἄκουσα», λέγει, «τὸν στεναγμό τους καὶ κατέβηκα νὰ τοὺς ἐλευθερώσω»[7]· αὐτὴ εἶναι φάρμακο σωτήριο, αὐτὴ ἐμποδίζει τὰ ἁμαρτήματα καὶ θεραπεύει τὰ πλημμελήματα· μ' αὐτὴν καὶ ἡ χήρα ἡ ἐγκαταλειμμένη ἀπηύθυνε ἐπίμονα τὸ αἴτημά της. Ἐὰν λοιπὸν προσευχώμαστε μὲ ταπεινοφροσύνη, ἐὰν κτυποῦμε τὸ στῆθος ὅπως ὁ τελώνης, ἐὰν λέμε ἐκεῖνα τὰ λόγια ποὺ εἶπε κι' ἐκεῖνος, ἐὰν λέμε, «συγχώρησέ με τὸν ἁμαρτωλό»[8], ὅλα θὰ τὰ ἐπιτύχουμε. Διότι, κι' ἂν δὲν εἴμαστε τελῶνες, ὅμως ἔχουμε ἄλλα ἁμαρτήματα, ὄχι λιγότερα ἀπὸ ἐκείνου. Μὴ μοῦ πῆς λοιπόν, ὅτι εἶναι μικρὸ τὸ σφάλμα σου· διότι ἔχει τὸ ἴδιο ἀποτέλεσμα. Ὅπως ἀκριβῶς δηλαδὴ ἀνδροφόνος ὀνομάζεται ὅμοια καὶ αὐτὸς ποὺ σκότωσε παιδὶ καὶ ἐκεῖνος ποὺ σκότωσε ἄνδρα, ἔτσι πλεονέκτης ὀνομάζεται καὶ αὐτὸς ποὺ ἁρπάζει πολλὰ καὶ ἐκεῖνος ποὺ ἁρπάζει λίγα.

Ἀλλὰ καὶ ἡ μνησικακία δὲν εἶναι μικρὸ ἀλλὰ μεγάλο ἁμάρτημα. Διότι λέγει, «οἱ δρόμοι τῶν μνησικάκων ὁδηγοῦν στὸν θάνατο»[9]. «Διότι ὁ καθένας ποὺ ὀργίζεται χωρὶς σοβαρὸ λόγο κατὰ τοῦ ἀδελφοῦ του, θὰ εἶναι ἔνοχος ἐγκλήματος ἀξίου νὰ τιμωρηθῆ μὲ τὴ γέεννα τοῦ πυρός»[10]. Τὸ ἴδιο καὶ αὐτὸς ποὺ ἀποκαλεῖ τὸν ἀδελφό του μωρὸ καὶ ἀνόητο ἢ ὁ,τιδήποτε ἄλλο ὅμοιο μ' αὐτά. Μεταλαμβάνουμε ἐπίσης καὶ τῶν φρικτῶν μυστηρίων ἀναξίως καὶ φθονοῦμε καὶ κακολογοῦμε· καὶ μερικοὶ ἀπὸ ἐμᾶς πολλὲς φορὲς καὶ μέθυσαν. Καθένα ἀπὸ αὐτὰ τὰ ἁμαρτήματα καὶ αὐτὸ καθ' ἑαυτὸ εἶναι ἱκανὸ νὰ μᾶς στερήση τὴ βασιλεία τῶν οὐρανῶν· ὅταν ὅμως καὶ ὑπάρχουν

γίαν; Πολλῆς ἡμῖν δεῖ τῆς μετανοίας, ἀγαπητοί, πολλῆς τῆς εὐχῆς, πολλῆς τῆς καρτερίας, πολλῆς τῆς προσεδρείας, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν. Εἴπωμεν οὖν καὶ ἡμεῖς· «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ»· μᾶλλον δὲ μὴ εἴπωμεν μόνον, ἀλλὰ
5 *καὶ οὕτω φρονῶμεν· κἂν ἕτερός τις ἡμᾶς ἐγκαλέσῃ, μὴ ὀργιζώμεθα. Ἤκουσεν ἐκεῖνος, ὅτι «οὔκ εἰμι ὡς οὗτος ὁ τελώνης», καὶ οὐ παρωξύνθη, ἀλλὰ κατενύγη· ἐδέξατο τὸ νῖκος, καὶ ἀπέθετο τὸ ὄνειδος. Εἶπεν ἐκεῖνος τὸ τραῦμα, ἐζήτησεν οὗτος τὸ φάρμακον. Λέγωμεν τοίνυν· «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ»· πλὴν κἂν ἕτερος εἴπῃ,*
10 *μὴ ἀγανακτῶμεν. Ἐὰν δὲ αὐτοὶ μὲν λέγωμεν μυρία ἑαυτοὺς κακά, παρ' ἑτέρων δὲ ἀκούοντες δυσχεραίνωμεν, οὐκέτι τοῦτο ταπεινοφροσύνη ἐστὶν οὐδὲ ἐξομολόγησις, ἀλλ' ἐπίδειξις καὶ κενοδοξία.*

Ἐπίδειξίς ἐστι, φησίν, ἑαυτὸν ἁμαρτωλὸν καλεῖν; Ναί· ταπεινοφροσύνης γὰρ λαμβάνομεν δόξαν, θαυμαζόμεθα, ἐγκωμιαζόμε-
15 *θα· ἐὰν δὲ τοὐναντίον εἴπωμεν ἑαυτούς, καταφρονούμεθα. Ὥστε καὶ τοῦτο δόξης ἕνεκεν ποιοῦμεν. Τί δέ ἐστι ταπεινοφροσύνη; Τὸ ἑτέρου ὀνειδίζοντος φέρειν, τὸ ἐπιγινώσκειν τὸ ἁμάρτημα, τὸ φέρειν τὰς κακηγορίας. Καὶ οὐδὲ τοῦτο ταπεινοφροσύνης ἂν εἴη, ἀλλ' εὐγνωμοσύνης. Νῦν δὲ ἑαυτοὺς μὲν λέγομεν ἁμαρτωλούς, ἀνα-*
20 *ξίους, μυρία ὅσα, ἂν δὲ ἕτερός τις ἡμῖν ἓν τούτων προσενέγκῃ, χαλεπαίνομεν, ἀγριαινόμεθα. Ὁρᾷς ὅτι οὐκ ἔστιν ἐξομολόγησις, οὐδὲ εὐγνωμοσύνη; Εἶπες σαυτὸν εἶναι τοιοῦτον· μὴ ἀγανάκτει καὶ παρ' ἑτέρων ἀκούων καὶ ἐλεγχόμενος· οὕτω σοι τὰ ἁμαρτήματα κουφίζεται, ὅταν ἕτεροι ὀνειδίζωσιν· ἑαυτοῖς μὲν γὰρ βάρος ἐπιτιθέασι,*
25 *σὲ δὲ εἰς φιλοσοφίαν ἐνάγουσιν.*

Ἄκουε τί φησιν ὁ μακάριος Δαυίδ, ἡνίκα κατηρᾶτο αὐτῷ ὁ Σεμεεί. «Ἄφες αὐτόν», φησίν· «ὁ Κύριος ἐνετείλατο αὐτῷ, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου· καὶ ἀνταποδώσει μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ». Σὺ δὲ περὶ σαυτοῦ λέ-
30 *γων καὶ ὑπερβολὴν κακῶν, ἐὰν μὴ τὰ τῶν μεγάλων δικαίων ἐγκώμια παρ' ἑτέρων ἀκούῃς, ἀγριαίνεις. Ὁρᾷς ὅτι παίζεις ἐν οὐ*

11. Β' Βασ. 16,10–12.

ὅλα μαζί, ποιά ἀπολογία θὰ ἔχουμε; Ἔχουμε ἀνάγκη πολλῆς μετάνοιας, ἀγαπητοί, πολλῆς προσευχῆς, πολλῆς καρτερίας, πολλῆς προσοχῆς, γιὰ νὰ μπορέσουμε νὰ κερδίσουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ. Ἂς ποῦμε λοιπὸν καὶ ἐμεῖς· «συγχώρησέ με τὸν ἁμαρτωλό»· ἢ καλύτερα ἂς μὴν τὸ λέμε μόνο, ἀλλὰ καὶ ἔτσι νὰ σκεπτώμαστε· κι' ἂν κάποιος ἄλλος μᾶς κατηγορήση ἂς μὴν ὀργισθοῦμε. Ἄκουσε ἐκεῖνος, ὅτι «δὲν εἶμαι ὅπως αὐτὸς ὁ τελώνης» καὶ δὲν ὠργίσθηκε, ἀλλὰ λυπήθηκε· δέχθηκε τὴν ὑπεροχὴ καὶ ἀπέβαλε τὸ ὄνειδος. Εἶπε ἐκεῖνος τὸ τραῦμα, ἀνεζήτησε αὐτὸς τὸ φάρμακο. Ἂς λέμε λοιπόν· «συγχώρησέ με τὸν ἁμαρτωλό»· ἀλλὰ κι' ἂν ἄλλος μᾶς ὀνομάση ἁμαρτωλούς, ἂς μὴν ἀγανακτοῦμε. Ἐὰν ὅμως οἱ ἴδιοι λέμε ὅτι διαπράξαμε μύρια κακά, καὶ ὅταν τὸ ἀκοῦμε ἀπὸ τοὺς ἄλλους ἀγανακτοῦμε, αὐτὸ δὲν εἶναι τότε ταπεινοφροσύνη, οὔτε ἐξομολόγησις, ἀλλ' ἐπίδειξις καὶ κενοδοξία.

Εἶναι ἐπίδειξις, λέγει, ν' ἀποκαλῆς τὸν ἑαυτό σου ἁμαρτωλό; Ναί· διότι ἀποκτοῦμε φήμη ταπεινοφροσύνης, θαυμαζόμαστε, ἐγκωμιαζόμαστε· ἐὰν ὅμως ποῦμε τὰ ἀντίθετα γιὰ τοὺς ἑαυτούς μας, μᾶς περιφρονοῦν. Ὥστε καὶ αὐτὸ τὸ κάνουμε γιὰ τὴ δόξα. Καὶ τί εἶναι ταπεινοφροσύνη; Τὸ νὰ ὑπομένης τὴν κατηγορία τοῦ ἄλλου, τὸ ν' ἀναγνωρίζης τὸ ἁμάρτημά σου, τὸ ν' ἀντέχης στὶς κατηγορίες. Καὶ οὔτε αὐτὸ θὰ ἦταν δεῖγμα ταπεινοφροσύνης, ἀλλὰ εὐγνωμοσύνης. Τώρα ὅμως ἀποκαλοῦμε βέβαια τοὺς ἑαυτούς μας ἁμαρτωλούς, ἀναξίους καὶ πόσα ἄλλα· ἂν ὅμως κάποιος ἄλλος μᾶς ἀποδώση ἕνα ἀπὸ αὐτά, στενοχωρούμαστε, ἐξαγριωνόμαστε. Βλέπεις ὅτι δὲν εἶναι ἐξομολόγησις, οὔτε εὐγνωμοσύνη; Εἶπες ὅτι εἶσαι τέτοιος· μὴν ἀγανακτῆς ὅταν τὸ ἀκοῦς καὶ ἀπὸ τοὺς ἄλλους καὶ ὅταν ἀτιμάζεσαι· ἔτσι γίνονται ἐλαφρύτερα τὰ ἁμαρτήματά σου, ὅταν ἄλλοι σὲ κατηγοροῦν· διότι αὐτοὶ στοὺς ἑαυτούς τους προσθέτουν ἐπὶ πλέον βάρος, ἐνῶ ἐσένα σὲ ὁδηγοῦν στὴν ἄσκησι τῆς ἀρετῆς.

Ἄκουσε τί εἶπε ὁ μακάριος Δαυΐδ, ὅταν τὸν καταριόταν ὁ Σεμεεί. «Ἄφησέ τον», λέγει· «ὁ Κύριος τοῦ τὸ παρήγγειλε, γιὰ νὰ δῆ τὴν ταπείνωσί μου· καὶ θὰ μὲ ἀνταμείψη ὁ Κύριος μὲ ἀγαθὰ ἀντὶ τῆς κατάρας ποὺ δέχθηκα κατὰ τὴν ἡμέρα αὐτή»[11]. Ἐνῶ ἐσύ, ἂν καὶ λὲς γιὰ τὸν ἑαυτό σου τὸ πιὸ μεγάλο κακό, ἀγανακτεῖς, ὅταν δὲν ἀκοῦς ἀπὸ τοὺς ἄλλους τὰ ἐγκώμια τῶν μεγάλων δικαίων. Βλέπεις ὅτι παίζεις μὲ πράγματα ποὺ δὲν πρέπει κανεὶς νὰ παίζη; Διότι ἀρνούμαστε

παικτοῖς πράγμασι; Καὶ γὰρ τοὺς ἐπαίνους ἐπαίνων ἑτέρων ἐπιθυμίᾳ διακρουόμεθα, ἵνα μειζόνων πάλιν τύχωμεν ἐγκωμίων, ἵνα μᾶλον θαυμασθῶμεν. Ὥστε, οὐ προσιέμενοι τὰ ἐγκώμια, ἵνα αὐξήσωμεν αὐτά, τοῦτο ποιοῦμεν· καὶ πάντα πρὸς δόξαν ἡμῖν γίνεται,
5 *οὐ πρὸς ἀλήθειαν. Διὰ τοῦτο πάντα κενά, πάντα ἄπορα.*

Διὸ παρακαλῶ νῦν γοῦν ἀποστῆναι τῆς μητρὸς τῶν κακῶν, τῆς κενοδοξίας, καὶ ζῆσαι κατὰ τὸ τῷ Θεῷ δοκοῦν· ὥστε καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

τοὺς ἐπαίνους ἄλλων, γιὰ νὰ ἐπισύρουμε πάλι μεγαλύτερους ἐπαίνους, γιὰ νὰ μᾶς θαυμάσουν ἀκόμη περισσότερο. Ἑπομένως τὸ κάνουμε αὐτό, ὄχι ἐπειδὴ δὲν θέλουμε τὰ ἐγκώμια, ἀλλὰ γιὰ νὰ τὰ αὐξήσουμε· καὶ ὅλα γίνονται γιὰ τὴ δόξα μας, καὶ ὄχι ἐπειδὴ πραγματικὰ τὰ θέλουμε. Γι' αὐτὸ ὅλα εἶναι κενά, ὅλα μάταια.

Γι' αὐτὸ λοιπὸν παρακαλῶ τώρα ν' ἀπομακρυνθοῦμε ἀπὸ τὴ μητέρα τῶν κακῶν, τὴν κενοδοξία, καὶ νὰ ζήσουμε σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, γιὰ νὰ κερδίσουμε καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας.

ΟΜΙΛΙΑ ΚΗ'

(Ἑβρ. 11,37–12,3)

«Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος οὗτος· ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς».

5 *1. Ἀεὶ μέν, μάλιστα δὲ ὅταν τῶν ἁγίων ἐννοήσω τὰ κατορθώματα, τότε μοι ἐπέρχεται ἀπαγορεύειν τὰ κατ' ἐμαυτόν, ὅτι οὐδὲ ὄναρ πεῖραν ἐλάβομεν οἷς ἐκεῖνοι τὸν ἅπαντα χρόνον ἐνδιέτριψαν ἄνδρες, οὐχ ἁμαρτημάτων τίνοντες δίκην, ἀλλ' ἀεὶ κατορθοῦντες καὶ ἀεὶ θλιβόμενοι. Ἐννόησον γάρ μοι τὸν Ἠλίαν, εἰς ὃν ἡμῖν ὁ λό-*
10 *γος περιήκει τήμερον· περὶ αὐτοῦ γάρ φησιν ἐνταῦθα τό, «περιῆλθον ἐν μηλωταῖς», καὶ εἰς αὐτὸν αὐτῷ τελευτᾷ τὰ ὑποδείγματα οὐδὲ αὐτὸ καταλιπών, ὅπερ οἰκεῖον αὐτοῖς ἦν. Καὶ εἰπὼν τὰ κατὰ τοὺς ἀποστόλους, ὅτι «ἐν φόνῳ μαχαίρας ἀπέθανον», ὅτι «ἐλιθάσθησαν», ἄνεισι πάλιν ἐπὶ τὸν Ἠλίαν, τὸν τὰ αὐτὰ παθόντα τούτοις.*
15 *Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς οὐδέπω περὶ τῶν ἀποστόλων δόξαν ἔχειν τοσαύτην, ἀπὸ τοῦ ἀναληφθέντος, καὶ μάλιστα θαυμασθέντος, φέρει τὴν παράκλησιν καὶ τὴν παραμυθίαν.*

«Περιῆλθον» γάρ, φησίν, «ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ
20 *κόσμος οὗτος». Οὐδὲ ἱμάτιον εἶχον, φησί, περιβαλέσθαι τῇ ὑπερβολῇ τῶν θλίψεων, οὐ πόλιν, οὐκ οἰκίαν, οὐ καταγώγιον· τοῦτο, ὅπερ ὁ Χριστὸς ἔλεγεν· «ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ». Τί λέγω, οὐ καταγώγιον; οὐ στάσιν· οὐδὲ γὰρ τὴν*

1. Ματθ. 8,20.

ΟΜΙΛΙΑ ΚΗ'

(Ἑβρ. 11,37–12,3)

«Φοροῦσαν γιὰ ἐνδύματα δέρματα προβάτων καὶ δέρματα γιδιῶν, γεμᾶτοι στερήσεις, θλίψεις καὶ κακοπαθήματα, καὶ ὅλων αὐτῶν δὲν ἦταν ἄξιος ὁ κόσμος αὐτός. Περιπλανοῦνταν στὶς ἐρήμους καὶ στὰ βουνὰ καὶ στὰ σπήλαια καὶ στὶς τρύπες τῆς γῆς».

1. Πάντοτε βέβαια, κυρίως ὅμως ὅταν σκέπτωμαι τὰ κατορθώματα τῶν ἁγίων, τότε μοῦ ἔρχεται νὰ ξεχνῶ ὅλα τὰ δικά μου, διότι οὔτε στὸ ὄνειρό μας δὲν γνωρίσαμε αὐτὰ ποὺ ἐκεῖνοι οἱ ἄνδρες πέρασαν σ' ὅλη τους τὴ ζωή, κι' αὐτὰ δὲν ἦταν τιμωρία γιὰ τ' ἁμαρτήματά τους, ἀλλά, ἂν καὶ σημείωναν πάντοτε κατορθώματα, ὅμως πάντοτε ἀντιμετώπιζαν θλίψεις. Πράγματι, σκέψου τὸν Ἠλία, στὸν ὁποῖο ἀναφέρεται ὁ λόγος σήμερα· διότι γι' αὐτὸν τὸ λέγει αὐτὸ ἐδῶ, τὸ «φοροῦσαν προβειές», καὶ τελειώνει σ' αὐτὸν τὰ παραδείγματα χωρὶς ν' ἀφήση οὔτε αὐτὸ ποὺ τοὺς ἦταν γνωστό. Καὶ ἀφοῦ ἀναφέρθηκε στοὺς ἀποστόλους, ὅτι ὑπέστησαν τὸν διὰ μαχαίρας θάνατο, ὅτι λιθοβολήθηκαν, ἐπανέρχεται πάλι στὸν Ἠλία, ποὺ ἔπαθε τὰ ἴδια μ' αὐτούς. Ἐπειδὴ δηλαδὴ ἦταν φυσικὸ νὰ μὴν ἔχουν ἀκόμη αὐτοὶ τόση μεγάλη ἰδέα γιὰ τοὺς ἀποστόλους, ἀπὸ αὐτὸν ποὺ ἀναλήφθηκε καὶ ὑπερβολικὰ θαυμάσθηκε φέρνει τὴν παρηγοριὰ καὶ τὴν παράκλησι.

«Φοροῦσαν», λέγει, «δέρματα προβάτων καὶ δέρματα γιδιῶν, γεμᾶτοι στερήσεις, θλίψεις καὶ κακοπαθήματα, καὶ ὅλων αὐτῶν δὲν ἦταν ἄξιος ὁ κόσμος αὐτός». Οὔτε ἔνδυμα εἶχαν, λέγει, νὰ ντυθοῦν, ἐξ αἰτίας τῶν ὑπερβολικῶν θλίψεων, οὔτε πόλι, οὔτε σπίτι, οὔτε κατάλυμα· αὐτὸ ἀκριβῶς ποὺ ὁ Χριστὸς ἔλεγε· «ὁ Υἱὸς ὅμως τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ γείρη τὸ κεφάλι του»[1]. Ἀλλὰ τί λέγω, δὲν

ἔρημον καταλαβόντες, ἡσυχίαν ἦγον· οὐ γὰρ εἶπεν, 'ἐν ἐρήμῳ ἐκάθηντο', ἀλλὰ καὶ ἐκεῖ ὄντες ἔφευγον καὶ ἐκεῖθεν ἠλαύνοντο, οὐκ ἐκ τῆς οἰκουμένης μόνον, ἀλλὰ καὶ ἐκ τῆς ἀοικήτου. Καὶ ἀναμιμνήσκει τόπων αὐτοὺς ἔνθα ἐκάθηντο, καὶ πραγμάτων ἐκεῖ γενομένων· «ὑστερούμενοι, θλιβόμενοι». Εἶτα, φησίν, ὑμῖν ἐνεκάλουν διὰ τὸν Χριστόν, καὶ ταῦτα ἐποίουν τῷ Ἠλίᾳ· τί ἔχοντες ἐγκαλεῖν, ἤλαυνον αὐτὸν καὶ ἐδίωκον καὶ λιμῷ παλαίειν ἠνάγκαζον; Ὃ καὶ οὗτοι τότε ἔπασχον. Διὰ τοῦτο ἔλεγεν ἀλλαχοῦ· «ἔκριναν γοῦν πέμψαι οἱ ἀδελφοὶ τοῖς θλιβομένοις τῶν μαθητῶν· καθὼς γὰρ ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς». Ὃ καὶ τούτων ἦν.

«Κακουχούμενοι», φησί· τουτέστι, κακῶς πάσχοντες, ἐν ταῖς ὁδοιπορίαις, ἐν τοῖς κινδύνοις· ὃ καὶ αὐτὸ τούτων ἦν. Τὸ δέ, «περιῆλθον», τί ἐστιν; «Ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς». Οὐδὲν ἄλλο ἢ τοῦτο μονονουχὶ ἐμφαίνει, ὅτι περιῆλθον καθάπερ φυγάδες καὶ μετανάσται, καθάπερ ἐπὶ τοῖς αἰσχίστοις ἑαλωκότες, καθάπερ οἱ οὐδὲ τὸν ἥλιον ὁρᾶν ἄξιοι, καὶ οὐδὲ ἀπὸ τῆς ἐρημίας εὕρισκον καταφυγήν, ἀλλ' ἔδει φεύγειν ἀεί, ἔδει καταδύσεις ζητεῖν, ἔδει ζῶντας εἰς τὴν γῆν κατορύττειν ἑαυτούς, ἀεὶ ἐν φόβῳ εἶναι. «Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι». Τίς οὖν ὁ μισθὸς τῆς τοσαύτης, φησίν, ἐλπίδος; τίς ἡ ἀνταπόδοσις; Μεγάλη, καὶ οὕτω μεγάλη, ὡς μηδὲ λόγῳ δύνασθαι δηλωθῆναι· «ἃ γάρ», φησίν, «ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ταῦτά ἐστιν ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Ἀλλ' οὔπω ἀπέλαβον, ἀλλ' ἔτι μένουσι καὶ οὕτω τελευτήσαντες ἐν τοσαύτῃ θλίψει.

2. Πράξ. 11,29.

εἶχαν κατάλυμα; οὔτε τόπο γιὰ νὰ σταθοῦν εἶχαν. Διότι οὔτε ὅταν κατέφευγαν στὴν ἔρημο ἡσύχαζαν· καθόσον δὲν εἶπε, παρέμειναν στὴν ἔρημο, ἀλλὰ καὶ ἐκεῖ εὑρισκόμενοι ἔφευγαν καὶ ἀπὸ ἐκεῖ καταδιώκονταν· τοὺς ἔδιωχναν ὄχι μόνο ἀπὸ τὴν κατοικημένη περιοχή, ἀλλὰ καὶ ἀπὸ τὴν ἀκατοίκητη. Καὶ ὑπενθυμίζει τοὺς τόπους ὅπου ζοῦσαν καὶ τὰ γεγονότα ποὺ τοὺς συνέβηκαν ἐκεῖ· «γεμᾶτοι στερήσεις καὶ θλίψεις». Ἔπειτα, λέγει, ἐσᾶς σᾶς κατηγοροῦσαν γιὰ τὸν Χριστό, καὶ αὐτὰ τὰ ἔκαμναν στὸν Ἠλία· τί εἶχαν νὰ ποῦν σὲ βάρος του, καὶ τὸν ἔδιωχναν καὶ τὸν καταδίωκαν καὶ τὸν ἀνάγκαζαν νὰ παλεύῃ μὲ τὴν πεῖνα; Αὐτὸ καὶ αὐτοὶ τότε πάθαιναν. Γι' αὐτὸ ἀλλοῦ ἔλεγε· «ἀποφάσισαν λοιπὸν νὰ στείλουν οἱ ἀδελφοὶ ἐνισχύσεις στοὺς θλιβομένους ἀπὸ τοὺς μαθητές· ἀνάλογα μὲ τοὺς πόρους ποὺ εἶχε κανείς, ἀποφάσισαν νὰ στείλουν καθένας ἀπὸ αὐτοὺς συνδρομή, γιὰ νὰ βοηθήσουν τοὺς ἀδελφούς, ποὺ κατοικοῦσαν στὴν Ἰουδαία»[2]. Πρᾶγμα ποὺ συνέβηκε καὶ σ' αὐτούς.

«Κακουχούμενοι», λέγει· δηλαδή, ἦταν ἐκτεθειμένοι σὲ ὅλα τὰ κακά, καὶ στὶς ὁδοιπορίες, καὶ στοὺς κινδύνους· πρᾶγμα ποὺ καὶ σ' αὐτοὺς συνέβαινε. Ἀλλὰ τὸ «περιῆλθον», τί σημαίνει; «Περιπλανώμενοι στὶς ἐρήμους καὶ στὰ ὄρη καὶ στὰ σπήλαια καὶ στὶς τρύπες τῆς γῆς». Τίποτε ἄλλο δὲν δείχνει αὐτὸ παρὰ μόνο παρουσιάζει μὲ μία λέξι, ὅτι περιφέρονταν ὅπως ἀκριβῶς οἱ ἐξόριστοι καὶ οἱ μετανάστες, ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἔχουν καταδικασθῆ γιὰ ἀτιμίες, ὅπως ἐκεῖνοι ποὺ δὲν εἶναι ἄξιοι νὰ βλέπουν οὔτε τὸν ἥλιο, καὶ οὔτε στὴν ἔρημο εὕρισκαν καταφύγιο, ἀλλ' ἔπρεπε διαρκῶς νὰ φεύγουν, ἔπρεπε ν' ἀναζητοῦν κρύπτες, ἔπρεπε ζωντανοὶ νὰ θάπτωνται, πάντοτε νὰ εἶναι φοβισμένοι. «Καὶ ὅλοι αὐτοί, ἂν καὶ ἔλαβαν ἐγκωμιαστικὴ μαρτυρία γιὰ τὴν πίστι τους, δὲν ἀπήλαυσαν τὴν ὑπόσχεσι τῆς οὐράνιας κληρονομίας, ἐπειδὴ ὁ Θεὸς προέβλεψε κάτι καλύτερο γιὰ μᾶς, ὥστε νὰ μὴν λάβουν σὲ τέλειο βαθμὸ τὴ σωτηρία χωρὶς ἐμᾶς». Ποιός λοιπόν, λέγει, εἶναι ὁ μισθὸς τῆς τόσο μεγάλης ἐλπίδας; ποιά εἶναι ἡ ἀνταπόδοσις; Μεγάλη εἶναι καὶ τόσο μεγάλη, ὥστε νὰ μὴν μπορῆ νὰ ἐκφρασθῆ μὲ τὸν λόγο. «Διότι αὐτά», λέγει, «ποὺ ὀφθαλμὸς δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε οὔτε στὴν καρδιὰ τοῦ ἀνθρώπου ἀνέβηκαν, αὐτὰ εἶναι ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν». Ἀλλὰ ἀκόμη δὲν τὰ ἀπήλαυσαν, ἀκόμη περιμένουν καὶ πέθαναν ἔτσι μέσα σὲ τόση μεγάλη θλῖψι.

Καὶ ἐκεῖνοι μὲν χρόνους ἔχουσι τοσούτους νικήσαντες καὶ οὐδέπω ἀπέλαβον, ὑμεῖς δὲ ἐν τῷ ἀγῶνι ἔτι ὄντες, ἀσχάλλετε; Ἐννοήσατε καὶ ὑμεῖς τί ἐστι καὶ ὅσον ἐστὶ τὸ Ἀβραὰμ καθῆσθαι· καὶ τὸν ἀπόστολον Παῦλον περιμένοντας πότε σὺ τελειωθῇς, ἵνα δυνη-
5 *θῶσι τότε λαβεῖν τὸν μισθόν. Ἐὰν μὴ γὰρ καὶ ἡμεῖς παραγενώμεθα, προεῖπεν αὐτοῖς ὁ Σωτὴρ μὴ δώσειν· καθάπερ εἰ πατὴρ φιλόστοργος παισὶν εὐδοκίμοις, καὶ τὸ ἔργον ἠνυκόσι λέγοι, μὴ διδόναι φαγεῖν, ἐὰν μὴ ἔλθωσιν αὐτῶν οἱ ἀδελφοί. Σὺ δὲ ἀσχάλλεις, ὅτι οὐδέπω τὸν μισθὸν ἔλαβες; Τί οὖν ποιήσει Ἄβελ ὁ πρὸ πάντων νι-*
10 *κήσας καὶ ἀστεφάνωτος καθήμενος; τί δὲ Νῶε; τί δὲ οἱ κατ' ἐκείνους τοὺς χρόνους γεγονότες, ὅτι σὲ καὶ τοὺς μετὰ σὲ ἀναμένουσιν; Ὁρᾷς ὅτι ἡμεῖς πλεονεκτοῦμεν αὐτῶν; Καὶ καλῶς διὰ τοῦτο εἶπε, «τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου». Ἵνα γὰρ μὴ δοκῶσι πλεονεκτεῖν ἡμῶν τῷ πρῶτοι στεφανοῦσθαι, ἕνα ὥρισε*
15 *πᾶσι τῶν στεφάνων τὸν καιρόν, καὶ ὁ πρὸ τοσούτων ἐτῶν νενικηκώς, μετὰ σοῦ λαμβάνει τὸν στέφανον.*

Ὁρᾷς κηδεμονίαν; Καὶ οὐκ εἶπεν, 'Ἵνα μὴ χωρὶς ἡμῶν στεφανωθῶσιν', ἀλλ', «ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν»· ὥστε καὶ τέλειοι τότε φαίνονται. Προέλαβον κατὰ τοὺς ἀγῶνας, ἀλλ' οὐ προ-
20 *λαμβάνουσι κατὰ τοὺς στεφάνους. Οὐκ ἐκείνους ἠδίκησεν, ἀλλ' ἡμᾶς ἐτίμησε· καὶ γὰρ καὶ αὐτοὶ τοὺς ἀδελφοὺς ἀναμένουσιν. Εἰ γὰρ σῶμα ἓν οἱ πάντες ἐσμέν, μείζων γίνεται τῷ σώματι τούτῳ ἡ ἡδονή, ὅταν κοινῇ στεφανῶται καὶ μὴ κατὰ μέρος. Καὶ γὰρ οἱ δίκαιοι καὶ ἐν τούτῳ εἰσὶ θαυμαστοί, ὅτι χαίρουσιν ὡς ἐπὶ οἰκείοις*
25 *ἀγαθοῖς τοῖς τῶν ἀδελφῶν. Ὥστε κἀκείνοις τοῦτο κατὰ γνώμην ἐστί, τὸ μετὰ τῶν μελῶν τῶν ἰδίων στεφανωθῆναι· τὸ γὰρ ὁμοῦ δοξασθῆναι, μεγάλη ἡδονή. «Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων».*

2. *Πολλαχοῦ ἡ Γραφὴ τὴν παραμυθίαν λαμβάνει τὴν ἐν τοῖς κα-*
30 *κοῖς ἀπὸ τῶν συμβαινόντων πραγμάτων, ὡς ὅταν λέγῃ ὁ προφήτης· «ἀπὸ καύματος καὶ σκληρότητος καὶ ὑετοῦ ῥύσεταί σε»· καὶ ὁ*

Καὶ ἐκεῖνοι βέβαια ἔχουν τόσα πολλὰ χρόνια ποὺ νίκησαν ὅλα αὐτὰ καὶ ἀκόμη δὲν τ' ἀπήλαυσαν τὴν ἀμοιβή, καὶ σεῖς ποὺ βρίσκεσθε ἀκόμη στὸ στάδιο τοῦ ἀγῶνα, ἀδημονεῖτε; Σκεφθῆτε κι' ἐσεῖς τί σημαίνει αὐτὸ καὶ πόσο ὁ Ἀβραὰμ θὰ περιμένῃ· καὶ τὸν ἀπόστολο Παῦλο ποὺ περιμένει πότε ἐσὺ θὰ τελειωθῇς, γιὰ νὰ μπορέσουν τότε νὰ λάβουν τὸν μισθό. Διότι, ἐὰν καὶ ἐμεῖς δὲν παραβρεθοῦμε ἐκεῖ, τοὺς τὸ προεῖπε ὁ Σωτήρ, δὲν θὰ τοὺς ἀνταμείψῃ. Ὅπως ἀκριβῶς ἕνας φιλόστοργος πατέρας ἐὰν ἔλεγε γιὰ τὰ παιδιά του, ποὺ εὐδοκιμοῦν καὶ ἔχουν ὁλοκληρώσει τὸ ἔργο τους, νὰ μὴν τὰ δώσουν νὰ φᾶνε, ἐὰν δὲν ἔλθουν καὶ οἱ ἀδελφοί τους. Κι' ἐσὺ στενοχωρεῖσαι γιατί ἀκόμα δὲν ἀμείφθηκες; Τί λοιπὸν θὰ πρέπει νὰ κάνῃ ὁ Ἄβελ, ποὺ πρὶν ἀπὸ ὅλους νίκησε, καὶ ἀκόμη περιμένει ἀστεφάνωτος; Τί πρέπει ἐπίσης νὰ κάνῃ ὁ Νῶε; καὶ τί ὅλοι ἐκεῖνοι ποὺ ἔζησαν ἐκεῖνα τὰ χρόνια, ποὺ περιμένουν ἐσένα καὶ τοὺς μετὰ ἀπὸ ἐσένα; Βλέπεις ὅτι ἐμεῖς βρισκόμαστε σὲ πλεονεκτικότερη θέση ἀπὸ ἐκείνους; Καλὰ λοιπὸν εἶπε, «ὅτι ὁ Θεὸς προέβλεψε κάτι καλύτερο γιὰ μᾶς». Γιὰ νὰ μὴ νομίζουν δηλαδὴ ὅτι πλεονεκτοῦν ἀπέναντί μας ἐὰν στεφανώνονταν πρῶτοι, ὥρισε νὰ εἶναι κοινὸς γιὰ ὅλους ὁ καιρὸς τῶν στεφάνων καὶ ἐκεῖνος ποὺ ἔχει νικήσει πρὶν τόσα πολλὰ χρόνια μαζί σου νὰ λάβῃ τὸ στεφάνι.

Βλέπεις φροντίδα; Καὶ δὲν εἶπε, 'γιὰ νὰ μὴν στεφανωθοῦν χωρὶς ἐμᾶς', ἀλλὰ «γιὰ νὰ μὴν τελειωθοῦν χωρὶς ἐμᾶς»· ὥστε τότε θὰ φανοῦν καὶ τέλειοι. Μᾶς πρόλαβαν στοὺς ἀγῶνες, ἀλλὰ δὲν θὰ μᾶς προλάβουν καὶ στὰ στεφάνια. Δὲν ἀδίκησε ἐκείνους, ἀλλὰ τίμησε ἐμᾶς· διότι καὶ αὐτοὶ περιμένουν τὰ ἀδέλφια τους. Ἐφόσον ὅλοι εἴμαστε ἕνα σῶμα, μεγαλύτερη γίνεται ἡ ἡδονὴ στὸ σῶμα, ὅταν ἀπὸ κοινοῦ στεφανώνεται καὶ ὄχι μεμονωμένα. Πράγματι οἱ δίκαιοι καὶ ὡς πρὸς αὐτὸ εἶναι ἀξιοθαύμαστοι, διότι χαίρονται γιὰ τὰ ἀγαθὰ τῶν ἀδελφῶν τους, σὰν νὰ εἶναι δικά τους. Ὥστε αὐτὸ εἶναι σύμφωνο καὶ μὲ τὴν ἐπιθυμία ἐκείνων, τὸ νὰ στεφανωθοῦν δηλαδὴ μαζὶ μὲ ὅλα τὰ μέλη τοῦ σώματός τους· διότι τὸ νὰ δοξασθοῦν μαζὶ εἶναι μεγάλη ἡδονή. «Λοιπὸν καὶ ἐμεῖς, ἀφοῦ ἔχουμε γύρω μας ἕνα τόσο πυκνὸ σύννεφο μαρτύρων».

2. Σὲ πολλὲς περιπτώσεις ἡ Γραφὴ παρουσιάζει τὴν παρηγοριὰ στὰ κακοπαθήματα ἀπὸ τὰ γεγονότα ποὺ συμβαίνουν, ὅπως ὅταν λέγῃ ὁ προφήτης· «ἀπὸ τὴν ὑπερβολικὴ ζέστη καὶ τὴ σκληρότητα

Δαυΐδ· «ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα». Τοῦτο γοῦν καὶ ἐνταῦθα λέγει, ὅτι ἡ μνήμη τῶν ἁγίων ἐκείνων, ὥσπερ νέφος τὸν φλεγόμενον ὑπὸ ἀκτῖνος θερμοτέρας σκιάζει, οὕτω τὴν ὑπὸ τῶν κακῶν καταπεπονημένην ἀνίστησι καὶ ἀνα-
5 *κτᾶται ψυχήν. Καὶ οὐκ εἶπεν, 'ὑπεραιωρούμενον ἡμῶν', ἀλλά, «περικείμενον ἡμῖν», ὃ ἐκείνου πλέον ἦν· ὥστε δηλῶσαι διὰ τούτου, ὅτι περικείμενον κύκλῳ, ἐν μείζονι ἀδείᾳ εἰκότως εἶναι ποιήσει. «Μάρτυρας» δὲ οὐχὶ τοὺς ἐν τῇ Καινῇ λέγει μόνον, ἀλλὰ καὶ τοὺς ἐν τῇ Παλαιᾷ· καὶ γὰρ καὶ αὐτοὶ ἐμαρτύρησαν τῇ τοῦ Θεοῦ μεγα-*
10 *λειότητι· οἷον, ὡς οἱ τρεῖς παῖδες, οἱ περὶ τὸν Ἠλίαν, οἱ προφῆται πάντες.*

«Ὄγκον ἀποθέμενοι πάντα». «Πάντα», τίνα; Τουτέστι, τὸν ὕπνον, τὴν ὀλιγωρίαν, τοὺς λογισμοὺς τοὺς εὐτελεῖς, πάντα τὰ ἀνθρώπινα. «Καὶ τὴν εὐπερίστατον ἁμαρτίαν». «Εὐπερίστατον».
15 *Ἤτοι τὴν εὐκόλως περιισταμένην ἡμᾶς, ἢ τὴν εὐκόλως περίστασιν δυναμένην παθεῖν, λέγει· μᾶλλον δὲ τοῦτο· ῥᾴδιον γάρ, ἐὰν θέλωμεν, περιγενέσθαι τῆς ἁμαρτίας. «Δι' ὑπομονῆς», φησί, «τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα». Οὐκ εἶπε, 'πυκτεύωμεν', οὐδέ, 'παλαίωμεν', οὐδέ, 'πολεμῶμεν', ἀλλ' ὃ πάντων κουφότερν ἦν τὸ τοῦ*
20 *δρόμου, τοῦτο εἰς μέσον τέθεικεν. Οὐδὲ εἶπε, 'προσθῶμεν τῷ δρόμῳ', ἀλλ' ἐν αὐτῷ τούτῳ ὑπομείνωμεν, μὴ ἐκλυθῶμεν. «Τρέχωμεν», φησί, «τὸν προκείμενον ἡμῖν ἀγῶνα».*

Εἶτα τὸ κεφάλαιον τῆς παρακλήσεως, ὃ καὶ πρῶτον καὶ ὕστερον τίθησι, τὸν Χριστόν· «ἀφορῶντες», φησίν, «εἰς τὸν τῆς πί-
25 *στεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν». Ὅπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς τοῖς μαθηταῖς συνεχῶς ἔλεγεν· «εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ;». Καὶ πάλιν· «οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ». «Ἀφορῶντες», φησί· τουτέστιν, ἵνα μά-*
30 *θωμεν τρέχειν, βλέπωμεν εἰς Χριστόν. Καθάπερ γὰρ ἐπὶ τῶν τε-*

3. Ἡσ. 4,6.
4. Ψαλμ. 120,6.
5. Ματθ. 10,25.
6. Ματθ. 10,24.

καὶ τὴ βροχὴ θὰ σὲ προστατεύσῃ»[3]· καὶ ὁ Δαυΐδ· «ὁ ἥλιος τῆς ἡμέρας δὲν θὰ σὲ κατακαύσῃ, οὔτε ἡ σελήνη τὴ νύχτα»[4]. Αὐτὸ λοιπὸν καὶ ἐδῶ λέγει, ὅτι ἡ μνήμη τῶν ἁγίων ἐκείνων ἀνδρῶν, ὡς νέφος θὰ σκιάζῃ ἐκεῖνον ποὺ φλέγεται ἀπὸ θερμότερη ἀκτίνα· ἔτσι ἀνασταίνει καὶ ἀναζωογονεῖ τὴν ψυχή, ποὺ εἶναι ἀποκαμωμένη ἀπὸ τὶς δυστυχίες. Καὶ δὲν εἶπε, 'ποὺ αἰωρεῖται ἐπάνω ἀπὸ ἐμᾶς', ἀλλά, «ποὺ μᾶς περιβάλλει», ποὺ εἶναι πολὺ πιὸ ἀνώτερο· τὸ κάνει γιὰ νὰ δηλώσῃ μ' αὐτό, ὅτι περιβάλλοντάς μας, εἶναι φυσικὸ ὅτι θὰ μᾶς ἔχῃ σὲ μεγαλύτερη ἀσφάλεια. Μάρτυρες ὀνομάζει ὄχι μόνο αὐτοὺς ποὺ ἀναφέρονται στὴν Καινὴ Διαθήκη, ἀλλὰ καὶ στὴν Παλαιά· καθόσον καὶ αὐτοὶ ἐμαρτύρησαν γιὰ τὸ μεγαλεῖο τοῦ Θεοῦ· ὅπως οἱ τρεῖς παῖδες, οἱ περὶ τὸν Ἠλία, οἱ προφῆτες οἱ ὅλοι.

«Ἂς πετάξουμε ἀπὸ ἐπάνω μας κάθε βάρος βιωτικῶν φροντίδων». Ὅλα τὰ βάρη· ποιά εἶναι αὐτά; Δηλαδή, τὸν ὕπνο, τὴν ἀμέλεια, τοὺς τιποτένιους λογισμούς, ὅλα τὰ ἀνθρώπινα. «Καὶ τὴν ἁμαρτία στὴν ὁποία εὔκολα παρασύρεται κανείς». «Εὐπερίστατον»· δηλαδή, αὐτὴν ποὺ εὔκολα μᾶς παρασύρει καὶ μᾶς καταβάλλει, ἢ αὐτὴν ποὺ εὔκολα θ' ἀντιμετωπισθῇ ἀπὸ ἐμᾶς καὶ θ' ἀποφευχθῇ· ἀλλὰ μᾶλλον αὐτὸ ἐννοεῖ· διότι εἶναι εὔκολο, ἐὰν θέλουμε, νὰ νικήσουμε τὴν ἁμαρτία. «Μὲ ὑπομονή», λέγει, «ἂς τρέχουμε τὸν ἀγῶνα ποὺ προβάλλει μπροστά μας». Δὲν εἶπε, 'ἂς πυγμαχοῦμε', οὔτε 'ἂς παλεύουμε', οὔτε 'ἂς πολεμοῦμε', ἀλλὰ αὐτὸ ποὺ ἦταν εὐκολώτερο ἀπὸ ὅλα, τὸ ἀγώνισμα τοῦ δρόμου, αὐτὸ ἀνέφερε. Οὔτε εἶπε, 'ἂς εἴμαστε οἱ πρῶτοι στὸν ἀγῶνα', ἀλλὰ ἂς δείχνουμε ὑπομονὴ ὅσο διεξάγουμε αὐτόν, νὰ μὴ παραλύσουμε. «Ἂς τρέχουμε», λέγει «τὸν ἀγῶνα ποὺ βρίσκεται μπροστά μας μὲ ὑπομονή».

Ἔπειτα παρουσιάζει τὸ σπουδαιότερο μέρος τῆς παρακλήσεως, στὸ ὁποῖο καὶ πρῶτον καὶ τελευταῖον τοποθετεῖ τὸν Χριστό. «Ἂς στρέφουμε τὰ βλέμματά μας», λέγει, «μόνο στὸν Ἰησοῦν, ποὺ εἶναι ἀρχηγὸς τῆς πίστεώς μας καὶ μᾶς τελειοποιεῖ σ' αὐτήν». Πρᾶγμα ποὺ καὶ ὁ ἴδιος ὁ Χριστὸς ἔλεγε συνεχῶς στοὺς μαθητές του· «ἐὰν τὸν οἰκοδεσπότη τὸν ἀπεκάλεσαν Βεελζεβούλ, πόσο μᾶλλον τοὺς οἰκιακούς του;»[5]· καὶ πάλι· «δὲν ὑπάρχει μαθητὴς ἀνώτερος ἀπὸ τὸν διδάσκαλό του, οὔτε δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριό του»[6]. «Ἔχοντας στραμμένα τὰ βλέμματά μας», λέγει· δηλαδή, γιὰ νὰ μάθουμε νὰ τρέχουμε, ἂς στρέψουμε τὰ βλέμματά μας πρὸς τὸν

χνῶν πασῶν καὶ τῶν ἀγωνισμάτων πρὸς τοὺς διδασκάλους ὁρῶντες, οὕτως ἐντυποῦμεν τῇ διανοίᾳ τὴν τέχνην, διὰ τῆς ὀπτικῆς κανόνας τινὰς λαμβάνοντες· οὕτω δὴ καὶ ἐνταῦθα, εἰ βουλοίμεθα τρέχειν καὶ μαθεῖν καλῶς τρέχειν, πρὸς τὸν Χριστὸν ὁρῶμεν, «τὸν ἀρ-
5 *χηγὸν τῆς πίστεως καὶ τελειωτὴν Ἰησοῦν». Τί ἐστι τοῦτο; Τουτέστιν, αὐτὸς ἐν ἡμῖν τὴν πίστιν ἐνέθηκεν, αὐτὸς τὴν ἀρχὴν δέδωκεν. Ὃ καὶ πρὸς τοὺς μαθητὰς ὁ Χριστὸς εἶπεν· «οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς». Καὶ ὁ Παῦλος δέ φησι· «τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην».*

10 *Εἰ δὲ αὐτὸς τὴν ἀρχὴν ἡμῖν ἐνέθηκεν, αὐτὸς καὶ τὸ τέλος ἐπιθήσει. «Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ», φησί, «χαρᾶς, ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας». Τουτέστιν, ἐξῆν αὐτῷ μηδὲν παθεῖν, εἴπερ ἐβούλετο. «Οὐδὲ γὰρ ἁμαρτίαν ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ»· καθὼς καὶ αὐτός φησιν ἐν τοῖς*
15 *Εὐαγγελίοις· «ἔρχεται ὁ τοῦ κόσμου ἄρχων, καὶ οὐκ ἔχει ἐν ἐμοὶ οὐδέν». Προὔκειτο τοίνυν αὐτῷ, εἴπερ ἐβούλετο, μὴ ἐλθεῖν εἰς τὸν σταυρόν· «ἐξουσίαν γὰρ ἔχω», φησί, «θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν». Εἰ τοίνυν ὁ μηδεμίαν ἔχων ἀνάγκην τοῦ σταυρωθῆναι, ἐσταυρώθη ἡμῶν ἕνεκεν, πόσῳ μᾶλ-*
20 *λον ἡμᾶς δίκαιον πάντα γενναίως ὑπομένειν; «Ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς», φησίν, «ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας». Τί δέ ἐστιν, «αἰσχύνης καταφρονήσας»; Τὸν ἐπονείδιστον, φησίν, εἵλετο θάνατον. Ἔστω γάρ, ἀπέθνησκε· τί καὶ ἐπονειδίστως; Δι' οὐδὲν ἕτερον, ἀλλ' ἡμᾶς διδάσκων μηδὲν ἡγεῖσθαι τὴν*
25 *παρ' ἀνθρώπων δόξαν. Διὰ τοῦτο, οὐχ ὑποκείμενος ἁμαρτίᾳ εἵλετο αὐτήν, παιδεύων ἡμᾶς κατατολμᾶν αὐτῆς, καὶ μηδὲν αὐτὴν τίθεσθαι. Διὰ τί μὴ εἶπε 'λύπην', ἀλλὰ «αἰσχύνην»; Ὅτι οὐ μετὰ λύπης ταῦτα ἔφερε. Τί οὖν τὸ τέλος; Ἄκουε, ἐπάγει γάρ. «Ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν».*

30 *Ὁρᾷς τὸ ἔπαθλον; Ὅπερ καὶ ὁ Παῦλος γράφων φησί· «διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ*

7. Ἰω. 15,16.
8. Α' Κορ. 13,12.
9. Ἠσ.53,9.
10. Ἰω. 14,30.
11. Ἰω. 10,18.

Χριστό. Ὅπως ἀκριβῶς δηλαδὴ σὲ ὅλες τὶς τέχνες καὶ τὰ ἀγωνίσματα, ὅταν προσέχουμε τοὺς διδασκάλους μας, τότε ἐντυπώνουμε τὴν τέχνη στὴ διάνοιά μας, παίρνοντας διὰ τῆς ὁράσεως κάποιους κανόνες· ἔτσι λοιπον καὶ ἐδῶ, ἐὰν θέλουμε νὰ τρέχουμε, καὶ νὰ μάθουμε νὰ τρέχουμε καλά, ἂς στρέψουμε τὰ βλέμματά μας πρὸς τὸν Χριστό, τὸν ἀρχηγὸ καὶ τελειωτὴ τῆς πίστεώς μας τὸν Ἰησοῦ. Τί σημαίνει αὐτό; Δηλαδή, αὐτὸς ἔβαλε μέσα μας τὴν πίστι, αὐτὸς μᾶς ἔδωσε τὴν ἀρχή. Αὐτὸ ἔλεγε ὁ Χριστὸς καὶ πρὸς τοὺς μαθητές του· «Δὲν μὲ διαλέξατε ἐσεῖς, ἀλλ' ἐγὼ σᾶς διάλεξα»[7]. Ἀλλὰ καὶ ὁ Παῦλος λέγει· «καὶ τότε θὰ ἔχω τόσο τέλεια γνῶσι, ὅσο τέλεια μὲ γνώριζε ὁ Κύριος, ὅταν ἐνεργοῦσε τὴν ἐπιστροφή μου[8]».

Ἐὰν ὅμως ὁ Κύριος ἔβαλε μέσα μας τὴν ἀρχὴ τῆς πίστεως, αὐτὸς θὰ προσθέση καὶ τὸ τέλος. «Αὐτός», λέγει, «ἀντὶ τῆς προκείμενης σ' αὐτὸν χαρᾶς, ὑπέμεινε τὸν σταυρό, ἀφοῦ καταφρόνησε τὴν ντροπή». Δηλαδή, ἐὰν ἤθελε, θὰ μποροῦσε νὰ μὴν ὑποφέρη. Διότι «δὲν διέπραξε καμμιὰ ἁμαρτία, οὔτε βρέθηκε δόλος στὸ στόμα του»[9]. Ὅπως καὶ ὁ ἴδιος λέγει στὰ Εὐαγγέλια· «ἔρχεται ὁ ἄρχοντας τοῦ κόσμου, ἀλλὰ δὲν θὰ βρῆ τίποτε δικό του σὲ μένα»[10]. Ἐξαρτῶταν δηλαδὴ ἀπὸ αὐτόν, ἐὰν βέβαια ἤθελε, νὰ μὴν σταυρωθῆ. Διότι λέγει, «ἔχω ἐξουσία νὰ δώσω τὴ ζωή μου καὶ ἔχω ἐξουσία πάλι νὰ τὴν λάβω»[11]. Ἐὰν λοιπὸν αὐτὸς ποὺ δὲν εἶχε καμμία ἀνάγκη νὰ σταυρωθῆ, σταυρώθηκε γιὰ χάρι μας, πόσο μᾶλλον εἶναι δίκαιο ἐμεῖς νὰ τὰ ὑπομένουμε ὅλα μὲ γενναιότητα; «Αὐτὸς ἀντὶ τῆς χαρᾶς ποὺ βρισκόταν μπροστά του», λέγει, «ὑπέμεινε τὴ σταύρωσι, περιφρονώντας τὸν θάνατο». Τί σημαίνει ὅμως τὸ «αἰσχύνης καταφορνήσας»; Προτίμησε, λέγει, τὸν ἐπονείδιστο θάνατο. Ἔστω θὰ πέθαινε· γιατί ὅμως καὶ μὲ τρόπο ἐπονείδιστο; Γιὰ κανένα ἄλλο λόγο, παρὰ γιὰ νὰ μᾶς διδάξη νὰ περιφρονοῦμε τὴν ἀνθρώπινη δόξα. Γι' αὐτό, ἂν καὶ δὲν εἶχε ἁμαρτία, προτίμησε αὐτὸν τὸν θάνατο, γιὰ νὰ μᾶς διδάξη νὰ ὑπομένουμε θαρραλέα καὶ νὰ καταφρονοῦμε τὴ ντροπή. Γιατί δὲν εἶπε 'λύπη', ἀλλὰ «αἰσχύνη»; Διότι δὲν τὰ ὑπέφερε αὐτὰ λυπούμενος. Ποιό λοιπὸν ἦταν τὸ ἀποτέλεσμα; Ἄκουγε· διότι προσθέτει· «ἔχει καθίσει στὰ δεξιὰ τοῦ θρόνου τοῦ Θεοῦ».

Βλέπεις τὸ βραβεῖο; Αὐτὸ καὶ ὁ Παῦλος γράφοντας λέγει· «γι' αὐτὸ καὶ ὁ Θεὸς τὸν ὑπερύψωσε καὶ τοῦ ἐχάρισε ὄνομα, ποὺ εἶναι

πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ». Τὸ κατὰ σάρκα φησί. Μάλιστα μὲν οὖν, εἰ καὶ μηδὲν ἦν ἔπαθλον, ἱκανὸν τὸ ὑπόδειγμα πεῖσαι πάντα ἑλέσθαι· νυνὶ δὲ καὶ ἔπαθλα ἡμῖν πρόκειται, οὐ τὰ τυχόντα, ἀλλὰ μεγάλα καὶ ἀπόρρητα. Ὥστε 5 καὶ ἡμεῖς ἐπειδάν τι πάθωμεν τοιοῦτον, πρὸ τῶν ἀποστόλων ἐννοῶμεν τὸν Χριστόν. Διὰ τί; Ὅτι ὅλος ὁ βίος αὐτοῦ ὕβρεων ἔγεμε· καὶ γὰρ μαινόμενος ἤκουεν ἀεί, καὶ πλάνος, καὶ γόης· καὶ ποτὲ μὲν ἔλεγον οἱ Ἰουδαῖοι, «οὗτος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ», ποτὲ δέ· «οὐχί», φησίν, «ἀλλὰ πλανᾷ τὸν ὄχλον»· καὶ πάλιν· «ἐκεῖνος ὁ 10 πλάνος εἶπεν ἔτι ζῶν· 'Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι'». Καὶ εἰς γοητείαν δὲ αὐτὸν διέβαλλον λέγοντες· «ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια»· καὶ «ὅτι μαίνεται, καὶ δαιμόνιον ἔχει»· «οὐ καλῶς ἐλέγομεν, φησίν, ὅτι δαιμόνιον ἔχει, καὶ μαίνεται»; Καὶ ταῦτα ἤκουε παρ' αὐτῶν, εὐεργετῶν, θαυματουργῶν, Θεοῦ ἔργα ἐπιδεικνύμε-15 νος. Εἰ μὲν γὰρ μηδὲν ποιῶν ταῦτα ἤκουεν, οὐκ ἦν οὕτω θαυμαστόν· εἰ δὲ διδάσκων τὰ πρὸς ἀλήθειαν, πλάνος ἤκουε, καὶ δαίμονας ἐκβάλλων, δαίμονα ἔχειν ἐλέγετο, καὶ πάντα ἀνατρέπων τὰ ἐναντία, γόης ἐλέγετο, ποίαν ὑπερβολὴν θαύματος οὐκ ἔχει; Ταῦτα γὰρ αὐτοῦ συνεχῶς κατηγόρουν.

20 3. *Εἰ δὲ βούλει καὶ τὰ σκώμματα καὶ τὰς εἰρωνείας μαθεῖν, ἃς κατ' αὐτοῦ ἐποιοῦντο, ὃ μάλιστα δάκνει τὰς ἡμετέρας ψυχάς, ἄκουε πρῶτον τὰς ἀπὸ τοῦ γένους· «οὐχ οὗτος», φησίν, «ἐστὶν ὁ τοῦ τέκτονος υἱός, οὗ ἡμεῖς ἴσμεν τὸν πατέρα καὶ τὴν μητέρα; οὐχ οἱ ἀδελφοὶ αὐτοῦ πάντες παρ' ἡμῖν εἰσί;». Καὶ ἀπὸ τῆς πατρίδος αὐ-25 τὸν σκώπτοντες, ἔλεγον «ἐκ Ναζαρὲτ αὐτὸν εἶναι». Καὶ πάλιν· «ἐρώτησον», φησί, «καὶ ἴδε, ὅτι ἐκ τῆς Γαλιλαίας προφήτης οὐκ ἐγήγερται»· καὶ ἔφερε τοσαῦτα συκοφαντούμενος. Καὶ πάλιν ἔλεγον· «οὐχὶ ἡ Γραφή φησιν, ὅτι ἀπὸ Βηθλεὲμ τῆς κώμης ἔρχεται ὁ Χριστός;». Βούλει καὶ τὰς εἰρωνείας ἰδεῖν ἃς ἐποιοῦντο παρ' αὐτὸν 30 τὸν σταυρόν; Προσεκύνουν αὐτῷ ἐμπαίζοντες καὶ ἔπαιον αὐτὸν καὶ*

12. Φιλιπ. 2,9–10.
13. Ἰω. 9,16.
14. Ἰω. 7,12.
15. Ματθ. 27,63.
16. Ματθ. 12,24.
17. Ἰω . 10,20.
18. Ματθ. 13,54.
19. Ἰω. 7,52.
20. Ἰω. 7,42.

ἀνώτερο ἀπὸ κάθε ἄλλο ὄνομα, γιὰ νὰ καμφθῇ στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ κάθε γόνατο»[12]. Ἐννοεῖ τὸ ἀναφερόμενο στὴ σάρκα. Καὶ βέβαια, κι' ἂν ἀκόμη δὲν ὑπῆρχε κανένα ἔπαθλο, ἦταν ἀρκετὸ τὸ παράδειγμα τοῦ Κυρίου νὰ πείσῃ τὸν καθένα νὰ τὰ προτιμήσῃ αὐτά, τώρα ὅμως καὶ βραβεῖα βρίσκονται μπροστά μας, ὄχι συνήθη, ἀλλὰ μεγάλα καὶ ἀπόρρητα. Ὥστε καὶ ἐμεῖς, ἂν μᾶς συμβῇ κάτι τέτοιο, πρὶν ἀπὸ τοὺς ἀποστόλους ἂς σκεφθοῦμε τὸν Χριστό. Γιατί; Διότι ὅλη ἡ ζωή του ἦταν γεμάτη ἀπὸ ὕβρεις· καὶ πράγματι πάντοτε ἄκουγε ὅτι εἶναι τρελλὸς καὶ πλάνος καὶ μάγος· καὶ ἄλλοτε ἔλεγαν οἱ Ἰουδαῖοι, «αὐτὸς δὲν προέρχεται ἀπὸ τὸν Θεό»[13], ἄλλοτε πάλι· «ὄχι, δὲν εἶναι ἀγαθός, ἀλλὰ ἐξαπατᾶ τὸ πλῆθος[14]»· καὶ πάλι· «ἐκεῖνος ὁ πλάνος εἶπε, ὅταν ἀκόμη ζοῦσε· μετὰ τρεῖς ἡμέρες ἀπὸ τὸν θάνατό μου ἀνασταίνομαι»[15]. Καὶ ὡς μάγο τὸν συκοφάντησαν, λέγοντας· «μὲ τὴ δύναμι τοῦ Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια»[16]· καὶ «μαίνεται καὶ ἔχει δαιμόνιο»[17]. Σωστὰ δὲν λέγαμε, λέγει, ὅτι ἔχει δαιμόνιο καὶ γι' αὐτὸ παραλογίζεται; Καὶ αὐτὰ τὰ ἄκουγε ἀπὸ αὐτούς, ἐνῶ τοὺς εὐεργετοῦσε, θαυματουργοῦσε καὶ παρουσίαζε ἔργα θεϊκά. Διότι, ἐὰν τὰ ἄκουγε χωρὶς νὰ κάνῃ κάτι, δὲν θὰ ἦταν τόσο παράδοξο· ἐὰν λοιπόν, ἐνῶ δίδασκε τὴν ἀλήθεια, ἄκουγε ὅτι εἶναι πλάνος, καὶ ἐνῶ ἔβγαζε τὰ δαιμόνια, ἔλεγαν ὅτι ἔχει δαιμόνιο, καί, ἐνῶ ἀπεμάκρυνε ὅλα τὰ κακά, ὠνομαζόταν μάγος, ποιό θαῦμα δὲν ὑπερβάλλει αὐτό; Πράγματι αὐτὲς τὶς κατηγορίες συνεχῶς τοῦ ἀπέδιδαν.

3. Καὶ ἐὰν θέλῃς νὰ μάθῃς τοὺς ἐμπαιγμοὺς καὶ τὶς εἰρωνεῖες ποὺ ἐξαπέλυαν ἐναντίον του, πρᾶγμα ποὺ ὑπερβολικὰ πληγώνει τὶς ψυχές μας, ἄκουσε πρῶτα αὐτὲς ποὺ προέρχονταν ἀπὸ τοὺς ὁμογενεῖς του· «δὲν εἶναι αὐτός», λέγει, «ὁ υἱὸς τοῦ ξυλουργοῦ, τοῦ ὁποίου ἐμεῖς γνωρίζουμε τὸν πατέρα καὶ τὴ μητέρα; Δὲν ζοῦν ὅλα τὰ ἀδέλφια του ἀνάμεσα σὲ μᾶς;»[18]. Καὶ περιπαίζοντάς τον γιὰ τὸν τόπο τῆς καταγωγῆς του, ἔλεγαν, ὅτι εἶναι ἀπὸ τὴ Ναζαρέτ. Καὶ πάλι· «ἐρεύνησε», λέγει, «καὶ θὰ δῇς ὅτι δὲν ἔχει βγῆ προφήτης ἀπὸ τὴ Γαλιλαία»[19]· καὶ τὰ ὑπέμενε ὅλα, ἂν καὶ τόσο πολὺ τὸν συκοφαντοῦσαν. Καὶ πάλι ἔλεγαν· «δὲν λέγει ἡ Γραφὴ ὅτι ὁ Χριστὸς ἔρχεται ἀπὸ τὴν κωμόπολι τῆς Βηθλεέμ;»[20]. Θέλεις νὰ μάθῃς καὶ τὶς εἰρωνεῖες ποὺ ἐξαπέλυαν ἐναντίον του κατὰ τὴ διάρκεια τῆς σταυρώσεως; Τὸν προσκυνοῦσαν περιπαιχτικά, τὸν χτυποῦσαν, τὸν ἐρράπιζαν

ἐκολάφιζον καὶ ἔλεγον, «εἰπὲ ἡμῖν τίς ἐστιν ὁ παίσας σε;», καὶ ὄξος προσῆγον καὶ ἔλεγον· «εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ». Ἔτι δὲ καὶ ὁ δοῦλος τοῦ ἀρχιερέως ῥάπισμα ἔδωκεν αὐτῷ καί φησιν· «εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κα-
5 *κοῦ· εἰ δὲ καλῶς, τί με δέρεις;». Καὶ χλευάζοντες δέ, χλαμύδα περιέθηκαν αὐτῷ καὶ ἐνέπτυον εἰς τὸ πρόσωπον αὐτοῦ καὶ τὰς πείρας ἀεὶ προσῆγον, πειράζοντες αὐτόν. Βούλει καὶ τὰς κατηγορίας ἰδεῖν, τὰς λάθρα, τὰς φανερῶς, τὰς παρὰ τῶν μαθητῶν; Τὸ γάρ, «μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;», καὶ τό, «δαιμόνιον ἔχεις», παρὰ*
10 *τῶν πιστευσάντων ἤδη ἐλέγετο.*

Εἰπὲ δέ μοι, οὐκ ἀεὶ ἔφευγε καὶ αὐτός, ποτὲ μὲν εἰς τὴν Γαλιλαίαν, ποτὲ δὲ εἰς τὴν Ἰουδαίαν; Οὐχὶ ἐκ σπαργάνων αὐτῷ πολὺς ὁ πειρασμός; Οὐχὶ παιδίον ὄντα αὐτὸν ἡ μήτηρ λαβοῦσα κατῆλθε εἰς Αἴγυπτον; Διὰ ταῦτα τοίνυν πάντα φησίν· «ἀφορῶντες εἰς τὸν τῆς
15 *πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν». Εἰς τοῦτον τοίνυν ἀφορῶμεν καὶ εἰς τὰ τῶν μαθητῶν τῶν τούτου, ἀναγινώσκοντες τὰ Παύλου, καὶ ἀκούοντες αὐτοῦ λέγοντος· «ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν*
20 *ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν νηστείαις, ἐν κόποις, ἐν ἁγνότητι, ἐν γνώσει»· καὶ πάλιν· «μέχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμε-*
25 *νοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν». Ἆρα ἐξ ἡμῶν ἔχει τις εἰπεῖν, ὅτι τὸ πολλοστὸν τούτων μέρος ἔπαθεν;*

«Ὡς πλάνοι» γάρ, φησίν, «ὡς ἄτιμοι, ὡς μηδὲν ἔχοντες»· καὶ πάλιν· «πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον· τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, νυχθήμερον ἐν τῷ βυθῷ
30 *πεποίηκα, ὁδοιπορίαις πολλάκις, ἐν θλίψεσιν, ἐν στενοχωρίᾳ, ἐν λιμῷ». Καὶ ὅτι ταῦτα τῷ Θεῷ ἐδόκει, ἄκουε αὐτοῦ λέγοντος·*

21. Ματθ. 26,68.
22. Ματθ. 27,40.
23. Ἰω. 18,23.
24. Ἰω. 6,67.
25. Ἰω. 7,20.
26. Β' Κορ. 6,4–5.
27. Α' Κορ. 4,11–13.

καὶ ἔλεγαν· «πές μας ποιός σὲ χτύπησε;»[21]. Καὶ ξύδι τοῦ πρόσφεραν καὶ ἔλεγαν· «ἐὰν εἶσαι Υἱὸς τοῦ Θεοῦ, κατέβα ἀπὸ τὸν σταυρό»[22]. Ἀκόμη καὶ ὁ δοῦλος τοῦ ἀρχιερέως τὸν ἐρράπισε· καὶ ὁ Κύριος εἶπε· «ἐὰν δὲν μίλησα σωστά, ἀπόδειξε ποιό εἶναι τὸ κακὸ ποὺ εἶπα, ἐὰν ὅμως μίλησα σωστά, γιατί μὲ δέρνεις»[23]; Ἀλλὰ καὶ χλευάζοντάς τον τοῦ φόρεσαν χλαμύδα καὶ τὸν ἔφτυναν στὸ πρόσωπο καὶ τὸν ὑπέβαλλαν σὲ ὅλες τὶς δοκιμασίες, πειράζοντάς τον. Θέλεις νὰ γνωρίσης καὶ τὶς κατηγορίες, τὶς κρυφές, τὶς φανερές, ἐκεῖνες ποὺ προέρχονταν ἀπὸ τοὺς μαθητές του; διότι τό, «μήπως κι' ἐσεῖς θέλετε νὰ φύγετε;»[24], καὶ τὸ «δαιμόνιο ἔχεις»[25], λεγόταν ἀπὸ ἐκείνους ποὺ εἶχαν ἤδη πιστέψει.

Ἀλλὰ πές μου, δὲν ἔφευγε καὶ αὐτὸς πάντοτε, ἄλλοτε στὴ Γαλιλαία καὶ ἄλλοτε στὴν Ἰουδαία; Δὲν δοκιμάσθηκε πολὺ ἀπὸ τότε ποὺ ἦταν ἀκόμη στὰ σπάργανα; Ἐνῶ ἦταν ἀκόμα παιδὶ δὲν τὸν πῆρε ἡ μητέρα του καὶ κατέβηκε στὴν Αἴγυπτο; Γιὰ ὅλα αὐτά λοιπὸν λέγει· «ἂς στρέψουμε τὰ βλέμματά μας στὸν ἀρχηγὸ καὶ τελειωτὴ τῆς πίστεώς μας, ὁ ὁποῖος, ἀντὶ τῆς χαρᾶς ποὺ βρισκόταν μπροστά του, ὑπέμεινε θάνατο σταυρικό, καταφρονώντας τὴν ἀτίμωσι αὐτή, γι' αὐτὸ καὶ ἔχει καθίσει στὰ δεξιὰ τοῦ θρόνου τοῦ Θεοῦ». Σ' αὐτόν λοιπὸν ἂς στρέφουμε τὰ βλέμματά μας καὶ σὲ ὅσα ὑπέμειναν οἱ μαθηταί του, μελετώντας αὐτὰ ποὺ ἔπαθε ὁ Παῦλος, καὶ ἀκούγοντάς τον νὰ λέγη· «μὲ ὑπομονὴ πολλή, μὲ θλίψεις, μὲ ἀνάγκες, μὲ στενοχώριες, μὲ πληγές, μὲ φυλακίσεις, μὲ καταδιώξεις, μὲ νηστεῖες, μὲ κόπους, μὲ καθαρότητα ἀπὸ κάθε ἁμαρτία, μὲ γνῶσι τῆς ἀληθείας»[26]· καὶ πάλι· «μέχρι τὴν ὥρα αὐτὴ καὶ πεινοῦμε καὶ διψοῦμε καὶ δὲν ἔχουμε ἀρκετὰ ροῦχα, καὶ δεχόμαστε χτυπήματα, καὶ διαρκῶς φεύγουμε, καὶ κοπιάζουμε ἐργαζόμενοι μὲ τὰ ἴδια μας τὰ χέρια. Ἐνῶ μᾶς ὑβρίζουν τοὺς εὐλογοῦμε· ἐνῶ μᾶς καταδιώκουν τοὺς ἀνεχόμαστε· ἐνῶ μᾶς βλασφημοῦν, παρακαλοῦμε»[27]. Ἄραγε κανεὶς ἀπὸ ἐμᾶς ἔχει νὰ πῆ, ὅτι ἔπαθε ἔστω καὶ ἕνα ἐλάχιστο μέρος ἀπὸ αὐτά;

Διότι λέγει, «ὡς πλάνοι, ὡς ἄτιμοι, ὡς μὴ ἔχοντες τίποτε»· καὶ πάλι· «πέντε φορὲς μαστιγώθηκα ἀπὸ τοὺς Ἰουδαίους μὲ σαράντα παρὰ μία μαστιγώσεις· τρεῖς φορὲς ραβδίσθηκα, μία φορὰ λιθοβολήθηκα, ἕνα ἡμερονύκτιο ἔμεινα στὸ ἀνοικτὸ πέλαγος. Ὑπηρέτησα τὸν Κύριο μὲ ὁδοιπορίες πολλὲς φορές, μὲ θλίψεις, μὲ στενοχώ-

«ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι, 'ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται'». «Διὸ καί», φησίν, «εὐδοκῶ ἐν ἀσθενείας, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ
5 *δύναμις τοῦ Χριστοῦ». Καὶ αὐτοῦ δὲ ἄκουσον τοῦ Χριστοῦ λέγοντος· «ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε». «Ἀναλογίσασθε» γάρ, φησί, «τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι». Εἰκότως ταῦτα ἐπήγαγεν· εἰ γὰρ τὰ τῶν πλησίον πάθη διανίστησιν ἡμᾶς, τὰ*
10 *τοῦ Δεσπότου πόσην ἡμῖν οὐ παρέξει προθυμίαν; τί ἡμᾶς οὐκ ἐργάσεται; Καὶ σκόπει πῶς παρεὶς πάντα εἰπεῖν, διὰ τῆς ἀντιλογίας τὸ πᾶν ἐδήλωσε, καὶ τῷ τοιαύτην προσθεῖναι· τὰς γὰρ ἐπὶ κόρρης πληγάς, τὸν γέλωτα, τὰς ὕβρεις, τοὺς ὀνειδισμούς, τὰς χλευασίας, ταῦτα πάντα διὰ τῆς «ἀντιλογίας ἐνέφηνε»· καὶ οὐκ ἐκεῖνα μόνα,*
15 *ἀλλὰ καὶ τὰ παρὰ τὸν βίον ἅπαντα τὸν τῆς διδασκαλίας.*

Ταῦτα τοίνυν, ἀγαπητοί, ἀεὶ ἀναλογιζώμεθα, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐν ταῖς διανοίαις ἡμῶν στρέφωμεν, εἰδότες ὅτι μεγάλα ἐκ τούτου καρπωσόμεθα ἀγαθὰ καὶ πολλὴν τὴν ὠφέλειαν ἕξομεν. Μέγα γάρ, ὄντως μέγα παραμύθιον καὶ τὰ τοῦ Χριστοῦ πάθη καὶ
20 *τὰ τῶν ἀποστόλων. Οὕτω γὰρ ᾔδει ταύτην βελτίω τῆς ἀρετῆς οὖσαν τὴν ὁδόν, ὡς καὶ αὐτὸς ὁ μὴ δεόμενος αὐτῆς ταύτην ἐλθεῖν· οὕτως οἶδε τὴν θλῖψιν συμφέρουσαν ἡμῖν, καὶ ἀνέσεως ὑπόθεσιν μᾶλλον γινομένην· ἄκουε γὰρ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· «ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστί*
25 *μου ἄξιος». Μόνον γὰρ οὐχὶ τοῦτο διὰ τῆς τοιαύτης λέγει διδασκαλίας· εἰ μαθητὴς εἶ, τὸν διδάσκαλον μιμοῦ· τοῦτο γάρ ἐστι μαθητοῦ. Εἰ δὲ αὐτὸς μὲν διὰ θλίψεως ἦλθε, σὺ δὲ δι' ἀνέσεως, οὐκέτι τὴν αὐτὴν βαδίζεις ὁδόν, ἣν ἐκεῖνος ἐβάδισεν, ἀλλ' ἑτέραν. Πῶς οὖν ἀκολουθεῖς, μὴ ἀκολουθῶν; Πῶς εἶ μαθητής, μὴ τῷ διδασκάλῳ*

28. Β' Κορ. 11,24–26.
29. Β' Κορ. 12,8–9.
30. Ἰω. 16,33.
31. Ματθ. 10,38.

ριες, μὲ πεῖνα»[28]. Καὶ ὅτι αὐτὰ ἦταν ἀρκετὰ στὸν Θεό, ἄκουσε τί λέγει ὁ ἴδιος· «γι' αὐτὸν τὸν πειρασμὸ τρεῖς φορὲς παρεκάλεσα τὸν Κύριο νὰ μοῦ τὸν ἀπομακρύνη καὶ μοῦ εἶπε· εἶναι ἀρκετὴ ἡ χάρις ποὺ σοῦ δίνω· διότι ἡ δύναμίς μου ἀναδεικνύεται τέλεια, ὅταν ὁ ἄνθρωπος εἶναι ἀδύναμος». Γι' αὐτὸ καὶ λέγει, «εὐφραίνομαι στὶς ἀσθένειες, στὶς θλίψεις, στὶς ἀνάγκες, στὶς στενοχώριες, στὶς πληγές, στὶς φυλακές, γιὰ νὰ ἐπισκηνώση σ' ἐμένα ἡ δύναμις τοῦ Χριστοῦ»[29]. 'Αλλ' ἄκουσε καὶ τὸν ἴδιο τὸν Χριστὸ ποὺ λέγει· «στὸν κόσμο αὐτὸ θὰ ἔχετε θλῖψι»[30]. Διότι λέγει· «σκεφθῆτε καλὰ ἐκεῖνον ποὺ ἔχει ὑποφέρει μὲ ὑπομονὴ τόση ἀτίμωσι στὸν ἑαυτό του ἀπὸ τοὺς ἁμαρτωλοὺς σταυρωτές του, γιὰ νὰ μὴν ἀποκάμετε καὶ παραλύσουν ἀπὸ τὴν ἀποθάρρυνσι οἱ ψυχές σας». Σωστὰ τὰ πρόσθεσε αὐτά· διότι, ἐὰν τὰ παθήματα τῶν ἄλλων μᾶς διεγείρουν, τὰ παθήματα τοῦ Κυρίου πόσο πιὸ πρόθυμους δὲν θὰ μᾶς κάνουν; τί δὲν θὰ μᾶς προσφέρουν; Καὶ πρόσεχε πῶς, προσπερνώντας ὅλα, τὰ εἶπε ὅλα «διὰ τῆς ἀντιλογίας», ποὺ πρόσθεσε· διότι τὶς πληγὲς στὸ κεφάλι, τοὺς ἀστεϊσμούς, τὶς ὕβρεις, τοὺς ὀνειδισμούς, τὶς εἰρωνεῖες, ὅλα αὐτὰ τὰ ἀπέδωσε μὲ τὴν λέξι «ἀντιλογία»· καὶ ὄχι μόνο ἐκεῖνα, ἀλλὰ καὶ ὅλα τὰ ἄλλα ποὺ τοῦ συνέβηκαν στὴ ζωὴ κατὰ τὸν χρόνο τῆς διδασκαλίας του.

Αὐτὰ λοιπόν, ἀγαπητοί, ἂς τὰ σκεφτώμαστε πάντοτε καὶ τὴ νύχτα, καὶ κατὰ τὴν ἡμέρα ἂς τὰ περιστρέφουμε στὶς διάνοιές μας, γνωρίζοντας ὅτι μεγάλα ἀγαθὰ θὰ καρπωθοῦμε ἀπὸ αὐτό, καὶ θὰ ἔχουμε μεγάλη ὠφέλεια. Διότι μεγάλη, πραγματικὰ μεγάλη παρηγοριὰ εἶναι τὰ παθήματα τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων. Διότι τόσο πολὺ τὴν θεωροῦσε ὡς τὴν καλύτερη ὁδὸ ποὺ ὁδηγεῖ στὴν ἀρετή, ὥστε νὰ θέλη νὰ τὴν βαδίση καὶ αὐτὸς ποὺ δὲν τὴν ἔχει ἀνάγκη· τόσο πίστευε, ὅτι μᾶς συμφέρει ἡ θλῖψις καὶ μᾶλλον αὐτὴ γίνεται αἰτία ἀνέσεώς μας. Πράγματι ἄκουε τὸν Χριστὸ ποὺ λέγει· «ἐὰν κάποιος δὲν σηκώση τὸν σταυρό του γιὰ νὰ μὲ ἀκολουθήση, δὲν ἀξίζει γιὰ μένα»[31]. Μόνο βέβαια δὲν λέγει αὐτὸ μὲ αὐτὴ τὴ διδασκαλία· ἐὰν εἶσαι μαθητής, μιμήσου τὸν διδάσκαλό σου· διότι αὐτὸ εἶναι τὸ γνώρισμα τοῦ μαθητοῦ. Ἐὰν αὐτὸς ἦλθε διὰ τῆς θλίψεως, ἐνῶ ἐσὺ διὰ τῆς ἀνέσεως, δὲν βαδίζεις τὸν ἴδιο μ' αὐτὸν δρόμο, ἀλλὰ διαφορετικόν. Πῶς λοιπὸν ἀκολουθεῖς αὐτόν, μὴ ἀκολουθώντας τον; πῶς εἶσαι μαθητὴς χωρὶς ν' ἀκολουθῆς τὸν διδάσκαλο;

ἐπόμενος; Τοῦτο καὶ ὁ Παῦλός φησιν· «ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ἡμεῖς ἄτιμοι, ὑμεῖς δὲ ἔντιμοι». Ἢ πῶς ἔχει λόγον, φησί, τἀναντία ἡμᾶς ζηλοῦν, καὶ ὑμᾶς μὲν εἶναι μαθητάς, ἡμᾶς δὲ διδασκάλους; Μέγα ἄρα θλῖψις, ἀγαπητοί· δύο γὰρ τὰ μέγιστα κατορ-
5 *θοῖ, καὶ ἁμαρτίας ἐξαλείφει, καὶ στερροὺς ποιεῖ.*

4. Τί οὖν, φησίν, ἂν περιτρέψῃ καὶ ἀπολέσῃ; Οὐχ ἡ θλῖψις τοῦτο ποιεῖ, ἀλλ' ἡ ἡμετέρα νωθεία. Πῶς, φησίν; Ἐὰν γὰρ νήφωμεν, ἐὰν τὸν Θεὸν παρακαλῶμεν, ὥστε μὴ ἐᾶσαι ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἐὰν ἀεὶ αὐτοῦ ἐχώμεθα, στησόμεθα γενναίως καὶ παρα-
10 *ταξόμεθα. Ἕως ἂν αὐτὸν ἔχωμεν βοηθόν, κἂν πάντων τῶν ἀνέμων σφοδρότερον πνεύσωσιν οἱ πειρασμοί, κάρφος ἡμῖν ἔσονται καὶ φύλλον ἁπλῶς φερόμενον. Ἄκουε Παύλου λέγοντος· «ἐν τούτοις», φησί, «πᾶσιν ὑπερνικῶμεν»· καὶ πάλιν· «λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν*
15 *ἀποκαλύπτεσθαι εἰς ἡμᾶς»· καὶ πάλιν· «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται». Σκόπει ἡλίκους κινδύνους, ναυάγια, τὰς ἐπαλλήλους θλίψεις, καὶ ὅσα τοιαῦτα, ἐλαφρὰ καλεῖ· καὶ ζήλωσον τὸν ἀδάμαντα τοῦτον, τὸν ἁπλῶς καὶ εἰκῇ τὸ σῶμα τοῦτο περικείμε-*
20 *νον. Ἐν πενίᾳ εἶ; Ἀλλ' οὐκ ἐν τοσαύτῃ, ὅσῃ ὁ Παῦλος, ὁ καὶ ἐν λιμῷ ἐξεταζόμενος καὶ δίψει καὶ γυμνότητι· οὐ γὰρ μίαν ἡμέραν τοῦτο ἔπαθεν, ἀλλα διηνεκῶς τοῦτο ὑπέμεινε.*

Πόθεν τοῦτο δῆλον; Ἄκουε αὐτοῦ λέγοντος· «ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν». Βαβαί, πόσην
25 *ἔχων ἤδη δόξαν ἐν τῷ κηρύγματι, τοσαῦτα ὑπέμενεν, εἰκοστὸν λοιπὸν ἔτος ἔχων, ὅτε ταῦτα ἔγραφεν. «Οἶδα» γάρ, φησίν, «ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα»· καὶ πάλιν· «μετὰ τρία ἔτη, φησίν, ἀνῆλθον εἰς Ἱεροσόλυμα». Καὶ πάλιν ἄκουε αὐτοῦ λέγοντος· «καλόν μοι ἀποθανεῖν, ἢ*

32. Α' Κορ. 4,10.
33. Ρωμ. 8,37.
34. Ρωμ. 8,18.
35. Β' Κορ. 4,17.
36. Α' Κορ. 4,11.
37. Β' Κορ. 12,2.
38. Γαλ. 1,18.

Αὐτὸ λέγει καὶ ὁ Παῦλος· «ἐμεῖς εἴμαστε ἀσθενεῖς, ἐνῶ ἐσεῖς ἰσχυροί· ἐμεῖς περιφρονημένοι, ἐνῶ ἐσεῖς ἔνδοξοι»[32]. Ἢ πῶς, λέγει, θὰ μποροῦσε νὰ δικαιολογηθῆ, ἐμεῖς νὰ ἔχουμε ἀντίθετες ἐπιθυμίες, ἐνῶ ἐσεῖς εἶστε μαθητές, καὶ ἐμεῖς διδάσκαλοι; Ἐπομένως εἶναι μεγάλο πρᾶγμα ἡ θλῖψις, ἀγαπητοί· διότι κατορθώνει δυὸ πράγματα τὰ πιὸ μεγαλύτερα· καὶ τὶς ἁμαρτίες ἐξαλείφει καὶ ἰσχυροὺς μᾶς κάνει.

4. Τί λοιπόν, λέγει, ἂν ἡ θλῖψις μᾶς ἀνατρέψη καὶ μᾶς καταστρέψη; Δὲν τὸ κάνει αὐτὸ ἡ θλῖψις, ἀλλὰ ἡ δική μας νωθρότητα. Πῶς, λέγει; Διότι, ἐὰν ἀγρυπνοῦμε, ἐὰν παρακαλοῦμε τὸν Θεό, ὥστε νὰ μὴ μᾶς ἀφήση νὰ δοκιμασθοῦμε, περισσότερο ἀπὸ ὅσο ἀντέχουμε, ἐὰν εἴμαστε πάντοτε προσκολλημένοι στὸν Θεό, θὰ σταθοῦμε μὲ γενναιότητα καὶ θὰ τὴν ἀντιμετωπίσουμε. Ὅσο θὰ ἔχουμε τὸν Θεὸ βοηθό, κι' ἂν ἀκόμη οἱ πειρασμοὶ πνεύσουν σφοδρότερα ἀπὸ ὅλους τοὺς ἀνέμους, θὰ εἶναι γιὰ μᾶς ἁπλῶς ἕνα χορταράκι καὶ ἕνα φύλλο ποὺ περιφέρεται. Ἄκουε τὸν Παῦλο ποὺ λέγει· «ἀλλ' ὅλα αὐτά», λέγει, «τὰ ξεπερνοῦμε»[33]· καὶ πάλι· «διότι σκέπτομαι ὅτι δὲν εἶναι τίποτε τὰ ὅσα ὑποφέρουμε τώρα μπροστὰ στὴ δόξα ποὺ πρόκειται νὰ μᾶς ἀποκαλυφθῆ»[34]· καὶ πάλι· «διότι οἱ θλίψεις ποὺ γρήγορα περνοῦν καὶ εἶναι γι' αὐτὸ ἐλαφρές, κατεργάζονται σὲ μᾶς σὲ ὑπερβολικὰ μεγάλο βαθμὸ αἰώνιο βάρος δόξας»[35]. Σκέψου πόσο μεγάλους κινδύνους, ναυάγια, ἀλλεπάλληλες θλίψεις καὶ τὰ ὅμοια μ' αὐτὰ τὰ ὀνομάζει πράγματα ἐλαφρά· καὶ προσπάθησε νὰ μιμηθῆς τὸν ἀδάμαντα αὐτόν, ποὺ φέρει τὸ σῶμα αὐτὸ ἔτσι ἁπλῶς καὶ στὴν τύχη. Εἶσαι φτωχός; Ὄχι ὅμως τόσο φτωχός, ὅσο ἦταν ὁ Παῦλος, ποὺ δοκιμάσθηκε καὶ μὲ πεῖνα καὶ μὲ δίψα καὶ μὲ γυμνότητα· διότι δὲν τὸ ἔπαθε αὐτὸ μία ἡμέρα, ἀλλὰ τὸ ὑπέμεινε σ' ὅλη του τὴ ζωή.

Ἀπὸ ποῦ γίνεται αὐτὸ φανερό; Ἄκουσε αὐτὸν ποὺ λέγει· «μέχρι αὐτὴ τὴν ὥρα ποὺ σᾶς γράφω καὶ πεινοῦμε καὶ διψοῦμε καὶ δὲν ἔχουμε ἀρκετὰ ροῦχα»[36]. Πώ, πώ, πόσα πολλὰ ὑπέμενε, αὐτὸς ποὺ τόσο πολὺ δοξάσθηκε στὸ κήρυγμα, ἂν καὶ ἦταν εἴκοσι ἐτῶν, ὅταν τὰ ἔγραφε αὐτά! Διότι λέγει· «γνωρίζω ἄνθρωπο, ὁ ὁποῖος πρὶν δεκατέσσερα χρόνια, εἴτε ἦταν μέσα στὸ σῶμα του, εἴτε ἐκτὸς σώματος, δὲν γνωρίζω»[37]· καὶ πάλι λέγει· «μετὰ τρία ἔτη ἀνέβηκα στὰ Ἱεροσόλυμα»[38]. Καὶ πάλι ἄκουσε τὸν ἴδιο ποὺ λέγει· «προτιμῶ νὰ πεθάνω μᾶλλον παρὰ κάποιος νὰ μοῦ ἀφαιρέση αὐτὸ γιὰ τὸ ὁποῖο

τὸ καύχημά μου ἵνα τις κενώσῃ». Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ πάλιν γράφων ἔλεγεν· «ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν». Τί λιμοῦ χαλεπώτερον; τί κρυμοῦ; τί τῶν ἐπιβουλῶν τῶν παρὰ ἀδελφῶν; οὓς ψευδαδέλφους λοιπὸν καλεῖ. Οὐχὶ λυμεὼν
5 *ἐκαλεῖτο τῆς οἰκουμένης; οὐχὶ ἀπατεών; οὐχὶ ἀνατροπεύς; οὐχὶ κατεκόπτετο μαστιζόμενος;*

Ταῦτα ἐν νῷ λάβωμεν, ἀγαπητοί, ταῦτα ἀναλογιζώμεθα, ταῦτα μνημονεύωμεν, καὶ οὐδέποτε ἐκλυθησόμεθα, κἂν ἀδικώμεθα, κἂν ἁρπαζώμεθα, κἂν μυρία πάσχωμεν κακά. Γένοιτο τὰ ἐν
10 *τοῖς οὐρανοῖς ἡμᾶς εὐδοκιμεῖν, καὶ πάντα φορητά· γένοιτο εὖ πράττειν ἐκεῖ, καὶ τῶν ἐνταῦθα λόγος οὐδείς. Σκιὰ ταῦτά ἐστι καὶ ὄναρ· οἷα ἂν εἴη, ἐλπιζομένων ἐκείνων καὶ προσδοκωμένων, οὐδέν ἐστι τῶν δεινῶν οὔτε τῇ φύσει, οὔτε τῷ χρόνῳ. Τί γὰρ βούλει πρὸς τὰ δεινὰ ἐκεῖνα παραβάλωμεν; τί πρὸς τὸ πῦρ τὸ ἄσβεστον, πρὸς τὸν*
15 *σκώληκα τὸν ἀτελεύτητον; τί δυνήσῃ ἴσον εἰπεῖν τῶν ἐνταῦθα πρὸς τὸν βρυγμὸν τῶν ὀδόντων, πρὸς τὰ δεσμά, πρὸς τὸ σκότος τὸ ἐξώτερον, πρὸς τὴν ὀργήν, πρὸς τὴν θλῖψιν, πρὸς τὴν στενοχωρίαν; Ἀλλὰ τῷ χρόνῳ; Καὶ τί μυρία ἔτη πρὸς ἀπείρους αἰῶνας καὶ ἀτελευτήτους; Οὐχ ὅσον μικρὰ σταγὼν πρὸς ἄβυσσον ἄπειρον;*
20 *Ἀλλὰ πρὸς τὰ ἀγαθά; Ἀλλ' ἐκεῖ μείζων ἡ ὑπερβολή· «ὀφθαλμὸς οὐκ εἶδε», φησίν, «οὖς οὐκ ἤκουσεν, ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». Καὶ ταῦτα ἔσται πάλιν ἐν ἀπείροις αἰῶσιν. Ὑπὲρ τούτων οὖν κατακοπῆναι μυριάκις οὐ καλόν, ἀναιρεθῆναι, κατακαῆναι, μυρίους ὑποστῆναι θανάτους, πᾶν ὁτιοῦν ὑπομεῖναι δεινὸν καὶ λόγῳ*
25 *καὶ ἔργῳ; Εἰ γὰρ ἐν πυρὶ ζῆν κατακαιόμενον ἦν, οὐκ ἔδει πάντα ὑπομένειν ὑπὲρ τοῦ τυχεῖν τῶν ἐπηγγελμένων ἐκείνων ἀγαθῶν;*

Ἀλλὰ τί λέγω ταῦτα ληρῶν πρὸς ἀνθρώπους οὐδὲ χρημάτων καταφρονῆσαι αἱρουμένους, ἀλλ' ὡς ἀθανάτων αὐτῶν ἐχομένους, κἂν μικρὰ ἐκ πολλῶν δῶσι, τὸ πᾶν νομίζοντας ἠνυκέναι; Οὐκ ἔστι
30 *τοῦτο ἐλεημοσύνη· ἐλεημοσύνη γάρ ἐστιν ἡ τῆς χήρας ἐκείνης, ἥτις*

39. Α' Κορ. 9,15.
40. Α' Κορ. 4,13.
41. Α' Κορ. 2,9.

καυχῶμαι»[39]. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ πάλι γράφοντας ἔλεγε· «γίναμε σὰν σκουπίδια τοῦ κόσμου»[40]. Τί εἶναι φοβερώτερο ἀπὸ τὴν πεῖνα; τί ἀπὸ τὸν παγετό; τί ἀπὸ τὶς ἐπιβουλὲς ποὺ προέρχονται ἀπὸ τοὺς ἀδελφούς; τοὺς ὁποίους βέβαια καλεῖ ψευδαδέλφους. Δὲν τὸν ἀποκαλοῦσαν καταστροφέα τῆς οἰκουμένης; δὲν τὸν ἔλεγαν ἀπατεῶνα; ἐπαναστάτη; δὲν καταξεσχιζόταν ὅταν τὸν μαστίγωναν;

Αὐτὰ ἂς τὰ φέρνουμε στὸ μυαλό μας, ἀγαπητοί, αὐτὰ ἂς τὰ σκεφτώμαστε, αὐτὰ ἂς τὰ μνημονεύουμε, καὶ ποτὲ δὲν θὰ ἀπογοητευθοῦμε, κι' ἂν μᾶς ἀδικοῦν, κι' ἂν μᾶς ἁρπάζουν τὴν περιουσία, κι' ἂν ὑποφέρουμε μύρια κακά. Εὔχομαι νὰ εὐδοκιμοῦμε στὰ ἀγαθὰ ποὺ ὑπάρχουν στοὺς οὐρανούς, καὶ ὅλα τὰ ἄλλα εἶναι ὑποφερτά· μακάρι τὰ ἔργα μας νὰ εἶναι ἀνάλογα μὲ ἐκεῖνα, καὶ γιὰ τὰ ἐδῶ δὲν γίνεται λόγος κανένας. Σκιὰ καὶ ὄνειρο εἶναι αὐτά· ὅποια κι' ἂν εἶναι, μπροστὰ σ' ἐκεῖνα ποὺ ἐλπίζουμε καὶ προσδοκοῦμε ν' ἀπολαύσουμε, τίποτε δὲν εἶναι αὐτὰ τὰ δεινά, οὔτε ὡς πρὸς τὴ φύσι, οὔτε ὡς πρὸς τὸν χρόνο τῆς διάρκειάς τους. Διότι τί θέλεις ν' ἀντιπαραβάλουμε πρὸς τὰ δεινὰ τῆς ἄλλης ζωῆς; τί πρὸς τὸ ἄσβεστο πῦρ, τὸ αἰώνιο σκωλήκι; Ποιό μαρτύριο αὐτῆς τῆς ζωῆς θὰ μποροῦσες νὰ παραβάλλης μὲ τὸ τρίξιμο τῶν δοντιῶν, μὲ τὰ δεσμά, μὲ τὸ σκοτάδι τὸ ἀτέλειωτο, μὲ τὴν ὀργή, μὲ τὴν θλῖψι, μὲ τὴ στενοχώρια τῆς ἄλλης ζωῆς; Ἀλλὰ καὶ ὡς πρὸς τὸν χρόνο; Τί εἶναι μύρια ἔτη μπροστὰ στὴν αἰωνιότητα; Δὲν εἶναι σὰν μιὰ μικρὴ σταγόνα στὸν ἀπέραντο ὠκεανό; Καὶ ὡς πρὸς τὰ ἀγαθά; Ἀλλ' ἐκεῖνα εἶναι ὑπερβολικὰ μεγαλύτερα· διότι λέγει, «ὀφθαλμὸς δὲν τὰ εἶδε, καὶ αὐτὶ δὲν τὰ ἄκουσε, καὶ ἀνθρώπινος νοῦς δὲν τὰ φαντάσθηκε»[41]. Καὶ ὅλα αὐτὰ πάλι θὰ ὑπάρχουν στοὺς ἄπειρους αἰῶνες. Πρὸς χάριν τους λοιπὸν δὲν ἀξίζει μύριες φορὲς νὰ κατακομματιασθοῦμε, νὰ φονευθοῦμε, νὰ κατακαοῦμε, νὰ ὑπομείνουμε μύριους θανάτους, καὶ ὁτιδήποτε ἄλλο φοβερὸ νὰ ὑπομείνουμε μὲ λόγια καὶ μὲ ἔργα; Διότι, ἂν χρειαζόταν νὰ ζοῦμε κατακαιόμενοι μέσα στὸ πῦρ, δὲν ἔπρεπε νὰ τὰ ὑπομείνουμε ὅλα, προκειμένου νὰ κερδίσουμε τὰ ἀγαθὰ ἐκεῖνα ποὺ μᾶς ἔχει ὑποσχεθῆ;

Ἀλλὰ γιατί τὰ λέγω αὐτὰ φλυαρώντας πρὸς ἀνθρώπους ποὺ δὲν δέχονται νὰ περιφρονήσουν οὔτε τὰ χρήματα, ἀλλὰ σὰν νὰ εἶναι ἀθάνατοι, κι' ἂν ἐλάχιστα δώσουν ἀπὸ τὰ πολλὰ ποὺ ἔχουν, νομίζουν ὅτι κατώρθωσαν τὸ πᾶν; Δὲν εἶναι αὐτὸ ἐλεημοσύνη· διότι

τὸν βίον αὐτῆς πάντα ἐκένωσεν. Εἰ δὲ οὐ χωρεῖς τοσοῦτον ὅσον ἡ χήρα καταβαλεῖν, ἀλλὰ κἂν τὸ περίσσευμα ὅλον κατάβαλε· ἔχε τὰ ἀρκοῦντα, μὴ τὰ περιττά. Ἀλλ' οὐδείς ἐστιν οὐδὲ τὸ περίσσευμα καταβάλλων· ἕως γὰρ ἂν ἔχῃς οἰκέτας πολλοὺς καὶ ἱμάτια σηρικά, πάντα ταῦτα περιττεύματά ἐστιν. Οὐδὲν ἀναγκαῖον οὐδὲ τῆς χρείας, ὧν ἄνευ δυνάμεθα ζῆν· ταῦτα περιττὰ καὶ ἁπλῶς ἔξω πρόσκειται. Τίνος οὖν ἄνευ οὐ δυνάμεθα ζῆν ἴδωμεν, εἰ δοκεῖ. Κἂν δύο μόνους ἔχωμεν οἰκέτας, δυνάμεθα ζῆν· ὅπου γάρ εἰσί τινες χωρὶς οἰκετῶν ζῶντες, ποίαν ἡμεῖς ἔχομεν ἀπολογίαν, τοῖς δύο οὐκ ἀρκούμενοι; Δυνάμεθα καὶ ἐκ πλίνθων ἔχειν οἰκίαν τριῶν οἰκημάτων· καὶ τοῦτο ἀρκεῖ ἡμῖν. Εἰπὲ γάρ μοι, οὐκ εἰσί τινες μετὰ παίδων καὶ γυναικὸς ἕνα οἶκον ἔχοντες; Ἔστωσαν δέ, εἰ βούλει, καὶ παῖδες δύο.

Καὶ πῶς οὐκ αἰσχύνη, φησίν, ἐστὶ τὸ μετὰ δύο οἰκετῶν τὴν ἐλευθέραν βαδίζειν; Ἄπαγε, οὐκ ἔστι τοῦτο αἰσχύνη, μετὰ δύο οἰκετῶν τὴν ἐλευθέραν βαδίζειν, ἀλλ' αἰσχύνη ἐστὶ τὸ μετὰ πολλῶν προϊέναι. Ὥσπερ οἱ προβατοπῶλαι, ἢ ὥσπερ οἱ τῶν ἀνδραπόδων οἱ κάπηλοι, οὕτω μέγα τι ἡγεῖσθε τὸ μετὰ πλειόνων οἰκετῶν προϊέναι. Τῦφος τοῦτο καὶ κενοδοξία· ἐκεῖνο φιλοσοφία καὶ σεμνότης. Τὴν γὰρ ἐλευθέραν οὐκ ἀπὸ τοῦ πλήθους τῶν ἀκολούθων φαίνεσθαι δεῖ· ποία γὰρ ἀρετὴ ἀνδράποδα ἔχειν πολλά; Τοῦτο οὐκ ἔστι ψυχῆς· ὅπερ δὲ οὐκ ἔστι ψυχῆς, οὐ δείκνυσιν ἐλευθέραν. Ὅταν ὀλίγοις ἀρκῆται, τότε ἐστὶν ἐλευθέρα ὄντως· ὅταν δὲ πολλῶν δέηται, δούλη ἐστὶ καὶ ἀνδραπόδων χείρων.

5\. *Εἰπέ μοι, οἱ ἄγγελοι οὐχὶ μόνοι περιπολοῦσι τὴν οἰκουμένην καὶ οὐ δέονται οὐδενὸς τοῦ ἑψομένου; Ἆρ' οὖν διὰ τοῦτο χείρους ἡμῶν εἰσι τῶν δεομένων οἱ μὴ δεόμενοι; Εἰ τοίνυν τὸ μηδὲ ὅλως δεῖσθαι ἀκολούθου, ἀγγελικόν, τίς τοῦ ἀγγελικοῦ βίου ἐγγύς, ἡ πολλῶν δεομένη, ἢ ἡ ὀλίγων; Οὐκ ἔστι τοῦτο αἰσχύνη; αἰσχύνη γὰρ*

ἐλεημοσύνη εἶναι τῆς χήρας ἐκείνης, ἡ ὁποία πρόσφερε ὅλη της τὴν περιουσία. Ἀλλά, ἐὰν δὲν μπορῆς νὰ καταβάλης τόσα πολλά, ὅσα ἡ χήρα ἐκείνη, τοὐλάχιστο πρόσφερε ὅλο τὸ περίσσευμά σου· κράτα αὐτὰ ποὺ σοῦ χρειάζονται, μὴν κρατᾶς τὰ περιττά. Ἀλλὰ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ καταβάλλη τὸ περίσσευμά του· διότι, ἐφ' ὅσον ἔχεις ὑπηρέτες πολλοὺς καὶ ἐνδύματα μεταξωτά, ὅλα αὐτὰ εἶναι περιττά. Τίποτε δὲν εἶναι ἀπαραίτητο, οὔτε ἀναγκαῖο καὶ χωρὶς αὐτὰ μποροῦμε νὰ ζοῦμε· αὐτὰ εἶναι περιττὰ καὶ ἁπλῶς ἐξωτερικὰ πράγματα. Ἂς ἐξετάσουμε λοιπόν, ποιό εἶναι ἐκεῖνο χωρὶς τὸ ὁποῖο δὲν μποροῦμε νὰ ζήσουμε. Κι' ἂν ἀκόμη ἔχουμε μόνο δύο ὑπηρέτες μποροῦμε νὰ ζοῦμε· πράγματι, ὅταν ὑπάρχουν κάποιοι ποὺ ζοῦν χωρὶς ὑπηρέτες, τί θὰ μπορούσαμε νὰ ποῦμε ἐμεῖς ποὺ δὲν ἀρκούμαστε στοὺς δύο; Μποροῦμε νὰ ἔχουμε σπίτι καὶ ἀπὸ πλίνθους μὲ τρία οἰκήματα· καὶ αὐτὸ μᾶς ἀρκεῖ· διότι πές μου, δὲν ὑπάρχουν μερικοὶ μὲ παιδιὰ καὶ γυναῖκα ποὺ ἔχουν ἕνα σπίτι; Ἂς ὑπάρχουν ὅμως, ἐὰν θέλης, καὶ δύο ὑπηρέτες.

Καὶ πῶς δὲν εἶναι ντροπή, λέγει, νὰ βαδίζη ἡ ἐλεύθερη μὲ δύο ὑπηρέτες; Μὴν τὸ ξαναπῆς· δὲν εἶναι αὐτὸ ντροπή, τὸ νὰ βαδίζη ἡ ἐλεύθερη μὲ δύο ὑπηρέτες, ἀλλὰ τὸ νὰ συνοδεύεται ἀπὸ πολλοὺς ἀκολούθους εἶναι ντροπή. Ἴσως γελᾶτε μ' αὐτὰ ποὺ ἀκοῦτε. Πιστέψτε, αὐτὸ εἶναι ντροπή, τὸ νὰ βαδίζης μὲ πολλοὺς ἀκολούθους. Ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ πουλοῦν πρόβατα, ἢ ἐκεῖνοι ποὺ πουλοῦν δούλους, ἔτσι νομίζετε ὅτι εἶναι κάτι σπουδαῖο τὸ νὰ βαδίζετε μὲ πολλοὺς ὑπηρέτες. Αὐτὸ εἶναι ὑπερηφάνεια καὶ κενοδοξία· ἐνῶ τὸ ἄλλο σύνεσις καὶ σεμνότης. Ἡ εὐγένεια δὲν φαίνεται ἀπὸ τὸ πλῆθος τῶν δούλων· διότι ποιά ἀρετὴ ἔχει πολλοὺς δούλους; Αὐτὸ δὲν εἶναι χαρακτηριστικὸ τῆς ψυχῆς· καὶ ὅ,τι δὲν ἀνήκει στὴν ψυχή, δὲν τὴν κάνει ἐλεύθερη. Ὅταν ἡ ψυχὴ ἀρκῆται στὰ λίγα, τότε εἶναι πραγματικὰ ἐλεύθερη· ἐνῶ ὅταν χρειάζεται πολλά, τότε εἶναι σκλάβα καὶ χειρότερη ἀπὸ τοὺς σκλάβους.

5. Πές μου, οἱ ἄγγελοι δὲν περιφρουροῦν μόνοι τους τὴν οἰκουμένη, χωρὶς νὰ χρειάζωνται κανέναν ἀκόλουθο; Ἄρα λοιπὸν ἐξ αἰτίας αὐτοῦ εἶναι κατώτεροι ἀπὸ ἐμᾶς ποὺ ἔχουμε ἀνάγκη, ἐκεῖνοι ποὺ δὲν ἔχουν ἀνάγκη; Ἐὰν λοιπὸν εἶναι ἀγγελικὸ τὸ νὰ μὴ ἔχη κανεὶς ἀνάγκη ἀκολούθου, ποιός εἶναι πιὸ κοντὰ στὴν ἀγγελικὴ ζωή, ἐκείνη ποὺ χρειάζεται πολλούς, ἢ αὐτὴ ποὺ χρειάζεται λίγους ὑπη-

ἐστι τὸ ἄτοπόν τι πρᾶξαι. Εἰπέ μοι, τίς ἐπιστρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ πολλοὺς ἐπαγομένη, ἢ ἡ ὀλίγους; Ταύτης δὲ τῆς ὀλίγους ἐπαγομένης, οὐχὶ ἡ μόνη μᾶλλον ἀπρόοπτος φαινομένη; Ὁρᾷς ὅτι ἐκεῖνό ἐστιν αἰσχύνη; Τίς ἐπιστρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ τὰ καλὰ φοροῦσα ἱμάτια, ἢ ἡ ἁπλῶς περικειμένη καὶ ἀνεπιτηδεύτως; Τίς πάλιν ἐπιστρέφει τοὺς ἐπ' ἀγορᾶς, ἡ ἐπὶ ἡμιόνων φερομένη καὶ χρυσοπάστων παραπετασμάτων, ἢ ἡ ἁπλῶς καὶ ὡς ἔτυχε μετὰ κοσμιότητος βαδίζουσα; Ἢ ταύτην μὲν οὐδὲν ὁρῶμεν κἂν ἴδωμεν, ἐκείνην δὲ οὐ μόνον ἰδεῖν βιάζονται οἱ πολλοί, ἀλλὰ καὶ ἐρωτῶσι, τίς εἴη, καὶ πόθεν; Καὶ παρίημι λέγειν ὅσος ὁ φθόνος ἐντεῦθεν τίκτεται.

Τί οὖν, εἰπέ μοι, αἰσχρὸν ὁρᾶσθαι ἢ μὴ ὁρᾶσθαι; Πότε μεῖζον ἡ αἰσχύνη, ὅταν πάντες εἰς αὐτὴν βλέπωσιν, ἢ ὅταν μηδείς; Ὅταν μανθάνωσι περὶ αὐτῆς, ἢ ὅταν μηδὲ φροντίζωσιν; Ὁρᾷς ὅτι οὐ δι' αἰσχύνην, ἀλλὰ διὰ κενοδοξίαν πάντα πράττομεν; Πλὴν ἀλλ' ἐπειδὴ τούτου ἀδύνατον ὑμᾶς ἀπαγαγεῖν, ἀρκεῖ μοι τέως τὸ μαθεῖν ὑμᾶς, ὅτι οὐκ ἔστι τοῦτο αἰσχύνη. Ἁμαρτία μόνη αἰσχύνη ἐστίν, ἣν οὐδεὶς εἶναι νομίζει αἰσχύνην, ἀλλὰ πάντα μᾶλλον ἢ ταύτην. Ἱμάτια ἔστω τὰ τῆς χρείας, μὴ περιττά· πλὴν ἀλλ' ἵνα μὴ εἰς πολλὴν στενοχωρίαν ὑμᾶς κατακλείσωμεν, ἐκεῖνο παρεγγυῶ, ὅτι χρυσοπάστων ἡμῖν οὐ δεῖ, οὐδὲ λεπτῶν ὀθονίων. Καὶ ταῦτα οὐκ ἐγὼ λέγω· ὅτι γὰρ οὐκ ἐμά ἐστι τὰ ῥήματα, ἄκουε τοῦ μακαρίου Παύλου λέγοντος, καὶ παρεγγυῶντος ταῖς γυναιξί «κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ». Ἀλλὰ ποταπῷ βούλει, ὦ Παῦλε, εἰπέ· ἴσως γὰρ ἐροῦσιν, ὅτι τὰ χρυσᾶ μόνα ἐστὶ πολυτελῆ, τὰ δὲ σηρικὰ οὐ πολυτελῆ· εἰπὲ ποταπῷ βούλει. «Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις», φησίν, «ἀρκεσθησόμεθα». Τοιοῦτον ἔστω τὸ ἱμάτιον, φησίν, ὥστε σκέπειν μόνον. Διὰ γὰρ τοῦτο ἔδωκεν ἡμῖν αὐτὰ ὁ Θεός, ἵνα σκέπωμεν τὴν γυμνότητα· τοῦτο δὲ οἱονδήποτε ἱμάτιον ποιῆσαι δύναται εὐτελοῦς ὂν τιμῆς.

42. Α' Τιμ. 2,9.
43. Α' Τιμ. 6,8.

ρέτες; Δὲν εἶναι ντροπὴ αὐτό· ντροπὴ εἶναι τὸ νὰ ἐνεργῆς παράλογα. Πές μου, ποιά ἐπισύρει τὰ βλέμματα αὐτῶν ποὺ βρίσκονται στὴν ἀγορά, αὐτὴ ποὺ φέρνει μαζί της πολλοὺς δούλους, ἢ αὐτὴ ποὺ φέρνει λίγους; Καὶ ἀπὸ αὐτὴν ποὺ ἀκολουθεῖται ἀπὸ λίγους δούλους, δὲν φαίνεται περισσότερο ἀξιοπρεπὴς αὐτὴ ποὺ βαδίζει μόνη της; Βλέπεις λοιπὸν ὅτι ἐκεῖνο εἶναι ντροπή; Ποιά ἐπισύρει τὰ βλέμματα τῶν ἀνθρώπων τῆς ἀγορᾶς, αὐτὴ ποὺ φοράει πολυτελῆ ἐνδύματα, ἢ αὐτὴ ποὺ εἶναι ἁπλᾶ καὶ ἀνεπιτήδευτα ντυμένη; Ποιά πάλι ἐπισύρει τὰ βλέμματα τῶν ἀνθρώπων τῆς ἀγορᾶς, αὐτὴ ποὺ φέρεται ἐπάνω σὲ ἡμιόνους καὶ ἐπίχρυσα παραπετάσματα, ἢ αὐτὴ ποὺ βαδίζει ἁπλᾶ καὶ σεμνά; ἢ αὐτὴν κι' ἂν τὴν δοῦμε δὲν τὴν προσέχουμε, ἐνῶ ἐκείνην, ὄχι μόνο βιάζονται οἱ πολλοὶ νὰ τὴν δοῦν, ἀλλὰ καὶ ρωτοῦν νὰ μάθουν ποιά εἶναι καὶ ἀπὸ ποῦ προέρχεται; Καὶ παραλείπω νὰ πῶ πόσος φθόνος ἀπὸ ἐδῶ γεννᾶται.

Τί λοιπόν, πές μου, εἶναι ντροπὴ τὸ νὰ σὲ βλέπουν ἢ νὰ μὴν σὲ βλέπουν; Πότε εἶναι μεγαλύτερη ἡ ντροπή, ὅταν ὅλοι τὴν προσέχουν ἢ ὅταν κανεὶς δὲν τὴν προσέχη; Ὅταν μαθαίνουν γι' αὐτὴν ἢ ὅταν δὲν φροντίζουν νὰ μάθουν; Βλέπεις ὅτι ὅλα τὰ κάνουμε ὄχι ἀπὸ ντροπὴ ἀλλὰ ἀπὸ κενοδοξία; Ἀλλ' ὅμως, ἐπειδη εἶναι ἀδύνατο νὰ σᾶς ἐμποδίσω ἀπὸ ἕνα τέτοιο φέρσιμο, μοῦ εἶναι ἀρκετὸ τὸ νὰ μάθετε πρῶτα, ὅτι αὐτὸ δὲν εἶναι ντροπή. Ἡ ἁμαρτία μόνο φέρνει ντροπή, πρᾶγμα ποὺ κανεὶς δὲν τὸ θεωρεῖ ντροπή, ἀλλ' ὅλα τὰ ἄλλα τὰ θεωρεῖ ντροπή, ἐκτὸς ἀπὸ αὐτήν. Ἂς ὑπάρχουν τὰ ἀπαραίτητα ροῦχα, ὄχι τὰ περιττά. Ἀλλὰ γιὰ νὰ μὴν σᾶς στενοχωρήσω ὑπερβολικά, ἐκεῖνο σᾶς λέγω μὲ βεβαιότητα, ὅτι δὲν μᾶς χρειάζονται χρυσοΰφαντα, οὔτε λεπτὰ λινὰ ὑφάσματα. Καὶ αὐτὰ δὲν σᾶς τὰ λέγω ἐγώ. Καὶ ὅτι δὲν εἶναι δικά μου λόγια, ἄκουε τί λέγει ὁ μακάριος Παῦλος· συμβουλεύει τὶς γυναῖκες «νὰ στολίζωνται ὄχι μὲ φιλάρεσκα πλεξίματα μαλλιῶν, ἢ μὲ χρυσᾶ ἢ μαργαριταρένια κοσμήματα ἢ μὲ ροῦχα πολυτελῆ»[42]. Ἀλλὰ πῶς θέλεις, Παῦλε, νὰ στολίζωνται, πές. Διότι ἴσως ποῦν, ὅτι μόνο τὰ χρυσᾶ εἶναι πολυτελῆ, ἐνῶ τὰ μεταξωτὰ δὲν εἶναι. Πές, πῶς θέλεις. «Ἐφ' ὅσον ἔχουμε τροφὲς καὶ σκεπάσματα, σ' αὐτά», λέγει, «ἂς ἀρκεσθοῦμε»[43]. Τέτοιο, λέγει, ἂς εἶναι τὸ ἱμάτιο, ὥστε νὰ σκεπάζη μόνο. Διότι γι' αὐτὸ μᾶς τὰ ἔδωσε ὁ Θεός, γιὰ νὰ σκεπάζουμε τὴν γύμνια μας· καὶ αὐτὸ μπορεῖ νὰ τὸ κάνη ὁποιοδήποτε ἔνδυμα, ὅσο φθηνὸ κι' ἂν εἶναι.

Τάχα γελᾶτε, αἱ τὰ σηρικὰ φοροῦσαι ἱμάτια· γελάσαι γὰρ ὄντως χρή. Τί μὲν Παῦλος ἐπέταξε; τί δὲ ἡμεῖς πράττομεν; Οὐ πρὸς τὰς γυναῖκας δέ μοι ὁ λόγος μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἄνδρας. Πάντα γὰρ τὰ λοιπά, ἅπερ ἔχομεν, περιττά· μόνοι οἱ πένητες οὐ πε-
5 *ριττὰ κέκτηνται· τάχα δὲ κἀκεῖνοι δι' ἀνάγκην, ὡς, εἴγε ἐξῆν, οὐκ ἂν οὐδὲ ἐκεῖνοι ἀπέσχοντο. Πλὴν ἀλλ', εἴτε προφάσει, εἴτε ἀληθείᾳ, τέως ἐκεῖνοι τὰ περιττὰ οὐκ ἔχουσι. Τοιαῦτα τοίνυν φορῶμεν ἱμάτια, τὰ τὴν χρείαν πληροῦντα. Τί γὰρ βούλεται ὁ πολὺς χρυσός; Τοῖς ἐπὶ σκηνῆς ταῦτα ἁρμόττει, ταῦτα ἐκείνων τὰ φρονήματα,*
10 *πορνῶν ἐστι γυναικῶν, πάντα πρὸς τὸ θεαθῆναι ποιουσῶν. Καλλωπιζέσθω ἐκείνη ἡ ἐπὶ τῆς σκηνῆς, ἡ ἐπὶ τῆς ὀρχήστρας· πάντας γὰρ βούλεται πρὸς ἑαυτὴν ἐπισπάσασθαι· ἡ δὲ ἐπαγγελλομένη θεοσέβειαν, μὴ οὕτω καλλωπιζέσθω, ἀλλὰ ἑτέρως ἔχει καλλωπισμὸν πολὺ ἐκείνης μείζονα.*

15 *Ἔχεις καὶ σὺ θέατρον· πρὸς ἐκεῖνο καλλωπίζου τὸ θέατρον, ἐκεῖνον περιτίθεσο τὸν κόσμον. Ποῖόν σού ἐστι τὸ θέατρον; Ὁ οὐρανός, ὁ τῶν ἀγγέλων δῆμος· οὐχὶ τῶν παρθένων λέγω μόνον, ἀλλὰ καὶ τῶν κοσμικῶν· πᾶσαι, ὅσαι τῷ Χριστῷ πιστεύουσιν, ἐκεῖνο ἔχουσι τὸ θέατρον. Τοιαῦτα φθεγγώμεθα, ἵνα ἐκείνους τέρ-*
20 *πωμεν τοὺς θεατάς· τοιαῦτα περιτίθεσο, ἵνα ἐκείνους εὐφράνης. Εἰπὲ γάρ μοι, ἐὰν ἡ πόρνη γυνὴ ἀφεῖσα τὰ χρυσία καὶ τὰ ἱμάτια καὶ τὸν γέλωτα καὶ τὰ ῥήματα τὰ ἀστεῖα καὶ τὰ αἰσχρά, εὐτελεῖς ἱμάτιον περιβάληται καὶ ἀνεπιτηδεύτως συνθεῖσα ἑαυτὴν εἰσέλθῃ καὶ θεοσεβῆ φθέγγηται ῥήματα καὶ περὶ σωφροσύνης διαλέγηται καὶ*
25 *μηδὲν αἰσχρὸν λέγῃ, οὐχὶ ἀναστήσονται πάντες; οὐχὶ διαλυθήσεται τοῦτο τὸ θέατρον; οὐχὶ ἐκβαλοῦσιν αὐτήν, ὡς οὐκ εἰδυῖαν ἁρμόσασθαι τῷ δήμῳ καὶ ἀλλότρια λέγουσαν τοῦ θεάτρου ἐκείνου τοῦ σατανικοῦ; Οὕτω καὶ σύ, ἐὰν τὰ ἐκείνης περιθεμένη εἰς τὸ τῶν οὐρανῶν θέατρον εἰσέλθῃς, ἐκβαλοῦσί τε οἱ θεαταί. Ἐκεῖ γὰρ οὐ τῶν*
30 *χρυσῶν ἱματίων χρεία τούτων, ἀλλ' ἑτέρων. Ποίων; Οἵων ὁ προφήτης φησίν· «ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμέ-*

44. Ψαλμ. 44,14.

Ἴσως γελᾶτε ἐσεῖς ποὺ φορᾶτε μεταξωτὰ ἐνδύματα· πρέπει πράγματι νὰ γελάσετε. Τί παρήγγειλε ὁ Παῦλος καὶ τί κάνουμε ἐμεῖς; Καὶ δὲν ἀπευθύνομαι μόνο στὶς γυναῖκες, ἀλλὰ καὶ στοὺς ἄνδρες. Καθόσον ὅλα τὰ ἄλλα, ὅσα ἔχουμε, εἶναι περιττά· μόνο οἱ φτωχοὶ δὲν ἔχουν περιττὰ πράγματα. Ἴσως ὅμως κι' ἐκεῖνοι δὲν τὰ ἔχουν ἀπὸ ἀνάγκη, διότι οὔτε ἐκεῖνοι θὰ τὰ ἀπέφευγαν, ἐὰν βέβαια μποροῦσαν νὰ τὰ ἔχουν. Ἀλλ' ὅμως, εἴτε ἔτσι εἴτε ἀλλιῶς, μέχρι τώρα ἐκεῖνοι δὲν ἔχουν περιττὰ πράγματα. Ἂς φοροῦμε λοιπὸν τέτοια ἐνδύματα ποὺ ἐξυπηρετοῦν τὴν ἀνάγκη μας. Τί χρειάζεται ὁ πολὺς χρυσός; Αὐτὰ ἁρμόζουν στοὺς ἠθοποιούς, αὐτὰ εἶναι δικά τους στολίδια, εἶναι τῶν πορνῶν γυναικῶν, ὁ ὁποῖες ὅλα τὰ κάνουν γιὰ νὰ ἐπισύρουν τὰ βλέμματα τῶν ἄλλων. Ἂς καλλωπίζεται ἐκείνη ποὺ βρίσκεται ἐπάνω στὴ σκηνή, ἐκείνη ποὺ εἶναι στὴν ὀρχήστρα· διότι ἐκείνη θέλει ὅλους νὰ τοὺς προσελκύσῃ· ἐνῶ αὐτὴ ποὺ παρουσιάζεται ὡς θεοσεβής, ἂς τὰ ἀποφεύγῃ αὐτά, διότι ἔχει ἄλλον καλλωπισμὸ πολὺ μεγαλύτερο ἀπὸ ἐκείνης.

Ἔχεις κι' ἐσὺ θέατρο· νὰ καλλωπίζεσαι γιὰ ἐκεῖνο τὸ θέατρο, φόρεσε ἐκεῖνον τὸν στολισμό. Ποιό εἶναι τὸ θέατρό σου; Ὁ οὐρανός, ὁ δῆμος τῶν ἀγγέλων. Δὲν τὰ λέγω αὐτὰ μόνο γιὰ τὶς παρθένες, ἀλλὰ καὶ γιὰ τὶς κοσμικές· ὅλες, ὅσες πιστεύουν στὸν Χριστό, ἔχουν ἐκεῖνο τὸ θέατρο. Ἂς λέμε τέτοια λόγια, γιὰ νὰ εὐχαριστοῦμε ἐκείνους τοὺς θεατές· ντύσου μὲ τέτοια ἐνδύματα, γιὰ νὰ εὐφράνῃς ἐκείνους. Διότι πές μου, ἐὰν ἡ πόρνη γυναῖκα, ἐγκαταλείποντας τὰ χρυσᾶ κοσμήματα καὶ τὰ ἐνδύματα καὶ τὰ θορυβώδη γέλια καθὼς καὶ τὰ λόγια τὰ ἀστεῖα καὶ τὰ αἰσχρά, φορέσῃ εὐτελὲς ἔνδυμα καί, ἀφοῦ ἑτοιμασθῇ χωρὶς ἐπιτήδευσι, παρουσιασθῇ στὴ σκηνὴ καὶ λέγῃ δυνατὰ καὶ καθαρὰ λόγια θεοσεβῆ καὶ συζητᾷ γιὰ σωφροσύνη, χωρὶς νὰ λέγῃ τίποτε τὸ αἰσχρό, δὲν θὰ σηκωθοῦν ὅλοι; δὲν θὰ διαλυθῇ αὐτὸ τὸ θέατρο; δὲν θὰ τὴν βγάλουν ἔξω, διότι δὲν ξέρει νὰ προσαρμόζῃ τὸν ἑαυτό της στοὺς θεατές, λέγοντας λόγια ξένα, καὶ ποὺ δὲν εἶναι τοῦ θεάτρου ἐκείνου τοῦ σατανικοῦ; Ἔτσι καὶ σύ, ἐὰν εἰσέλθῃς στὸ θέατρο τῶν οὐρανῶν ντυμένη μ' αὐτὰ ποὺ φοράει ἐκείνη, θὰ σὲ διώξουν οἱ θεατές. Διότι ἐκεῖ δὲν χρειάζονται χρυσᾶ ἐνδύματα, ἀλλὰ ἄλλα. Ποιά; Αὐτὰ ποὺ ἀναφέρει ὁ προφήτης· «μὲ κροσσωτὸ χρυσοκέντυτο ἔνδυμα εἶναι περιβεβλημένη καὶ στολισμένη»[44]· ὄχι γιὰ νὰ κάνῃς λευκὸ καὶ λαμπερὸ τὸ σῶμα, ἀλλὰ νὰ

νη»· οὐχ ὥστε τὸ σῶμα λευκὸν ποιῆσαι καὶ ἀποστίλβον, ἀλλ' ὥστε τὴν ψυχὴν καλλωπίσαι· αὕτη γάρ ἐστιν ἡ ἀγωνιζομένη ἐκεῖ καὶ ἀθλοῦσα. «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν», φησί. Ταῦτα περίθου· μυρίων γὰρ καὶ ἄλλων ἀπαλλάττεις σαυτὴν 5 κακῶν, καὶ τὸν ἄνδρα μερίμνης, καὶ σαυτὴν φροντίδος. Οὕτω γὰρ αἰδέσιμος ἔσῃ τῷ ἀνδρί, ὅταν μὴ πολλῶν δέῃ.

6. Πᾶς γὰρ ἄνθρωπος εἴωθεν ἀκκίζεσθαι κατὰ τῶν δεομένων αὐτοῦ· ὅταν δὲ ἴδῃ μὴ χρείαν ἔχοντες, κατασπᾷ τὸ φρόνημα, ὥστε ὁμοτίμως διαλέγεται. Ὅταν ἴδῃ ὁ ἀνὴρ ὅτι οὐ χρείαν αὐτοῦ ἔχεις 10 ἐν οὐδενί, ὅτι καταφρονεῖς τῶν παρ' αὐτοῦ δωρεῶν, κἂν σφόδρα ᾖ φρονιματιῶν, τότε σε αἰδεσθήσεται μᾶλλον, ἢ τὰ χρυσία περικειμένην· καὶ οὐκέτι ἔσῃ αὐτοῦ δούλη. Ὧν γὰρ χρείαν ἔχομεν, ὑποκύπτειν τούτοις ἀναγκαζόμεθα· ἐὰν δὲ ἀποστήσωμεν ἑαυτούς, οὐκέτι ἐσόμεθα ὑπόδικοι, ἀλλ' οἶδεν ὅτι διὰ τὸν τοῦ Θεοῦ φόβον ὑπακοήν 15 τινα ἀπονέμομεν αὐτῷ, οὐ διὰ τὰ παρ' αὐτοῦ. Νῦν μὲν γὰρ ὡς μεγάλα ἡμῖν χαριζόμενος, ὅσης ἂν ἀπολαύσῃ τῆς τιμῆς, οὐχ ἡγεῖται τῆς πάσης ἀπολελαυκέναι· τότε δὲ κἂν μικρᾶς τύχῃ, χάριν ἡγήσεται· οὐκ ὀνειδιεῖ, οὐκ ἀναγκασθήσεται οὐδὲ αὐτὸς πλεονεκτεῖν διὰ σέ. Τί γὰρ ἀλογώτερον τοῦ χρυσία εἰς τοῦτο κατασκευάζειν, ἵνα 20 περικέωνται ἐν βαλανείοις καὶ ἐν ἀγοραῖς; Ἀλλ' ἐν βαλανείοις καὶ ἐν ἀγοραῖς οὐδὲν ἴσως θαυμαστόν· τὸ δὲ καὶ ἐν ἐκκλησίᾳ οὕτω σχηματιζομένην προϊέναι, πολὺς ὁ γέλως.

Τί γὰρ δήποτε εἰσέρχεται χρυσία φοροῦσα ἐνταῦθα, ἡ ὀφείλουσα εἰσελθεῖν, ἵνα ἀκούσῃ κοσμεῖν ἑαυτάς, μὴ χρυσίῳ μηδὲ μαρ-25 γαρίταις, μηδὲ ἱματισμῷ πολυτελεῖ; Τίνος οὖν ἕνεκεν εἰσέρχῃ, ὦ γύναι; Ἆρα ὡς μαχομένη τῷ Παύλῳ καὶ δεικνύουσα ὅτι κἂν μυριάκις ταῦτα λέγῃ, οὐκ ἐπιστρέφῃ; Ἀλλ' ὡς τοὺς διδασκάλους ἡμᾶς ἐλέγξαι βουλομένη μάτην ταῦτα διαλεγομένους; Εἰπὲ γάρ μοι, ἐάν τις Ἕλλην καὶ ἄπιστος ἀκούσας ἀναγινωσκομένου τοῦ 30 χωρίου τούτου, ἔνθα ταῦτα λέγει ὁ μακάριος Παῦλος, παρεγγυῶν ταῖς γυναιξί, μήτε χρυσῷ, μήτε μαργαρίταις, μήτε ἱματισμῷ πολυτελεῖ κοσμεῖν ἑαυτάς, καὶ ἔχων γυναῖκα πιστήν, ἴδῃ ὅτι πολὺν

45. Ψαλμ. 44,14.

καλλωπίσης τὴν ψυχή σου· διότι ἡ ψυχὴ εἶναι αὐτὴ ποὺ ἀγωνίζεται ἐκεῖ καὶ ἀθλεῖται. «Ὅλη ἡ δόξα τῆς θυγάτερας τοῦ βασιλιᾶ προέρχεται ἀπὸ τὸν ἐσωτερικὸ στολισμό»[45], λέγει. Μ' αὐτὰ ντύσου· διότι ἀπαλλάσσεις τὸν ἑαυτό σου καὶ ἀπὸ μύρια ἄλλα κακά, καὶ τὸν ἄνδρα σου ἀπὸ τὴ μέριμνα καὶ τὸν ἑαυτό σου ἀπὸ τὴ φροντίδα. Τόσο πιὸ σεβαστὴ θὰ εἶσαι στὸν ἄνδρα σου, ὅταν δὲν χρειάζεσαι πολλά.

6. Πράγματι κάθε ἄνθρωπος συνηθίζει νὰ κάνη τὸν ἀδιάφορο πρὸς ἐκείνους ποὺ ἔχουν τὴν ἀνάγκη του· ὅταν ὅμως δῆ ὅτι δὲν τὸν χρειάζονται, ἀλλάσσει γνώμη καὶ τοὺς μεταχειρίζεται ὡς ἴσος πρὸς ἴσους. Ὅταν δῆ ὁ ἄνδρας, ὅτι δὲν τὸ χρειάζεσαι σὲ τίποτα, ὅτι περιφρονεῖς τὶς δωρεές του, κι' ἂν ἀκόμη εἶναι ὑπερβολικὰ ὑπερήφανος, τότε περισσότερο θὰ σὲ σεβασθῆ, παρὰ ὅταν εἶσαι ντυμένη μὲ τὰ χρυσᾶ· καὶ δὲν θὰ εἶσαι πιὰ δούλη του. Καθόσον ἀναγκαζόμαστε νὰ ὑποκύπτουμε σ' αὐτοὺς ποὺ χρειαζόμαστε· ἐὰν ὅμως ἀπομακρύνουμε τοὺς ἑαυτούς μας, δὲν θὰ εἴμαστε πιὰ ὑπόδικοι, ἀλλὰ θὰ ξέρη ὁ ἄνδρας ὅτι τοῦ δείχνουμε κάποια ὑπακοὴ ἀπὸ σεβασμὸ πρὸς τὸν Θεό, καὶ ὄχι γι' αὐτὰ ποὺ μᾶς προσφέρει. Διότι τώρα, ἐπειδὴ τάχα μᾶς προσφέρει μεγάλα, ὅση τιμὴ κι' ἂν τοῦ ἀποδώσουμε, νομίζει ὅτι δὲν ἀμείφθηκε ἀρκετά· ἐνῶ τότε, κι' ἂν λίγη ἀπολαύση τιμή, θὰ μᾶς εὐγνωμονῆ. Δὲν θὰ σὲ κατηγορήση, οὔτε θ' ἀναγκασθῆ ἐξ αἰτίας σου νὰ ἀπαιτῆ περισσότερα ἀπὸ ὅσα δικαιοῦται. Διότι τί εἶναι πιὸ παράλογο ἀπὸ τὸ νὰ κατασκευάζη κάποια χρυσᾶ γιὰ νὰ διασχίζη τὰ λουτρὰ καὶ τὶς ἀγορές; Ἀλλὰ ἴσως δὲν εἶναι τόσο παράδοξο τὸ νὰ διασχίζη τὰ λουτρὰ καὶ τὶς ἀγορές· τὸ νὰ διασχίζη ὅμως καὶ τὴν ἐκκλησία μία γυναῖκα ἔτσι στολισμένη, εἶναι πολὺ γελοῖο.

Γιὰ ποιό λόγο εἰσέρχεται ἐδῶ ντυμένη μὲ χρυσᾶ, αὐτὴ ποὺ ὀφείλει νὰ μπαίνη, γιὰ ν' ἀκούση, ὅτι πρέπει οἱ γυναῖκες νὰ στολίζωνται ὄχι μὲ χρυσὸ ἢ μαργαριτάρια, ἢ μὲ πολυτελῆ ἐνδύματα; Γιὰ ποιό λόγο λοιπὸν μπαίνεις, γυναῖκα; Μήπως γιὰ νὰ πολεμήσης τὸν Παῦλο καὶ νὰ δείξης ὅτι κι' ἂν μύριες φορὲς τὰ λέγη αὐτά, ἐσὺ δὲν ἀλλάζεις; ἢ μήπως θέλεις νὰ δείξης σ' ἐμᾶς τοὺς διδασκάλους ὅτι ἄδικα τὰ λέμε; Διότι πές μου, ἐὰν κάποιος εἰδωλολάτρης καὶ ἄπιστος ἄκουγε νὰ ἀναγινώσκεται αὐτὸ τὸ χωρίο, στὸ ὁποῖο λέγει αὐτὰ ὁ μακάριος Παῦλος, συμβουλεύοντας τίς γυναῖκες νὰ μὴν στολίζωνται μὲ χρυσᾶ ἢ μαργαριτάρια καὶ μὲ πολυτελῆ ἐνδύματα, καί, ἐνῶ ἔχει πιστὴ γυναίκα, δῆ ὅτι ἀσχολεῖται πολὺ μὲ τὸν καλλωπισμό της

ποιεῖται λόγον τοῦ καλλωπισμοῦ καὶ χρυσία περιτίθεται, ἵνα προέλθῃ ἐν ἐκκλησίᾳ, ἆρα οὐκ ἐρεῖ πρὸς ἑαυτόν, ὁρῶν αὐτὴν ἐν τῷ κοιτωνίσκῳ ταῦτα περιτιθεμένην καὶ διατιθεῖσαν καλῶς, 'Τί μένει ἔνδον ἡ γυνὴ εἰς τὸν κοιτωνίσκον; τί βραδύνει; τί περιτίθεται τὰ 5 χρυσία; Ποῦ ἀπελθεῖν ἔχει; εἰς τὴν ἐκκλησίαν; Διὰ τί; ἵνα ἀκούσῃ, «μὴ ἱματισμῷ πολυτελεῖ»;' Οὐ γελάσεται; οὐκ ἀνακαγχάσει; οὐ χλεύην καὶ ἀπάτην εἶναι νομιεῖ τὰ ἡμέτερα;

Διὸ παρακαλῶ, τὰ χρυσία ταῖς πομπαῖς ἀφῶμεν, ταῖς σκηναῖς, ταῖς προθήκαις ταῖς ἐπὶ τῶν ἐργαστηρίων· ἡ δὲ τοῦ Θεοῦ 10 εἰκὼν μὴ τούτοις καλλωπιζέσθω· ἡ ἐλευθέρα τῇ ἐλευθερίᾳ κοσμείσθω· ἐλευθερία δὲ τὸ ἄτυφον, τὸ ἀκόμπαστον. Εἰ δὲ καὶ δόξης βούλει τῆς παρὰ ἀνθρώπων ἐπιτυχεῖν, οὕτως ἐπιτεύξῃ. Τὴν γὰρ ἀνδρὸς πλουτοῦντος οὖσαν γυναῖκα οὐχ οὕτω θαυμασόμεθα χρυσία φοροῦσαν καὶ σηρικὰ (τοῦτο γὰρ κοινὸν ἁπασῶν), ὡς ὅταν λιτὸν 15 ἱμάτιον καὶ ἁπλοῦν, καὶ ἐξ ἐρίου εἰργασμένον μόνον περικειμένη τυγχάνῃ· τοῦτο θαυμάσονται πάντες, τοῦτο κροτήσουσιν. Ἐν ἐκείνῳ μὲν γὰρ τῷ κόσμῳ τῷ τῶν χρυσίων καὶ τῶν πολυτελῶν ἱματίων, πολλὰς ἔχει τὰς κοινωνούσας αὐτῇ· κἂν ταύτην ὑπερακοντίσῃ, ὑπὸ τῆς ἑτέρας ἡττᾶται· κἂν πάσας ὑπερβάληται, ὑπὸ τῆς 20 βασιλίδος αὐτῆς νικᾶται· ἐνταῦθα δὲ πάσας νικᾷ, καὶ αὐτὴν τὴν τοῦ βασιλέως γυναῖκα· μόνη γὰρ ἐν πλούτῳ πολλῷ τὰ τῶν πενήτων εἵλετο. Ὥστε, καὶ εἰ δόξης ἐρῶμεν, ἐνταῦθα μείζων ἡ δόξα. Οὐ πρὸς τὰς χήρας λέγω μόνον καὶ τὰς πλουσίας· ἐνταῦθα γὰρ δοκεῖ ἡ τῆς χηρείας ἀνάγκη τοῦτο ποιεῖν· ἀλλὰ καὶ πρὸς τὰς ὑπάνδρους οὔ-25 σας. Ἀλλ' οὐκ ἀρέσκω, φησί, τῷ ἀνδρί. Οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν, ἀλλὰ τῷ πλήθει τῶν γυναικῶν τῶν πενιχρῶν· μᾶλλον δὲ οὐκ ἀρέσκειν, ἀλλὰ κατατήκειν αὐτὰς καὶ ὀδυνᾶν καὶ τὴν πενίαν μείζονα ποιεῖν. Πόσα διὰ σὲ βλάσφημα φθέγγονται; Μὴ ἔστω, φησί, πενία· ὁ Θεὸς μισεῖ τοὺς πενομένους, ὁ Θεὸς οὐ φιλεῖ τοὺς ἐν 30 πενίᾳ.

Ὅτι γὰρ οὐ τῷ ἀνδρὶ βούλει ἀρέσκειν καὶ ταύτης ἕνεκεν τῆς αἰτίας καλλωπίζῃ, ἐξ ὧν αὐτὴ ποιεῖς τοῦτο δῆλον ἅπασι καθιστᾷς. Ὅταν γὰρ ὑπερβῇς τὸν οὐδὸν τοῦ θαλάμου, εὐθέως ἅπαντα ἀπο-

καὶ φορᾶ χρυσᾶ γιὰ νὰ πάῃ στὴν ἐκκλησία, ἄραγε δὲν θ' ἀναρωτηθῆ, βλέποντάς την μέσα στὴν κρεββατοκάμαρα τόσο πολὺ νὰ στολίζεται μ' αὐτὰ καὶ νὰ περιποιῆται τὸν ἑαυτό της, 'Γιατί μένει μέσα στὴν κρεββατοκάμαρα τόσο χρόνο ἡ γυναῖκα μου; γιατί ἀργοπορεῖ; γιατί φορᾶ τὰ χρυσᾶ; ποῦ πρόκειται νὰ πάῃ; στὴν ἐκκλησία; Γιατί; Γιὰ νὰ ἀκούσῃ, «μὴν ντύνεσθε μὲ πολυτελῆ ἐνδύματα»; Δὲν θὰ μᾶς περιγελάσῃ; δὲν θὰ καγχάσῃ; δὲν θὰ πιστέψῃ ὅτι ὅλα τὰ δικά μας εἶναι κοροϊδία καὶ ἀπάτη;

Γι' αὐτό, σᾶς παρακαλῶ, τὰ χρυσᾶ ἂς τὰ ἀφήσουμε γιὰ τὶς πομπές, τὰ θέατρα, τὶς βιτρίνες τῶν ἐργαστηρίων· ἐνῶ ἡ εἰκόνα τοῦ Θεοῦ ἂς μὴν καλλωπίζεται μ' αὐτά· ἡ ἐλεύθερη γυναῖκα ἂς κοσμῆται μὲ τὴν ἐλευθερία· καὶ ἐλευθερία εἶναι ἡ ταπεινοφροσύνη, ἡ ἁπλότητα. Ἀλλὰ ἐὰν θέλῃς νὰ κερδίσῃς καὶ τὴν ἀνθρώπινη δόξα, μ' αὐτὸν τὸν τρόπο θὰ τὴν ἐπιτύχῃς. Διότι τὴ γυναῖκα ἑνὸς πλουσίου ἀνδρὸς δὲν θὰ τὴν θαυμάσουμε τόσο ἐπειδὴ φοράει χρυσᾶ καὶ μεταξωτὰ (διότι αὐτὸ εἶναι κοινὸ ὅλων τῶν γυναικῶν), ὅσο ἐπειδὴ φοράει ἕνα φθηνὸ καὶ ἁπλὸ ἔνδυμα, κατασκευασμένο μόνο ἀπὸ μαλλί· αὐτὸ θὰ θαυμάσουν ὅλοι, αὐτὸ θὰ χειροκροτήσουν. Διότι σ' ἐκείνων τὴν τάξι ποὺ φοροῦν χρυσᾶ καὶ πολυτελῆ ἐνδύματα, ἔχει πολλὲς ἀνταγωνίστριες· κι' ἂν τὴν μιὰ τὴν ξεπεράσῃ, ἀπὸ τὴν ἄλλη θὰ ξεπερασθῆ· κι' ἂν ὅλες τὶς ξεπεράσῃ, θὰ νικηθῆ ἀπὸ τὴ βασίλισσά της. Ἐνῶ ἐδῶ τὶς ξεπερνᾶ ὅλες, κι' αὐτὴ τὴ βασίλισσα· διότι μόνο αὐτή, ἀνάμεσα στὶς πλούσιες γυναῖκες, προτίμησε τὰ τῶν φτωχῶν. Ὥστε, καὶ ἂν ἀκόμη λαχταροῦμε τὴ δόξα, ἐδῶ εἶναι μεγαλύτερη ἡ δόξα. Δὲν ἀπευθύνομαι μόνο στὶς χῆρες καὶ στὶς πλούσιες γυναῖκες· διότι ἐδῶ φαίνεται ὅτι ἡ ἀνάγκη τῆς χηρείας τὸ κάνει αὐτό· ἀπευθύνομαι καὶ πρὸς τὶς παντρεμένες. Ἀλλά, λές, δὲν θὰ ἀρέσω στὸν ἄνδρα μου. Δὲν ἐπιδιώκεις νὰ ἀρέσῃς στὸν ἄνδρα σου, ἀλλὰ στὸ πλῆθος τῶν φτωχῶν γυναικῶν· ἢ μᾶλλλον ὄχι νὰ ἀρέσῃς, ἀλλὰ νὰ τὶς κάνῃς νὰ ζηλέψουν καὶ νὰ πονέσουν καὶ νὰ κάνῃς μεγαλύτερη τὴ φτώχεια τους. Πόσα λόγια βλάσφημα λέγονται ἐξ αἰτίας σου; Ἂς μὴν ὑπάρχῃ φτώχεια, λέγει· ὁ Θεὸς μισεῖ τοὺς πονεμένους, ὁ Θεὸς δὲν ἀγαπᾶ τοὺς φτωχούς.

Πράγματι, ὅτι δὲν ἐνδιαφέρεσαι νὰ ἀρέσῃς στὸν ἄνδρα σου, καὶ ἐξ αἰτίας αὐτοῦ τοῦ λόγου καλλωπίζεσαι, τὸ ἀποδεικνύεις ὁλοφάνερα μ' αὐτὸ ποὺ κάνεις. Διότι, μόλις ἐπιστρέψῃς στὸ σπίτι σου,

τίθη, καὶ τὰ ἱμάτια, καὶ τὰ χρυσία, καὶ τοὺς μαργαρίτας· καὶ ἐπὶ τῆς οἰκίας μάλιστα οὐ φορεῖς. Εἰ δὲ ὅλως βούλει ἀρέσκειν τῷ ἀνδρί, ἔστι δι' ὧν ἀρέσκεις, δι' ἐπιεικείας, διὰ πραότητος, διὰ κοσμιότητος. Πίστευε γάρ μοι, γύναι, κἂν μυριάκις ᾖ κατωφερὴς ὁ ἀνὴρ καὶ 5 *ἀκρατής, ταῦτα μᾶλλον αὐτὸν ἐφελκύσεται, ἐπιείκεια, κοσμιότης, τὸ ἄτυφον, τὸ ἀδάπανον, τὸ εὐτελές. Τὸν μὲν γὰρ ἀκόλαστον, κἂν μυρία τοιαῦτα ἐπινοῇς, οὐ καθέξεις· καὶ ἴσασιν ὅσαι τοιούτους ἐσχήκασιν ἄνδρας· ὡς γὰρ ἐὰν καλλωπίσῃς σαυτήν, ἐκεῖνος ἀκόλαστος ὢν πρὸς ἑτέραν ἄπεισι· τὸν δὲ σώφρονα καὶ κόσμιον οὐ* 10 *τούτοις αἱρήσεις, ἀλλὰ τοῖς ἐναντίοις· ἐν τούτοις δὲ καὶ λυπεῖς, σαυτῇ δόξαν περιτιθεῖσα φιλοκόσμου. Εἰ γὰρ καὶ αἰδούμενος ὁ ἀνήρ, καὶ τοῦτο ὡς σώφρων οὐ λέγει, ἀλλ' ἔνδοθεν καταγνώσεταί σου· τοὺς δὲ φθόνους καὶ τὰς βασκανίας οὐ περιστελεῖται. Οὐ πᾶσαν ἡδονὴν ἐκβαλεῖς λοιπόν, φθόνον ἐγείρουσα κατὰ σαυτῆς;*

15 *7. Τάχα δυσχερῶς ἀκούετε τῶν λεγομένων καὶ ἀγανακτεῖτε λέγουσαι, ὅτι τοὺς ἄνδρας παροξύνει μᾶλλον κατὰ τῶν γυναικῶν. Οὐ τοὺς ἄνδρας παροξύνων ταῦτα λέγω, ἀλλὰ παρ' ὑμῶν βουλόμενος ἑκοντὶ ταῦτα γίνεσθαι, δι' ὑμᾶς, οὐ δι' ἐκείνους· οὐχ ἵνα ἐκείνους ἀπαλλάξω φθόνου, ἀλλ' ἵνα ὑμᾶς ἀπαλλάξω φαντασίας βιωτικῆς.* 20 *Βούλει φανῆναι καλή; Κἀγὼ τοῦτο βούλομαι, ἀλλὰ κάλλος ὃ ὁ Θεὸς ζητεῖ, κάλλος ὃ ἐπιθυμεῖ ὁ βασιλεύς. Τίνα βούλει σχεῖν ἐραστήν, τὸν Θεὸν ἢ ἀνθρώπους; Ἐὰν ἐκεῖνο ᾖς τὸ κάλλος καλή, ὁ Θεὸς ἐπιθυμήσει τοῦ κάλλους σου· ἂν δὲ τοῦτο χωρὶς ἐκείνου, ἐκεῖνος μέν σε βδελύξεται, ἔσονται δέ σου ἐρασταὶ ἄνδρες μιαροί· οὐ-* 25 *δεὶς γὰρ ὑπάνδρου γυναικὸς ἐρῶν ἀγαθός. Τοῦτο καὶ ἐπὶ τοῦ κόσμου τοῦ ἔξωθεν λογίζου. Ἐκεῖνος μὲν γὰρ ὁ κόσμος, ὁ τῆς ψυχῆς λέγω, τὸν Θεὸν ἐπισπᾶται, οὗτος δὲ πάλιν τοὺς μιαροὺς ἄνδρας. Ὁρᾷς ὅτι ὑμῶν κήδομαι, ὅτι ὑμῶν φροντίζω, ἵνα καλαὶ ἦτε, ὄντως*

ἀμέσως τὰ βγάζεις ὅλα, καὶ τὰ ἐνδύματα τὰ πολυτελῆ καὶ τὰ χρυσαφικὰ καὶ τὰ μαργαριτάρια· καὶ κυρίως δὲν τὰ φορᾶς ὅταν εἶσαι στὸ σπίτι. Ἀλλά, ἐὰν θέλης ἐξ ὁλοκλήρου ν' ἀρέσης στὸν ἄνδρα σου, ὑπάρχουν τρόποι μὲ τοὺς ὁποίους μπορεῖς ν' ἀρέσης, μὲ τὴν ἐπιείκεια, τὴν πραότητα, τὴν ἁπλότητα. Διότι πίστεψέ με σὲ παρακαλῶ, γυναῖκα, κι' ἂν ἀκόμη μύριες φορὲς ὁ ἄνδρας σου εἶναι ἄτιμος καὶ ἀκρατής, αὐτὰ πρὸ πάντων θὰ τὸν προσελκύσουν, ἡ ἐπιείκεια, ἡ ἁπλότης, ἡ ταπεινοφροσύνη, ἡ οἰκονομία, ἡ εὐγένεια. Καθόσον τὸν ἀκόλαστο δὲν θὰ τὸν προσελκύσης κι' ἂν μύρια τέτοια ἐπινοῆς· καὶ τὸ γνωρίζουν αὐτὸ ὅσες εἶχαν τέτοιους ἄνδρες· διότι, ὅσο κι ἂν καλλωπίζεσαι, ἐκεῖνος ἐὰν εἶναι ἀκόλαστος, θὰ πηγαίνη σὲ ἄλλη γυναῖκα· ἐνῶ τὸν σώφρονα καὶ τὸν καθαρὸ δὲν θὰ τὸν αἰχμαλωτίσης μ' αὐτά, ἀλλὰ μὲ τὰ ἀντίθετα· καὶ ἐπὶ πλέον θὰ τὸν στενοχωρῆς, διότι βλέπει ὅτι ἐπιζητεῖς μάταια πράγματα. Ἐὰν βέβαια ὁ ἄνδρας σου ἀπὸ σεβασμό, ἐπειδὴ εἶναι σώφρων, δὲν σοῦ λέγει τίποτε, ὅμως στὴ συνείδησί του θὰ σὲ καταδικάση· καὶ δὲν θὰ περιορίση τοὺς φθόνους καὶ τὶς βασκανίες ποὺ γεννᾶ ὁ καλλωπισμός. Δὲν θὰ ἀποκρούσης λοιπὸν τὴν ἡδονή, ἐφ' ὅσον διεγείρεις τὸν φθόνο ἐναντίον σου;

7. Ἴσως μὲ δυσαναςχέτησι τὰ ἀκοῦτε αὐτά, καὶ ἀγανακτεῖτε λέγοντας, ὅτι παροξύνει περισσότερο τοὺς ἄνδρες ἐναντίον τῶν γυναικῶν. Δὲν τὰ λέγω αὐτὰ γιὰ νὰ παροξύνω τοὺς ἄνδρες, ἀλλ' ἐπειδὴ θέλω ἐσεῖς νὰ τὰ κάνετε αὐτὰ μὲ τὴ θέλησί σας, γιὰ σᾶς τὶς ἴδιες, καὶ ὄχι γιὰ ἐκείνους· ὄχι γιὰ νὰ ἀπαλλάξω ἐκείνους ἀπὸ τὸν φθόνο, ἀλλὰ γιὰ ν' ἀπαλλάξω ἐσᾶς ἀπὸ τὶς κοσμικὲς ματαιότητες. Θέλεις νὰ φαίνεσαι ὡραία; Κι' ἐγὼ τὸ θέλω αὐτό, ἀλλὰ ὀμορφιὰ ποὺ τὴν θέλει ὁ Θεός, ὀμορφιὰ ποὺ τὴν ἐπιθυμεῖ ὁ βασιλιάς. Ποιόν θέλεις νὰ ἔχης ἐραστή, τὸν Θεὸ ἢ τοὺς ἀνθρώπους; Ἐὰν θὰ εἶσαι ὡραία ὡς πρὸς ἐκεῖνο τὸ κάλλος, ὁ Θεὸς θὰ ἐπιθυμήση τὸ κάλλος σου· ἐὰν ὅμως εἶσαι κοσμικὰ ὄμορφη χωρὶς ἐκεῖνο τὸ κάλλος, ἐκεῖνος θὰ σὲ σιχαθῆ, καὶ θὰ γίνουν ἐραστές σου ἄνδρες μιαροί· διότι κανεὶς ἄνδρας δὲν εἶναι ἀγαθὸς ποὺ ἐπιθυμεῖ ἔγγαμη γυναίκα. Αὐτὸ νὰ σκέφτεσαι καὶ γιὰ τὸν ἐξωτερικό σου στολισμό. Καθόσον ἐκεῖνος ὁ στολισμός, δηλαδὴ ὁ στολισμὸς τῆς ψυχῆς, προσελκύει τὸν Θεό· ἐνῶ αὐτὸς τοὺς μιαροὺς ἄνδρες. Βλέπεις ὅτι γιὰ σᾶς φροντίζω, ὅτι γιὰ σᾶς ἐνδιαφέρομαι, γιὰ νὰ εἶστε ὡραῖες, πραγματικὰ ὡραῖες,

καλαί, ὄντως ἐπίδοξοι, ἵνα ἀντὶ ἀνδρῶν μιαρῶν τὸν ἁπάντων Δεσπότην Θεὸν ἔχητε ἐραστήν; Ἡ δὲ ἐκεῖνον ἔχουσα ἐραστήν, τίνι ἔσται ὁμοία; μετὰ ἀγγέλων χορεύει. Εἰ γὰρ παρὰ βασιλέως φιλουμένη τις ὑπὲρ πάντας μακαρίζεται, ἡ παρὰ τοῦ Θεοῦ φιλουμένη φι-
5 *λίαν πολλήν, τίνος ἔσται ἀξία; Κἂν τὴν οἰκουμένην ἀντιστήσῃς, οὐδὲν τοῦ κάλλους ἐκείνου ἄξιον.*

Τοῦτο τοίνυν ἀσκήσωμεν τὸ κάλλος, τούτῳ κοσμώμεθα τῷ κόσμῳ, ἵνα εἰς τοὺς οὐρανοὺς χωρήσωμεν, εἰς τὰς παστάδας τὰς πνευματικάς, εἰς τὸν νυμφῶνα τὸν ἀκήρατον. Τοῦτο μὲν γὰρ τὸ
10 *κάλλος ὑπὸ πάντων ἁλίσκεται, καὶ ὅταν παραμείνῃ καλῶς καὶ μήτε νόσος ἐνοχλήσῃ μήτε φροντίς, ὅπερ ἀδύνατον, οὐ παραμένει εἴκοσιν ἔτη· ἐκεῖνο δὲ ἀεὶ ἀνθεῖ, ἀεὶ ἀκμάζει· οὐκ ἔστιν ἐκεῖ δεῖσαι μεταβολήν, οὐ γῆρας ἐπελθὸν ρυτίδα ἤγαγεν, οὐ νόσος κατασκήψασα ἐμάρανεν, οὐκ ἀθυμίας φροντὶς ἐλυμήνατο, ἀλλὰ πάντων τού-*
15 *των ἐστὶν ἀνώτερον. Τοῦτο δὲ πρὶν ἢ φανῆναι, ἀπέστη, καὶ φανὲν οὐκ ἔχει πολλοὺς τοὺς θαυμαστάς. Οἱ μὲν γὰρ κόσμιοι οὐ θαυμάζουσι. Μὴ τοίνυν τοῦτο ἀσκῶμεν, ἀλλ' ἐκεῖνο· ἐκείνου ἐχώμεθα, ἵνα μετὰ λαμπάδων φαιδρῶν ἀπέλθωμεν εἰς τὸν νυμφῶνα. Οὐ γὰρ ταῖς παρθένοις τοῦτο ἐπήγγελται μόνον, ἀλλὰ ταῖς ψυχαῖς ταῖς παρ-*
20 *θένοις· ἐπεί, εἰ παρθένων ἦν ἁπλῶς τοῦτο, οὐκ ἂν αἱ πέντε ἀπεκλείσθησαν. Πασῶν τοίνυν ἐστὶ τοῦτο ὅσαι τὴν ψυχήν εἰσι παρθένοι, ὅσαι τῶν νοημάτων τῶν βιωτικῶν εἰσιν ἀπηλλαγμέναι· φθείρουσι γὰρ τὰς ψυχὰς τὰ νοήματα ταῦτα. Ἐὰν τοίνυν ἀκέραιοι μένωμεν, ἀπελευσόμεθα ἐκεῖ καὶ δεχθησόμεθα.*

25 *«Ἡρμοσάμην γὰρ ὑμᾶς», φησίν, «ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ». Ταῦτα οὐ πρὸς τὰς παρθένους εἶπεν, ἀλλὰ πρὸς τὸ πλήρωμα τῆς ἐκκλησίας ἁπάσης. Ἡ γὰρ ἄφθορος ψυχὴ παρθένος ἐστί, κἂν ἄνδρα ἔχῃ· παρθένος ἐστὶ τὴν ὄντως παρθενίαν, τὴν θαυμαστήν· αὕτη γὰρ ἡ τοῦ σώματος ἐκείνης ἐστὶν*
30 *ἐπακολούθημα καὶ σκιά, ἡ δὲ ἀληθὴς παρθενία ἐκείνη ἐστί. Ταύτην ἀσκῶμεν, καὶ οὕτω δυνησόμεθα μετὰ φαιδροῦ προσώπου τὸν*

46. Β' Κορ. 11,2.

ἀληθινὰ νὰ ἐπιδώκετε τὴ δόξα, γιὰ νὰ ἔχετε ἐραστὴ τὸν Δεσπότη τῶν ὅλων, τὸν Θεό, καὶ ὄχι τοὺς μιαροὺς ἄνδρες; Καὶ αὐτὴ ποὺ ἔχει τὸν Θεὸ ἐραστή, μὲ ποιόν θὰ μοιάζη; Αὐτὴ χορεύει μαζὶ μὲ τοὺς ἀγγέλους. Διότι, ἐὰν κάποια ἀγαπᾶται ἀπὸ τὸν βασιλιᾶ, αὐτὴ περισσότερο ἀπ' ὅλους καλοτυχίζεται· ποιός θὰ μποροῦσε νὰ παραβληθῆ μ' αὐτήν, ποὺ ἀπὸ τὸν Θεὸ ἔχει ἀγαπηθῆ μὲ πολλὴ ἀγάπη; Κι' ἂν ἀντιπαραθέσης τὴν οἰκουμένη, τίποτε δὲν ἀξίζει μπροστὰ στὸ κάλλος ἐκεῖνο.

Αὐτὸ λοιπὸν τὸ κάλλος ἂς ἐπιδιώξουμε· μ' αὐτὸν τὸν στολισμὸ ἂς στολισθοῦμε, γιὰ νὰ πᾶμε στοὺς οὐρανούς, στοὺς νυμφικοὺς θαλάμους τοὺς πνευματικούς, στὸν νυμφῶνα τὸν ἀμόλυντο. Διότι αὐτὸ τὸ κάλλος ἀπὸ ὅλους ἀποκτᾶται, καὶ ὅταν διατηρηθῆ καλὰ καὶ δὲν τὸ ἐνοχλήση οὔτε ἡ ἀρρώστια, οὔτε ἡ ἀνησυχία, πρᾶγμα ἀδύνατο, δὲν διατηρεῖται εἴκοσι ἔτη· ἐνῶ ἐκεῖνο πάντα ἀνθεῖ, πάντα ἀκμάζει· δὲν ὑπάρχει ἐκεῖ φόβος γιὰ μεταβολή, οὔτε τὰ γηρατειὰ μὲ τὸν ἐρχομό τους τὸ ρυτίδωσαν, οὔτε ἡ ἀσθένεια ποὺ ἐνέσκηψε τὸ ἐμάρανε, οὔτε ἡ λύπη τὸ ἔφθειρε, ἀλλ' εἶναι ἀνώτερο ἀπὸ ὅλα αὐτά. Ἐνῶ τὸ σωματικὸ κάλλος πρὶν ἀκόμη φανῆ, ἀπομακρύνθηκε, καὶ ὅταν ὑπάρχη δὲν ἔχει πολλοὺς θαυμαστές. Διότι οἱ φρόνιμοι δὲν τὸ θαυμάζουν, κι' αὐτοὶ ποὺ τὸ θαυμάζουν, τὸ θαυμάζουν ἐξ αἰτίας τῆς ἀκολασίας. Ἂς μὴν ἐπιδιώκουμε λοιπὸν αὐτό, ἀλλ' ἐκεῖνο τὸ κάλλος· ἐκεῖνο ἂς κρατήσουμε, γιὰ νὰ πᾶμε στὸν νυμφῶνα μὲ λαμπρὲς λαμπάδες. Καθόσον δὲν τὸ ὑποσχέθηκε αὐτὸ μόνο στὶς ἄγαμες, ἀλλὰ στὶς ἁγνὲς ψυχές· διότι, ἐὰν αὐτὸ ἦταν μόνο γιὰ τὶς παρθένες, δὲν θὰ εἶχαν ἀποκλεισθῆ οἱ πέντε παρθένες. Αὐτὸ λοιπὸν τὸ ἔχουν ὅλες ὅσες ἔχουν ἁγνὴ ψυχή, ὅσες εἶναι ἀπαλλαγμένες ἀπὸ τὶς βιωτικὲς μέριμνες· διότι αὐτὲς οἱ φροντίδες διαφθείρουν τὶς ψυχές. Ἐὰν λοιπὸν μένουμε ἀκέραιοι, θὰ πᾶμε ἐκεῖ καὶ θὰ γίνουμε δεκτοί.

Λέγει, «σᾶς ἀρραβώνιασα μὲ ἕναν ἄνδρα, τὸν Χριστό, γιὰ νὰ σᾶς παρουσιάσω σὰν ἁγνὴ παρθένο σ' αὐτόν»[46]. Αὐτὰ δὲν τὰ εἶπε στὶς ἄγαμες, ἀλλὰ σὲ ὅλο τὸ πλήρωμα τῆς ἐκκλησίας. Καθόσον ἡ ἁγνὴ ὡς πρὸς τὴν ψυχὴ γυναῖκα εἶναι παρθένος, ἔστω κι' ἂν ἔχη ἄνδρα· εἶναι παρθένος καὶ ἄξια θαυμασμοῦ, διότι ἔχει τὴν πραγματικὴ παρθενία· διότι αὐτὴ εἶναι τὸ ἐπακόλουθο καὶ ἡ σκιὰ ἐκείνης, καὶ ἐκείνη εἶναι ἡ ἀληθινὴ παρθενία. Αὐτὴν ἂς ἐνδυθοῦμε, καὶ ἔτσι θὰ μπορέσουμε νὰ δοῦμε τὸν νυμφίο μὲ χαρούμενο πρόσωπο, νὰ εἰσέλ-

νυμφίον ἰδεῖν, μετὰ φαιδρῶν εἰσελθεῖν τῶν λαμπάδων, ἐὰν τὸ ἔλαιον ἡμᾶς μὴ ἐπιλίπῃ, ἐὰν τὰ χρυσία χωνεύσασαι ἔλαιον ἐργασώμεθα τοιοῦτον, ὃ ποιεῖ φαιδρὰς τὰς λαμπάδας· τὸ δὲ ἔλαιον ἐκεῖνό ἐστιν ἡ φιλανθρωπία. Ἐὰν ἑτέροις μεταδῶμεν τὰ ὄντα, ἐὰν 5 ἔλαιον αὐτὰ ἐργασώμεθα, τότε ἡμῶν προστήσεται, καὶ οὐκ ἐροῦμεν ἐν ἐκείνῳ τῷ καιρῷ, «δότε ἡμῖν ἔλαιον ὅτι σβέννυνται ἡμῶν αἱ λαμπάδες», οὐδὲ ἑτέρων δεηθησόμεθα, οὐδὲ ἀπελθοῦσαι πρὸς τοὺς πωλοῦντας, ἀποκλεισθησόμεθα, οὐδὲ ἀκουσόμεθα τῆς φωνῆς ἐκείνης τῆς φοβερᾶς καὶ φρικτῆς, κρούουσαι τὰς θύρας· «οὐκ οἶδα 10 ὑμᾶς», ἀλλ' ἐπιγνώσεται ἡμᾶς καὶ συνεισελευσόμεθα τῷ νυμφίῳ καὶ εἰσελθόντες εἰς τὸν νυμφῶνα τὸν πνευματικόν, μυρίων ἀπολαύσομεν τῶν ἀγαθῶν. Εἰ γὰρ ἐνταῦθα οὕτω φαιδρὸς ὁ νυμφών, οὕτω λαμπραὶ αἱ παστάδες, ὡς μηδένα κορέννυσθαι προσέχοντα, πόσῳ μᾶλλον ἐκεῖ; Θάλαμός ἐστιν ὁ οὐρανὸς καὶ τοῦ οὐρανοῦ ὁ 15 νυμφὼν βελτίων· ἐκεῖ εἰσελευσόμεθα. Εἰ δὲ ὁ νυμφὼν οὕτω καλός, τίς ἄρα ἄρα ἔσται ὁ νυμφίος;

Καὶ τί λέγω τὰ χρυσία ἀποθέμεναι μεταδῶμεν τοῖς δεομένοις; Εἰ γὰρ καὶ ἑαυτὰς πωλεῖν ἐχρῆν, εἰ γὰρ ἀντ' ἐλευθέρων γενέσθαι δούλας, ὥστε δυνηθῆναι μετ' ἐκείνου εἶναι τοῦ νυμφίου, τοῦ 20 κάλλους ἀπολαύειν ἐκείνου, μόνον ὁρᾶν εἰς τὸ πρόσωπον ἐκείνου, οὐκ ἐχρῆν μετὰ προθυμίας ἅπαντα καταδέξασθαι; Καὶ βασιλέα μὲν τὸν ἐπὶ γῆς ἵνα μόνον ἴδωμεν, πολλάκις ὑπὲρ τοῦ ἰδεῖν αὐτὸν καὶ τὰ ἐν χερσὶ ρίπτομεν καὶ ἀναγκαῖα ὄντα, ὑπὲρ δὲ τοῦ βασιλέα καὶ νυμφίον ἐν οὐρανοῖς ἀμφότερα ὄντα, ὥστε μὴ μόνον καταξιωθῆναι 25 ἰδεῖν, ἀλλὰ καὶ προηγεῖσθαι αὐτοῦ μετὰ λαμπάδων καὶ ἐγγὺς αὐτοῦ εἶναι καὶ διαπαντὸς εἶναι μετ' αὐτοῦ, τί οὐκ ἔδει ποιεῖν; τί δὲ οὐ πράττειν; τί δὲ οὐχ ὑπομένειν;

Διό, παρακαλῶ, λάβωμέν τινα πόθον ἐκείνων τῶν ἀγαθῶν, ποθήσωμεν ἐκεῖνον τὸν νυμφίον, ὦμεν παρθένοι τὴν ἀληθῆ παρθε- 30 νίαν· τὴν γὰρ τῆς ψυχῆς παρθενίαν ἐπιζητεῖ ὁ Δεσπότης. Μετὰ ταύτης εἰσέλθωμεν εἰς τὸν οὐρανόν, μὴ ἔχοντες σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἵνα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτύχωμεν, ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν χάριτι καὶ φιλανθρωπίᾳ.

47. Ματθ. 25,8.
48. Ματθ. 25,12.

θουμε στὸν νυμφῶνα μὲ λαμπρὲς λαμπάδες, ἐὰν δὲν μᾶς λείψη τὸ λάδι, ἐάν, ἀφοῦ λειώσουμε τὰ χρυσᾶ, ἀποκτήσουμε αὐτὸ τὸ λάδι, ποὺ κάνει φαιδρὲς τὶς λαμπάδες· καὶ αὐτὸ τὸ λάδι εἶνα ἡ φιλανθρωπία· ἐὰν δώσουμε μέρος τῶν ὑπαρχόντων μας στοὺς ἄλλους, ἐὰν αὐτὰ τὰ κάνουμε ἔλαιο, τότε θὰ μᾶς δεχθῆ, καὶ δὲν θὰ ποῦμε κατ' ἐκεῖνον τὸ καιρὸ ποὺ ἔρχεται, «δῶστε μας λάδι, διότι σβήνουν οἱ λαμπάδες μας»[47], οὔτε τοὺς ἄλλους θὰ παρακαλέσουμε, οὔτε θὰ ἀποκλεισθοῦμε, ἀπερχόμενοι τότε πρὸς τοὺς πωλητὲς αὐτοῦ, οὔτε θ' ἀκούσουμε τὴ φοβερὴ καὶ φρικτὴ ἐκείνη φωνή, χτυπώντας τὶς πόρτες, «δὲν σᾶς γνωρίζω»[48]· ἀλλὰ θὰ μᾶς ἀναγνωρίση καὶ θὰ εἰσέλθουμε μαζὶ μὲ τὸν νυμφίο καὶ ἀφοῦ εἰσέλθουμε στὸν νυμφῶνα τὸν πνευματικό, θ' ἀπολαύσουμε μύρια ἀγαθά. Διότι, ἐὰν ἐδῶ ὁ νυμφώνας εἶναι τόσο λαμπρός, ἐὰν ἐδῶ εἶναι τόσο λαμπροὶ ὁ νυμφικοὶ θάλαμοι, ὥστε νὰ μὴν τὸν χορταίνη κανεὶς βλέποντάς τον, πόσο περισσότερο θὰ εἶναι ἐκεῖ; Θάλαμος εἶναι ὁ οὐρανὸς καὶ ἀπὸ τὸν οὐρανὸ πολὺ πιὸ ὄμορφος εἶναι ὁ νυμφώνας· ἐκεῖ θὰ εἰσέλθουμε. Κι' ἂν ὁ νυμφώνας εἶναι τόσο ὡραῖος, πόσο ἄραγε θὰ εἶναι ὁ νυμφίος;

Καὶ τί λέγω, ἀφοῦ ἀποβάλουμε τὰ χρυσᾶ νὰ τὰ δώσουμε σ' αὐτοὺς ποὺ τὰ ἔχουν ἀνάγκη; Διότι, καὶ ἐὰν χρειαζόταν νὰ πουληθῆτε, ἢ νὰ γίνετε σκλάβες ἀπὸ ἐλεύθερες, γιὰ νὰ μπορέσετε νὰ εἶστε μ' ἐκεῖνον τὸν νυμφίο, νὰ ἀπολαμβάνετε τὸ κάλλος του, νὰ βλέπετε μόνο τὸ πρόσωπό του, δὲν ἔπρεπε μὲ προθυμία ὅλα νὰ τὰ δεχθῆτε; Καὶ γιὰ νὰ δοῦμε μόνο τὸν ἐπίγειο βασιλιᾶ, πολλὲς φορὲς προκειμένου νὰ τὸν δοῦμε, πετοῦμε καὶ αὐτὰ ποὺ ἔχουμε στὰ χέρια μας, ἂν καὶ εἶναι ἀναγκαῖα· πρὸς χάριν ὅμως τοῦ βασιλιᾶ καὶ νυμφίου, ποὺ καὶ τὰ δύο ὑπάρχουν στοὺς οὐρανούς, ὥστε ὄχι μόνο νὰ ἀξιωθοῦμε νὰ τὸν δοῦμε, ἀλλὰ καὶ νὰ βαδίζουμε μπροστά του μὲ λαμπάδες καὶ νὰ εἴμαστε δίπλα του, τί δὲν ἔπρεπε νὰ κάνουμε; τί νὰ μὴν κάνουμε; τί νὰ μὴν ὑπομένουμε;

Γι' αὐτό, παρακαλῶ, ἂς ποθήσουμε ἐκεῖνα τὰ ἀγαθά, ἂς ποθήσουμε ἐκεῖνον τὸν νυμφίο, ἂς εἴμαστε παρθένοι ὡς πρὸς τὴν ἀληθινὴ παρθενία· διότι ὁ Δεσπότης ἐπιζητεῖ τὴν παρθενία τῆς ψυχῆς. Μ' αὐτὴν ἂς εἰσέλθουμε στὸν οὐρανό, χωρὶς κηλίδα ἢ ρυτίδα ἢ κάτι ἄλλο ἀπὸ αὐτά, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ, στὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ πάρουμε μέρος, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Θεοῦ.

ΟΜΙΛΙΑ ΚΘ'

(Ἑβρ. 11,4–10)

«Οὔπω μέχρις αἵματος ἀντικατέστησε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ἡμῖν ὡς υἱοῖς διαλέγεται· 'Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει·
5 *μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται'. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τί γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ;».*

1. Ἔστιν εἴδη παρακλήσεως δύο, ἐναντία ἀλλήλοις εἶναι δοκοῦντα, πολλὴν δὲ ἑαυτοῖς συνεισφέροντα τὴν ἰσχύν· ἅπερ ἀμφότε-
10 *ρα ἐνταῦθα τέθεικε. Τὸ μὲν γάρ ἐστιν, ὅταν πολλὰ λέγωμεν πεπονθέναι τινάς· ἡ γὰρ ψυχὴ διαναπαύεται, ὅταν ἔχῃ τῶν οἰκείων παθῶν μάρτυρας πολλούς· ὅπερ ἀνωτέρω ἔθηκεν εἰπών, «ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπομείνατε παθημάτων»· τὸ δέ, ὅταν λέγωμεν, ὅτι οὐ μέγα τι πέ-*
15 *πονθας· ἐπιστρεφόμεθα γὰρ τῷ λόγῳ καὶ διανιστάμεθα καὶ πάντα πρὸς τὸ παθεῖν γινόμεθα προθυμότεροι. Καὶ τὸ μὲν τετρυχωμένην τὴν ψυχὴν διαναπαύει καὶ ἀναπνεῖν ποιεῖ, τὸ δὲ ῥᾳθυμοῦσαν αὐτὴν καὶ ὑπτίαν γενομένην ἐπιστρέφει καὶ τοῦ φρονήματος κατασπᾷ.*

Ἵνα τοίνυν μὴ ἐξ ἐκείνης τῆς μαρτυρίας φρόνημα αὐτοῖς
20 *τεχθῇ, ὅρα τί ποιεῖ· «οὔπω», φησί, «μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι» καὶ ἐκλέλησθε τῆς παρακλήσεως. Καὶ οὐκ εὐθέως ἐπήγαγε τὰ ἑξῆς, ἀλλὰ δείξας αὐτοῖς πάντας*

ΟΜΙΛΙΑ ΚΘ΄

(Ἑβρ. 12, 4–10)

«Δὲν ἀντισταθήκατε ἀκόμη μέχρις αἵματος στὸν ἀγῶνα σας κατὰ τῆς ἁμαρτίας, καὶ λησμονήσατε τὴ νουθεσία ποὺ σᾶς ἀπευθύνει ὁ Θεός, μιλώντας σας σὰν παιδιά του· παιδί μου, μὴν παραμελῆς τὴν παιδαγωγία τοῦ Κυρίου καὶ μὴ χάνης τὸ θάρρος σου ὅταν ἐλέγχεσαι ἀπὸ αὐτόν. Διότι ἐκεῖνον ποὺ ἀγαπᾶ ὁ Κύριος τὸν παιδαγωγεῖ, καὶ μαστιγώνει κάθε παιδί του ποὺ τὸ ἀποδέχεται. Ἐὰν δέχεσθε μὲ ὑπομονὴ τὴν παιδαγωγία, ὁ Θεὸς συμπεριφέρεται σὲ σᾶς σὰν παιδιά του. Διότι ποιός υἱὸς εἶναι ἐκεῖνος, ποὺ δὲν τὸν παιδαγωγεῖ ὁ πατέρας του;».

1. Ὑπάρχουν δύο εἴδη παρακλήσεως, πού, ἐνῶ φαίνονται ἀντίθετα μεταξύ τους, ὅμως πολὺ ἐνισχύουν τὸ ἕνα τὸ ἄλλο, τὰ ὁποῖα καὶ τὰ δύο τὰ ἔχει ἀναφέρει ἐδῶ. Τὸ ἕνα δηλαδὴ εἶναι, ὅταν λέμε ὅτι μερικοὶ ἔχουν πάθει πολλά· διότι ἡ ψυχὴ ἐπαναπαύεται, ὅταν ἔχη πολλοὺς μάρτυρες τῶν παθημάτων της, πρᾶμα ποὺ προηγουμένως ἔκανε ὅταν εἶπε, «θυμηθῆτε τὶς πρῶτες ἡμέρες κατὰ τὶς ὁποῖες φωτισθήκατε καὶ ὑπομείνατε πολλὴ ἄθλησι καὶ ἀγῶνα παθημάτων καὶ διωγμῶν»· καὶ τὸ ἄλλο, ὅταν λέμε, ὅτι 'δὲν ἔχεις πάθει κάτι μεγάλο'· διότι μὲ τὸν λόγο αὐτὸ βρίσκομε τὸν ἑαυτό μας καὶ διεγειρόμαστε, ὥστε μὲ μεγαλύτερη προθυμία νὰ τὰ ὑπομένουμε ὅλα. Καὶ τὸ ἕνα τὴν ταλαιπωρημένη ψυχὴ τὴν ξεκουράζει καὶ τὴν κάνει ν' ἀναπνέη, ἐνῶ τὸ ἄλλο τὴν ψυχὴ ποὺ ἔγινε ράθυμη καὶ ὀκνηρὴ τὴν ἐνισχύει καὶ ὑποστέλλει τὸ ὑψηλὸ φρόνημα.

Γιὰ νὰ μὴ τοὺς γεννηθῆ λοιπὸν ὑπερηφάνεια ἀπὸ ἐκείνη τὴ μαρτυρία, πρόσεχε τί κάνει· «δὲν ἀντισταθήκατε», λέγει, «ἀκόμη στὴν ἁμαρτία, ἀγωνιζόμενοι μέχρις αἵματος», καὶ ξεχάσατε τὴ νουθεσία. Καὶ δὲν παρουσίασε ἀμέσως τὰ κατάλληλα ἐπιχειρήματα,

τοὺς μέχρις αἵματος στάντας, εἶτα ἐπαγαγὼν τὸ καύχημα τοῦ Χριστοῦ τὰ παθήματα, τότε εὐκόλως κατέδραμε. Τοῦτο καὶ Κορινθίοις γράφων λέγει· «πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν, εἰ μὴ ἀνθρώπινος»· τουτέστι, μικρός. Ἱκανὸν γὰρ τοῦτο διαναστῆσαι καὶ ἀνορθῶσαι 5 ψυχήν, ὅταν ἐννοήσῃ, ὅτι οὐ πρὸς τὸ πᾶν ἀνῆλθε, καὶ πείσῃ ἑαυτὴν ἀπὸ τῶν προλαβόντων. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὔπω θάνατον ὑπέστητε, μέχρι χρημάτων ὑμῖν ἡ ζημία, μέχρι δόξης, μέχρι τοῦ ἐλαύνεσθαι· ὁ μέντοι Χριστὸς ὑπὲρ ὑμῶν τὸ αἷμα ἐξέχεεν, ὑμεῖς δὲ οὐδὲ ὑπὲρ ἑαυτῶν· αὐτὸς μέχρι θανάτου ἠγωνίσατο περὶ τῆς ἀλη- 10 θείας, πολεμῶν ὑπὲρ ὑμῶν· ὑμεῖς δὲ οὐδέπω εἰς κινδύνους ἐπέβητε θάνατον ἀπειλοῦντας.

«Καὶ ἐκλέλησθε τῆς παρακλήσεως»· τουτέστι, καὶ παρήκατε τὰς χεῖρας, ἐξελύθητε. «Οὔπω», φησί, «μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι». Ἐνταῦθα δείκνυσι 15 καὶ τὴν ἁμαρτίαν σφόδρα πνέουσαν καὶ αὐτὴν ὁπλιζομένην· τὸ γάρ, «ἀντικατέστητε», πρὸς τοὺς ἑστῶτας εἴρηται. «Ἥτις ὑμῖν», φησίν, «ὡς υἱοῖς διαλέγεται, 'Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος». Ἐποιήσατο ἀπὸ τῶν πραγμάτων τὴν παράκλησιν· ἐκ περιουσίας καὶ τὴν ἀπὸ τῶν λόγων ἐπάγει, 20 ἀπὸ τῆς μαρτυρίας ταύτης· «μὴ ἐκλύου», φησίν, «ὑπ' αὐτοῦ ἐλεγχόμενος». Ἄρα τοῦ Θεοῦ ταῦτά ἐστι. Καὶ τοῦτο δὲ εἰς παράκλησιν οὐ μικρόν, ὅταν μάθωμεν, ὅτι τοῦ Θεοῦ ἔργον ἐστὶ τὸ τοιαῦτα δυνηθῆναι, ἐκείνου συγχωροῦντος· καθάπερ καὶ Παῦλός φησιν· «ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι, 'ἀρκεῖ 25 σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται'». Ὥστε ἐκεῖνός ἐστιν ὁ συγχωρῶν.

«Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται». Οὐκ ἔχεις, φησίν, εἰπεῖν ὅτι ἔστι τις δίκαιος θλίψεως χωρίς· κἂν γὰρ οὕτω φαίνηται, ἀλλ' οὐκ ἴσμεν ἡμεῖς τὰς ἄλλας 30 θλίψεις· ὥστε πάντα δίκαιον ἀνάγκη διὰ θλίψεως ἐλθεῖν. Ἀπόφα-

1. Α' Κορ. 10,13.
2. Β' Κορ. 12,8–9.
3. Παρμ. 3,12.

ἀλλ', ἀφοῦ τοὺς ἔδειξε ὅλους ἐκείνους ποὺ ἔμειναν σταθεροὶ μέχρις αἵματος, ἔπειτα, ἀφοῦ πρόσθεσε τὸ καύχημα τοῦ Χριστοῦ τὰ παθήματα, τότε εὔκολα τοὺς κατηγόρησε. Αὐτὸ καὶ στοὺς Κορινθίους γράφοντας λέγει· «πειρασμὸς δὲν σᾶς κατέλαβε ἄλλος, παρὰ μόνο ἀνάλογος πρὸς τὶς ἀνθρώπινες δυνάμεις»[1]· δηλαδὴ μικρός· καθόσον εἶναι ἀρκετὸ αὐτὸ νὰ συγκινήση καὶ ν' ἀνορθώση τὴν ψυχή, ὅταν κατανοήση, ὅτι ὑπάρχουν ἀκόμα δοκιμασίες ποὺ δὲν τὶς ὑπέφερε, καὶ πείση τὸν ἑαυτό της ἀπὸ ἐκείνους ποὺ τὶς δέχθηκαν προηγουμένως. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. Ἀκόμα δὲν θανατωθήκατε, ἡ ζημιά σας φθάνει μέχρι τὰ χρήματα, μέχρι τὴ δόξα, μέχρι τὴν καταδίωξι· ὁ Χριστὸς γιὰ σᾶς ἔχυσε τὸ αἷμα του, ἐνῶ ἐσεῖς οὔτε γιὰ τοὺς ἑαυτούς σας· αὐτὸς μέχρι θανάτου ἀγωνίσθηκε γιὰ τὴν ἀλήθεια, μαχώμενος γιὰ σᾶς· ἐνῶ ἐσεῖς ποτὲ δὲν θέσατε τὴν ὕπαρξί σας σὲ κινδύνους ποὺ ἀπειλοῦν μὲ θάνατο.

«Καὶ λησμονήσατε τὴ νουθεσία»· δηλαδή, κατεβάσατε τὰ χέρια καὶ παραλύσατε. «Δὲν ἀντισταθήκατε», λέγει, «στὴν ἁμαρτία ἀγωνιζόμενοι μέχρις αἵματος». Ἐδῶ δείχνει ὅτι καὶ ἡ ἐπίθεσις τῆς ἁμαρτίας εἶναι ὑπερβολικὴ καὶ ὁπλισμένη· διότι τό, «ἀντισταθήκατε», ἔχει λεχθῆ γι' αὐτοὺς ποὺ συνεχίζουν τὸν ἀγῶνα τους. «Ξεχάσατε», λέγει, «τὴ νουθεσία τοῦ Θεοῦ, ὅταν σᾶς μιλάη σὰν παιδιά του· 'παιδί μου μὴν παραμελῆς τὴν διαπαιδαγώγησι τοῦ Κυρίου, καὶ μὴν ἀποθαρρύνεσαι, ὅταν ἐλέγχεσαι ἀπὸ τὸν Κύριο». Τοὺς παρηγόρησε μὲ τὰ ἴδια τὰ πράγματα· προσθέτει καὶ τὴν σὲ βαθμὸ μεγάλο παρηγοριὰ ἀπὸ τοὺς λόγους, ἀπὸ τὴ μαρτυρία αὐτή· «μὴν ἀποθαρρύνεσαι», λέγει, «ὅταν ἐλέγχεσαι ἀπὸ τὸν Κύριο». Ἑπομένως τοῦ Θεοῦ εἶναι αὐτά. Καὶ αὐτὸ εἶναι σὲ θέσι νὰ προσφέρη μεγάλη παρηγοριά, ὅταν μαθαίνουμε ὅτι οἱ θλίψεις εἶναι ἔργο τοῦ Θεοῦ, ἐκεῖνος τὶς ἐπιτρέπει· ὅπως καὶ ὁ Παῦλος λέγει· «γιὰ τὸν πειρασμὸ αὐτὸ τρεῖς φορὲς παρακάλεσα τὸν Κύριο νὰ μοῦ τὸν ἀπομακρύνη καὶ μοῦ εἶπε ὁ Κύριος· σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου· διότι ἡ δύναμίς μου ἀποδεικνύεται τέλεια ὅταν ὁ ἄνθρωπος εἶναι ἀδύναμος»[2]. Ὥστε ἐκεῖνος εἶναι ποὺ τὰ ἐπιτρέπει.

«Διότι ὁποιον ἀγαπᾶ ὁ Κύριος τὸν παιδαγωγεῖ, καὶ μαστιγώνει κάθε παιδί του ποὺ τὸ ἀποδέχεται ὡς δικό του»[3]. Δὲν μπορεῖς, λέγει, νὰ πῆς ὅτι ὑπάρχει κάποιος δίκαιος χωρὶς θλῖψι· διότι, κι' ἂν ἔτσι φαίνεται, ὅμως δὲν γνωρίζουμε ἐμεῖς τὶς ἄλλες θλίψεις· ὥστε

σις γάρ ἐστι τοῦ Χριστοῦ, ὅτι ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς ἀπάγει εἰς τὴν ἀπώλειαν, ἡ δὲ στενὴ καὶ τεθλιμμένη εἰς τὴν ζωήν. Εἰ τοίνυν ἐκεῖθεν ἔστιν ἐλθεῖν εἰς τὴν ζωήν, ἄλλοθεν δὲ οὐκ ἔνι, ἄρα διὰ τῆς στενῆς πάντες εἰσῆλθον, ὅσοι πρὸς τὴν ζωὴν ἀπῆλθον. «Εἰ 5 παιδείαν ὑπομένετε», φησίν, «ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ;». Εἰ παιδεύει, ἄρα εἰς διόρθωσιν, ἀλλ' οὐκ εἰς κόλασιν, οὐδὲ εἰς τιμωρίαν, οὐδὲ εἰς τὸ κακῶς παθεῖν.

Ὅρα, ὅθεν ἐνόμιζον ἐγκαταλελεῖφθαι, ἀπὸ τούτων φησὶν αὐ- 10 τοὺς πιστεύειν, ὅτι οὐκ ἐγκαταλελειμμένοι εἰσίν. Ὡς ἂν εἰ ἔλεγεν· Ἐπειδὴ τοσαῦτα ἐπάθετε κακά, νομίζετε ὅτι ἀφῆκεν ὑμᾶς ὁ Θεὸς καὶ μισεῖ; Εἰ μὴ ἐπάθετε, τότε ἔδει τοῦτο ὑποπτεύειν· εἰ γὰρ πάντα υἱὸν μαστιγοῖ, ὃν παραδέχεται, ὁ μὴ μαστιζόμενος, ἴσως οὐχ υἱός. Τί οὖν; φησί· πονηροὶ οὐ πάσχουσι κακῶς; Πάσχουσι μέν· πῶς 15 γὰρ οὔ; ἀλλ' οὐκ εἶπε, 'πᾶς ὁ μαστιζόμενος', υἱός, ἀλλά, «πᾶς ὁ υἱὸς μαστιγοῦται». Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· εἰσὶ μὲν γὰρ μαστιζόμενοι πολλοὶ καὶ πονηροί, οἷον ἀνδροφόνοι, λησταί, γόητες, τυμβωρύχοι. Ἀλλ' ἐκεῖνοι τῆς ἰδίας πονηρίας διδόασι δίκην, καὶ οὐχ ὡς υἱοὶ μαστιγοῦνται, ἀλλ' ὡς κακοὶ κολάζονται· ὑμεῖς δὲ ὡς υἱοί· 20 Ὁρᾷς πῶς πάντοθεν κινεῖ λογισμούς, ἀπὸ πραγμάτων τῶν ἐν τῇ Γραφῇ, ἀπὸ ρημάτων, ἀπὸ ἐννοιῶν οἰκείων, ἀπὸ παραδειγμάτων τῶν ἐν τῷ βίῳ; Εἶτα πάλιν καὶ ἀπὸ τῆς κοινῆς συνηθείας. Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.

25 2. Ὁρᾷς ὅτι, ὅπερ ἔφθην εἰπών, οὐκ ἔνι μὴ παιδευόμενον εἶναι υἱόν; Ὥσπερ γὰρ ἐν ταῖς οἰκίαις τῶν νόθων καταφρονοῦσιν οἱ πατέρες, κἂν μηδὲν μανθάνωσι, κἂν μὴ ἔνδοξοι γίνωνται, τῶν δὲ γνησίων ἕνεκεν υἱῶν δεδοίκασι μήποτε ῥᾳθυμήσωσι, τοῦτο καὶ ἐπὶ τοῦ παρόντος. Εἰ τοίνυν τὸ μὴ παιδεύεσθαι νόθων ἐστί, δεῖ χαίρειν

κάθε δίκαιος εἶναι ἀνάγκη νὰ περάση διὰ μέσου τῶν θλίψεων. Εἶναι διακήρυξις τοῦ Χριστοῦ, ὅτι ἡ πλατειὰ καὶ εὐρύχωρη ὁδὸς ὁδηγεῖ στὴν ἀπώλεια, ἐνῶ ἡ στενὴ καὶ γεμάτη θλίψεις στὴ ζωή. Ἐὰν λοιπὸν μέσω τῶν θλίψεων εἶναι δυνατὸ νὰ εἰσέλθη κανεὶς στὴ ζωή, καὶ δὲν εἶναι δυνατὸ μὲ ἄλλον τρόπο, ἄρα διὰ τῆς στενῆς πύλης ὅλοι εἰσῆλθαν, ὅσοι μετέβηκαν πρὸς τὴ ζωή. Ἐάν, λέγει, ὑπομένετε τὴν παιδαγωγία, ὁ Θεὸς ἔρχεται κοντά σας σὰν πρὸς παιδιά του. Διότι ποιός υἱὸς ὑπάρχει ποὺ δὲν τὸν παιδαγωγεῖ ὁ πατέρας; Ἐὰν τὸν παιδαγωγῆ, ἄρα τὸ κάνει γιὰ τὴ διόρθωσί του, καὶ ὄχι γιὰ τὴν τιμωρία καὶ τὸν βασανισμό του.

Πρόσεχε, ἀπὸ ἐκεῖνα ἀπὸ τὰ ὁποῖα πίστευαν ὅτι εἶχαν ἐγκαταλειφθῆ ἀπὸ τὸν Θεό, ἀπὸ αὐτὰ λέγει ὅτι πρέπει νὰ πιστεύουν, ὅτι δὲν εἶναι ἐγκαταλειμμένοι. Σὰν νὰ τοὺς ἔλεγε· ἐπειδὴ τόσα μεγάλα κακὰ ἐπάθατε, νομίζετε ὅτι σᾶς ἐγκατέλειψε ὁ Θεὸς καὶ σᾶς μισεῖ; Ἐὰν δὲν τὰ παθαίνατε, τότε ἔπρεπε νὰ ἔχετε αὐτὴν τὴν ὑπόνοια· διότι, ἐὰν μαστιγώνη τὸν κάθε υἱό του ποὺ τὸν ἀποδέχεται, ἐκεῖνος ποὺ δὲν μαστιγώνεται, ἴσως δὲν εἶναι υἱός. Τί λοιπόν; λέγει· οἱ πονηροὶ δὲν ὑφίστανται κακοπαθήματα; Βεβαίως ὑφίστανται· διότι πῶς ὄχι; Ἀλλὰ δὲν εἶπε, 'καθένας ποὺ μαστιγώνεται εἶναι υἱός', ἀλλὰ «καθένας ποὺ εἶναι υἱὸς μαστιγώνεται». Ἀλλὰ δὲν θὰ μπορέσης ν' ἀπαντήσης· διότι ὑπάρχουν καὶ πολλοὶ πονηροὶ ποὺ μαστιγώνονται, ὅπως ἀνδροφόνοι, ληστές, μάγοι, τυμβωρύχοι. Ὅλοι ἐκεῖνοι τιμωροῦνται γιὰ τὴν κακία τους, καὶ δὲν μαστιγώνονται σὰν υἱοί, ἀλλὰ τιμωροῦνται ὡς κακοποιοί· ἐνῶ ἐσεῖς ὡς υἱοί. Βλέπεις πῶς ἀπὸ παντοῦ παρουσιάζει συλλογισμούς, ἀπὸ τὰ θέματα τῆς Γραφῆς, ἀπὸ λόγια, ἀπὸ γνωστὲς ἔννοιες, ἀπὸ παραδείγματα τῆς ζωῆς; Ἔπειτα πάλι καὶ ἀπὸ τὴν κοινὴ συνήθεια. Ἀλλὰ ἐὰν εἶσθε χωρὶς παιδαγωγία, τῆς ὁποίας μέτοχοι ἔχουν γίνει ὅλοι, ἄρα εἶστε νόθοι καὶ ὄχι υἱοί.

2. Βλέπεις ὅτι, ὅπως εἶπα προηγουμένως, δὲν εἶναι δυνατὸ νὰ εἶναι υἱὸς ἐκεῖνος ποὺ δὲν παιδαγωγεῖται; Διότι, ὅπως ἀκριβῶς μέσα στὶς οἰκογένειες οἱ πατέρες ἀδιαφοροῦν γιὰ τὰ νόθα παιδιά, εἴτε αὐτὰ δὲν μάθουν τίποτε εἴτε δὲν γίνουν ἔνδοξα, ἐνῶ γιὰ τὰ γνήσια παιδιά τους ἀγωνιοῦν μήπως δείξουν ἀδιαφορία, ἔτσι καὶ στὴν περίπτωσι αὐτή. Ἐφ' ὅσον ἡ ἔλλειψις παιδαγωγίας εἶναι γνώρισμα τῶν νόθων υἱῶν, πρέπει νὰ χαίρεσθε γιὰ τὴν παιδαγωγία, ἐφ' ὅσον

ἐπὶ τῇ παιδείᾳ, εἴγε γνησιότητος τοῦτο ἔστω. Ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· διὰ τοῦτο αὐτό φησιν. Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα, οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν;

5 *Πάλιν ἀπὸ τῶν οἰκείων παθημάτων, ἀφ' ὧν αὐτοὶ ἔπασχον, ἡ προτροπή. Ὥσπερ γὰρ ἐκεῖ λέγει, «ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας», οὕτω καὶ ἐνταῦθα, «ὁ Θεός», φησίν, «ὡς υἱοῖς ὑμῖν προσφέρεται», καὶ οὐκ ἂν ἔχοιτε εἰπεῖν, ὅτι οὐ δυνάμεθα φέρειν, καὶ ὡς υἱοῖς ποθεινοῖς. Εἰ δὲ τοὺς πατέρας αἰδοῦνται τοὺς σαρκι-*
10 *κοὺς ἐκεῖνοι, πῶς ὑμεῖς τὸν Πατέρα τὸν ἐπουράνιον οὐκ αἰδεσθήσεσθε; Καίτοι οὐκ ἀπὸ τούτου μόνον ἡ διαφορὰ καὶ ἀπὸ προσώπων, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς αἰτίας καὶ ἀπὸ τοῦ πράγματος· οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς οὗτος κἀκεῖνοι παιδεύουσι. Διὸ καὶ ἐπάγει· «οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον»· τουτέ-*
15 *στιν, ἡδονὴν πληροῦντες πολλάκις καὶ οὐ πανταχοῦ τὸ συμφέρον ὁρῶντες. Ἐνταῦθα δὲ οὐκ ἔστι τοῦτο εἰπεῖν· οὐ γὰρ διά τι τῶν αὐτοῦ ποιεῖ, ἀλλὰ δι' ὑμᾶς καὶ τὴν ὠφέλειαν μόνην τὴν ὑμετέραν· ἐκεῖνοι, ἵνα καὶ αὐτοῖς χρήσιμοι γένησθε, πολλάκις δὲ καὶ εἰκῇ· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστιν.*

20 *Ὁρᾷς ὅτι καὶ τοῦτο φέρει παράκλησιν; Μάλιστα γὰρ ἐκείνοις οἰκειούμεθα, ὅταν ἴδωμεν ὅτι οὐ διά τι τῶν αὐτῶν ἢ ἐπιτάττουσιν ἢ παραινοῦσιν, ἀλλ' ὁλόκληρος ἡ σπουδὴ διὰ τὸ ἡμέτερον γίνεται. Τοῦτο γάρ ἐστιν εἰλικρινὴς ἀγάπη καὶ ὄντως ἀγάπη, ὅταν μηδὲν ὄντες τῷ φιλοῦντι χρήσιμοι, φιλώμεθα παρ' αὐτοῦ. Φιλούμεθα γάρ,*
25 *οὐχ ἵνα λάβῃ, ἀλλ' ἵνα δῷ· παιδεύει, πάντα ποιεῖ, πάντα σπουδάζει, ὥστε γενέσθαι ἡμᾶς δεκτικοὺς τῶν ἀγαθῶν τῶν αὐτοῦ. «Οἱ μέν», γάρ φησι, «πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ». Τί ἐστι, «τῆς ἁγιότητος αὐτοῦ»; Τουτέστι, τῆς καθαρότητος, ὥστε*

αὐτὴ εἶναι ἀπόδειξις τῆς γνησιότητάς σας. Σὰν παιδιά του σᾶς συμπεριφέρεται ὁ Θεός· γι' αὐτὸ τὸ λέγει αὐτό. Ἔπειτα τοὺς σαρκικούς μας πατέρες ὅταν μᾶς τιμωροῦσαν τοὺς ντρεπόμασταν, καὶ δὲν θὰ ὑποταχθοῦμε πολὺ περισσότερο στὸν Πατέρα τῶν πνευμάτων, γιὰ νὰ ζήσουμε;

Πάλι ἡ προτροπὴ γίνεται ἀπὸ τὰ γνωστὰ σ' αὐτοὺς παθήματα, ἀπὸ αὐτὰ ποὺ οἱ ἴδιοι ὑπέφεραν. Διότι, ὅπως ἀκριβῶς ἐκεῖ λέγει, «νὰ θυμᾶσθε τὶς πρῶτες ἡμέρες», ἔτσι καὶ ἐδῶ λέγει, «ὁ Θεὸς σᾶς συμπεριφέρεται σὰν παιδιά του», καὶ δὲν μπορεῖτε νὰ πῆτε, ὅτι δὲν μποροῦμε νὰ τὰ ὑποφέρουμε, καὶ μάλιστα σὰν παιδιά του ἀγαπητά. Καὶ ἐὰν ἐκεῖνοι σέβωνται τοὺς σαρκικούς τους πατέρες, πῶς ἐσεῖς δὲν θὰ σεβασθῆτε τὸν Πατέρα τὸν ἐπουράνιο; Ἂν καὶ ἡ διαφορὰ δὲν φαίνεται μόνο ἀπὸ αὐτὸ καὶ ἀπὸ τὰ πρόσωπα, ἀλλὰ καὶ ἀπὸ τὴν ἴδια τὴν προτροπὴ καὶ ἀπὸ τὸ ἴδιο τὸ γεγονός· καθόσον δὲν παιδαγωγοῦν γιὰ τὰ ἴδια πράγματα ὁ Θεὸς καὶ οἱ πατέρες. Γι' αὐτὸ καὶ προσθέτει· Διότι ἐκεῖνοι μᾶς παιδαγωγοῦσαν γιὰ λίγες ἡμέρες καὶ σύμφωνα μὲ τὴν κρίσι τους»· δηλαδὴ πολλὲς φορὲς ἀπέβλεπαν στὴ δική τους ἱκανοποίησι καὶ ὄχι πάντα στὸ δικό μας συμφέρον. Ἐδῶ ὅμως δὲν εἶναι δυνατὸ νὰ τὸ ποῦμε αὐτό· διότι δὲν τὸ κάνει αὐτὸ ἀποβλέποντας στὴ δική του ἱκανοποίησι, ἀλλὰ γιὰ σᾶς καὶ γιὰ τὴ δική σας καὶ μόνο ὠφέλεια· ἐκεῖνοι γιὰ νὰ γίνεται χρήσιμοι καὶ σ' αὐτούς, καὶ πολλὲς φορὲς καὶ χωρὶς αἰτία, ἐνῶ ἐδῶ δὲν ὑπάρχει κάτι τέτοιο.

Βλέπεις ὅτι καὶ αὐτὸ παρηγορεῖ; Διότι ἐκείνους κυρίους πλησιάζουμε, ὅταν δοῦμε ὅτι δὲν διατάσσουν ἢ δὲν συμβουλεύουν γιὰ δικό τους ὄφελος, ἀλλὰ ὅλη ἡ φροντίδα τους ἀποβλέπει στὸ δικό μας συμφέρον. Πράγματι αὐτὸ εἶναι εἰλικρινὴς ἀγάπη, καὶ ἀγάπη πραγματική, ὅταν, χωρὶς νὰ εἴμαστε καθόλου χρήσιμοι σ' ἐκεῖνον ποὺ μᾶς ἀγαπᾶ, ἀγαπιώμαστε ἀπ' αὐτόν. Διότι μᾶς ἀγαπᾶ, ὄχι γιὰ νὰ λάβη, ἀλλὰ γιὰ νὰ δώση· παιδαγωγεῖ, ὅλα τὰ κάνει, φροντίζει γιὰ ὅλα, γιὰ νὰ μπορέσουμε ἐμεῖς νὰ δεχθοῦμε τὰ ἀγαθά του. Διότι λέγει, «ὁ σαρκικοὶ πατέρες γιὰ τὸ μικρὸ χρονικὸ διάστημα αὐτῆς τῆς ζωῆς μᾶς παιδαγωγοῦσαν ὅπως φαινόταν καλὸ σ' αὐτούς, ἐνῶ ὁ Θεὸς μᾶς παιδαγωγεῖ γιὰ τὸ συμφέρον μας, γιὰ νὰ γίνουμε μέτοχοι τῆς ἁγιότητάς του». Τί σημαίνει, «τῆς ἁγιότητος αὐτοῦ»; Δηλαδή, τῆς καθαρότητας, ὥστε νὰ γίνουμε ἄξιοί του, ὅσο εἶναι δυ-

ἀξίους αὐτοῦ γενέσθαι κατὰ δύναμιν. Ἐκεῖνος σπουδάζει ἵνα λάβητε, καὶ πάντα ποιεῖ ἵνα δῷ ὑμῖν· ὑμεῖς δὲ οὐ σπουδάζετε ἵνα λάβητε. «Εἶπον», φησί, «τῷ Κυρίῳ, Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις».

5 *«Εἶτα», φησί, «τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδεύοντας καὶ ἐνετρεπόμεθα, οὐ πολλῷ δὲ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν;». «Τῷ Πατρὶ τῶν πνευμάτων»· ἤτοι τῶν χαρισμάτων λέγει, ἤτοι τῶν εὐχῶν, ἤτοι τῶν ἀσωμάτων δυνάμεων. Ἐὰν οὕτως ἀποθνήσκωμεν, τότε ζησό-*
10 *μεθα. Καὶ καλῶς εἶπεν. «Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας ἐπαίδευον κατὰ τὸ δοκοῦν αὐτοῖς»· οὐ γὰρ πανταχοῦ τὸ δοκοῦν συμφέρον· οὗτος δὲ «πρὸς τὸ συμφέρον».*

3. Ἄρα ἡ παιδεία συμφέρον, ἄρα ἡ παιδεία μετάληψις ἁγιότητός ἐστι. Καὶ σφόδρα γε· ὅταν γὰρ ῥᾳθυμίαν ἐκβάλλῃ, ὅταν ἐπιθυ-
15 *μίαν πονηράν, ὅταν ἔρωτα τῶν βιωτικῶν πραγμάτων, ὅταν συστρέφῃ τὴν ψυχήν, ὅταν ποιῇ καταγνῶναι τῶν ἐνταῦθα πάντων (τοιοῦτο γὰρ ἡ θλῖψις), οὐχὶ ἁγία γίνεται; οὐχὶ τοῦ Πνεύματος ἐπισπᾶται τὴν χάριν; Ἐννοήσωμεν τοιγαροῦν ἀεὶ τοὺς δικαίους καὶ ἴδωμεν πόθεν πάντες ἔλαμψαν, καὶ πρὸ πάντων, ὁ Ἄβελ, ὁ Νῶε·*
20 *ἆρα γὰρ οὐχὶ ἀπὸ θλίψεως; Οὐ γὰρ ἔστι τὸν μόνον ὄντα ἐν τῷ τοσούτῳ πλήθει τῶν κακῶν μὴ θλίβεσθαι. «Νῶε» γάρ, φησί, «μόνος τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησεν». Ἐννόησον γάρ μοι, εἰ νῦν μυρίους ἔχοντες ὧν ζηλώσομεν τὴν ἀρετήν, καὶ πατέρας καὶ διδασκάλους, οὕτω θλιβόμεθα, τί παθεῖν ἐκεῖνον εἰκὸς*
25 *ἦν μόνον μεταξὺ τοσούτων; ἀλλὰ τὰ κατὰ τὸν ὑετὸν εἴπω τὸν ξένον ἐκεῖνον καὶ παράδοξον; ἀλλὰ τὸν Ἀβραὰμ εἴπω, καὶ ἃ τοῦτον συνέβη παθεῖν, οἷον, τὰς ἀποδημίας τὰς ἐπαλλήλους, τὴν τῆς γυναικὸς ἁρπαγήν, τοὺς κινδύνους, τοὺς πολέμους, τοὺς πειρασμούς; Ἀλλὰ τὸν Ἰακώβ, ὅσα πέπονθε δεινά, ἐλαυνόμενος πάντοθεν καὶ*
30 *πονῶν εἰκῇ καὶ ἑτέροις μοχθῶν; πάντας μὲν γὰρ αὐτοῦ τοὺς πειρασμοὺς καταλέγειν οὐκ ἀναγκαῖον, τὴν δὲ μαρτυρίαν παρενεγκεῖν εὔλογον, ἣν καὶ αὐτὸς διαλεγόμενος τῷ Φαραὼ ἔλεγε· «μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέ-*

4. Ψαλμ. 15,2.

νατό. Ἐκεῖνος φροντίζει γιὰ νὰ λάβετε, καὶ ὅλα τὰ κάνει γιὰ νὰ δώση τὶς δωρεές του, ἐνῶ ἐσεῖς δὲν φροντίζετε γιὰ νὰ τὶς λάβετε. «Εἶπα», λέγει, «στὸν Κύριο, ἐσὺ εἶσαι ὁ Κύριός μου, διότι δὲν ἔχεις ἀνάγκη ἀπὸ τὰ ὑλικά μου ἀγαθά»[4].

«Ἔπειτα», λέγει, «τοὺς σαρκικούς μας πατέρες τοὺς εἴχαμε παιδευτὲς καὶ τοὺς ντρεπόμασταν, καὶ δὲν θὰ ὑποταχθοῦμε πολὺ περισσότερο στὸν Θεό, τὸν Πατέρα τῶν πνευμάτων, γιὰ νὰ ζήσουμε;». «Στὸν Πατέρα τῶν πνευμάτων»· ἢ ἐννοεῖ τὸν Πατέρα τῶν χαρισμάτων, ἢ τῶν εὐχῶν, ἢ τῶν ἀσωμάτων δυνάμεων. Ἐὰν ἔτσι πεθάνουμε, τότε θὰ ζήσουμε. Καὶ σωστὰ εἶπε. Διότι «οἱ σαρκικοὶ πατέρες μᾶς διαπαιδαγωγοῦσαν γιὰ τὸν λίγο χρόνο αὐτῆς τῆς ζωῆς, ὅπως φαινόταν καλὸ σ' αὐτούς»· διότι δὲν ἦταν παντοῦ συμφέρον μας αὐτὸ ποὺ τοὺς φαίνονταν σωστό· ἐνῶ ὁ Θεὸς ἀποβλέπει πάντα στὸ συμφέρον μας.

3. Ἄρα ἡ παιδεία εἶναι ὠφέλιμη, ἄρα ἡ παιδεία εἶναι μετάληψις ἁγιότητας. Καὶ πολὺ μάλιστα. Διότι, ὅταν ἀπομακρύνη τὴν ραθυμία, τὴν πονηρὴ ἐπιθυμία, τὸν ἔρωτα τῶν βιωτικῶν πραγμάτων, ὅταν μεταμορφώνη τὴν ψυχή, ὅταν τὴν κάνη νὰ καταδικάζη ὅλα τὰ ἐπίγεια (καθόσον τέτοια εἶναι ἡ θλῖψις), δὲν γίνεται ἁγία; δὲν προσελκύει τὴ χάρι τοῦ ἁγίου Πνεύματος; Ἂς ἔχουμε πάντοτε στὸ νοῦ μας τοὺς δικαίους, καὶ ἂς δοῦμε πῶς ὅλοι αὐτοὶ ἔλαμψαν, καὶ πρὸ πάντων ὁ Ἄβελ, ὁ Νῶε· ἄραγε δὲν ἔλαμψαν ἐξ αἰτίας τῆς θλίψεως; Καθόσον δὲν εἶναι δυνατὸ νὰ μὴ θλιβόταν αὐτὸς ποὺ ἦταν ὁ μόνος δίκαιος μέσα σὲ τόσο πλῆθος κακῶν. Διότι λέγει, ὁ Νῶε, ὁ ὁποῖος ἦταν ὁ μόνος τέλειος στὴν γενιά του, εὐαρέστησε τὸν Θεό. Σκέψου λοιπόν, σὲ παρακαλῶ, ἐὰν τώρα, ἔχοντας τόσους πολλοὺς πρὸς μίμησι τῆς ἀρετῆς τους, καὶ πατέρες, καὶ διδασκάλους, τόσο θλιβόμαστε, τί ἦταν φυσικὸ νὰ πάθη ἐκεῖνος, ποὺ ἦταν ὁ μόνος ἐνάρετος μεταξὺ τόσων πολλῶν; Ἀλλὰ νὰ πῶ τὰ σχετικὰ μὲ τὴν βροχὴ ἐκείνη τὴν ἄγνωστη καὶ παράδοξη; ἢ νὰ ἀναφέρω τὸν Ἀβραὰμ καὶ ὅσα ἐκεῖνος ἔπαθε, δηλαδή, τὶς συνεχεῖς ἀποδημίες, τὴν ἁρπαγὴ τῆς γυναίκας του, τοὺς κινδύνους, τοὺς πολέμους, τοὺς πειρασμούς; Ἀλλὰ ν' ἀναφέρω τὸν Ἰακὼβ καὶ τὰ τόσα δεινὰ ποὺ ὑπέφερε, ἐνῶ τὸν κατεδίωκαν ἀπὸ παντοῦ, καὶ κοπίαζε ἄδικα καὶ μοχθοῦσε γιὰ ἄλλους; Πράγματι δὲν εἶναι ἀναγκαῖο ν' ἀναφέρω ὅλες τὶς δοκιμασίες του, εἶναι ὅμως σωστὸ ν' ἀναφέρω τὴν μαρτυρία ποὺ καὶ αὐτὸς ἔλεγε συ-

ρων μου». Ἀλλὰ τὸν Ἰωσὴφ εἴπω; ἀλλὰ τὸν Μωϋσέα; ἀλλὰ τὸν Ἰησοῦν; ἀλλὰ τὸν Δαυΐδ; ἀλλὰ τὸν Σαμουήλ; ἀλλὰ τὸν Ἠλίαν; ἀλλὰ τὸν Δανιήλ; ἀλλὰ τοὺς προφήτας πάντας; Ἀλλὰ τούτους ἅπαντας ἀπὸ τῶν θλίψεων λαμπροὺς εὑρήσεις γενομένους.

5 *Εἰπὲ οὖν μοι σύ, ἀπὸ ἀνέσεως καὶ τρυφῆς λαμπρὸς βούλει γενέσθαι; Ἀλλ' οὐκ ἂν δύναιο. Ἀλλὰ τοὺς ἀποστόλους εἴπω; Ἀλλὰ καὶ οὗτοι πάντας ὑπερηκόντισαν τοῖς λυπηροῖς. Τί ταῦτα λέγω; καὶ ὁ Χριστὸς τοῦτό φησιν· «ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»· καὶ πάλιν, «κλαύσετε καὶ θρηνήσετε ὑμεῖς· ὁ δὲ κόσμος χαρήσεται». Καὶ «ὅτι* 10 *στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν». Ὁ τῆς ὁδοῦ Κύριος εἶπεν, ὅτι «στενὴ καὶ τεθλιμμένη», σὺ δὲ τὴν πλατεῖαν ζητεῖς; καὶ πῶς οὐκ ἄτοπον; Διὰ τοῦτο οὐκ ἐπιτεύξῃ τῆς ζωῆς, ἑτέραν βαδίζων, ἀλλὰ τῆς ἀπωλείας· τὴν γὰρ ἐκεῖ φέρουσαν εἵλου.*

Βούλει εἴπω καὶ παραγάγω εἰς μέσον τοὺς ἐν τρυφῇ; Ἀπὸ 15 *τῶν ἐσχάτων ἐπὶ τους πρώτους ἀνέλθωμεν. Ὁ πλούσιος ὁ καιόμενος ἐν τῇ καμίνῳ, οἱ τῇ γαστρὶ ζῶντες Ἰουδαῖοι, ὧν ὁ Θεὸς ἡ κοιλία, οἱ ἐν τῇ ἐρήμῳ ἐπιζητοῦντες ἀεὶ ἄνεσιν, διὰ τί ἀπώλοντο; ὥσπερ καὶ οἱ ἐπὶ τοῦ Νῶε, οὐκ ἐπειδὴ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον εἵλοντο βίον; Καὶ οἱ ἐν Σοδόμοις διὰ γαστριμαργίαν· «ἐν* 20 *πλησμονῇ», γάρ φησιν, «ἄρτων ἐσπατάλων». Τοῦτο περὶ τῶν ἐν Σοδόμοις εἴρηται. Εἰ δὲ ἄρτων πλησμονὴ τοσοῦτον κακὸν εἰργάσατο, τί ἂν εἴποιμεν περὶ τῶν ἄλλων καρυκευμάτων;*

Ὁ Ἡσαῦ οὐχὶ ἐν ἀνέσει ἦν; τί δὲ οἱ ἰδόντες τὰς γυναῖκας τῶν υἱῶν τοῦ Θεοῦ καὶ κατὰ κρημνῶν ἀχθέντες; Τί δὲ οἱ τοῖς ἄρρεσιν 25 *ἐπιμαινόμενοι; Πάντες δὲ οἱ βασιλεῖς τῶν ἐθνῶν, Βαβυλωνίων, Αἰγυπτίων, οὐχὶ κακῶς τὴν ζωὴν κατέστρεψαν; οὐχὶ ἐν κολάσει εἰσί; Τὰ δὲ νῦν, εἰπέ μοι, οὐ τοιαῦτα; Ἄκουε τοῦ Χριστοῦ λέγοντος· «οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν»·*

5. Γέν. 47,9.
6. Ἰω. 16,33.
7. Ἰω. 16,20.
8. Ματθ. 7,14.
9. Ἰεζ. 16,49.

ζητώντας μὲ τὸν Φαραώ· «εἶναι λίγα καὶ βασανισμένα τὰ χρόνια τῆς ζωῆς μου· δὲν ἔφθασαν τὰ χρόνια τῶν προγόνων μου»[5]. Ἀλλὰ ν' ἀναφέρω τὸν Ἰωσήφ; τὸν Μωϋσῆ; τὸν Ἰησοῦ; τὸν Δαυΐδ; τὸν Σαμουήλ; τὸν Ἠλία; ἢ νὰ ἀναφέρω ὅλους τοὺς προφῆτες; Ὅμως ὅλοι αὐτοὶ θὰ βρῆς ὅτι ἔγιναν λαμπροὶ ἐξ αἰτίας τῶν θλίψεων.

Πές μου λοιπὸν ἐσὺ θέλεις νὰ γίνης λαμπρὸς μέσω τῆς ἀνέσεως καὶ τῆς τρυφῆς ; Ὅμως δὲν θὰ τὸ κατορθώσης. Μήπως θέλεις ν' ἀναφέρω τοὺς ἀποστόλους; Ἀλλὰ καὶ αὐτοὶ ὅλοι ξεπέρασαν τὶς θλίψεις. Γιατί τὰ λέγω αὐτά; Καὶ ὁ Χριστὸς τὸ λέγει αὐτό· «ἐφ' ὅσον εἶσθε μέσα στὸν κόσμο θὰ ἔχετε θλίψεις»[6]· καὶ πάλι· «θὰ κλάψετε καὶ θὰ θρηνήσετε ἐσεῖς· ἐνῶ ὁ κόσμος θὰ χαρῆ»[7]· καὶ «ὅτι εἶναι στενὴ καὶ γεμάτη δυσκολίες ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὴν αἰώνια ζωή»[8]. Ὁ Κύριος τῆς ὁδοῦ τῆς ζωῆς εἶπε, ὅτι εἶναι στενὴ καὶ γεμάτη θλίψεις ἡ ὁδός, καὶ ἐσὺ ζητεῖς τὴν πλατειὰ ὁδό; Καὶ πῶς δὲν εἶναι παράλογο; Γι' αὐτὸ δὲν θὰ ἐπιτύχης τὴ ζωή, ἐπειδὴ βαδίζεις ἄλλη ὁδό, ἀλλὰ τὴν ἀπώλεια· διότι προτίμησες τὴν ὁδὸ ποὺ ὁδηγεῖ ἐκεῖ.

Θέλεις νὰ ἀναφέρω καὶ νὰ παρουσιάσω αὐτοὺς ποὺ ζοῦν μέσα στὴν τρυφή; Ἀνατρέχοντας ἀπὸ τὶς ἡμέρες μας ἃς ἔλθουμε στοὺς παλαιοὺς χρόνους. Ὁ πλούσιος ὁ ὁποῖος καίγεται στὴν κάμινο, οἱ Ἰουδαῖοι ποὺ ζοῦν γιὰ τὴν κοιλιά τους, τῶν ὁποίων ὁ Θεὸς εἶναι ἡ κοιλιά, ἐκεῖνοι ποὺ ζοῦσαν στὴν ἔρημο καὶ ἐπιζητοῦσαν διαρκῶς τὴν ἄνεσι, γιατί καταστράφηκαν; Ὅπως ἀκριβῶς καὶ αὐτοὶ ποὺ ζοῦσαν ἐπὶ τῆς ἐποχῆς τοῦ Νῶε, δὲν καταστράφηκαν ἐπειδὴ προτίμησαν τὴν μαλθακὴ καὶ ἔκλυτη ζωή; Καὶ οἱ κάτοικοι τῶν Σοδόμων καταστράφηκαν ἐξ αἰτίας τῆς γαστριμαργίας· διότι λέγει, «λόγω τῆς μεγάλης ἀφθονίας τῶν ἄρτων, ἦταν βουτηγμένοι στὴν ἀκολασία»[9]. Αὐτὸ ἔχει λεχθῆ γιὰ τοὺς κατοίκους τῶν Σοδόμων. Ἀλλὰ ἐὰν ἡ ἀφθονία τῶν ἄρτων προξένησε τόσο μεγάλο κακό, τί θὰ μπορούσαμε νὰ ποῦμε γιὰ τὰ ἄλλα καρυκεύματα;

Ὁ Ἠσαῦ δὲν ζοῦσε μέσα στὴν ἄνεσι; Τί πάλι ἐκεῖνοι ποὺ εἶδαν τὶς γυναῖκες τῶν υἱῶν τοῦ Θεοῦ καὶ ἔπεσαν στὸν γκρεμὸ τῆς ἀκολασίας; Τί πάλι ἐκεῖνοι ποὺ ἐρωτεύθηκαν μὲ μανία τοὺς ἄνδρες; Καὶ ὅλοι οἱ βασιλεῖς τῶν ἐθνῶν, τῶν Βαβυλωνίων, τῶν Αἰγυπτίων, δὲν εἶχαν ἕναν ἄσχημο θάνατο; δὲν βρίσκονται στὴν κόλασι; Ἀλλὰ καὶ τώρα, πές μου, δὲν συμβαίνουν τὰ ἴδια; Ἄκουσε τὸ Χριστὸ ποὺ λέγει· «αὐτοὶ ποὺ φοροῦν μαλακὰ ἐνδύματα, ζοῦν στὰ βασιλικὰ

οἱ δε μὴ τὰ τοιαῦτα, ἐν τοῖς οὐρανοῖς. Τὸ γὰρ μαλακὸν ἱμάτιον καὶ τὴν αὐστηρὰν ἐκλύει ψυχὴν καὶ διακλᾷ καὶ διαχεῖ· κἂν τραχὺ λάβῃ σῶμα καὶ σκληρόν, ταχέως διὰ τῆς τοιαύτης τρυφεραγωγίας μαλακὸν ποιεῖ καὶ ἀσθενές. Πόθεν γὰρ οἴεσθε ἑτέρωθεν τὰς γυναῖκας 5 οὕτως εἶναι ἀσθενεῖς, εἰπέ μοι; ἆρα ἀπὸ τῆς φύσεως μόνης; Οὐδαμῶς, ἀλλὰ καὶ ἀπὸ τῆς ἀγωγῆς καὶ τῆς ἀνατροφῆς· ἡ γὰρ σκιατροφία, ἡ ἀργία, τὰ λουτρά, τὰ μύρα, τῶν ἀρωμάτων τὸ πλῆθος, τῆς στρωμνῆς ἡ ἁπαλότης, τοιαύτας αὐτὰς ἀπεργάζεται.

Καὶ ἵνα μάθῃς, πρόσεχε ᾧ λέγω. Ἀπὸ κήπου, εἰπέ μοι, τῶν 10 ἐν τῇ ἐρήμῳ ἑστώτων δένδρων καὶ δερομένων ὑπὸ τῶν ἀνέμων λαβὼν φυτόν, εἰς ὑγρὸν καὶ σύσκιον κατάθου τόπον· καὶ πολὺ ἀνάξιον εὑρήσεις ἐκείνου, ἀφ' οὗ παρὰ τὴν ἀρχὴν αὐτὸ ἔλαβες. Ὅτι δὲ τοῦτό ἐστιν ἀληθές, αἱ ἐπὶ τῶν ἀγρῶν τρεφόμεναι γυναῖκες, τῶν ἀστικῶν ἀνδρῶν εἰσιν ἰσχυρότεραι, καὶ πολλοὺς ἂν τοιούτους κα- 15 ταπαλαίσαιεν ἐκεῖναι. Τοῦ δὲ σώματος γενομένου μαλακωτέρου, ἀνάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς λύμης· τὰ γὰρ πολλὰ καὶ συνδιατίθενται αὐτῆς αἱ ἐνέργειαι τῇ τούτου διαθέσει. Καὶ γὰρ ἐν νόσοις ἕτεροί ἐσμεν διὰ τὸ μαλακίζεσθαι, καὶ ὑγιαίνοντες πάλιν ἕτεροι. Καθάπερ γὰρ ἐπὶ νευρᾶς, ὅταν ὦσιν οἱ φθόγγοι ἁπαλοὶ καὶ 20 μαλακοὶ καὶ μὴ διατεταμένοι καλῶς, καὶ ἡ τῆς τέχνης ἀρετὴ ὑποτέμνεται, ἀναγκαζομένη δουλεύειν τῇ μαλακίᾳ τῶν νευρῶν· οὕτω καὶ ἐπὶ τοῦ σώματος, πολλὰς ἀπ' αὐτοῦ δέχεται βλάβας καὶ ἡ ψυχή, πολλὰς ἀνάγκας. Ὅταν γὰρ πολλῆς δέηται θεραπείας, πικρὰν ὑπομένει τὴν δουλείαν ἐκείνη.

25 *Διό, παρακαλῶ, ἰσχυρὸν αὐτὸ ἐργαζώμεθα καὶ μὴ νοσηλεύωμεν. Οὐ πρὸς ἄνδρας μόνον, ἀλλὰ καὶ πρὸς γυναῖκας ὁ λόγος ἐμοί. Τί γὰρ συνεχῶς ἐκλύεις αὐτὸ τῇ τρυφῇ καὶ ἐξίτηλον ποιεῖς, ὦ γύναι; τί τὴν ἰσχὺν λυμαίνῃ στέασι; τὸ στέαρ χαυνότης ἐστὶ τούτῳ, οὐκ ἰσχύς. Ἐὰν δὲ τούτων ἀποστᾶσα, ἑτέρως ἄγῃς σεαυτήν, τότε 30 καὶ τὸ κάλλος τὸ σωματικὸν προχωρεῖ κατὰ γνώμην, ὅταν ἰσχὺς*

10. Ματθ. 11,8.

ἀνάκτορα»[10]· ἐνῶ ὅσοι δὲν τὰ φοροῦν αὐτά, εἶναι στοὺς οὐρανούς. Διότι τὸ μαλακὸ ἔνδυμα παραλύει καὶ τὴν αὐστηρὴ ψυχὴ καὶ τὴν διασπᾶ καὶ τὴν διασκορπίζει· κι' ἂν λάβη τραχὺ καὶ σκληρὸ σῶμα, γρήγορα μ' αὐτὴν τὴν πολυτέλεια τὸ κάνει μαλθακὸ καὶ ἀσθενικό. Διότι πές μου, ἀπὸ ποῦ ἀλλοῦ νομίζετε ὅτι οἱ γυναῖκες εἶναι τόσον ἀσθενεῖς; ἄραγε μόνο ἀπὸ τὴ φύσι τους; Ἀσφαλῶς ὄχι, ἀλλὰ καὶ ἀπὸ τὴν ἀγωγὴ καὶ τὴν ἀνατροφή· διότι ἡ ἀνατροφὴ στὴ σκιά, ἡ ἀργία, τὰ λουτρά, τὰ μύρα, τὰ πολλὰ ἀρώματα, ἡ ἀπαλότητα τοῦ στρώματος, τὶς κάνουν τέτοιες.

Καὶ γιὰ νὰ τὸ καταλάβης πρόσεχε αὐτὸ ποὺ θὰ πῶ. Ἀπὸ ἕναν κῆπο δένδρων, ποὺ βρίσκονται στὴν ἔρημο καὶ δέρνονται ἀπὸ τοὺς ἀνέμους, πάρε ἕνα φυτὸ καὶ τοποθέτησέ το σὲ τόπο ὑγρὸ καὶ σκιερό· θὰ δῆς ὅτι γρήγορα θὰ ἐξασθενήση καὶ θὰ χάση τὴν πρώτη του ἰκμάδα. Τὸ ὅτι αὐτὸ εἶναι ἀληθὲς φαίνεται καὶ ἀπὸ τὶς γυναῖκες ποὺ ζοῦν στὴν ὕπαιθρο καὶ εἶναι ἰσχυρότερες ἀπὸ τοὺς ἄνδρες τῶν πόλεων, καὶ πολλοὺς τέτοιους θὰ μποροῦσαν ἐκεῖνες νὰ καταβάλλουν στὴν πάλη. Καὶ ὅταν τὸ σῶμα γίνη μαλθακότερο, κατ' ἀνάγκη καὶ ἡ ψυχὴ δέχεται τὴ μαλθακότητα· διότι σὲ πολλὲς περιπτώσεις οἱ ψυχικὲς ἐνέργειες ἐξαρτῶνται ἀπὸ τὴ σωματικὴ διάθεσι. Πράγματι κατὰ τὴ διάρκεια ἀσθενειῶν διαφορετικοὶ εἴμαστε ἐξ αἰτίας τῆς μαλθακότητας καὶ διαφορετικοὶ πάλι ὅταν εἴμαστε ὑγιεῖς. Ὅπως ἀκριβῶς δηλαδὴ μὲ τὴν χορδὴ τοῦ ὀργάνου, ὅταν οἱ φθόγγοι εἶναι ἀπαλοὶ καὶ μαλακοὶ καὶ δὲν εἶναι καλὰ τεντωμένοι, καὶ ἡ ὑπεροχὴ τῆς τέχνης τοῦ μουσικοῦ μειώνεται, ἐπειδὴ ἀναγκάζεται νὰ ὑπηρετῆ τὴν ἀδυναμία τῶν χορδῶν· ἔτσι καὶ στὴν περίπτωσι τοῦ σώματος, πολλὲς βλάβες δέχεται ἀπὸ αὐτὸ καὶ ἡ ψυχή, πολλὲς ἀνάγκες. Διότι, ὅταν τὸ σῶμα ἔχει ἀνάγκη πολλῆς περιποιήσεως, καὶ ἡ ψυχὴ ὑπομένει τὴν πικρὴ σκλαβιά.

Γι' αὐτό, παρακαλῶ, νὰ τὸ διατηροῦμε ἰσχυρὸ καὶ νὰ μὴν τὸ νοσηλεύουμε. Ὁ λόγος μου δὲν ἀπευθύνεται μόνο στοὺς ἄνδρες, ἀλλὰ καὶ στὶς γυναῖκες. Γιατί, γυναίκα, παραλύεις συνεχῶς τὸ σῶμα σου μὲ τὴν τρυφὴ καὶ τὸ ἐξασθενεῖς; Γιατί μειώνεις τὴ δύναμί του μὲ τὸ πάχος; Τὸ πάχος τὸ ἀποχαυνώει δὲν τὸ ἐνδυναμώνει. Ἐὰν ὅμως ἀπομακρυνθῆς ἀπὸ αὐτὰ καὶ ἀσκῆς διαφορετικὰ τὸν ἑαυτό σου, τότε καὶ τὸ κάλλος τὸ σωματικὸ θὰ συμβαδίζη μὲ τὴ διάθεσι, ἐφ' ὅσον θὰ ὑπάρχη δύναμις καὶ σωματικὴ εὐρωστία· ἐὰν ὅμως τὸ

καὶ εὐεξία παρῇ· ἂν μέντοι μυρίαις αὐτὸ πολιορκῇς νόσοις, οὔτε ἄνθος χρώματος, οὔτε εὐεξία τις ἔσται· ἀεὶ γὰρ ἐν κατηφείᾳ ἔσῃ.

4. Ἴστε δὲ ὅτι ὥσπερ οἶκον καλόν, ἐπειδὰν γελάσῃ ὁ ἀήρ, λαμπρὸν δείκνυσιν, οὕτω καὶ ὄψιν ὡραίαν φαιδρότης ἐπιγενομένη ψυ-
5 *χῆς, κρείττονα ποιεῖ· ἐὰν δὲ ἐν κατηφείᾳ ᾖ καὶ ὀδύναις, δυσειδεστέρα γίνεται· τὴν δὲ κατήφειαν αἱ νόσοι ποιοῦσι καὶ αἱ ὀδύναι, τὰς δὲ νόσους τὸ μαλακώτερον γενέσθαι τὸ σῶμα ἀπὸ τῆς πολλῆς τρυφῆς. Ὥστε καὶ κατὰ τοῦτο φεύξεσθε τὴν τρυφήν, ἐὰν ἐμοὶ πείθησθε. Ἀλλ' ἡδονήν, φησί, ἔχει τὸ τρυφᾶν. Ἀλλ' οὐ τοσαύτην, ὅσας*
10 *δυσκολίας. Ἄλλως δέ, ἡ ἡδονὴ μέχρι τοῦ φάρυγγος, μέχρι τῆς γλώττης ἐστί· τῆς γὰρ τραπέζης ἀρθείσης ἢ τοῦ σιτίου καταποθέντος, ὅμοιος ἔσῃ τῷ μὴ μετεσχηκότι, μᾶλλον δὲ πολλῷ χείρων, βάρη φέρων ἐκεῖθεν καὶ διάτασιν καὶ καρηβαρίαν καὶ ὕπνον ἐοικότα θανάτῳ, πολλάκις δὲ καὶ ἀγρυπνίαν ἀπὸ πλησμονῆς, καὶ πνεύ-*
15 *ματος ἐμφράξεως, καὶ ἐρυγῆς· καὶ μυρία ἂν κατηράσω τῇ γαστρί, δέον τῇ ἀμετρίᾳ καταράσασθαι.*

Μὴ λιπαίνωμεν τοίνυν τὸ σῶμα, ἀλλ' ἀκούωμεν τοῦ Παύλου λέγοντος· «τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας». Ὥσπερ ἂν εἴ τις εἰς ἀμάραν λαβὼν τὰ σιτία ἐμβάλλῃ, οὕτω καὶ ὁ
20 *εἰς τὴν γαστέρα ἐμβάλλων· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ χεῖρον. Ἐνταῦθα μὲν γὰρ ἀμάραν ἐργάζεται χωρὶς τῶν οἰκείων κακῶν, ἐκεῖ δὲ καὶ μυρία τίκτει τὰ νοσήματα. Τὸ γὰρ τρέφον ἡ αὐτάρκειά ἐστιν, ὃ καὶ κατεργασθῆναι δύναται· τὸ δὲ περιττὸν τῆς χρείας οὐ μόνον οὐ τρέφει, ἀλλὰ καὶ ἐκεῖνο λυμαίνεται. Ἀλλ' οὐδεὶς*
25 *ταῦτα ὁρᾷ ὑπὸ τῆς ἀκαίρου ἡδονῆς καὶ τῆς ἐν συνήθει προλήψεως ἀπατώμενος.*

Βούλει τρέφειν τὸ σῶμα; περίελε τὸ πλέον, τὸ αὔταρκες δίδου, καὶ ὅσον κατεργάσασθαι δυνατόν· μὴ βάρυνε αὐτό, ἵνα μὴ καταποντίσῃς. Τὸ αὔταρκες καὶ τροφή ἐστι καὶ ἡδονή· οὐδὲν γὰρ
30 *οὕτω ποιεῖ ἡδονὴν ὡς σιτίον καλῶς κατεργασθέν· οὐδὲν οὕτως*

11. Ρωμ. 13,14.

πολιορκῆς μὲ μύριες ἀσθένειες, οὔτε ἀνθηρὸ θὰ εἶναι, οὔτε εὔρωστο· διότι πάντα θὰ εἶσαι κατηφής.

4. Γνωρίζετε ὅτι, ὅπως ἕνα ὡραῖο σπίτι, ὅταν τὸ χαμογελάση ἡ ἀτμόσφαιρα, τὸ δείχνει λαμπρό, ἔτσι καὶ ἡ χαρὰ τῆς ψυχῆς ὅταν προστεθῆ σ' ἕνα ὡραῖο πρόσωπο τὸ κάνει ὡραιότερο· ἐνῶ ὅταν βρίσκεται μέσα στὴν κατήφεια καὶ τοὺς πόνους, γίνεται πιὸ ἄσχημο· καὶ τὴν κατήφεια τὴν δημιουργοῦν οἱ ἀσθένειες καὶ οἱ πόνοι τοῦ σώματος· ἐνῶ τὶς ἀσθένειες τὸ σῶμα ποὺ ἔγινε μαλθακότερο ἀπὸ τὴν πολλὴ καλοπέρασι. Ὥστε καὶ γι' αὐτὸν τὸν λόγο ν' ἀποφεύγετε τὴν ἡδονή, ἐὰν πείθεσθε στὰ λόγια μου. Ἀλλά, λέγει, ὑπάρχει ἡδονὴ στὶς ἀπολαύσεις. Ὅμως δὲν εἶναι τόσο μεγάλη, ὅσες εἶναι οἱ δυσκολίες. Ἄλλωστε ἡ ἡδονὴ φθάνει μέχρι τὸν φάρυγγα, μέχρι τὴ γλῶσσα· διότι μετὰ τὸ σήκωμα τοῦ τραπεζιοῦ ἢ τὴν κατάποσι τῆς τροφῆς, θὰ εἶσαι ὅμοιος μ' αὐτὸν ποὺ δὲν πῆρε μέρος σ' αὐτά, ἢ καλύτερα πολὺ χειρότερος, διότι φέρνεις ἀπὸ ἐκεῖ βάρη καὶ διάτασι καὶ κεφαλαλγία καὶ ὕπνο ποὺ μοιάζει μὲ θάνατο, καὶ πολλὲς φορὲς καὶ ἀγρυπνία ἀπὸ τὸν χορτασμό, καὶ δύσπνοια καὶ ρέψιμο, καὶ μύριες φορὲς θὰ καταριέσαι τὴν κοιλιά, ἐνῶ πρέπει νὰ καταριέσαι τὴν ἀμετρία.

Ἂς μὴ παχαίνουμε λοιπὸν τὸ σῶμα, ἀλλ' ἂς ἀκούσουμε τὸν Παῦλο ποὺ λέγει· «μὴ φροντίζετε γιὰ τὴ σάρκα, προσπαθώντας πῶς νὰ ἱκανοποιῆτε τὶς ἐπιθυμίες της»[11]. Διότι, ὅπως ἀκριβῶς ἂν κάποιος πάρη καὶ βάλη τὰ τρόφιμα στὸν ὀχετό, ἔτσι καὶ ἐκεῖνος ποὺ τὰ βάζει στὸ στομάχι του· ἢ καλύτερα ὄχι ἔτσι, ἀλλὰ πολὺ πιὸ χειρότερα. Διότι στὴν περίπτωσι τοῦ ὀχετοῦ γεμίζει αὐτὸν χωρὶς νὰ προξενῆ κακὰ στὸ ἑαυτό του, ἐνῶ στὴν ἄλλη περίπτωσι προκαλεῖ καὶ πάρα πολλὲς ἀσθένειες. Καθόσον ἡ αὐτάρκεια εἶναι αὐτὴ ποὺ τρέφει τὸ σῶμα, καὶ μπορεῖ νὰ τὸ τελειοποιήση· ἐνῶ τὸ ἐπὶ πλέον ὄχι μόνο δὲν τὸ τρέφει, ἀλλὰ καὶ τὸ καταστρέφει. Ἀλλὰ κανεὶς δὲν τὰ προσέχει αὐτά, ἐξαπατώμενος ἀπὸ τὴν ἄκαιρη ἡδονὴ καὶ τὴ συνηθισμένη ἀντίληψι.

Θέλεις νὰ τρέφης τὸ σῶμα; Ἀπομάκρυνε τὸ περιττό, δίνε του τὸ ἀπαραίτητο καὶ αὐτὸ ποὺ μπορεῖ ν' ἀνεχθῆ· μὴν τὸ βαραίνης γιὰ νὰ μὴν τὸ καταποντίσης. Ἡ αὐτάρκεια εἶναι καὶ τροφὴ καὶ ἡδονή· διότι τίποτε δὲν προξενεῖ τόση ἡδονή, ὅση ἡ εὔπεπτη τροφή· τίποτε δὲν φέρνει τόση ὑγεία, οὔτε τόση ὀξύτητα αἰσθήσεων, οὔτε ἀπομα-

ὑγίειαν, οὐδὲν οὕτως ὀξύτητα αἰσθήσεων, οὐδὲν οὕτως ἐστὶ νόσου ἀπελαστικόν. Ἄρα τὸ αὔταρκες μὲν καὶ τροφή ἐστι καὶ ἡδονὴ καὶ ὑγίεια, τὸ δὲ πλέον καὶ λύμη καὶ ἀηδία καὶ νόσος. Ἃ γὰρ ποιεῖ ὁ λιμός, ταῦτα ποιεῖ καὶ ἡ πλησμονή, μᾶλλον δὲ χαλεπώτερα· ἐκεῖ-
5 *νος μὲν γὰρ ἐν ὀλίγαις ἡμέραις ἀπήγαγε καὶ ἀπήλλαξε τὸν ἄνθρωπον, αὕτη δὲ διατρώγουσα καὶ σήπουσα τὸ σῶμα, μακρᾷ παραδίδωσι νόσῳ, καὶ τότε θανάτῳ χαλεπωτάτῳ. Ἡμεῖς δὲ τὸν μὲν λιμὸν ἄπευκτον πρᾶγμα νομίζομεν, ἐπὶ δὲ τὴν τούτου χαλεπωτέραν πλησμονὴν τρέχομεν.*

10 *Πόθεν αὕτη ἡ νόσος, πόθεν αὕτη ἡ μανία; Οὐ λέγω κατατρύχειν ἑαυτούς, ἀλλὰ τοσοῦτον σιτεῖσθαι, ὃ καὶ ἡδονὴν ἔχει τὴν ὄντως ἡδονήν, καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον ὑμῖν καὶ εὐάρμοστον πρὸς τὰς ἐνεργείας παρασχεῖν τῆς ψυχῆς πεπηγὸς καλῶς καὶ συνηρμοσμένον. Ὅταν δὲ ὑπέραντλον γένηται τῇ τροφῇ,*
15 *τοὺς γόμφους αὐτούς, ὡς ἂν τις εἴποι, καὶ τὰς ἁρμονίας διαλύσασα τὰς συμπεπηγυίας, τὴν πλημμύραν οὐ δύναται κατασχεῖν, ἐπεισελθοῦσα γὰρ ἡ πλημμύρα τὸ πᾶν διαλύει καὶ διαχεῖ.*

«Τῆς σαρκός», φησί, «πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας». Καὶ καλῶς εἶπεν, εἰς ἐπιθυμίας· ὕλη γάρ ἐστιν ἡ τρυφὴ ταῖς ἀτό-
20 *ποις ἐπιθυμίαις, κἂν πάντων ᾖ φιλοσοφώτερος ὁ τρυφῶν, ἀνάγκη τι παθεῖν αὐτὸν ἀπὸ τοῦ οἴνου, ἀπὸ τῶν σιτίων, ἀνάγκη διαχυθῆναι, ἀνάγκη τὴν φλόγα μείζονα ἐνεγκεῖν. Ἐντεῦθεν πορνεῖαι, ἐντεῦθεν μοιχεῖαι· οὐ γὰρ δύναται πεινῶσα γαστὴρ ἔρωτα τεκεῖν, μᾶλλον δὲ οὐδὲ αὐταρκείᾳ κεχρημένη· ἡ δὲ τίκτουσα τὰς ἀτόπους ἐπι-*
25 *θυμίας, ἐκείνη ἐστὶν ἡ σπαταλῶσα τῇ τρυφῇ. Καὶ καθάπερ ἡ σφόδρα δίυγρος γῆ τίκτει τοὺς σκώληκας, καὶ ἡ κόπρος ἡ διαβρεχομένη καὶ πολλὴν ἔχουσα τὴν νοτίδα, ἡ δὲ ἀπηλλαγμένη τῆς ὑγρασίας ἐκείνης καρποὺς φέρει πολλούς, ὅταν μὴ ἀμετρίαν ἔχῃ· κἂν μὲν γὰρ μὴ γεωργῆται, χλόην ἐκδίδωσιν, ἂν δὲ γεωργῆται, καρπούς· οὕτω*
30 *καὶ ἡμεῖς.*

12. Ρωμ. 13,14.

κρύνει τόσο τὴν ἀσθένεια. Ἄρα ἡ αὐτάρκεια εἶναι τροφὴ καὶ ἡδονὴ καὶ ὑγεία, ἐνῶ τὸ περιττὸ εἶναι καὶ καταστροφὴ καὶ ἀηδία καὶ ἀσθένεια. Καθόσον αὐτὰ ποὺ προξενεῖ ἡ πεῖνα αὐτὰ προξενεῖ καὶ ὁ χορτασμός, ἢ καλύτερα καὶ φοβερώτερα· διότι ἡ πεῖνα μέσα σὲ λίγες ἡμέρες ὡδήγησε τὸν ἄνθρωπο στὸ θάνατο καὶ τὸν ἀπάλλαξε, ἐνῶ ὁ χορτασμός, ἀφοῦ καταφάγη καὶ σαπίση τὸ σῶμα καὶ τὸ παραδώση σὲ μακροχρόνια ἀσθένεια, ἔπειτα τὸ παραδίδει σὲ φοβερώτατο θάνατο. Ἐμεῖς ὅμως νομίζουμε ὅτι ἡ πεῖνα εἶναι φοβερὴ δοκιμασία, ἐνῶ τρέχουμε πρὸς τὴν πλησμονὴ ποὺ εἶναι φοβερώτερη ἀπὸ αὐτήν.

Ἀπὸ ποῦ προέρχεται αὐτὴ ἡ ἀσθένεια, ἀπὸ ποῦ αὐτὴ ἡ τρέλλα; Δὲν λέγω νὰ ἐξαντλοῦμε τοὺς ἑαυτούς μας, ἀλλὰ τόσο νὰ τρεφώμαστε, πρᾶγμα ποὺ καὶ ἡδονὴ φέρνει, τὴν πραγματικὴ ἡδονή, καὶ τὸ σῶμα μπορεῖ νὰ θρέψη, κάμνοντάς το ἱκανὸ καὶ ἁρμονικὸ πρὸς τὶς ἐνέργειες τῆς ψυχῆς καὶ παρουσιάζοντάς το καλὰ στερεωμένο καὶ συναρμοσμένο. Ὅταν ὅμως γεμίζη ὑπερβολικὰ μὲ τὴν τροφή, ἀφοῦ διαλύση τοὺς συνδέσμους, ὅπως θὰ ἔλεγε κανείς, καὶ τὶς ἁρμονίες ποὺ τὸ κάνουν στερεό, δὲν θὰ μπορέση ν' ἀναχαιτίση τὴν πλημμύρα, διότι ὅταν ἡ πλημμύρα μπῆ μέσα διαλύει καὶ καταστρέφει τὸ πᾶν.

«Μὴ φροντίζετε γιὰ τὴ σάρκα σας», λέγει, «προσπαθώντας πῶς νὰ ἱκανοποιῆτε τὶς ἐπιθυμίες της»[12]. Καὶ σωστὰ εἶπε, «γιὰ νὰ ἱκανοποιῆτε τὶς ἐπιθυμίες της»· διότι ἡ φιληδονία τροφοδοτεῖ τὶς παράλογες ἐπιθυμίες, κι' ἂν ὁ φιλήδονος εἶναι πιὸ συνετὸς ἀπὸ ὅλους, ὁπωσδήποτε θὰ πάθη κάτι ἀπὸ τὸ κρασί, ἀπὸ τὶς τροφές, κατ' ἀνάγκη θὰ παραλύση, κατ' ἀνάγκη ἡ ἐπιθυμία θὰ κάνη μεγαλύτερη τὴ φλόγα. Ἀπὸ ἐδῶ προέρχονται οἱ πορνεῖες, ἀπὸ ἐδῶ οἱ μοιχεῖες· διότι ἡ πεινασμένη κοιλιὰ δὲν μπορεῖ νὰ γεννήση τὸν ἔρωτα, ἀλλὰ οὔτε καὶ αὐτὴ ποὺ εἶναι αὐτάρκης· ἀπεναντίας ἐκείνη ποὺ γεννᾶ τὶς παράλογες ἐπιθυμίες, εἶναι ἐκείνη ποὺ ζῆ ἄσωτα ἐξ αἰτίας τῆς φιληδονίας. Καὶ ὅπως ἀκριβῶς ἡ ὑπερβολικὰ ὑγρὴ γῆ γεννᾶ τὰ σκουλήκια καθὼς καὶ ἡ βρεγμένη καὶ ὑπερβολικὰ ὑγρὴ κοπριά, ἐνῶ ἐκείνη ποὺ εἶναι ἀπαλλαγμένη ἀπὸ τὴν ὑγρασία ἐκείνη καὶ ἔχει κανονικὴ ὑγρασία φέρνει πολλοὺς καρπούς· διότι, κι' ὅταν ἀκόμα δὲν καλλιεργῆται, παράγει χόρτο, ὅταν ὅμως καλλιεργῆται παράγει καρπούς· ἔτσι κι' ἐμεῖς.

Μὴ τοίνυν ἄχρηστον τὴν σάρκα κατασκευάσωμεν, μηδὲ ἀνόνητον, μηδὲ ἐπιβλαβῆ, ἀλλὰ φυτεύσωμεν ἐν αὐτῇ χρησίμους καρποὺς καὶ φυτὰ καρποφόρα καὶ ἐπιμέλειαν ποιώμεθα, ὥστε μὴ αὐτὰ ἐκλῦσαι τῇ τρυφῇ· καὶ γὰρ καὶ ἐκεῖνα σκώληκας ἀντὶ καρπῶν ἐκ-
5 *βάλλει διασαπέντα. Οὕτω καὶ ἡ ἔμφυτος ἐπιθυμία, ἐὰν αὐτὴν ὑπὲρ μέτρον διαβρέξῃς, ἀτόπους τίκτει ἡδονὰς καὶ σφόδρα ἀτοπωτάτας. Τὴν οὖν λύμην ταύτην ἐξέλωμεν παντὶ τρόπῳ, ἵνα δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, καὶ τὰ ἑξῆς.*

Ἄς μὴν ἀχρηστέψουμε λοιπὸν τὴ σάρκα, ἂς μὴν τὴν κάνουμε ἀνώφελη ἢ ἐπιβλαβῆ, ἀλλὰ ἂς φυτέψουμε σ' αὐτὴν χρήσιμους καρποὺς καὶ φυτὰ καρποφόρα, κι' ἂς φροντίζουμε νὰ μὴν ἐξασθενίση ἐξ αἰτίας τῆς φιληδονίας· διότι καὶ ἐκεῖνα ὅταν σαπίσουν βγάζουν σκουλήκια κι' ὄχι καρπούς. Ἔτσι καὶ ἡ ἔμφυτη ἐπιθυμία, ἐὰν ὑπερβολικὰ τὴν διαβρέξης, γεννᾶ παράλογες ἡδονὲς καὶ ὑπερβολικὰ μάλιστα παράλογες. Αὐτὴ λοιπὸν τὴ βλάβη ἂς τὴν ἀπομακρύνουμε μὲ κάθε τρόπο, γιὰ νὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, καὶ τὰ λοιπά.

ΟΜΙΛΙΑ Λ'

(Ἑβρ. 12, 11–13)

«Πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῖν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον».

1. Οἱ τὰ φάρμακα πίνοντες τὰ πικρά, ἀνέχονταί τινος πρότερον ἀηδίας, καὶ τότε τῆς ὠφελείας αἰσθάνονται. Τοιοῦτον γὰρ ἡ ἀρετή, τοιοῦτον ἡ κακία· ἐκεῖ πρώτη ἡ ἡδονή, εἶτα ἡ ἀθυμία· ἐνταῦθα
10 πρώτη ἡ ἀθυμία, καὶ τότε ἡ ἡδονή. Ἀλλ' οὐδὲν ἴσον· οὐ γάρ ἐστιν ἴσον πρότερον λυπηθέντα, ὕστερον ἡσθῆναι, καὶ πρότερον καὶ πρότερον ἡσθέντα, ὕστερον λυπηθῆναι. Πῶς; Ἐνταῦθα μὲν γὰρ προσδοκία τῆς μελλούσης ἀθυμίας τὴν παροῦσαν ἐλάττονα ποιεῖ ἡδονήν· ἐκεῖ δὲ ἡ προσδοκία τῆς μελλούσης ἡδονῆς ὑποτέμνεται τὸ
15 σφοδρὸν τῆς παρούσης ἀθυμίας· ὡς συμβαίνειν ἐκεῖ μὲν μηδέποτε ἡσθῆναι, ἐνταῦθα δὲ μηδέποτε λυπηθῆναι. Οὐ ταύτῃ δὲ μόνον τὸ τῆς διαφορᾶς, ἀλλὰ καὶ ἑτέρως. Πῶς; Ὅτι οὐδὲ τὰ τῶν χρόνων ἴσα, ἀλλὰ πολὺ μείζονα καὶ πλείονα. Ἐνταῦθα δὲ καὶ πλέον τι ἐν τοῖς πνευματικοῖς.
20 Ἀπὸ τούτου τοίνυν ἐπιχειρεῖ ὁ Παῦλος τὴν παραμυθίαν εἰσαγαγεῖν, καὶ τὴν κοινὴν πάλιν κρίσιν λαμβάνει, ᾗ οὐδεὶς ἀντιστῆναι δύναται, οὐδὲ κοινῇ ψήφῳ μάχεσθαι. Ὅταν γάρ τις παρὰ πάντων ὁμολογούμενον εἴπῃ, πάντες συγκατατίθενται καὶ οὐδεὶς ἀντιπί-

ΟΜΙΛΙΑ Λ'
(Ἑβρ. 12, 11-15)

«Κάθε παιδαγωγία στὴν ἀρχὴ δὲν φαίνεται νὰ προξενῆ χαρά, ἀλλὰ λύπη, ἀργότερα ὅμως ἀνταμείβει μὲ καρπὸ εἰρηνικὸ ἐκείνους ποὺ παιδαγωγήθηκαν μ' αὐτήν. Καὶ ὁ καρπὸς αὐτὸς εἶναι ἡ δικαιοσύνη. Γι' αὐτὸ ἐνδυναμώσατε τὰ ἄτονα χέρια καὶ τὰ παραλυμένα γόνατα καὶ τὰ πόδια σας ἂς βαδίσουν σὲ ἴσιους δρόμους, γιὰ νὰ μὴν χειροτερεύση ἡ κουτσαμάρα σας, ἀλλὰ μᾶλλον νὰ θεραπευθῆ».

1. Αὐτοὶ ποὺ πίνουν τὰ πικρὰ φάρμακα, στὴν ἀρχὴ ἀνέχονται κάποια ἀηδία καὶ κατόπιν αἰσθάνονται τὴν ὠφέλεια. Πράγματι τέτοια εἶναι ἡ ἀρετή, τέτοια εἶναι ἡ κακία· στὴν περίπτωσι τῆς κακίας προηγεῖται ἡ ἡδονὴ καὶ ἀκολουθεῖ ἡ λύπη, ἐνῶ στὴν περίπτωσι τῆς ἀρετῆς προηγεῖται ἡ λύπη καὶ ἀκολουθεῖ ἡ ἡδονή. Ἀλλὰ δὲν εἶναι καθόλου τὸ ἴδιο· διότι δὲν εἶναι τὸ ἴδιο νὰ λυπηθῆς προηγουμένως κι' ἔπειτα νὰ εὐχαριστηθῆς, καὶ νὰ εὐχαριστηθῆς πρῶτα κι' ἔπειτα νὰ λυπηθῆς. Πῶς; Διότι στὴ δεύτερη περίπτωσι ἡ προσδοκία τῆς μελλοντικῆς λύπης μειώνει τὴν παροῦσα ἡδονή, ἐνῶ στὴν πρώτη περίπτωσι ἡ προσδοκία τῆς μελλοντικῆς ἡδονῆς ἐλαττώνει τὴν παροῦσα ὑπερβολικὴ λύπη· ἔτσι ὁ ἄνθρωπος ἐκεῖ ποτὲ δὲν γνωρίζει τὴν ἡδονή, ἐνῶ ἐδῶ ποτὲ δὲν γνωρίζει τὴν λύπη. Καὶ δὲν διαφέρουν μόνο ὡς πρὸς αὐτὸ ἀλλὰ καὶ ὡς πρὸς ἄλλα. Πῶς; Διότι οὔτε τὰ χρονικὰ διαστήματα εἶναι ἴσα, ἀλλὰ πολὺ μεγαλύτερα καὶ περισσότερα. Ἐδῶ ὅμως ἀκόμη περισσότερο ἰσχύει αὐτὸ γιὰ τὰ πνευματικά.

Ἀπ' αὐτὸ λοιπὸν ἐπιχειρεῖ ὁ Παῦλος νὰ τοὺς παρηγορήση, καὶ προβάλλει πάλι τὴν κοινὴ κρίσι, τὴν ὁποία κανεὶς δὲν μπορεῖ ν' ἀπορρίψη, οὔτε νὰ τὴν πολεμήση. Διότι, ὅταν κάποιος πῆ αὐτὸ ποὺ ὅλοι ὁμολογοῦν, ὅλοι τὸ ἀποδέχονται καὶ κανεὶς δὲν φέρει ἀντίρρη-

πτει. Λυπεῖσθε, φησί· τοῦτο κατὰ λόγον· τοιοῦτον γὰρ ἡ παιδεία, τὴν ἀρχὴν ἔχει τοιαύτην. Ὅθεν καὶ οὕτως ἐπήγαγε· «πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης». Καλῶς εἶπεν, «οὐ δοκεῖ»· οὐδὲ γάρ ἐστι λύπης ἡ παιδεία, ἀλλὰ μόνον δο-
5 *κεῖ· οὐδὲ ἡ μέν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα· «πᾶσα», γάρ φησι, «παιδεία οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης»· τουτέστι, καὶ ἡ ἀνθρωπίνη καὶ ἡ πνευματική. Ὁρᾷς αὐτὸν ἀπὸ τῶν κοινῶν ἐννοιῶν ἀγωνιζόμενον; «Δοκεῖ», φησί, «λύπης εἶναι»· ὥστε οὐκ ἔστι. Ποία γὰρ λύπη τίκτουσα χαράν; «Οὐδεμία»· ὥσπερ οὖν οὐδὲ ἡδονὴ τίκτουσα ἀθυ-*
10 *μίαν.*

«Ὕστερον δὲ καρποὺς εἰρηνικοὺς τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης». Οὐ 'καρπόν', ἀλλὰ «καρποὺς» εἶπε, τὸ πλῆθος ἐμφαίνων πολύ. «Τοῖς δι' αὐτῆς», φησί, «γεγυμνασμένοις». Τί ἐστι, «τοῖς δι' αὐτῆς γεγυμνασμένοις»; Τοῖς ἀνασχο-
15 *μένοις ἐπὶ πολὺ καὶ καρτερήσασιν. Ὁρᾷς πῶς καὶ εὐφήμῳ ὀνόματι κέχρηται; Ἄρα γυμνασία ἐστὶν ἡ παιδεία, τὸν ἀθλητὴν ἰσχυρὸν ἐργαζομένη καὶ ἀκαταγώνιστον ἐν τοῖς ἀγῶσι, καὶ ἄμαχον ἐν τοῖς πολέμοις. Εἰ τοίνυν πᾶσα παιδεία τοιαύτη ἐστί, καὶ αὕτη τοιαύτη ἔσται. Ὥστε χρηστὰ χρὴ προσδοκᾶν καὶ τὸ τέλος ἡδὺ καὶ εἰρηνι-*
20 *κόν. Καὶ μὴ θαυμάσῃς, εἰ σκληρὰ οὖσα, καρποὺς ἔχει γλυκεῖς· ἐπεὶ καὶ ἐν τοῖς δένδροις ὁ μὲν φλοιὸς ἄποιός τίς ἐστι σχεδὸν καὶ τραχύς, οἱ δὲ καρποὶ γλυκεῖς. Ἀλλ' ἔλαβεν αὐτὸ ἀπὸ τῆς κοινῆς ἐννοίας. Εἰ τοίνυν τοιαῦτα χρὴ προσδοκᾶν, τί ἀλγεῖτε; τί τὰ λυπηρὰ ὑπομείναντες, περὶ τὰ χρηστὰ ἐκλύεσθε; Ἃ ἐχρῆν ὑπομεῖναι ἀηδῆ,*
25 *ὑπεμείνατε· μὴ τοίνυν ἐκλυθῆτε περὶ τὴν ἀνταπόδοσιν. «Διὸ τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον». Ὡς πρὸς δρομεῖς καὶ πύκτας καὶ πολεμιστὰς διαλέγεται.*

30 *Ὁρᾷς πῶς αὐτοὺς καθοπλίζει, πῶς αὐτοὺς ἐπαίρει; Ἐνταῦθα περὶ τῶν λογισμῶν αὐτῶν τοῦτο λέγει. «Ὀρθὰ βαδίζετε», φησί·*

σι. Λυπᾶσθε, λέγει· αὐτὸ εἶναι φυσικό· διότι τέτοια εἶναι ἡ παιδαγωγία, τέτοια ἀρχὴ ἔχει. Γι' αὐτὸ καὶ πρόσθεσε τὰ ἑξῆς· «κάθε παιδαγωγία στὴν ἀρχὴ δὲν φαίνεται νὰ προξενῆ χαρά, ἀλλὰ λύπη». Σωστὰ εἶπε, «δὲν φαίνεται»· διότι ἡ παιδαγωγία δὲν προξενεῖ λύπη, ἀλλὰ μόνο φαίνεται ὅτι προξενεῖ· οὔτε ἡ μία παιδαγωγία προξενεῖ, ἐνῶ ἡ ἄλλη ὄχι, ἀλλὰ κάθε παιδαγωγία· διότι λέγει, «κάθε παιδαγωγία δὲν φαίνεται νὰ προξενῆ χαρά, ἀλλὰ λύπη»· δηλαδὴ καὶ ἡ ἀνθρώπινη καὶ ἡ πνευματική. Βλέπεις ὅτι χρησιμοποιεῖ ἔννοιες γνωστὲς σὲ ὅλους; Φαίνεται, λέγει, ὅτι προξενεῖ λύπη· ἐπομένως δὲν προξενεῖ. Διότι ποιά λύπη γεννᾶ χαρά; Καμμία· ὅπως ἀκριβῶς οὔτε ἡδονὴ ὑπάρχει ποὺ νὰ γεννᾶ λύπη.

«Ὕστερα ὅμως ἀνταμείβει μὲ καρποὺς εἰρηνικοὺς ἐκείνους ποὺ ἀσκήθηκαν μὲ αὐτήν· καὶ οἱ καρποὶ αὐτοὶ εἶναι ἡ δικαιοσύνη». Δὲν εἶπε 'μὲ καρπό', ἀλλὰ «μὲ καρπούς», γιὰ νὰ παρουσιάση τὸ πολὺ πλῆθος. «Σ' ἐκείνους», λέγει, «ποὺ ἔχουν γυμνασθῆ μὲ αὐτήν». Τί σημαίνει, «σ' ἐκείνους ποὺ ἔχουν γυμνασθῆ μὲ αὐτήν»; Σ' ἐκείνους ποὺ τὴν ἔχουν ἀνεχθῆ καὶ τὴν ἔχουν ὑπομείνει γιὰ πολύ. Βλέπεις πῶς χρησιμοποιεῖ καὶ ἐγκωμιαστικὸ ὄνομα; Ἑπομένως ἡ παιδεία εἶναι ἄσκησις· αὐτὴ ἐνδυναμώνει τὸν ἀθλητὴ καὶ τὸν κάνει ἀκατανίκητο στοὺς ἀγῶνες καὶ ἀκαταμάχητο στοὺς πολέμους. Ἐφ' ὅσον λοιπὸν κάθε παιδαγωγία εἶναι τέτοια, καὶ αὐτὴ θὰ εἶναι τέτοια. Ἑπομένως πρέπει νὰ προσδοκοῦμε μεγάλα ἀγαθά, καὶ ὅτι τὸ τέλος θὰ εἶναι εὐχάριστο καὶ εἰρηνικό. Καὶ μὴ θαυμάσης, ἐάν, ἐνῶ εἶναι σκληρή, ἔχει καρποὺς γλυκεῖς. Διότι καὶ στὰ δένδρα ὁ φλοιὸς εἶναι σχεδὸν χωρὶς ποιότητα καὶ τραχύς, ἐνῶ οἱ καρποὶ εἶναι γλυκεῖς. Αὐτὸ τὸ εἶπε σύμφωνα μὲ τὴν κοινὴ ἀντίληψι. Ἐὰν λοιπὸν πρέπει νὰ προσδοκᾶτε μεγάλα ἀγαθά, γιατί στενοχωρῆσθε; Γιατί, ἐνῶ δείξατε ὑπομονὴ στὰ λυπηρά, τώρα ποὺ πρόκειται γιὰ τὰ ἀγαθὰ ἀπογοητεύεσθε; Τὰ δυσάρεστα ποὺ ἔπρεπε νὰ τὰ ὑπομείνετε, τὰ ὑπομείνατε· μὴ λοιπὸν λιποψυχήσετε γιὰ τὴν ἀνταπόδοσι. «Γι' αὐτὸ ἐνισχύσατε τὰ ἄτονα χέρια καὶ τὰ παραλυμένα γόνατα καὶ βαδίστε σὲ ἴσιους δρόμους μὲ βῆμα σταθερό, γιὰ νὰ μὴν χειροτερέψη ἡ κουτσαμάρα σας, ἀλλὰ νὰ θεραπευθῆ μᾶλλον». Μιλάει σὰν ν' ἀπευθύνεται σὲ δρομεῖς καὶ πυγμάχους καὶ παλαιστές.

Βλέπεις πῶς τοὺς ὁπλίζει, πῶς τοὺς ἐνισχύει; Ἐδῶ τὸ λέγει αὐτὸ γιὰ τοὺς λογισμούς τους. «Ὀρθὰ βαδίζετε», λέγει· δηλαδή,

τουτέστι, μὴ ἀμφιβάλλοντες. Εἰ γὰρ ἀπὸ ἀγάπης ἡ παιδεία, εἰ ἀπὸ κηδεμονίας ἄρχεται, εἰ εἰς τέλος χρηστὸν τελευτᾷ (τοῦτο γὰρ καὶ διὰ πραγμάτων, καὶ διὰ ρημάτων, καὶ διὰ πάντων ἀποδείκνυσι), τίνος ἕνεκεν ἐκλύεσθε; Τοιοῦτοι γὰρ ὁ ἀπογνόντες, οἱ μὴ τῇ ἐλπίδι 5 *ρωννύμενοι τῶν μελλόντων. «Ὀρθά», φησί, «βαδίζετε»· ὥστε μὴ ἐπιταθῆναι τὴν χωλείαν, ἀλλὰ μεταβληθῆναι ἐπὶ τὰ πρότερα· ὁ γὰρ μετὰ χωλείας τρέχων, ἐπιτρίβει τὸ κακόν. Ὁρᾷς ὅτι ἐν ἡμῖν ἐστι τὸ πάντως ἰατρευθῆναι;*

«Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς 10 *οὐδεὶς ὄψεται τὸν Κύριον». Ὅπερ καὶ ἀνωτέρω ἔλεγε, «μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν», τοῦτο καὶ ἐνταῦθα αἰνίττεται. Οὐδὲν γὰρ οὕτω μάλιστα ἐν πειρασμοῖς εὐκαταγωνίστους ποιεῖ καὶ εὐχειρώτους, ὡς τὸ διεσπάσθαι. Καὶ ὅρα πῶς· Διάσπασον φάλαγγι ἐν πολέμῳ, καὶ οὐδὲ πόνου δεηθήσονται οἱ πολέμιοι,* 15 *ἀλλὰ δεδεμένους αὐτοὺς λήψονται, κατ' ἰδίαν εὑρόντες, καὶ ταύτῃ ὄντας ἀσθενεστέρους. «Εἰρήνην διώκετε μετὰ πάντων», φησίν. Ἄρα καὶ τῶν κακῶς ποιούντων. Τοῦτο καὶ ἀλλαχοῦ φησιν· «εἰ δυνατόν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες». Τὸ σὸν μέρος, φησίν, εἰρήνευε, μηδὲν τὴν εὐσέβειαν παραβλάπτων,* 20 *ἀλλ' ἐν οἷς πάσχεις κακῶς φέρε γενναίως· μέγα γὰρ ὅπλον ἐν τοῖς πειρασμοῖς ἀνεξικακία. Οὕτω καὶ ὁ Χριστὸς τοὺς μαθητὰς ἰσχυροὺς ἐποίει λέγων· «ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί». Τί λέγεις; μεταξὺ λύκων ἐσμὲν καὶ ὡς πρόβατα κελεύεις* 25 *εἶναι καὶ ὡς περιστεράς; Ναί, φησίν· οὐδὲν γὰρ οὕτως ἐντρέπει τὸν ποιοῦντα κακῶς, ὡς τὸ φέρειν ὑμᾶς γενναίως τὰ ἐπαγόμενα, καὶ μήτε λόγῳ, μήτε ἔργῳ ἀμύνεσθαι. Τοῦτο καὶ ἡμᾶς φιλοσοφωτέρους ποιεῖ καὶ μείζονα προξενεῖ τὸν μισθόν, κἀκείνους ὠφελεῖ. Ἀλλ' ὁ δεῖνά σε ὕβρισε; σὺ εὐλόγησον. Ὅρα πόσα ἀπὸ τούτου* 30 *κερδαίνεις· τὸ κακὸν ἔσβεσας, μισθὸν σεαυτῷ προὐξένησας, κἀκεῖνον ἐνέτρεψας, καὶ σὺ δεινὸν πέπονθας οὐδέν.*

1. Ρωμ. 12,18.
2. Ματθ. 10,16.

μὴν ἀμφιβάλλετε. Διότι, ἐὰν ἀπὸ ἀγάπη προέρχεται ἡ παιδεία, ἐὰν ἀπὸ φροντίδα, ἐὰν καταλήγη σὲ τέλος εὐχάριστο (καθόσον αὐτὸ ἀποδεικνύεται καὶ μὲ πράξεις καὶ μὲ λόγια καὶ μὲ ὅλα), γιατί ἀποθαρρύνεσθε; Διότι τέτοιοι εἶναι ὅσοι περιῆλθαν σὲ ἀπόγνωσι, ὅσοι δὲν εἶναι ἐνισχυμένοι μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν. «Ὀρθὰ νὰ βαδίζετε», λέγει· γιὰ νὰ μὴν αὐξήσετε τὴν κουτσαμάρα σας, ἀλλὰ νὰ ἐπανέλθετε στὴν πρώτη σας κατάστασι· διότι ὁ κουτσὸς ὅταν τρέχη, χειροτερεύει τὸ κακό. Βλέπεις ὅτι ἀπὸ ἐμᾶς ἐξαρτᾶται ἡ ὁλοκληρωτικὴ θεραπεία;

«Νὰ ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό, χωρὶς τὸν ὁποῖο κανεὶς δὲν θὰ δῆ τὸν Κύριο». Αὐτὸ ποὺ ἔλεγε καὶ προηγουμένως, «μὴν παραμελῆτε τὴ συνάντησί σας», αὐτὸ καὶ τώρα ὑπαινίσσεται. Διότι τίποτε δὲν μᾶς κάνει τόσο εὐάλωτους στοὺς πειρασμοὺς καὶ δὲν συμβάλλει τόσο στὴν ἧττα μας, ὅσο ἡ διάσπασις. Καὶ πρόσεχε πῶς. Διάσπασε τὴ φάλαγγα στὸν πόλεμο καὶ οἱ ἐχθροὶ δὲν θὰ χρειασθοῦν κόπο νὰ τοὺς νικήσουν, ἀλλὰ θὰ τοὺς αἰχμαλωτίσουν, ἐπειδὴ τοὺς βρῆκαν μόνους καὶ ἀσθενέστερους ἐξ αἰτίας τῆς διασπάσεως. «Νὰ ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους», λέγει· ἄρα καὶ μ' αὐτοὺς ποὺ μᾶς κάνουν κακό. Αὐτὸ καὶ ἀλλοῦ τὸ ἀναφέρει· «ἐὰν εἶναι δυνατόν, ὅσο ἐξαρτᾶται ἀπὸ ἐσᾶς, νὰ ἔχετε εἰρηνικὲς σχέσεις μὲ ὅλους τοὺς ἀνθρώπους»[1]. Ὅσο ἐξαρτᾶται ἀπὸ σένα, λέγει, νὰ ζῆς εἰρηνικά, χωρὶς νὰ προσβάλλης τὴν εὐσέβεια, ἀλλὰ καὶ ὅταν κακοποιῆσαι, νὰ τὸ ὑπομένης μὲ γενναιότητα· διότι εἶναι μεγάλο ὅπλο στοὺς πειρασμοὺς ἡ ἀνεξικακία. Ἔτσι καὶ ὁ Χριστὸς ἐνδυνάμωνε τοὺς μαθητές του μ' αὐτὰ τὰ λόγια· «Νά, σᾶς στέλνω σὰν πρόβατα μέσα στοὺς λύκους· νὰ εἶσθε φρόνιμοι σὰν τὰ φίδια καὶ ἄκακοι σὰν τὰ περιστέρια»[2]. Τί λές; βρισκόμαστε ἀνάμεσα σὲ λύκους, καὶ μᾶς προτρέπεις νὰ εἴμαστε σὰν τὰ πρόβατα καὶ σὰν τὰ περιστέρια; Ναί, λέγει· διότι τίποτε δὲν γελοιοποιεῖ τόσο τὸν κακοποιό, ὅσο τὸ νὰ ὑπομένετε μὲ γενναιότητα αὐτὰ ποὺ σᾶς κάνουν, καὶ νὰ μὴν ἀμύνεσθε οὔτε μὲ λόγια, οὔτε μὲ ἔργα. Αὐτὸ καὶ ἐμᾶς μᾶς κάνει περισσότερο ἐνάρετους καὶ μᾶς ἑτοιμάζει μεγαλύτερο μισθό, καὶ ἐκείνους τοὺς ὠφελεῖ. Ἀλλὰ σὲ ὕβρισε ὁ τάδε; ἐσὺ εὐλόγησέ τον. Πρόσεχε πόσα ἀπὸ αὐτὸ κερδίζεις· ἔσβησες τὸ κακό, ἑτοίμασες μισθὸ γιὰ σένα, ἐκεῖνον τὸν καταντρόπιασες, καὶ ἐσὺ δὲν ἔπαθες κανένα κακό.

«Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν». «Τὸν ἁγιασμόν», τί φησι; Τὴν σωφροσύνην καὶ τὴν κοσμιότητα τὴν ἐν γάμῳ. Εἴτε τις χωρὶς γάμου ἐστί, φησίν, ἁγνὸς μενέτω, γαμείτω· εἴτε ἐν γάμῳ μὴ πορνευέτω, ἀλλὰ κεχρήσθω τῇ ἰδίᾳ γυναικί· καὶ
5 *γὰρ καὶ τοῦτο ἁγιασμός. Πῶς; Οὐχ ὁ γάμος ἁγιασμὸς ἀλλ' ὁ γάμος τηρεῖ τὸν ἀπὸ τῆς πίστεως ἁγιασμόν, οὐκ ἀφιεὶς πόρνῃ προσέχειν. Ὁ γὰρ γάμος τίμιος, οὐχ ἅγιος· καθαρὸς ὁ γάμος, οὐ μέντοι καὶ ἁγιωσύνην παρέχει, ἢ τὸ κωλύειν τὴν ἀπὸ τῆς πίστεως δοθεῖσαν μὴ μολύνειν. «Οὗ χωρίς», φησίν, «οὐδεὶς ὄψεται τὸν Κύριον».*
10 *Ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους λέει· «μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε εἰδωλολάτραι, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι». Πῶς γὰρ γενόμενος πόρνης σῶμα δυνήσεται εἶναι σῶμα Χριστοῦ; «Ἐπισκοποῦντες μή*
15 *τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ρίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί· μή τις πόρνος ἢ βέβηλος». Ὁρᾷς πῶς πανταχοῦ ἑκάστην τὴν κοινὴν ἐγχειρίζει σωτηρίαν; «Παρακαλοῦντες», φησίν, «ἀλλήλους καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται».*

20 2. *Μὴ τοίνυν πάντα ἐπὶ τοὺς διδασκάλους ἐπιρρίπτετε, μὴ πάντα ἐπὶ τοὺς ἡγουμένους· δύνασθε καὶ ὑμεῖς, φησίν, ἀλλήλους οἰκοδομεῖν. Ὃ καὶ Θεσσαλονικεῦσι γράφων ἔλεγεν· «εἷς τὸν ἕνα οἰκοδομεῖτε καθὼς καὶ ποιεῖτε»· καὶ πάλιν, «παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις». Τοῦτο καὶ ὑμῖν παραινοῦμεν νῦν ἡμεῖς.*
25 *Πλείονα γὰρ ἡμῶν, ἐὰν βούλησθε, εἰς ἀλλήλους, κατορθώσετε· καὶ γὰρ πλείονα σύνεστε χρόνον ἀλλήλοις καὶ τὰ ἀλλήλων μᾶλλον ἡμῶν ἴστε, καὶ τὰ ἀλλήλων ἐλαττώματα οὐκ ἀγνοεῖτε, καὶ πλείονα καὶ παρρησίαν καὶ ἀγάπην ἔχετε καὶ συνήθειαν· οὐ μικρὰ δὲ ταῦτα εἰς διδασκαλίαν, ἀλλ' εἴσοδοι μεγάλαι καὶ εὐκαιρίαι· καὶ μᾶλλον*

3. Α' Κορ. 6,9–10.
4. Ἑβρ. 3,13.
5. Α' Θεσ. 5,11.

«Νὰ ἐπιδώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό». Τί ἐννοεῖ «τὸν ἁγιασμό»; Τὴ σωφροσύνη καὶ τὴν κοσμιότητα στὸν γάμο. Καὶ ἐὰν κάποιος εἶναι ἄγαμος, λέγει, ἂς μένη ἁγνός, ἢ ἂς παντρεύεται· καὶ ἐὰν εἶναι ἔγγαμος ἂς μὴ πορνεύη, ἀλλὰ ἂς χρησιμοποιῆ τὴ γυναίκα του· διότι καὶ αὐτὸ εἶναι ἁγιασμός. Πῶς; Δὲν εἶναι ὁ γάμος ἁγιασμός, ἀλλὰ ὁ γάμος διατηρεῖ τὸν ἁγιασμὸ ποὺ προέρχεται ἀπὸ τὴν πίστι, διότι δὲν σὲ ἀφήνει νὰ στρέφεσαι πρὸς τὴν πόρνη. Καθόσον ὁ γάμος εἶναι τίμιος, ὄχι ἅγιος· εἶναι καθαρὸς ὁ γάμος, ὅμως δὲν προσφέρει καὶ ἁγιότητα, παρὰ ἐμποδίζει νὰ μολυνθῆ ἡ καθαρότης ποὺ ἔχει δοθῆ ἀπὸ τὴν πίστι. «Χωρὶς αὐτὸν τὸν ἁγιασμό», λέγει, «κανεὶς δὲν θὰ δῆ τὸν Κύριο». Αὐτὸ ἀκριβῶς λέγει καὶ στοὺς Κορινθίους· «μὴν πλανᾶσθε· οὔτε οἱ πόρνοι, οὔτε οἱ μοιχοί, οὔτε οἱ εἰδωλολάτρες, οὔτε οἱ μαλθακοί, οὔτε οἱ ἀρσενοκοῖτες, οὔτε οἱ πλεονέκτες, οὔτε οἱ κλέπτες, οὔτε οἱ μέθυσοι, οὔτε αὐτοὶ ποὺ ἐμπαίζουν τοὺς ἄλλους, οὔτε οἱ ἅρπαγες θὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ»[3]. Διότι πῶς ἐκεῖνος ποὺ ἔγινε σῶμα πόρνης θὰ μπορέση νὰ εἶναι σῶμα Χριστοῦ; «Προσέχετε νὰ μὴν ἐκπέσετε ἀπὸ τὴ χάρι τοῦ Θεοῦ· μήπως οἱ βλαστοὶ ἀπὸ κάποια ρίζα πικρὴ πνίξουν τὸν καλὸ σπόρο καὶ ἐξ αἰτίας της μολυνθοῦν πολλοί· ἂς μὴν εἶναι κανεὶς πόρνος ἢ ἀκάθαρτος». Βλέπεις πῶς παντοῦ στὸν καθένα ἐμπιστεύεται τὴν κοινὴ σωτηρία; «Νὰ παρακινῆτε», λέει, «καθημερινά, ὁ ἕνας τὸν ἄλλο, ὅσο καιρὸ διαρκεῖ τὸ σήμερα αὐτῆς τῆς ζωῆς»[4].

2. Μὴ λοιπὸν τὰ ἐπιρρίπτετε ὅλα στοὺς διδασκάλους, μὴ ὅλα στοὺς προϊσταμένους. Μπορεῖτε, λέγει, κι' ἐσεῖς νὰ οἰκοδομῆτε ὁ ἕνας τὸν ἄλλο. Αὐτὸ ἔλεγε καὶ στοὺς Θεσσαλονικεῖς γράφοντας· «νὰ οἰκοδομῆτε ὁ ἕνας τὸν ἄλλο, ὅπως καὶ κάνετε»[5]· καὶ πάλι· «νὰ προτρέπετε ὁ ἕνας τὸν ἄλλον μὲ τὰ λόγια αὐτά». Αὐτὸ καὶ ἐμεῖς τώρα σᾶς συμβουλεύουμε. Διότι περισσότερα ἀπὸ ἐμᾶς θὰ προσφέρετε ὁ ἕνας στὸν ἄλλον, ἐὰν θέλετε· διότι καὶ περισσότερο χρόνο εἶσθε ὁ ἕνας μὲ τὸν ἄλλο, καὶ περισσότερο ἀπὸ ἐμᾶς γνωρίζετε ὁ ἕνας τὰ προβλήματα τοῦ ἄλλου καὶ δὲν ἀγνοεῖτε ὁ ἕνας τὰ ἐλαττώματα τοῦ ἄλλου, καὶ περισσότερο θάρρος καὶ ἀγάπη καὶ οἰκειότητα ἔχετε μεταξύ σας· καὶ αὐτὰ δὲν εἶναι μικρὰ γιὰ νὰ σᾶς ὁδηγήσουν στὴν ἀμοιβαία διδασκαλία, ἀλλὰ μεγάλα προνόμια καὶ εὐκαιρίες· καὶ περισσότερο ἀπὸ ἐμᾶς μπορεῖτε νὰ ἐπιπλήξετε καὶ νὰ προτρέ-

ἡμῶν ἐπιπλῆξαι καὶ παρακαλέσαι δυνήσεσθε. Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι ἐγὼ μὲν εἷς εἰμι, ὑμεῖς δὲ πολλοί, καὶ δυνήσεσθε πάντες ὅσοι ἐστέ, εἶναι διδάσκαλοι. Διό, παρακαλῶ, μὴ ἀμελεῖτε τοῦ χαρίσματος τούτου· ἕκαστος γυναῖκα ἔχει, φίλον ἔχει, οἰκέτην ἔχει, γεί-
5 *τονα ἔχει· τούτῳ ἐπιπληττέτω, τούτῳ παραινείτω. Πῶς γὰρ οὐκ ἄτοπον, ὑπὲρ μὲν τροφῆς συσσίτια ποεῖν καὶ συμπόσια, καὶ ἡμέραν ἔχειν τακτήν, ὥστε συγκροτεῖσθαι ἀλλήλους, καὶ τὸ ἑκάστῳ λεῖπον καθ' ἑαυτὸν ὄντι ἀναπληροῦσθαι διὰ τῆς κοινωνίας, οἷον, εἴτε εἰς ἐκφορὰν ἀπιέναι δέοι, εἴτε εἰς ἄριστα, εἴτε συμπρᾶξαι ἔν τινι τῷ*
10 *πλησίον, εἰς δὲ ἀρετῆς διδασκαλίαν μὴ τοῦτο ποιεῖν; Ναί, παρακαλῶ, μηδεὶς ἐμελείτω· μισθὸν γὰρ δέχεται παρὰ Θεοῦ πολύν.*

Καὶ ἵνα μάθῃς, ὁ τὰ πέντε τάλαντα ἐμπιστευθείς, ἐστὶν ὁ διδάσκαλος· ὁ δὲ τὸ ἕν, ὁ μαθητής. Κἂν δὲ εἴπῃ ὁ μαθητής, μαθητής εἰμι ἐγώ, οὐκ ἔχω κίνδυνον, καὶ ὃν ἔλαβε παρὰ τοῦ Θεοῦ λόγον,
15 *τοῦτον τὸν κοινὸν καὶ ψιλὸν κατακρύψῃ καὶ μὴ παραινέσῃ, μὴ παρρησιάσηται, μὴ ἐλέγξῃ, μὴ νουθετήσῃ, εἰ δύναται, ἀλλὰ κατακρύψῃ ἐν τῇ γῇ (γῆ γὰρ ὄντως ἐστὶ καὶ σποδὸς καρδία τὸ χάρισμα τοῦ Θεοῦ κατακρύπτουσα)· ἂν τοίνυν κατακρύψῃ ἢ δι' ὄκνον ἢ διὰ πονηρίαν, οὐ προστήσεται αὐτοῦ τὸ εἰπεῖν, ὅτι 'ἓν τάλαντον εἶχον'.*
20 *"Εν τάλαντον εἶχες· ἔδει σε κἂν ἓν προσενεγκεῖν καὶ διπλασιάσαι τὸ τάλαντον· εἰ προσήνεγκες δέ, οὐκ ἂν ἐνεκλήθης. Οὐδὲ γὰρ τῷ τὰ δύο προσενεγκόντι εἶπε, 'Διὰ τί μὴ πέντε προσήνεγκας;' ἀλλὰ τῶν αὐτῶν ἠξίωσε τῷ τὰ πέντε προσενεγκόντι. Τί δήποτε; Ὅτι ὅσον εἶχεν εἰργάσατο· καὶ οὐκ ἐπειδὴ ἐλάττονα τοῦ τὰ πέντε ἐγχει-*
25 *ρισθέντος ἔλαβε, διὰ τοῦτο ἐρρᾳθύμησεν, οὐδὲ τῇ ὀλιγότητι εἰς ἀργίαν ἐχρήσατο. Οὐδέ σε ἐχρῆν πρὸς τὸν τὰ δύο ὁρᾶν· μᾶλλον δε πρὸς ἐκεῖνον ἔδει ἰδεῖν, καὶ ὥσπερ ἐκεῖνος ἐμιμήσατο τὸν τὰ πέντε, δύο ἔχων, οὕτω καὶ σὲ ζηλῶσαι ἔδει τὸν τὰ δύο ἔχοντα. Εἰ γὰρ τῷ χρήματα ἔχοντι καὶ μὴ μεταδιδόντι, κόλασις κεῖται, τῷ δυναμένῳ*
30 *παραινέσαι ὁπωσδήποτε καὶ μὴ τοῦτο ποιοῦντι, πῶς οὐ μεγίστη*

ψετε. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ὅτι ἐγὼ εἶμαι ἕνας, ἐνῶ ἐσεῖς πολλοί, καὶ θὰ μπορέσετε ὅλοι ὅσοι εἶστε, νὰ γίνετε διδάσκαλοι. Γι' αὐτό, σᾶς παρακαλῶ, μὴν παραμελῆτε αὐτὸ τὸ χάρισμα· καθένας ἔχει τὴν γυναίκα του, τὸν φίλο του, τὸν ὑπηρέτη του, τὸν γείτονά του· αὐτὸν ἂς ἐπιπλήττη, αὐτὸν ἂς νουθετῆ. Διότι πῶς δὲν εἶναι παράλογο, γιὰ τὴν τροφή σας νὰ κάνετε συσσίτια καὶ συμπόσια καὶ νὰ ἔχετε ὡρισμένη ἡμέρα συναντήσεως μεταξύ σας, καὶ αὐτὸ ποὺ λείπει ἀπὸ τὸν καθένα ὅταν εἶναι μόνος του νὰ τὸ ἀναπληρώνετε μὲ τὴν κοινωνία μεταξύ σας (ὅπως εἴτε χρειάζεται νὰ πᾶτε στὴν κηδεία, εἴτε στὰ γεύματα, εἴτε νὰ βοηθήσετε σὲ κάτι τὸν διπλανό σας), καὶ γιὰ τὴ διδασκαλία τῆς ἀρετῆς νὰ μὴν τὸ κάνετε; Ναί, σᾶς παρακαλῶ, κανεὶς νὰ μὴν τὸ παραμελῆ αὐτό· διότι πολὺ μισθὸ θὰ λάβη ἀπὸ τὸν Θεό.

Καὶ γιὰ νὰ τὸ μάθῃς, αὐτὸς ποὺ ἐμπιστεύθηκε τὰ πέντε τάλαντα, εἶναι ὁ διδάσκαλος· καὶ αὐτὸς ποὺ πῆρε τὸ ἕνα, εἶναι ὁ μαθητής. Ἐὰν ὅμως πῆ ὁ μαθητής, 'ἐγὼ εἶμαι μαθητής, δὲν διακινδυνεύω', καὶ τὸν λόγο ποὺ πῆρε ἀπὸ τὸν Θεό, αὐτὸν ποὺ εἶναι κοινὸς καὶ ἁπλός, τὸν κατακρύψη καὶ δὲν παροτρύνη, δὲν μιλήσῃ μὲ θάρρος, δὲν ἐλέγξη, δὲν νουθετήση, ἐὰν μπορῆ, ἀλλὰ τὸν κρύψη μέσα στὴ γῆ (διότι πράγματι γῆ εἶναι καὶ στάχτη ἡ καρδιὰ ποὺ κατακρύβει τὸ χάρισμα τοῦ Θεοῦ)· ἂν λοιπὸν τὸν κατακρύψη ἢ ἀπὸ τεμπελιὰ ἢ ἀπὸ ἀμέλεια, δὲν θὰ μπορέση νὰ δικαιολογηθῆ μὲ τὸ νὰ πῆ, 'ἕνα τάλαντο εἶχα'. Ἕνα τάλαντο εἶχες· ἔπρεπε, κι' ἂν ἀκόμα εἶχες ἕνα τάλαντο, νὰ τὸ προσφέρῃς καὶ νὰ τὸ διπλασιάσῃς· ἐὰν πρόσφερνες τὸ ἕνα δὲν θὰ ἦταν δυνατὸ νὰ κατηγορηθῆς. Διότι οὔτε σ' ἐκεῖνον ποὺ πρόσφερε τὰ δύο εἶπε· 'γιατί δὲν μοῦ ἔφερες πέντε τάλαντα;' ἀλλὰ τὸν θεώρησε ἄξιο τῆς ἴδιας ἀμοιβῆς μὲ ἐκεῖνον ποὺ τοῦ πρόσφερε τὰ πέντε τάλαντα. Γιατί; Διότι ἐργάσθηκε ἐκεῖνο ποὺ πῆρε· καὶ δὲν ἔπεσε σὲ ραθυμία ἐπειδὴ ἔλαβε λιγώτερα ἀπὸ ἐκεῖνον ποὺ πῆρε τὰ πέντε τάλαντα, οὔτε ἐξ αἰτίας τῆς ὀλιγότητας ἔμεινε ἀργός. Οὔτε ἐσὺ ἔπρεπε νὰ βλέπῃς αὐτὸν ποὺ πῆρε τὰ δύο· ἢ καλύτερα ἐκεῖνον ἔπρεπε νὰ κοιτᾶς, καὶ ὅπως ἀκριβῶς ἐκεῖνος μιμήθηκε αὐτὸν ποὺ πῆρε τὰ πέντε, ἂν καὶ εἶχε δύο, ἔτσι κι' ἐσὺ ἔπρεπε νὰ μιμηθῆς αὐτὸν ποὺ εἶχε τὰ δύο τάλαντα. Διότι, ἐὰν ἐπιφυλάσσεται τιμωρία γιὰ ἐκεῖνον ποὺ ἔχει χρήματα καὶ δὲν βοηθάει τοὺς ἄλλους, αὐτὸς ποὺ μπορεῖ νὰ συμβουλεύσῃ καὶ δὲν τὸ κάνει πῶς δὲν θὰ ὑπο-

κόλασις ἔσται; Ἐκεῖ σῶμα τρέφεται, ἐνταῦθα ψυχή, ἐκεῖ θάνατον κωλύεις τὸν πρόσκαιρον, ἐνταῦθα τὸν αἰώνιον.

3. Ἀλλ' οὐκ ἔχω λόγον, φησίν. Ἀλλ' οὐ χρεία λόγος, οὐδὲ εὐγλωττίας. Ἐὰν ἴδῃς τὸν φίλον πορνεύοντα, εἰπὲ πρὸς αὐτόν· 'Πο-
5 *νηρὸν πρᾶγμα ὃ μετέρχῃ, οὐκ αἰσχύνῃ, οὐκ ἐρυθριᾷς; κακὸν τοῦτό ἐστιν. Αὐτὸς γὰρ οὐκ οἶδε, φησίν, ὅτι κακόν; Ναί, οἶδεν, ἀλλ' ὑπὸ τῆς ἐπιθυμίας ἕλκεται. Καὶ οἱ νοσοῦντες ἴσασιν, ὅτι ἡ ψυχροποσία κακόν, ἀλλ' ὅμως δέονται τῶν κωλυσόντων· ὁ γὰρ ἐν τῷ πάθει ὤν, οὐ ταχέως ἑαυτῷ ἀρκέσαι δυνήσεται ἐν τῇ νόσῳ. Δεῖ τοίνυν*
10 *σου τοῦ ὑγιαίνοντος πρὸς τὴν ἐκείνου ἰατρείαν· κἂν μὴ πεισθῇ τῷ ῥήματι, παρατήρησον ἀπιόντα καὶ κατάσχε, ἴσως ἐντραπήσεται.*

Καὶ τί, φησίν, ὄφελος, ὅταν δι' ἐμὲ τοῦτο ποιῇ καὶ διὰ τὸ κατασχεσθῆναι παρ' ἐμοῦ; Μὴ ἀκριβολογοῦ· τέως οἱῳδήποτε τρόπῳ ἀπόστησον αὐτὸν τῆς πονηρᾶς πράξεως· ἐθισθήτω μὴ ἀπιέναι εἰς
15 *ἐκεῖνο τὸ βάραθρον· εἴτε διὰ σέ, εἴτε δι' ὁτιδήποτε κωλυθῇ, κέρδος ἔσται ἐκ τούτου. Ὅταν γὰρ ἐθίσῃς αὐτὸν μὴ ἀπιέναι, τότε δυνήσῃ μικρὸν ἀναπνεύσαντα λαβών, διδάξαι, ὅτι χρὴ διὰ τὸν Θεὸν τοῦτο μὴ ποιεῖν, καὶ οὐ δι' ἄνθρωπον. Μὴ θελήσῃς ὑφ' ἓν κατορθῶσαι τὸ πᾶν, ἐπὶ οὐ δυνήσῃ, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Ἂν εἰς πότον*
20 *ἴδῃς ἀπιόντα, καὶ εἰς συμπόσια μέθης πεπληρωμένα, κἀκεῖ τὸ αὐτὸ ποίει, καὶ αὐτὸν πάλιν παρακάλεσον, εἴ τι συνορᾷ ἐλάττωμά σε ἔχοντα, βοηθεῖν καὶ διορθοῦν. Οὕτω γὰρ καὶ ἐπὶ ἑαυτοῦ τὸν ἔλεγχον οἴσει, ὅταν ἴδῃ καὶ σὲ δεόμενον ἐλέγχων, καὶ μὴ ὡς τὰ πάντα κατωρθωκότα, μηδὲ ὡς διδάσκαλον, ἀλλ' ὡς φίλον καὶ ἀδελφὸν*
25 *βοηθοῦντα.*

Εἰπὲ πρὸς αὐτόν, Ἐγώ σε ὤνησα, ὑπομνήσας τῶν συμφερόντων· καὶ σὺ ὅπερ ἂν συνίδῃς ἐλάττωμα ἔχοντά με, ἀναχαίτισον, διόρθωσον· ἂν ὀργίλον ἴδῃς, ἂν πλεονέκτην, κάτασχε, δῆσον τῇ παραινέσει. Τοῦτό ἐστι φιλία· οὕτως ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοη-
30 *θούμενος, ὡς πόλις ὀχυρὰ γίνεται· οὐ γὰρ τὸ φαγεῖν καὶ τὸ πιεῖν ποιεῖ φιλίαν· τοιαύτην γὰρ καὶ λῃσταὶ ἔχουσι καὶ ἀνδροφόνοι· ἀλλ'*

στῆ μεγαλύτερη τιμωρία; Ἐκεῖ τρέφεται σῶμα, ἐδῶ ψυχή· ἐκεῖ ἐμποδίζεις τὸν προσωρινὸ θάνατο, ἐδῶ τὸν αἰώνιο.

3. Ἀλλά, λέγει, δὲν ἔχω τὸ χάρισμα τοῦ λόγου. Δὲν χρειάζεται ἱκανότητα λόγου, οὔτε εὐγλωτία. Ἐὰν δῆς τὸν φίλο σου νὰ πορνεύη, πές του· εἶναι κακὸ πρᾶγμα αὐτὸ ποὺ κάνεις, δὲν ντρέπεσαι, δὲν κοκκινίζεις; εἶναι κακὸ αὐτό. Αὐτός, λέγει, δὲν τὸ ξέρει, ὅτι εἶναι κακό; Ναί, τὸ ξέρει, ἀλλὰ ἕλκεται ἀπὸ τὴν ἐπιθυμία. Καὶ οἱ ἀσθενεῖς γνωρίζουν ὅτι ἡ ψυχροποσία εἶναι κακὸ πρᾶγμα, ἀλλ' ὅμως χρειάζονται αὐτοὺς ποὺ θὰ τοὺς ἐμποδίσουν νὰ πιοῦν τὸ κρύο νερό· διότι αὐτὸς ποὺ κατέχεται ἀπὸ τὸ πάθος, δὲν θὰ μπορέση γρήγορα νὰ προφυλαχθῆ ἀπὸ τὴν ἀσθένεια. Πρέπει λοιπὸν ἐσὺ ποὺ εἶσαι ὑγιὴς νὰ φροντίσης γιὰ τὴ θεραπεία του· κι' ἂν δὲν σὲ ἀκούση, παρακολούθησε τὶς κινήσεις του καὶ ἐμπόδισέ τον· ἴσως σὲ ντραπῆ.

Καὶ ποιό, λέγει, εἶναι τὸ ὄφελος, ὅταν τὸ κάνη αὐτὸ ἐξ αἰτίας μου καὶ ἐπειδὴ κατακρατήθηκε ἀπὸ μένα; Μὴ λεπτολογῆς τὸ πρᾶγμα· κατὰ πρῶτον ἀπομάκρυνέ τον μὲ ὁποιονδήποτε τρόπο ἀπὸ τὴν ἄθλια πρᾶξι· ἂς συνηθίση νὰ μὴ πηγαίνη πρὸς ἐκεῖνο τὸ βάραθρο· εἴτε ἀπὸ σένα, εἴτε ἀπὸ ὁποιαδήποτε ἄλλη αἰτία ἐμποδισθῆ, θὰ ὠφεληθῆ ἀπὸ αὐτό. Διότι, ὅταν τὸν συνηθίσης νὰ μὴν πηγαίνη πρὸς τὴ διαφθορά, τότε θὰ μπορέσης ὕστερα ἀπὸ μιὰ μικρὴ ἀνάπαυλα, νὰ τὸν διδάξης, ὅτι πρέπει νὰ τὸ κάνη αὐτὸ γιὰ τὸν Θεὸ καὶ ὄχι γιὰ τὸν ἄνθρωπο. Μὴν θέλης μὲ μιᾶς νὰ τὰ κατορθώσης ὅλα, διότι δὲν θὰ μπορέσης, ἀλλὰ ἤρεμα καὶ σιγὰ–σιγά. Ἂν τὸν δῆς νὰ πηγαίνη γιὰ πιοτὸ καὶ σὲ συμπόσια ποὺ εἶναι γεμᾶτα ἀπὸ μέθη, κάνε τὸ ἴδιο, κι' αὐτὸν πάλι παρακάλεσέ τον, κι' ἂν διακρίνη σὲ σένα κάποιο ἐλάττωμα νὰ σὲ βοηθήση νὰ τὸ διορθώσης. Διότι τότε θὰ ἀνεχθῆ καὶ τὸν ἔλεγχο ποὺ τοῦ κάνεις, ὅταν δῆ ὅτι κι' ἐσὺ ἔχεις ἀνάγκη ἐλέγχων καὶ ὄχι ὅταν τὸν ἐλέγχης σὰν νὰ τὰ ἔχης κατορθώσει ἐσὺ ὅλα, οὔτε σὰν διδάσκαλος, ἀλλ' ὅτι τὸν βοηθᾶς σὰν φίλος καὶ ἀδελφός.

Πές του, ἐγὼ σὲ βοήθησα, ὑπενθυμίζοντάς σου τὸ συμφέρον σου· καὶ σύ, ἂν δῆς ὅτι ἔχω κάποιο ἐλάττωμα, ἐμπόδισέ το, διόρθωσέ το· κι' ἂν δῆς ὅτι εὔκολα ὀργίζομαι καὶ εἶμαι πλεονέκτης, περιόρισε τὴν τάσι μου μὲ τὴ συμβουλή σου. Αὐτὸ εἶναι φιλία· ἔτσι ἀδελφὸς βοηθούμενος ἀπὸ τὸν ἀδελφὸ μοιάζει μὲ πόλι ὀχυρωμένη· διότι δὲν κάνει τὴν φιλία τὸ φαγητὸ καὶ τὸ πιοτό· καθόσον τέτοια φιλία ἔχουν καὶ ὁ ληστὲς καὶ οἱ δολοφόνοι· ἀλλὰ ἐὰν εἴμαστε φίλοι, ἐὰν

εἰ φίλοι ἐσμέν, εἰ ὄντως ἀλλήλων κηδόμεθα, εἰς ταῦτα ἀλλήλοις συμβαλλώμεθα· ταῦτα εἰς φιλίαν ἡμᾶς ἄγει ἐπωφελῆ, ταῦτα κωλύει εἰς γέενναν ἀπελθεῖν.

Μήτε οὖν ὁ ἐλεγχόμενος ἀγανακτείτω· ἄνθρωποι γάρ ἐσμεν, καὶ ἔχομεν ἐλαττώματα· μήτε ὁ ἐλέγχων ὡς ἐπεγγελῶν, ἢ ὡς ἐπεμβαίνων, τοῦτο ποιείτω καὶ ἐκπομπεύων, ἀλλὰ κατ' ἰδίαν, μετὰ προσηνείας· πλείονος γὰρ δεῖται προσηνείας ὁ ἐλέγχων, ἵνα οὕτω πείσῃ τὴν τομὴν ἐνεγκεῖν. Οὐχ ὁρᾶτε τοὺς ἰατρούς, ὅταν καίωσιν, ὅταν τέμνωσι, μετὰ πόσης προσηνείας τὴν θεραπείαν ἐπάγουσι; Πολλῷ μᾶλλον τοὺς ἐλέγχοντας τοῦτο δεῖ ποιεῖν· καὶ γὰρ καὶ πυρὸς καὶ σιδήρου σφοδρότερον ἔλεγχος, καὶ σκιρτᾶν ποιεῖ· καὶ διὰ τοῦτο καὶ οἱ ἰατροὶ πολλὰ ἐπιτηδεύουσιν, ὥστε ἐνεγκεῖν πρᾴως τὴν τομήν, καὶ προσηνῶς, ὡς οἷόν τε, ταύτην ἐπάγουσι, καὶ μικρὸν ἐνδιδόντες, εἶτα παρέχοντες ἀναπνεῦσαι.

Οὕτω καὶ τοὺς ἐλέγχους δεῖ ποιεῖν, ἵνα καὶ οἱ ἐλεγχόμενοι μὴ ἀποσκιρτῶσι. Κἂν ὑβρισθῆναι τοίνυν δέῃ, κἂν πληγῆναι, μὴ παραιτησώμεθα. Καὶ γὰρ ἐκεῖνοι οἱ τεμνόμενοι, μυρία καταβοῶσι τῶν τεμνόντων· ἀλλ' ἐκεῖνοι πρὸς οὐδὲν τούτων ὁρῶσιν, ἀλλ' ἢ πρὸς τὴν ὑγείαν τῶν καμνόντων μόνον. Οὕτω δὴ καὶ ἐνταῦθα πάντα δεῖ ποιεῖν πρὸς τὸ τὸν ἔλεγχον χρησίμως γενέσθαι, πάντα φέρειν πρὸς τὸν μισθὸν ἀφορῶντας τὸν ἀποκείμενον. «Ἀλλήλων», φησί, «τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ».

Οὕτως οὖν καὶ ἐλέγχοντες καὶ φέροντες ἀλλήλους, δυνησόμεθα ἀναπληρῶσαι τὴν οἰκοδομὴν τοῦ Χριστοῦ· καὶ ἡμῖν οὕτω ποιήσετε κοῦφον τὸν πόνον, ἐν ἅπασι συλλαμβανόμενοι ἡμῖν καὶ χεῖρα ὀρέγοντες καὶ μερισταὶ γινόμενοι καὶ κοινωνοί, καὶ τῆς ἀλλήλων σωτηρίας, καὶ τῆς ἰδίας ἕκαστος. Ὑπομένωμεν τοίνυν καὶ φέροντες τὰ ἀλλήλων βάρη καὶ ἐλέγχοντες, ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

6. Γαλ. 6,2.

πραγματικὰ φροντίζουμε ὁ ἕνας γιὰ τὸν ἄλλο, αὐτὰ ἂς συμφωνήσουμε μεταξύ μας· αὐτὰ μᾶς ὁδηγοῦν σὲ ἐπικοδομητικὴ φιλία, αὐτὰ μᾶς ἐμποδίζουν νὰ πᾶμε στὴν κόλασι.

Οὔτε ν' ἀγανακτῆς ὅταν σὲ ἐλέγχουν· διότι ἄνθρωποι εἴμαστε καὶ ἔχουμε ἐλαττώματα· οὔτε αὐτὸς ποὺ ἐλέγχει νὰ τὸ κάνη σὰν νὰ περιγελᾶ ἢ νὰ ἐξευτελίζη καὶ νὰ διαπομπεύη, ἀλλὰ κατ' ἰδίαν καὶ μὲ πραότητα· διότι πολὺ μεγαλύτερη πραότητα χρειάζεται αὐτὸς ποὺ κάνει τὸν ἔλεγχο γιὰ νὰ μπορέση νὰ πείση τὸν ἐλεγχόμενο νὰ ὑπομείνη τὴν ἐγχείρισι. Δὲν βλέπετε τοὺς γιατροὺς ὅταν καυτηριάζουν, ὅταν χειρουργοῦν, μὲ πόση πραότητα κάμνουν τὴ θεραπεία; Πολὺ περισσότερο πρέπει νὰ τὸ κάνουν αὐτὸ ἐκεῖνοι ποὺ ἐλέγχουν· διότι ὁ ἔλεγχος εἶναι σφοδρότερος καὶ ἀπὸ τὴ φωτιὰ καὶ ἀπὸ τὸν σίδηρο καὶ κάνει τὸν ἄνθρωπο ν' ἀναπηδᾶ· γι' αὐτὸ καὶ οἱ γιατροὶ πολλὰ μηχανεύονται, γιὰ νὰ κάνουν τὴν ἐγχείρισι μὲ ἠπιότητα καὶ πραότητα· ἀρχίζουν δηλαδὴ τὴν ἐγχείρισι καὶ σταματοῦν ἐὰν χρειασθῆ, γιὰ νὰ πάρη λίγο κουράγιο ὁ ἀσθενής.

Ἔτσι πρέπει νὰ κάνουμε καὶ τοὺς ἐλέγχους, γιὰ νὰ μὴν ἀποσκιρτήσουν οἱ ἐλεγχόμενοι. Κι' ἂν ὑβρισθοῦμε κι' ἂν πληγωθοῦμε, νὰ μὴν ἐγκαταλείψουμε τὴν προσπάθεια. Διότι καὶ οἱ χειρουργούμενοι, πολλὲς κραυγὲς ἐξαπολύουν ἐναντίον τῶν χειρουργῶν· ἐκεῖνοι ὅμως δὲν δίνουν σημασία σὲ τίποτε ἀπὸ αὐτά, παρὰ μόνο ἐνδιαφέρονται γιὰ τὴν ὑγεία τῶν ἀσθενῶν. Ἔτσι λοιπὸν καὶ ἐδῶ πρέπει νὰ χρησιμοποιοῦμε ὅλα τὰ μέσα γιὰ νὰ εἶναι ὁ ἔλεγχος ὠφέλιμος, ὅλα νὰ τὰ ὑπομένουμε, ἀποβλέποντας στὸν μισθὸ ποὺ μᾶς περιμένει. «Νὰ βαστάζετε», λέγει, «ὁ ἕνας τοῦ ἄλλου τὰ βάρη κι' ἔτσι νὰ ἐκπληρώνετε τὸν νόμο τοῦ Χριστοῦ»[6].

Ἔτσι λοιπὸν ἐλέγχοντας καὶ ὑπομένοντας ἀναμεταξύ μας τοὺς ἐλέγχους, θὰ μπορέσουμε νὰ ὁλοκληρώσουμε τὴν οἰκοδομὴ τοῦ Χριστοῦ καὶ θὰ μειώσετε καὶ τὸν κόπο τὸν δικό μου, μὲ τὸ νὰ μὲ συμπαραστέκεσθε σ' ὅλα, ν' ἁπλώνετε τὸ χέρι σας πρὸς βοήθειά μου, καὶ νὰ μοιράζεσθε μαζί μου τὸ ἔργο, συμμετέχοντας ἔτσι καὶ στὴ σωτηρία ὁ ἕνας τοῦ ἄλλου, καὶ στὴ δική του ὁ καθένας. Ἂς ὑπομένουμε λοιπὸν καὶ ἂς σηκώνουμε ὁ ἕνας τὰ βάρη τοῦ ἄλλου καὶ ἂς ἐλέγχουμε ὁ ἕνας τὸν ἄλλο, γιὰ νὰ κληρονομήσουμε τὰ ἀγαθὰ ποὺ μᾶς ὑποσχέθηκε ὁ Θεός, μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ.

ΟΜΙΛΙΑ ΛΑ'

(Ἑβρ. 12,14–17)

«Εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον».

1. Πολλὰ μὲν ἔστι τὰ χαρακτηρίζοντα τὸν Χριστιανισμόν, μᾶλλον δὲ πάντων καὶ κρεῖττον ἁπάντων ἡ πρὸς ἀλλήλους ἀγάπη καὶ
5 ἡ εἰρήνη. Διὰ τοῦτο καὶ ὁ Χριστός φησιν· «εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν»· καὶ πάλιν, «ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Διὰ τοῦτο καὶ ὁ Παῦλος νῦν φησιν· «εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν», τουτέστι, τὴν σεμνότητα, «οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. Ἐπισκοποῦντες
10 μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ». Καθάπερ ὁδόν τινα μακρὰν ὁδευόντων ἐν συνοδίᾳ πολλῇ, βλέπετε φησί, μή τις ἀπέμεινεν· οὐ γὰρ τοῦτο ζητῶ μόνον, ἵνα ὑμεῖς παραγένησθε, ἀλλ' ἵνα καὶ τοὺς ἄλλους ἐπισκοπῆτε.

«Μή τις ὑστερῶν», φησίν, «ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ».
15 «Χάριν» τοῦ Θεοῦ τὰ μέλλοντα καλεῖ ἀγαθά, τὴν πίστιν τὴν εὐαγγελικήν, τὴν ἀρίστην πολιτείαν· πάντα γὰρ τῆς τοῦ Θεοῦ χάριτός ἐστι. Μὴ οὖν μοι εἴπῃς, ὅτι εἷς ἐστιν ὁ ἀπολλύμενος· καὶ δι' ἕνα ὁ Χριστὸς ἀπέθανε. Δι' ἕνα ὁ Χριστὸς ἀπέθανε, σὺ δὲ οὐ φροντίζεις; «Ἐπισκοποῦντες», φησί· τουτέστιν, ἀκριβῶς ἐρευνῶντες, ἐπισκε-
20 πτόμενοι, καταμανθάνοντες, ὅπερ ἐστὶν ἐπὶ τῶν ἀσθενῶν, καὶ διὰ πάντων ἐξετάζοντες, καταμανθάνοντες.

«Μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ». Τοῦτο ἐν τῷ Δευτερονομίῳ κεῖται· ἔλαβε δὲ αὐτὸ ἀπὸ μεταφορᾶς τῶν φυτῶν.

1. Ἰω. 14,27.
2. Ἰω. 13,35.

ΟΜΙΛΙΑ ΛΑ'

(Ἑβρ. 12,14–17)

«Νὰ ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό, χωρὶς τὸν ὁποῖο κανεὶς δὲν θὰ δῆ τὸν Κύριο».

1. Πολλὰ εἶναι αὐτὰ ποὺ χαρακτηρίζουν τὸν Χριστιανισμό, σπουδαιότερο ὅμως καὶ ἀνώτερο ἀπ' ὅλα εἶναι ἡ ἀγάπη καὶ ἡ εἰρήνη μεταξὺ τῶν Χριστιανῶν. Γι' αὐτὸ καὶ ὁ Χριστὸς λέγει· «σᾶς δίνω τὴ δική μου εἰρήνη»[1]· καὶ πάλι, «ἔτσι θὰ μάθουν ὅλοι ὅτι εἶσθε μαθητές μου, ἐὰν ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλο»[2]. Γι' αὐτὸ καὶ ὁ Παῦλος τώρα λέγει· «νὰ ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό», δηλαδή, τὴ σεμνότητα, «χωρὶς τὸν ὁποῖο κανεὶς δὲν θὰ δῆ τὸν Κύριο. Καὶ προσέχετε μήπως κανεὶς ἀπο σᾶς καθυστερεῖ καὶ μένει πίσω ἀπὸ τὴ χάρι τοῦ Θεοῦ». Ὅπως ἀκριβῶς ὅταν βαδίζετε μακρυνὸ δρόμο μὲ συνοδεία πολλή, βλέπετε, λέγει, μήπως κανεὶς καθυστέρησε καὶ ἔμεινε πίσω· καὶ δὲν ζητῶ μόνο αὐτό, νὰ φθάσετε δηλαδὴ στὸν σκοπὸ ἐσεῖς οἱ ἴδιοι, ἀλλὰ νὰ προσέχετε νὰ φθάσουν καὶ οἱ ἄλλοι συνοδοιπόροι σας.

«Μήπως ὑπάρχει μεταξύ σας κάποιος ποὺ καθυστερεῖ καὶ μένει πίσω ἀπὸ τὴ χάρι τοῦ Θεοῦ». «Χάρι τοῦ Θεοῦ» ὀνομάζει τὰ ἀγαθὰ τοῦ μέλλοντος, τὴν πίστι τὴν εὐαγγελική, τὸν ἄριστο τρόπο ζωῆς· διότι ὅλα αὐτὰ εἶναι ἀποτέλεσμα τῆς χάριτος τοῦ Θεοῦ. Μὴ μοῦ πῆς ὅμως, ὅτι εἶναι ἕνας αὐτὸς ποὺ χάνεται· καὶ γιὰ τὸν ἕνα ὁ Χριστὸς πέθανε. Γιὰ ἕναν ὁ Χριστὸς πέθανε, καὶ σὺ δὲν φροντίζεις γιὰ αὐτόν; «Προσέχετε», λέγει· δηλαδή, νὰ ἐρευνᾶτε μὲ ἀκρίβεια, νὰ ἐπισκέπτεσθε, νὰ πληροφορῆσθε, ὅπως γίνεται μὲ τοὺς ἀσθενεῖς, καὶ ἐξετάζετε νὰ μάθετε, χρησιμοποιώντας ὅλα τὰ μέσα.

«Προσέχετε, μήπως καμμιὰ ρίζα πικρίας φυτρώνει πρὸς τὰ ἐπάνω καὶ ἐνοχλεῖ». Αὐτὸ βρίσκεται στὸ Δευτερονόμιο· πῆρε αὐτὸ

«Μή τις ρίζα», φησί, «πικρίας»· ὃ καὶ ἀλλαχοῦ γράφων λέγει, «μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ». Οὐκ ἐκείνου μόνον ἕνεκεν τοῦτο, φησί, βούλομαι, ἀλλὰ καὶ διὰ τὴν ἐξ αὐτοῦ γινομένην βλάβην. Τουτέστι, κἂν ᾖ τις ρίζα τοιαύτη, μηδεμίαν βλάστην ἀφῇς ἀνελθεῖν,
5 ἀλλ' ἐκκοπτέσθω, ὥστε μὴ φέρειν τοὺς οἰκείους καρπούς, ὥστε μὴ καὶ τοὺς ἄλλους μολύνειν καὶ μιαίνειν.

«Μή τις» γάρ, φησί, «ρίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί». Καὶ εἰκότως πικρὰν τὴν ἁμαρτίαν ἐκάλεσεν· οὐδὲν γὰρ ὄντως ἁμαρτίας πικρότερον· καὶ ἴσασιν οἱ
10 μετὰ τὸ πρᾶξαι ὑπὸ τοῦ συνειδότος τηκόμενοι, οἱ πικρίαν πολλὴν ὑπομένοντες· πικροτάτη γὰρ οὖσα διαστρέφει αὐτὸ τὸ λογιστικόν. Τοιαύτη ἡ τοῦ πικροῦ φύσις, ἐστὶν ἀνόνητος. Καὶ καλῶς εἶπε, «ρίζα πικρίας». Οὐκ εἶπε, 'πικρά', ἀλλά, «πικρίας»· τὴν μὲν γὰρ πικρὰν ρίζαν ἔστι καρποὺς ἐνεγκεῖν γλυκεῖς, τὴν δὲ πικρίας ρίζαν
15 καὶ πηγὴν καὶ ὑπόθεσιν, οὐκ ἔστι ποτὲ γλυκὺν ἐνεγκεῖν καρπόν· πάντα γάρ ἐστι πικρά, οὐδὲν ἔχει ἡδύ, πάντα πικρά, πάντα ἀηδῆ, πάντα μίσους καὶ βδελυγμίας γέμοντα. «Καὶ δι' αὐτῆς», φησί, «μιανθῶσι πολλοί». Τουτέστιν; Ἵνα μὴ τοῦτο γένηται, τοὺς ἀσελγεῖς ἐκκόπτετε.

20 «Μή τις πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ». Καὶ ποῦ πόρνος ἦν ὁ Ἠσαῦ; Οὐ τοῦτο ἐνταῦθά φησιν, ὅτι πόρνος ἦν ὁ Ἠσαῦ, ἀλλὰ πρὸς ἀντιδιαστολὴν κεῖται τοῦ, «τὸν ἁγιασμὸν διώκετε»· τὸ δέ, «βέβηλος», ὡς πρὸς ἐκεῖνον εἴρηται. «Μή τις οὖν ἔστω ὡς ὁ Ἠσαῦ, βέβηλος»,
25 τουτέστι, γαστρίμαργος, ἀκρατής, κοσμικός, τὰ πνευματικὰ ἀπεμπολῶν. «Ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ». Τουτέστιν, ὃς τὴν παρὰ τοῦ Θεοῦ τιμὴν ταύτην διὰ τῆς οἰκείας ρᾳθυμίας ἀπέδοτο, καὶ μικρᾶς ἡδονῆς χάριν τὴν μεγίστην τιμὴν καὶ δόξαν ἀπώλεσε. Τοῦτο οἰκείως πρὸς αὐτούς, τοῦτο βδελυροῦ, τού-
30 το ἀκαθάρτου.

Ὥστε οὐχ ὁ πόρνος ἀκάθαρτος μόνον, ἀλλὰ καὶ ὁ γαστρίμαργος, ὅς ἐστι τῆς γαστρὸς δοῦλος. Καὶ γὰρ καὶ οὗτος ἑτέρας ἐστὶν ἡδονῆς δοῦλος, ἀναγκάζεται πλεονεκτεῖν, ἀναγκάζεται ἁρπά-

3. Α' Κορ. 5.6.

τὸ παράδειγμα μεταφορικὰ ἀπὸ τὴ ζωὴ τῶν φυτῶν. «Μήπως καμμιὰ ρίζα πικρίας», λέγει· αὐτὸ καὶ ἀλλοῦ γράφοντας τὸ λέγει, «λίγο προζύμι ζυμώνει ὅλη τὴ μάζα τοῦ ζυμαριοῦ»[3]. Δὲν τὸ θέλω μόνο ἐξ αἰτίας ἐκείνου, λέγει, αὐτό, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς βλάβης ποὺ προκαλεῖ. Δηλαδή, κι' ἂν ὑπάρχη κάποια τέτοια ρίζα, νὰ μὴν ἀφήσης νὰ ἀνέβη πρὸς τὰ ἐπάνω κανένα βλαστάρι, ἀλλὰ κόψε το, γιὰ νὰ μὴν φέρη τοὺς πικροὺς καρποὺς καὶ μολύνη καὶ βλάψη καὶ τοὺς ἄλλους.

«Μήπως», λέγει, «κάποια ρίζα πικρίας φυτρώνει πρὸς τὰ ἐπάνω καὶ προκαλεῖ ἐνόχλησι καὶ μ' αὐτὴν μολυνθοῦν πολλοί». Καὶ δικαιολογημένα ὠνόμασε πικρὴ τὴν ἁμαρτία· διότι πραγματικὰ τίποτε δὲν εἶναι πικρότερο ἀπὸ τὴν ἁμαρτία· καὶ τὸ γνωρίζουν ὅλοι ὅσοι μετὰ τὴ διάπραξί της λειώνουν ἐλεγχόμενοι ἀπὸ τὴ συνείδησι, ὑπομένοντας πολλὴ πίκρα. Διότι, ἐπειδὴ εἶναι πάρα πολὺ πικρή, καταστρέφει τὸ ἴδιο τὸ λογικό. Τέτοια εἶναι ἡ φύσις τοῦ πικροῦ, εἶναι ἀνώφελη. Καὶ σωστὰ τὴν εἶπε «ρίζα πικρίας». Δὲν εἶπε «πικρή», ἀλλὰ «πικρίας»· διότι ἡ πικρὴ ρίζα εἶναι δυνατὸ νὰ φέρη γλυκεῖς καρπούς, ἐνῶ ἡ ρίζα τῆς πικρίας εἶναι καὶ πηγὴ καὶ βάσις, καὶ δὲν εἶναι δυνατὸ ποτὲ νὰ φέρη γλυκὺ καρπό· διότι ὅλα εἶναι πικρά, δὲν ἔχει τίποτε γλυκύ, ὅλα εἶναι πικρά, ὅλα ἀηδιαστικά, ὅλα εἶναι γεμᾶτα ἀπὸ μῖσος καὶ ἀηδία. «Καὶ μὲ αὐτήν», λέγει, «μολυνθοῦν πολλοί»· δηλαδή, γιὰ νὰ μὴ γίνη αὐτό, νὰ ἀπομακρύνετε τοὺς ἀσελγεῖς.

«Προσέχετε ἀκόμη μήπως εἶναι κανεὶς πόρνος ἢ βέβηλος ὅπως ὁ Ἡσαῦ, ὁ ὁποῖος γιὰ ἕνα φαγητὸ πούλησε τὰ πρωτοτόκια του». Καὶ ποῦ ἦταν πόρνος ὁ Ἡσαῦ; Δὲν ἐννοεῖ αὐτὸ ἐδῶ, ὅτι ὁ Ἡσαῦ ἦταν πόρνος, ἀλλ' ἔχει τεθῆ πρὸς ἀντιδιαστολὴ τοῦ «νὰ ἐπιδιώκετε τὸν ἁγιασμό»· ἐνῶ τὸ «βέβηλος» ἔχει λεχθῆ γιὰ τὸν Ἡσαῦ. Ἂς μὴ ὑπάρχη λοιπὸν κανεὶς βέβηλος, ὅπως ὁ Ἡσαῦ, δηλαδή, γαστρίμαργος, ἀκρατής, κοσμικός, ποὺ πουλάει τὰ πνευματικά. «Αὐτὸς γιὰ ἕνα φαγητὸ πούλησε τὰ πρωτοτόκια του». Δηλαδὴ τὴν τιμὴ ποὺ τοῦ ἔκανε ὁ Θεὸς τὴν παρέδωσε ἐξ αἰτίας τῆς ραθυμίας του, καὶ ἐξ αἰτίας μικρῆς ἀπολαύσεως ἔχασε τὴν μεγάλη τιμὴ καὶ δόξα. Αὐτὸ εἶναι κατάλληλο γι' αὐτούς, αὐτὸ εἶναι γνώρισμα τοῦ βδελυροῦ, αὐτὸ τοῦ ἀκάθαρτου.

Ἄρα δὲν εἶναι μόνο ὁ πόρνος ἀκάθαρτος, ἀλλὰ καὶ ὁ γαστρίμαργος, ὁ ὁποῖος εἶναι δοῦλος τῆς κοιλιᾶς του. Διότι καὶ αὐτὸς εἶναι δοῦλος ἄλλης ἡδονῆς καὶ ἀναγκάζεται νὰ εἶναι πλεονέκτης, νὰ ἀρ-

ζειν, μυρία ἀσχημονεῖν, δοῦλος ὢν τοῦ πάθους ἐκείνου, καὶ βλασφημεῖ πολλάκις. Οὗτος οὐδενὸς ἄξια εἶναι ἐνόμισε τὰ πρωτοτόκια. Διὸ καὶ προνοῶν τῆς ἀναπαύσεως τῆς προσκαίρου, καὶ μέχρι τῶν πρωτοτοκίων ἔφθασεν. Ὥστε ἡμῶν τὰ πρωτοτόκια λοιπόν, 5 οὐχὶ Ἰουδαίων. Ἅμα δὲ καὶ πρὸς τὸ πάθος αὐτῶν τοῦτο συμβάλλεται· μονονουχὶ τοῦτο γὰρ διὰ τούτου αἰνίττεται, ὅτι ὁ πρῶτος ὕστερος γέγονε, καὶ ὁ δεύτερος πρῶτος· οὗτος διὰ καρτερίαν πρῶτος, ἐκεῖνος διὰ ῥᾳθυμίαν ὕστερος. «Ἴστε» γάρ, φησίν, «ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη· με-10 τανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν».

2. *Τί δὴ τοῦτό ἐστιν; Ἆρα μὴ τὴν μετάνοιαν ἐκβάλλει; Οὐδαμῶς. Ἀλλὰ πῶς, φησί, «μετανοίας τόπον οὐχ εὗρεν»; Εἰ γὰρ κατέγνω ἑαυτοῦ, εἰ ἀνῴμωξε μέγα, διὰ τί οὐχ εὗρε τόπον μετανοίας; 15 Ὅτι οὐκ ἦν μετανοίας τὸ πρᾶγμα. Ὥσπερ γὰρ ἡ λύπη τοῦ Κάϊν οὐκ ἦν μετανοίας, καὶ ὁ φόνος ἔδειξεν· οὕτω καὶ ἐνταῦθα οὐκ ἦν μετανοίας τὰ ῥήματα, καὶ μετὰ ταῦτα ὁ φόνος ἔδειξε· καὶ γὰρ καὶ αὐτὸς τῇ προαιρέσει ἀνεῖλε τὸν Ἰακώβ. «Ἐγγίσουσι», γάρ, φησίν, «αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου καὶ ἀποκτενῶ Ἰακὼβ τὸν 20 ἀδελφόν μου». Διὰ τοῦτο οὐκ ἴσχυσε τὰ δάκρυα μετάνοιαν αὐτῷ δοῦναι. Καὶ οὐκ εἶπε, 'μετανοίας', ἁπλῶς, ἀλλά, καὶ μετὰ δακρύων ἐκζητήσας, «μετανοιάς τόπον οὐχ εὗρε». Τί δήποτε; Ὅτι οὐ μετενόησεν ὃν ἔδει τρόπον· τοῦτο γάρ ἐστι μετάνοια· οὐ μετενόησεν ὡς ἐχρῆν. Ἐπεὶ πῶς ταῦτα ἔλεγε; πῶς νωθροὺς γενομένους; πῶς πα-25 ραλυθέντας; πῶς παρειμένους; Τοῦτο γὰρ ἀρχὴ πτώσεώς ἐστιν. Ἐμοὶ δοκεῖ αἰνίττεσθαί τινας ἐν αὐτοῖς τέως, ἀλλὰ προσποιεῖται ἄγνοιαν, ἵνα διορθώσωνται. Δεῖ γὰρ πρῶτον μὲν ἄγνοιαν ὑποκρίνεσθαι, μετὰ δὲ ταῦτα, ὅταν ἐπιμένωσι, τότε καὶ τὸν ἔλεγχον ἐπάγειν,*

πάζη, πολλὲς φορὲς νὰ καταντροπιάζη τὸν ἑαυτό του, ἐπειδὴ εἶναι δοῦλος τοῦ πάθους ἐκείνου, καὶ βλασφημεῖ πολλὲς φορές. Ὁ Ἡσαῦ περιφρόνησε τὰ πρωτοτόκια. Γι' αὐτὸ καὶ σκεπτόμενος τὴν πρόσκαιρη ἀνάπαυσι, ἔφθασε καὶ μέχρι τὰ πρωτοτόκια. Ὥστε τὰ πρωτοτόκια πλέον εἶναι δικά μας, καὶ ὄχι τῶν Ἰουδαίων. Συγχρόνως τὸ παραβάλλει αὐτὸ καὶ πρὸς τὸ πάθος αὐτῶν· δηλαδὴ μ' αὐτὸ ὑπονοεῖ κατὰ κάποιο τρόπο αὐτό, ὅτι ὁ πρῶτος ἔχει γίνει δεύτερος καὶ ὁ δεύτερος πρῶτος· αὐτὸς ἐξ αἰτίας τῆς ὑπομονῆς του ἔγινε πρῶτος, ἐκεῖνος ἐξ αἰτίας τῆς ραθυμίας του δεύτερος. «Διότι γνωρίζετε», λέγει, «ὅτι καὶ ὅταν θέλησε ἀργότερα νὰ κληρονομήση τὴν εὐλογία τοῦ πρωτότοκου παιδιοῦ ἀποδοκιμάσθηκε· διότι δὲν βρῆκε μέσο μετανοίας, ἂν καὶ μὲ δάκρυα τὴν ἀναζήτησε».

2. Τί λοιπὸν σημαίνει αὐτό; Μήπως ἀπορρίπτει τὴ μετάνοια; Καθόλου. Πῶς τότε, λέγει, δὲν βρῆκε μέσο μετανοίας; Διότι, ἐὰν κατηγόρησε τὸν ἑαυτό του, ἐὰν θρήνησε μεγαλόφωνα, γιατί δὲν βρῆκε τρόπο μετανοίας; Ἐπειδὴ δὲν ἦταν εἰλικρινὴς ἡ μετάνοια. Ὅπως ἀκριβῶς καὶ ἡ λύπη τοῦ Κάϊν δὲν ἦταν λύπη μετανοίας, καὶ αὐτὸ τὸ ἀπέδειξε ὁ φόνος· ἔτσι καὶ ἐδῶ τὰ λόγια δὲν ἦταν λόγια μετανοίας, καὶ τὸ ἀπέδειξε αὐτὸ ὁ φόνος ποὺ ἀκολούθησε· καθόσον καὶ αὐτὸς μὲ τὴν προαίρεσί του φόνευσε τὸν Ἰακώβ. «Ἂς πεθάνη πρῶτα ὁ πατέρας μου· κι' ἂς περάσουν οἱ ἡμέρες τοῦ πένθους γιὰ τὸ θάνατο τοῦ πατέρα μου καὶ τότε ἐγὼ θὰ φονεύσω τὸν ἀδελφό μου τὸν Ἰακώβ»[4]. Γι' αὐτὸ καὶ δὲν μπόρεσαν τὰ δάκρυά του νὰ τοῦ προσφέρουν τὴ μετάνοια. Καὶ δὲν εἶπε ἁπλῶς 'μετάνοια', ἀλλά, «ἂν καὶ ἀναζήτησε τὴ μετάνοια μὲ δάκρυα, δὲν βρῆκε τρόπο μετανοίας». Γιατί ἄραγε; Διότι δὲν μετενόησε μὲ τὸν τρόπο ποὺ ἔπρεπε· καθόσον αὐτὸ εἶναι μετάνοια· δὲν μετενόησε ὅπως ἔπρεπε. Τότε πῶς τὰ ἔλεγε αὐτά; Γιατί πάλι, ἐφ' ὅσον εἶχαν γίνει νωθροὶ τοὺς παρώτρυνε; πῶς ἐφ' ὅσον εἶχαν γίνει ἀνάπηροι; πῶς ἀφοῦ εἶχαν παραλύσει; πῶς ἀφοῦ ἦταν πεσμένοι; διότι αὐτὸ εἶναι ἡ ἀρχὴ τῆς πτώσεως. Ἐγὼ νομίζω ὅτι ὑπονοεῖ μερικοὺς πόρνους ποὺ ὑπῆρχαν ἀνάμεσά τους, ἐπειδὴ ὅμως δὲν θέλει νὰ τοὺς ἐλέγξη δημοσίως, προσποιεῖται ὅτι τὸ ἀγνοεῖ, γιὰ νὰ διορθωθοῦν. Πρέπει δηλαδὴ στὴν ἀρχὴ νὰ δείχνη ὅτι τὸ ἀγνοεῖ, ὕστερα ὅμως, ἐφ' ὅσον ἐπιμένουν, τότε νὰ προσθέτη καὶ τὸν ἔλεγχο, γιὰ νὰ μὴ φθάνουν νὰ γίνουν

ὥστε μὴ ἀπαναισχυντῆσαι, ὅπερ καὶ Μωϋσῆς ἐποίησεν ἐπὶ Ζαμβρὶ καὶ τῆς Χασβίτιδος.

«Μετανοίας», γάρ φησι, «τόπον οὐχ εὗρεν». Οὐχ εὗρε μετάνοιαν, ἢ ὅτι μετανοίας μείζονα ἥμαρτε, ἢ ὅτι μετάνοιαν ἀξίαν οὐκ 5 *ἐπεδείξατο. Ἔστιν ἄρα ἁμαρτήματα μετανοίας μείζονα. Ὃ δὲ λέγει, τοῦτό, ἐστι· Μὴ πέσωμεν πτῶμα ἀνίατον· ἕως ἂν ᾖ χωλεία τὸ πρᾶγμα, εὔκολον γενέσθαι ὀρθόν· ἐὰν δὲ ἐκτραπῶμεν, τί ἔσται λοιπόν; Τοῖς μὲν γὰρ μηδέπω πεσοῦσιν οὕτω διαλέγεται, τῷ φόβῳ συγκροτῶν αὐτούς, καί φησιν ὅτι οὐκ ἔστι πεσόντα παραμυθίας τυ-* 10 *χεῖν· τοῖς δὲ πεσοῦσιν, ὥστε μὴ εἰς ἀπόγνωσιν ἐμπεσεῖν, τἀναντία παραινεῖ, οὕτω λέγων· «τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν»· καὶ πάλιν, «οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε». Ἰδοὺ μαρτυρεῖ ὅτι ἐξέπεσεν. Ὁ μὲν γὰρ ἑστώς, ἀκούων ὅτι πεσόντα οὐκ ἔστι συγγνώμης τυχεῖν, σφο-* 15 *δρότερος ἔσται καὶ ἀσφαλέστερς περὶ τὴν στάσιν· ἂν μέντοι καὶ περὶ τὸν πεπτωκότα τῇ αὐτῇ χρήσῃ σφοδρότητι, οὐδέποτε ἀναστήσεται· ποίᾳ γὰρ ἐλπίδι τὴν μεταβολὴν ἐπιδείξεται; Οὐ μόνον δέ φησιν, «ἐδάκρυσεν», ἀλλὰ καὶ «ἐξεζήτησεν»· οὐ τοίνυν ἐκβάλλει μετάνοιαν, λέγων, «μετανοίας τόπον οὐχ εὗρεν»· ἀλλ' ἀσφαλίζεται* 20 *αὐτοὺς μᾶλλον διὰ τούτου πρὸς τὸ μὴ πεσεῖν. Ὅσοι τοίνυν ἀπιστοῦσι τῇ γεέννῃ ταῦτα ἀναμιμνησκέσθωσαν· ὅσοι νομίζουσιν ἀτιμώρητα ἁμαρτάνειν, ταῦτα λογιζέσθωσαν. Διὰ τί Ἠσαῦ οὐκ ἔτυχε συγγνώμης; Ὅτι οὐ μετενόησεν ὡς ἐχρῆν.*

3. Θέλεις ἰδεῖν μετάνοιαν ἀκριβῆ; Ἄκουσον τὴν τοῦ Πέτρου με- 25 *τάνοιαν μετὰ τὴν ἄρνησιν. Διηγούμενος γὰρ ἡμῖν τὰ κατ' αὐτὸν ὁ εὐαγγελιστής, φησί, «καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς». Διὰ τοῦτο καὶ ἀφείθη αὐτῷ τὸ τοιοῦτον ἁμάρτημα, ὅτι μετενόησεν ὃν ἔδει τρόπον. Καίτοι οὔπω τὸ θῦμα προσενήνεκτο, οὔπω ἡ θυσία ἐγεγένητο, οὔπω ἦρτο ἡ ἁμαρτία, ἔτι ἐκράτει καὶ ἐτυράννει. Καὶ ἵνα* 30 *μάθῃς, ὅτι οὐχ οὕτω ῥᾳθυμίας ἦν ἡ ἄρνησις, ὅσον ἐγκαταλείψεως τοῦ Θεοῦ παιδεύοντος αὐτὸν εἰδέναι τὰ ἀνθρώπινα μέτρα, καὶ μὴ*

5. Γαλ. 4,19.
6. Γαλ. 5,4.
7. Ματθ. 26,75.

ἀδιάντροποι. Αὐτὸ καὶ ὁ Μωϋσῆς ἔκανε στὴν περίπτωσι τοῦ Ζαμβρὶ καὶ τῆς Χασβίτιδας.

«Διότι», λέγει, «δὲν βρῆκε μέσο μετανοίας». Δὲν βρῆκε μετάνοια, ἢ ὅτι ἡ ἁμαρτία του ἦταν μεγαλύτερη τῆς μετανοίας του, ἢ ὅτι δὲν μετενόησε εἰλικρινά. Ὥστε ὑπάρχουν καὶ ἁμαρτήματα μεγαλύτερα ἀπὸ τὴ μετάνοια. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Νὰ μὴ γίνη ἡ πτῶσις μας ἀθεράπευτη· ὅσο ἡ πτῶσις δὲν εἶναι παραλυσία εἶναι εὔκολο νὰ θεραπευθῆ· ἐὰν ὅμως παρεκτραποῦμε, τότε τί θὰ γίνη; Ὁμιλεῖ δηλαδὴ κατ' αὐτὸν τὸν τρόπο πρὸς ἐκείνους ποὺ δὲν ἔπεσαν ποτέ, γιὰ νὰ τοὺς συγκρατήση μὲ τὸν φόβο ἀπὸ τὴν πτῶσι, καὶ λέγει ὅτι δὲν εἶναι δυνατὸ νὰ παρηγορηθῆ αὐτὸς ποὺ ἔπεσε· ἐκείνους πάλι ποὺ ἔπεσαν, γιὰ νὰ μὴν περιέλθουν σὲ ἀπόγνωσι, συμβουλεύει τὰ ἀντίθετα καὶ λέγει τὰ ἑξῆς· «τέκνα μου, ποὺ ξαναδοκιμάζω τώρα πόνους γιὰ τὴν ἀναγέννησί σας, μέχρι ποὺ νὰ μορφωθῆ μέσα σας ὁ Χριστός»[5]· καὶ πάλι· «ἐσεῖς ποὺ προσπαθεῖτε νὰ δικαιωθῆτε μέσω τοῦ νόμου, ἔχετε ἐκπέσει ἀπὸ τὴ χάρι»[6]. Νά, μαρτυρεῖ ὅτι ἔχουν ἐκπέσει ἀπὸ τὴ χάρι. Διότι, ἐκεῖνος ποὺ εἶναι ὄρθιος, ἀκούγοντας ὅτι, ἐὰν πέση, δὲν θὰ συγχωρηθῆ, θὰ γίνη ἰσχυρότερος καὶ ἀσφαλέστερος ὡς πρὸς τὴν σταθερότητά του· ἐὰν ὅμως καὶ γι' αὐτὸν ποὺ ἔχει πέσει χρησιμοποιήση τὴν ἴδια αὐστηρότητα, ποτὲ δὲν θὰ ἀνορθωθῆ· μὲ ποιά δηλαδὴ ἐλπίδα νὰ ἐπιδείξη τὴ μεταβολή; Καὶ ὄχι μόνο, λέγει, «δάκρυσε, ἀλλὰ καὶ «ἀναζήτησε» τὴ μετάνοια· δὲν ἀπορρίπτει τὴ μετάνοια, μὲ τὸ νὰ λέγη, «δὲν βρῆκε μέσο μετανοίας»· ἀλλὰ τοὺς ἀσφαλίζει μ' αὐτὸ περισσότερο, γιὰ νὰ μὴ πέσουν. Ὅσοι λοιπὸν ἀμφισβητοῦν τὴ γέεννα, ἂς τὰ θυμοῦνται αὐτά· ὅσοι νομίζουν ὅτι μποροῦν ν' ἁμαρτάνουν ἀτιμώρητα, αὐτὰ ἂς θυμοῦνται. Γιατὶ ὁ Ἠσαῦ δὲν συγχωρήθηκε; Ἐπειδὴ δὲν μετενόησε ὅπως ἔπρεπε.

3. Θέλεις νὰ δῆς πραγματικὴ μετάνοια; Ἄκουσε τὴ μετάνοια τοῦ Πέτρου μετὰ τὴν ἄρνησι. Διηγούμενος τὰ σχετικὰ μ' αὐτὸν ὁ Εὐαγγελιστής, λέγει· «καὶ ἀφοῦ βγῆκε ἔξω ἔκλαψε πικρά»[7]. Γι' αὐτὸ καὶ τοῦ συγχωρήθηκε τὸ τόσο μεγάλο ἁμάρτημά του, ἐπειδὴ μετάνοιωσε μὲ τὸν τρόπο ποὺ ἔπρεπε. Ἂν καὶ βέβαια δὲν εἶχε ἀκόμη προσφερθῆ τὸ θῦμα, δὲν εἶχε γίνει ἡ θυσία, δὲν εἶχε ἀκόμη πάρει ἐπάνω του ὁ Χριστὸς τὴν ἁμαρτία, ἀκόμη αὐτὴ ἐξουσίαζε καὶ βασίλευε τυραννικά. Καὶ γιὰ νὰ μάθης, ὅτι ἡ ἄρνησις δὲν ἦταν τόσο ἀποτέλεσμα τῆς ραθυμίας, ὅσο τῆς ἐγκαταλείψεώς του ἀπὸ τὸν Θεό, ποὺ

ἀντιλέγειν τοῖς παρὰ τοῦ διδασκάλου λεγομένοις, μηδὲ μείζονα τῶν ἄλλων φρονεῖν, ἀλλ' εἰδέναι ὅτι χωρὶς Θεοῦ οὐδὲν γενέσθαι δυνατόν, καὶ ὅτι, «ἐὰν μὴ ὁ Κύριος οἶκον οἰκοδομήσῃ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν», ἄκουε πῶς ἀσφαλιζόμενος καὶ
5 πείθων μετριάζειν, εἶπε πρὸς αὐτὸν μόνον ὁ Χριστός· «Σίμων, Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο σινιάσαι σε ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου». Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτὸν μέγα φρονεῖν, συνειδότα ἑαυτῷ ὅτι μᾶλλον ἁπάντων ἀγαπᾷ τὸν Χριστόν, διὰ τοῦτο συγχωρεῖται πεσεῖν, ἀπαρνήσασθαι
10 τὸν διδάσκαλον, διὰ τοῦτο καὶ κλαίει πικρῶς καὶ τὰ ἄλλα τὰ ἑξῆς τοῦ κλαυθμοῦ ὁμοίως ποιεῖ. Τί γὰρ οὐκ ἐποίησε; Μυρίοις κινδύνοις ἑαυτὸν περιέβαλε μετὰ ταῦτα, διὰ πάντων δεικνὺς αὐτοῦ τὴν ἀνδρείαν καὶ τὸ παράστημα τῆς ψυχῆς.

Μετενόησε καὶ ὁ Ἰούδας, ἀλλὰ κακῶς· ἀπήγξατο γάρ. Μετε-
15 νόησεν, ὅπερ ἔφην, καὶ Ἠσαῦ· μᾶλλον δὲ οὗτος οὐδὲ μετενόησε· τὰ γὰρ δάκρυα οὐκ ἦν μετανοίας, ἀλλὰ ἐπηρείας καὶ θυμοῦ μᾶλλον· καὶ δείκνυσι τὰ ἑξῆς. Μετενόησεν ὁ μακάριος Δαυῒδ οὕτω λέγων· «λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω»· καὶ τὴν πάλαι γεγενημένην ἁμαρτίαν, μετὰ
20 τοσαῦτα ἔτη, μετὰ τοσαύτας γενεάς, ὡς νεωστὶ συμβᾶσαν ἐπένθει. Τὸν γὰρ μετανοοῦντα οὐκ ὀργίζεσθαι χρὴ οὐδὲ ἀγριαίνειν, ἀλλὰ συντρίβεσθαι ὡς κατεγνωσμένον, ὡς οὐκ ἔχοντα παρρησίαν, ὡς καταδεδικασμένον, ὡς ἀπὸ ἐλέους σωθῆναι ὀφείλοντα μόνου, ὡς ἀγνώμονα περὶ τὸν εὐεργέτην φανέντα, ὡς ἀχάριστον, ὡς ἀδόκι-
25 μον, ὡς μυρίων κολάσεων ἄξιον. Ἐὰν ταῦτα λογίζηται, οὐκ ὀργισθήσεται, οὐκ ἀγανακτήσει, ἀλλὰ πενθήσει, κλαύσει, στενάξει καὶ ὀδυρεῖται νύκτα καὶ ἡμέραν. Τὸν μετανοοῦντα οὐδέποτε χρὴ λήθῃ παραδοῦναι τὴν ἁμαρτίαν, ἀλλὰ τὸν μὲν Θεὸν παρακαλεῖν μὴ μνησθῆναι αὐτῆς, αὐτὸν δὲ μηδέποτε ἐπιλαθέσθαι αὐτῆς· ἐὰν ἡμεῖς
30 αὐτῆς μνημονεύωμεν, ὁ Θεὸς αὐτῆς ἐπιλήσεται. Παρ' ἡμῶν αὐτῶν

8. Ψαλμ. 126,1.
9. Λουκᾶ 22,31–32.
10. Ψαλμ. 6,7.

τὸν δίδασκε ἔτσι γιὰ νὰ γνωρίσῃ τὶς ἀνθρώπινες δυνατότητες καὶ νὰ μὴν ἀντιλέγῃ στὰ λόγια τοῦ διδασκάλου του, οὔτε νὰ ὑπερηφανεύεται, ἀλλὰ νὰ γνωρίζῃ ὅτι χωρὶς τὸν Θεὸ τίποτε δὲν εἶναι δυνατὸ νὰ γίνῃ, καὶ ὅτι, «ἐὰν ὁ Κύριος δὲν οἰκοδομήσῃ ἕνα σπίτι, ἄδικα ἐκοπίασαν ἐκεῖνοι ποὺ τὸ οἰκοδομοῦν»[8], ἄκουε πῶς γιὰ νὰ τὸν ὀχυρώσῃ καὶ νὰ τὸν πείσῃ νὰ εἶναι ταπεινός, εἶπε πρὸς αὐτὸν μόνο ὁ Χριστός· «Σίμων, Σίμων, νὰ ὁ σατανᾶς ζήτησε τώρα νὰ σᾶς ταράξῃ καὶ νὰ σᾶς κλονίσῃ, ὅπως κοσκινίζεται τὸ σιτάρι μέσα στὸ κόσκινο· ἐγὼ ὅμως προσευχήθηκα γιὰ σένα καὶ παρακάλεσα νὰ μὴ χάσῃς τὴν πίστι σου»[9]. Πράγματι, ἐπειδὴ ἦταν φυσικὸ ὁ Πέτρος νὰ ὑπερηφανεύεται, διότι γνώριζε ὅτι αὐτὸς ἀγαποῦσε περισσότερο ἀπὸ ὅλους τοὺς ἄλλους τὸν Χριστό, γι' αὐτὸ ἐπιτρέπει ὁ Θεὸς νὰ πέσῃ, ν' ἀρνηθῇ τὸν διδάσκαλο, γι' αὐτὸ καὶ κλαίει πικρὰ καὶ κάνει και ἄλλες πράξεις τὴν μία μετὰ τὴν ἄλλη μὲ εἰλικρινὴ μετάνοια. Τί δηλαδὴ δὲν ἔκανε; Ὕστερα ἀπὸ αὐτὰ ἔρριξε τὸν ἑαυτό του σὲ πάρα πολλοὺς κινδύνους, ἀποδεικνύοντας μὲ ὅλους αὐτοὺς τὴν ἀνδρεία καὶ τὸ θάρρος τῆς ψυχῆς του.

Μετενόησε καὶ ὁ Ἰούδας, ἀλλ' ὄχι σωστά· διότι κρεμάσθηκε. Μετενόησε, ὅπως προανέφερα καὶ ὁ Ἡσαῦ· ἢ καλύτερα αὐτὸς δὲν μετενόησε· διότι τὰ δάκρυά του δὲν ἦταν δάκρυα μετανοίας, ἀλλὰ διαβολικῆς ἐνέργειας καὶ θυμοῦ μᾶλλον· καὶ τὸ δείχνουν τὰ ἑξῆς. Μετενόησε ὁ μακάριος Δαυῒδ λέγοντας, «θὰ λούζω κάθε νύχτα τὸ κρεββάτι μου καὶ θὰ βρέχω μὲ τὰ ἄφθονα δάκρυά μου τὸ στρῶμα μου»[10]· καὶ τὴν ἁμαρτία ποὺ εἶχε διαπράξει πρὶν ἀπὸ πολλὰ χρόνια, ὕστερα ἀπὸ τόσα ἔτη, ὕστερα ἀπὸ τόσες γενεές, τὴν θρηνοῦσε σὰν νὰ εἶχε μόλις συμβῆ.

Αὐτὸς ποὺ μετανοεῖ δὲν πρέπει νὰ ὀργίζεται, οὔτε νὰ ἐξαγριώνεται, ἀλλὰ νὰ κατασυντρίβεται σὰν ἔνοχος, σὰν νὰ μὴ ἔχῃ παρρησία, σὰν καταδικασμένος, σὰν νὰ ὀφίλῃ νὰ σωθῇ μόνο ἀπὸ χάρι, σὰν νὰ φάνηκε ἀγνώμονας πρὸς τὸν εὐεργέτη του, σὰν ἀχάριστος, σὰν ἄσημος, σὰν ἄξιος πολλῶν τιμωριῶν. Ἐὰν τὰ σκέφτεται αὐτὰ δὲν θὰ ὀργισθῇ, δὲν θὰ ἀγανακτήσῃ, ἀλλὰ θὰ πενθήσῃ, θὰ κλάψῃ, θὰ θρηνήσῃ καὶ θὰ ὀδύρεται νύχτα καὶ ἡμέρα. Αὐτὸς ποὺ μετανοεῖ δὲν πρέπει ποτὲ νὰ ξεχνᾶ τὴν ἁμαρτία του, ἀλλὰ νὰ παρακαλῇ τὸν Θεὸ νὰ τὴν ξεχάσῃ, ὁ ἴδιος ὅμως ποτὲ νὰ μὴν τὴν ξεχνᾶ· ἐὰν ἐμεῖς τὴν θυμώμαστε, ὁ Θεὸς θὰ τὴν λησμονήσῃ. Οἱ ἴδιοι νὰ τιμωρήσου-

δίκην λάβωμεν, ἡμῶν αὐτῶν κατηγορήσωμεν· οὕτως ἐξιλεωσόμεθα τὸν κριτήν. Ἁμαρτία γὰρ ὁμολογουμένη ἐλάττων γίνεται, μὴ ὁμολογουμένη δὲ χείρων. Ἂν γὰρ προσλάβῃ ἁμαρτία τὴν ἀναισχυντίαν καὶ τὴν ἀγνωμοσύνην, οὐδέποτε στήσεται· πῶς δὲ ὅλως ὁ
5 *τοιοῦτος δυνήσεται φυλάξασθαι πάλιν μὴ τοῖς αὐτοῖς περιπεσεῖν, ὁ τὸ πρότερον οὐκ εἰδὼς ὅτι ἥμαρτε; Μὴ τοίνυν ἀρνώμεθα, παρακαλῶ, μηδὲ ἀναισχυντῶμεν, ἵνα μὴ καὶ ἄκοντες δῶμεν τιμωρίαν.*

Ἤκουσε Κάϊν παρὰ τοῦ Θεοῦ, «ποῦ ἔστιν Ἄβελ ὁ ἀδελφός σου;» καί φησιν, «οὐκ οἶδα· μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου;».
10 *Εἶδες πῶς τοῦτο χαλεπωτέραν τὴν ἁμαρτίαν εἰργάσατο; Ἀλλ' οὐχ ὁ πατὴρ αὐτοῦ οὕτως, ἀλλὰ τί; Ἀκούσας, «Ἀδάμ, ποῦ εἶ;» φησίν· «ἤκουσα τῆς φωνῆς σου καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην». Μέγα ἀγαθὸν ἐπιγινώσκειν τὰ ἁμαρτήματα καὶ μιμνήσκεσθαι αὐτῶν διηνεκῶς· οὐδὲν οὕτω θεραπεύει πλημμέλειαν, ὡς*
15 *μνήμη διηνεκής· οὐδὲν οὕτως ὀκνηρὸν ἄνθρωπον ποιεῖ πρὸς κακίαν. Οἶδα ὅτι ἀποπηδᾷ καὶ οὐκ ἀνέχεται τὸ συνειδὸς ὑπὸ τῆς μνήμης μαστίζεσθαι τῶν κακῶν· ἀλλ' ἄγξον τὴν ψυχὴν καὶ ἐπίθες αὐτῇ κημόν· καθάπερ γὰρ ἵππος δυσήνιος, οὕτω δυσανασχετεῖ καὶ οὐ βούλεται πεῖσαι ἑαυτὴν ὅτι ἥμαρτε. Τοῦτο δὲ ὅλον ἐστὶ σατανι-*
20 *κόν. Ἀλλ' ἡμεῖς αὐτὴν πείθωμεν ὅτι ἥμαρτεν, ἵνα καὶ μετανοήσῃ, καὶ ἵνα μετανοήσασα ἀπαλλαγῇ τῶν κολάσεων. Πῶς ἀξιοῖς συγγνώμης τυχεῖν, εἰπέ μοι, ἐπὶ τοῖς ἁμαρτήμασι, μηδέπω ταῦτα ὁμολογήσας; Πάντως ἐκεῖνός ἐστιν ἐλέους καὶ φιλανθρωπίας ἄξιος ὁ ἡμαρτηκώς· σὺ δὲ μηδέπω πείσας σαυτὸν ἡμαρτηκέναι, πῶς*
25 *ἀξιοῖς ἐλεηθῆναι, ἐπὶ τοῖς πλημμελήμασιν οὕτως ἀναισχυντῶν;*

Πείθωμεν ἑαυτοὺς ὅτι ἡμάρτομεν· μὴ τῇ γλώττῃ λέγωμεν μόνον, ἀλλὰ καὶ τῇ διανοίᾳ· μὴ ἁμαρτωλοὺς καλῶμεν ἑαυτοὺς μόνον, ἀλλὰ καὶ τὰ ἁμαρτήματα ἀναλογιζώμεθα, κατ' εἶδος ἕκαστον ἀναλέγοντες. Οὐ λέγω σοι, ἐκπόμπευσον σαυτόν, οὐδὲ παρὰ τοῖς
30 *ἄλλοις κατηγόρησον, ἀλλὰ πείθεσθαι συμβουλέω τῷ προφήτῃ λέ-*

11. Γεν. 4,9.
12. Γεν. 3,9-10.

με τοὺς ἑαυτούς μας, ἐμεῖς νὰ τοὺς κατηγορήσουμε· ἔτσι θὰ ἐξιλεώσουμε τὸν κριτή. Διότι ἡ ἁμαρτία ποὺ ὁμολογεῖται μειώνεται, ἐνῶ ὅταν δὲν ὁμολογῆται, γίνεται χειρότερη. Ἐὰν στὴν ἁμαρτία προστεθῆ καὶ ἡ ἀδιαντροπιὰ καὶ ἡ ἀγνωμοσύνη, ποτὲ δὲν θὰ σταματήση· καὶ πῶς αὐτὸς ποὺ εἶναι τέτοιος θὰ μπορέση νὰ προφυλαχθῆ, ὥστε νὰ μὴν ξαναπέση στὰ ἴδια σφάλματα, ἀφοῦ δὲν ἀντιλήφθηκε προηγουμένως ὅτι ἁμάρτησε; Ἂς μὴ τὴν ἀρνούμαστε λοιπόν, σᾶς παρακαλῶ, οὔτε νὰ εἴμαστε ἀδιάντροποι, γιὰ νὰ μὴν τιμωρηθοῦμε καὶ παρὰ τὴ θέλησί μας.

Ἄκουσε ὁ Κάϊν ἀπὸ τὸν Θεό, «ποῦ εἶναι ὁ Ἄβελ ὁ ἀδελφός σου»; καὶ εἶπε· «δὲν ξέρω· μήπως ἐγὼ εἶμαι φύλακας τοῦ ἀδελφοῦ μου;»[11]. Εἶδες πῶς αὐτὸ ἔκανε βαρύτερη τὴν ἁμαρτία; Ἀλλ' ὁ πατέρας του δὲν ἐνήργησε ἔτσι, ἀλλὰ πῶς; Ὅταν ἄκουσε, «Ἀδὰμ ποῦ εἶσαι»; εἶπε· «ἄκουσα τὴ φωνή σου καὶ φοβήθηκα νὰ παρουσιασθῶ μπροστά σου, ἐπειδὴ εἶμαι γυμνός· γι' αὐτὸ καὶ κρύφθηκα»[12]. Εἶναι μεγάλο ἀγαθὸ τὸ ν' ἀναγνωρίζη κανεὶς τὰ σφάλματά του καὶ νὰ τὰ θυμᾶται διαρκῶς· διότι τίποτε δὲν θεραπεύει τόσο τὴν ἁμαρτία, ὅσο ἡ συνεχὴς ἐνθύμησίς της· τίποτε δὲν κάνει τὸν ἄνθρωπο τόσο διστακτικὸ μπροστὰ στὴν κακία. Γνωρίζω ὅτι ἀποσκιρτᾶ ἡ συνείδησις καὶ δὲν ἀνέχεται νὰ μαστιγώνεται ἀπὸ τὴν ἀνάμνησι τῶν κακῶν· ὅμως ἐσὺ πίεσε τὴν ψυχή σου καὶ βάλε της φίμωτρο· διότι, ὅπως τὸ ἀτίθασο ἄλογο, ἔτσι δυσανασχετεῖ καὶ δὲν θέλει νὰ παραδεχθῆ ὅτι ἁμάρτησε. Ἀλλ' ὅλη αὐτὴ ἡ ἐνέργεια εἶναι σατανική. Ἐμεῖς ὅμως ἂς τὴν πείθουμε ὅτι ἁμάρτησε, γιὰ νὰ μετανοήση, καί, ἀφοῦ μετανοήση, ν' ἀπαλλαγῆ ἀπὸ τὶς τιμωρίες. Πές μου, πῶς ἔχεις τὴν ἀπαίτησι νὰ σοῦ συγχωρηθοῦν οἱ ἁμαρτίες, ἐφ' ὅσον ποτὲ δὲν τὶς ὡμολόγησες; Ὁπωσδήποτε ἐκεῖνος ποὺ ἔχει παραδεχθῆ τὰ λάθη του εἶναι ἄξιος ἐλέους καὶ φιλανθρωπίας· ἐνῶ ἐσὺ ποὺ δὲν πείσθηκες ποτὲ ὅτι ἔχεις ἁμαρτήσει, πῶς ἔχεις τὴν ἀπαίτησι νὰ ἐλεηθῆς, ἐφ' ὅσον φέρεσαι μὲ τέτοια ἀδιαντροπιὰ γιὰ τὶς ἁμαρτίες σου;

Ἂς πείθουμε τοὺς ἑαυτούς ὅτι ἁμαρτήσαμε· κι' ἂς μὴν τὸ λέμε μόνο μὲ τὴ γλῶσσα, ἀλλὰ καὶ μὲ τὴ διάνοια· ἂς μὴν ἀποκαλοῦμε μόνο ἁμαρτωλοὺς τοὺς ἑαυτούς μας, ἀλλὰ ἂς ἀναλογιζώμαστε καὶ τὰ ἁμαρτήματά μας, ἐξετάζοντάς τα ἕνα πρὸς ἕνα. Δὲν σοῦ λέγω, διαπόμπευσε τὸν ἑαυτό σου, οὔτε κοντὰ στοὺς ἄλλους κατηγόρησέ τον, ἀλλὰ σὲ συμβουλεύω νὰ πιστέψης τὰ λόγια τοῦ προφή-

γοντι· «ἀποκάλυψον πρὸν Κύριον τὴν ὁδόν σου». Ἐπὶ τοῦ Θεοῦ ταῦτα ὁμολόγησον, ἐπὶ τοῦ δικαστοῦ ὁμολόγει τὰ ἁμαρτήματα, εὐχόμενος, εἰ καὶ μὴ τῇ γλώττῃ, ἀλλὰ τῇ μνήμῃ, καὶ οὕτως ἀξίου ἐλεηθῆναι. Ἂν ἔχῃς τὰ ἁμαρτήματα διηνεκῶς ἐν τῇ μνήμῃ, οὐδέ-
5 *ποτε τῷ πλησίον μνησικακήσεις. Οὐ τοῦτο δὲ λέγω, ἐὰν ᾖς πεπεισμένος σαυτὸν ἁμαρτωλὸν εἶναι· οὐχ οὕτω τοῦτο δύναται ταπεινῶσαι ψυχήν, ὡς αὐτὰ ἐφ' ἑαυτῶν τὰ ἁμαρτήματα καὶ κατ' εἶδος ἐξεταζόμενα. Οὐ μνησικακήσεις, ταῦτα δι' ὅλους ἔχων ἐν τῇ μνήμῃ, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις, οὐ φρονήσεις μέγα, οὐ περιπεσῇ*
10 *πάλιν τοῖς αὐτοῖς· σφοδρότερος ἔσῃ πρὸς τὰ ἀγαθά.*

4. Ὁρᾷς ὅσα ἀπὸ τῆς μνήμης τῶν ἁμαρτημάτων τίκτεται καλά; Ἐγγράφωμεν τοίνυν αὐτὰ εἰς τὰς διανοίας ἡμῶν. Οἶδα ὅτι οὐκ ἀνέχεται ἡ ψυχὴ τῆς μνήμης τῆς οὕτω πικρᾶς· ἀλλὰ ἀναγκάζωμεν αὐτὴν καὶ βιαζώμεθα. Βέλτιον δάκνεσθαι αὐτὴν τῇ μνήμῃ νῦν, ἢ κατ'
15 *ἐκεῖνον τὸν καιρὸν τῇ τιμωρίᾳ. Νῦν, ἐὰν ᾖς αὐτῶν μεμνημένος καὶ συνεχῶς αὐτὰς προσφέρῃς τῷ Θεῷ καὶ ὑπὲρ αὐτῶν δέῃ, ταχέως ἐξαλείψεις αὐτάς· ἐὰν δὲ νῦν ἐπιλάθῃ, τότε αὐτῶν ἀναμνησθήσῃ καὶ ἄκων, ἐπὶ τῆς οἰκουμένης ἁπάσης εἰς μέσον φερομένων αὐτῶν καὶ ἐκπομπευομένων ἐπὶ πάντων, καὶ φίλων καὶ ἐχθρῶν καὶ ἀγγέ-*
20 *λων. Οὐ γὰρ δὴ πρὸς Δαυῒδ ἔλεγε μόνον, «ἃ σὺ ἐν κρυφῇ ἐποίησας, ἐγὼ ποιήσω πᾶσι κατάδηλα», ἀλλὰ καὶ πρὸς πάντας ἡμᾶς. Ἐφοβήθης ἀνθρώπους, φησί, καὶ ᾐσχύνθης τοῦ Θεοῦ πλέον· καὶ τοῦ Θεοῦ ὁρῶντος οὐκ ἐφρόντισας, ἀλλὰ τοὺς ἀνθρώπους ᾐδέσθης· «οἱ ὀφθαλμοί», γάρ φησι, «τῶν ἀνθρώπων, τοῦτο ὁ φόβος αὐτῶν». Διὰ*
25 *τοῦτο ἐπὶ τούτων δώσεις δίκην· ἐλέγξω γάρ σε, ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς τιθείς σου τὰ ἁμαρτήματα.*

Ὅτι γὰρ τοῦτό ἐστιν ἀληθές, καὶ κατ' ἐκείνην τὴν ἡμέραν πάντων ἡμῶν ἐκπομπεύεται τὰ ἁμαρτήματα ἐὰν μὴ νῦν αὐτὰ τῇ συνεχεῖ μνήμῃ ἀφανίσωμεν, ἄκουσον πῶς ἐκπομπεύεται ἡ ὠμότης
30 *καὶ ἡ ἀπανθρωπία τῶν ἐνταῦθα μὴ ἐλεησάντων. «Ἐπείνασα»,*

13. Ψαλμ. 36,5.
14. Β' Βασ. 12,12.

τη ποὺ λέγει· «φανέρωσε στὸν Κύριο τὸν δρόμο τῆς ζωῆς σου»[13]. Ἐνώπιον τοῦ Θεοῦ ὁμολόγησε αὐτά, ἐνώπιον τοῦ δικαστοῦ ὁμολόγησε τὶς ἁμαρτίες σου, προσευχόμενος, καὶ ἐὰν ὄχι μὲ τὴ γλῶσσα, ὅμως μὲ τὴν μνήμη, καὶ τότε θὰ εἶσαι ἄξιος ἐλέους. Ἐὰν ἔχης τὶς ἁμαρτίες σου διαρκῶς στὴ μνήμη σου, ποτὲ δὲν θὰ μνησικακήσης κατὰ τοῦ πλησίον σου. Δὲν σοῦ λέγω αὐτό, ἐὰν πιστεύης ὅτι εἶσαι ἁμαρτωλός· οὔτε μπορεῖ αὐτὸ νὰ ταπεινώση τόσο τὴν ψυχή, ὅσο αὐτὰ καθ' ἑαυτὰ τὰ ἁμαρτήματα, ὅταν γίνεται προσεκτικὴ καὶ λεπτομερὴς ἐξέτασις τοῦ κάθε ἁμαρτήματος. Δὲν θὰ μνησικακήσης ἐὰν τὰ ἔχης διαρκῶς στὴ μνήμη σου, δὲν θὰ ὀργισθῆς, δὲν θὰ κακολογήσης, δὲν θὰ ὑπερηφανευθῆς, δὲν θὰ ξαναπέσης πάλι στὰ ἴδια ἁμαρτήματα· θὰ γίνης πιὸ πρόθυμος πρὸς τὰ ἀγαθά.

4. Βλέπεις πόσα καλὰ γεννιοῦνται ἀπὸ τὴν ἐνθύμησι τῶν ἁμαρτημάτων; Ἂς τὰ γράφουμε λοιπὸν στὶς διάνοιές μας. Γνωρίζω ὅτι ἡ ψυχὴ δὲν ἀνέχεται τὴν τόσο πικρὴ ἀνάμνησι· ἀλλὰ ἂς τὴν ἀναγκάζουμε κι' ἂς τὴν πιέζουμε. Εἶναι προτιμότερο νὰ πληγώνεται ἡ ψυχὴ ἀπὸ τὴν ἐνθύμησι τῶν ἁμαρτιῶν τώρα, παρὰ νὰ τιμωρῆται κατὰ τὸν χρόνο ἐκεῖνο· τώρα, ἐὰν τὰ θυμᾶσαι καὶ συνεχῶς τὰ φέρνης μπροστὰ στὸν Θεό, καὶ προσεύχεσαι γι' αὐτά, γρήγορα θὰ τὰ ἐξαλείψης· ἐὰν ὅμως τώρα τὰ λησμονήσης, τότε καὶ παρὰ τὴ θέλησί σου θὰ τὰ θυμηθῆς, διότι θὰ παρουσιασθοῦν ἐνώπιον ὁλοκλήρου τῆς οἰκουμένης, καὶ θὰ γίνουμε θέατρο ἐνώπιον ὅλων καὶ φίλων καὶ ἐχθρῶν καὶ ἀγγέλων. Διότι ἀσφαλῶς δὲν ἔλεγε πρὸς τὸν Δαυΐδ μόνο, «αὐτὰ ποὺ ἐσὺ κρυφὰ διέπραξες, ἐγὼ ἐνώπιον ὅλων θὰ τὰ παρουσιάσω»[14], ἀλλὰ καὶ πρὸς ὅλους ἐμᾶς. Φοβήθηκες, λέγει, τοὺς ἀνθρώπους καὶ τοὺς ντράπηκες περισσότερο ἀπὸ τὸν Θεό, καὶ δὲν σκέφθηκες ὅτι σὲ βλέπει ὁ Θεός, ἀλλὰ ντράπηκες τοὺς ἀνθρώπους· διότι τὰ βλέμματα τῶν ἀνθρώπων, λέγει, φοβοῦνται οἱ ἄνθρωποι. Γι' αὐτὸ μπροστὰ σ' αὐτοὺς τοὺς ἀνθρώπους θὰ τιμωρηθῆς· διότι θὰ σὲ ἐλέγξω καὶ θὰ παρουσιάσω τὰ ἁμαρτήματά σου μπροστὰ στὰ μάτια ὅλων.

Τὸ ὅτι αὐτὸ εἶναι ἀληθινό, καὶ κατὰ τὴν ἡμέρα ἐκείνη θὰ διαπομπευθοῦν ὅλων μας τὰ ἁμαρτήματα, ἐὰν δὲν τὰ ἐξαφανίσουμε τώρα μὲ τὸ νὰ τὰ θυμώμαστε συνέχεια, ἄκουσε πῶς διαπομπεύεται ἡ σκληρότης καὶ ἡ ἀπανθρωπιὰ αὐτῶν ποὺ δὲν ἐλέησαν ἐδῶ τοὺς συνανθρώπους τους. «Ἐπείνασα», λέγει, «καὶ δὲν μοῦ δώσατε νὰ

φησί, «καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν». Πότε ταῦτα λέγεται; Ἆρα ἐν γωνίᾳ; ἆρα ἐν παραβύστῳ; Οὐδαμῶς, ἀλλὰ πότε; Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντα τὰ ἔθνη συναγάγῃ, ὅταν ἀφορίσῃ τούτους κἀκείνους, τότε πάντων ἀκουόντων
5 *ἐρεῖ, στήσας ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων· «ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν».*

Ὅρα πάλιν καὶ τὰς πέντε παρθένους ἐπὶ πάντων ἀκουούσας, «οὐκ οἶδα ὑμᾶς». Αἱ γὰρ πέντε, καὶ πέντε, οὐχὶ τὸν ἀριθμὸν δηλοῦσι τῶν πέντε μόνον, ἀλλὰ πάσας τὰς πονηρὰς καὶ ὠμοὺς καὶ ἀπαν-
10 *θρώπους τῶν παρθένων, καὶ τὰς μὴ τοιαύτας. Οὕτω καὶ ὁ τὸ ἓν τάλαντον κατορύξας, ἤκουσεν ἐπὶ πάντων, καὶ τῶν τὰ πέντε, καὶ τῶν τὰ δύο προσενεγκόντων· «πονηρὲ δοῦλε καὶ ὀκνηρέ». Οὐ διὰ ρημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγμάτων τότε ἐλέγχει αὐτούς· καθάπερ καὶ ὁ εὐαγγελιστής φησιν, «ὄψονται εἰς ὃν ἐξεκέντησαν».*
15 *Ὁμοῦ γὰρ ἡ ἀνάστασις ἔσται πάντων, καὶ ἁμαρτωλῶν καὶ δικαίων· ὁμοῦ παρέσται κρίνων ἅπασιν. Ἐννόησον οὖν τίνες ἔσονται τότε οἱ ἐν κατηφείᾳ, οἱ ἐν ὀδύνῃ, οἱ ἑλκόμενοι εἰς τὸ πῦρ, στεφανουμένων ἑτέρων. «Δεῦτε», φησίν, «οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ κατα-*
20 *βολῆς κόσμου»· καὶ πάλιν, «ἀπέλθετε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Μὴ ἁπλῶς τῶν ρημάτων ἀκούωμεν, ἀλλ' ὑπογράψωμεν αὐτὰ καὶ τῇ ὄψει, καὶ νομίσωμεν νῦν παρεῖναι αὐτὸν καὶ λέγειν ταῦτα καὶ ἀπάγεσθαι ἡμᾶς εἰς τὸ πῦρ ἐκεῖνο.*

25 *Τίνα ἕξομεν ψυχήν; Ποίαν παραμυθίαν; Τί δέ, ὅταν διχοτομώμεθα; τί δέ, ὅταν ὑπὲρ ἁρπαγῆς ἐγκαλώμεθα; ποίαν ἕξομεν εἰπεῖν πρόφασιν; τίνα λόγον εὐπρόσωπον; Οὐδένα· ἀλλ' ἀνάγκη δεσμουμένους, κάτω νεύοντας, σύρεσθαι πρὸς τὰ τῶν καμίνων στόματα, πρὸς τὸν ποταμὸν τοῦ πυρός, πρὸς τὸ σκότος, πρὸς τὰς ἀθα-*
30 *νάτους κολάσεις, καὶ μηδενὸς δεῖσθαι πρὸς ἀπαλλαγὴν δύνασθαι.*

15. Ματθ. 25,42.
16. Ματθ. 25,26.
17. Ματθ. 25,34.
18. Ματθ. 25,41.

φάγω»[15]. Πότε λέγονται αὐτά; ἄραγε λέγονται σὲ καμμιὰ γωνιά; μήπως λέγονται μυστικά; Καθόλου, ἀλλὰ πότε; Ὅταν ἔλθη ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ συγκεντρώση ὅλα τὰ ἔθνη, ὅταν ξεχωρίση αὐτοὺς ἀπὸ ἐκείνους, τότε, ἐνῶ θὰ ἀκοῦν ὅλοι, θὰ πῆ, ἀφοῦ τοὺς τοποθετήση δεξιὰ καὶ ἀριστερά του· «ἐπείνασα καὶ δὲν μοῦ δώσατε νὰ φάγω».

Πρόσεχε πάλι ὅτι καὶ οἱ πέντε παρθένες ἐνώπιον ὅλων ἄκουσαν τό, «δὲν σᾶς γνωρίζω». Διότι οἱ πέντε φρόνιμες καὶ οἱ πέντε μωρές, δηλώνουν ὄχι τὸν ἀριθμὸ τῶν πέντε μόνο, ἀλλὰ ὅλες τὶς πονηρὲς καὶ σκληρὲς καὶ ἀπάνθρωπες ἀπὸ τὶς παρθένες καὶ αὐτὲς ποὺ δὲν εἶναι τέτοιες. Ἔτσι καὶ αὐτὸς ποὺ κατέκρυψε τὸ ἕνα τάλαντο, ἄκουσε ἐνώπιον ὅλων καὶ αὐτῶν ποὺ εἶχαν προσφέρει τὰ πέντε τάλαντα καὶ αὐτῶν ποὺ πρόσφεραν τὰ δύο τό, «πονηρὲ καὶ ὀκνηρὲ δοῦλε»[16]. Ὄχι μόνο μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἴδια τους τὰ ἔργα τοὺς ἐλέγχει τότε· ὅπως ἀκριβῶς καὶ ὁ εὐαγγελιστὴς λέγει, «θὰ δοῦν ἐκεῖνον τὸν ὁποῖο τρύπησαν». Διότι συγχρόνως θὰ γίνη ἡ ἀνάστασις ὅλων, καὶ τῶν ἁμαρτωλῶν καὶ τῶν δικαίων· συγχρόνως θὰ παρουσιασθῆ γιὰ νὰ τοὺς κρίνη ὅλους. Σκέψου λοιπὸν πῶς θὰ γίνουν τότε οἱ κατηφεῖς, ἐκεῖνοι ποὺ θὰ ὑποφέρουν, ἐκεῖνοι ποὺ θὰ σύρωνται στὸ πῦρ τὸ αἰώνιο, τὴ στιγμὴ ποὺ οἱ ἄλλοι θὰ στεφανώνωνται. «Ἐλᾶτε», λέγει, «ἐσεῖς ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, νὰ κληρονομήσετε τὴ βασιλεία ποὺ ἔχει ἑτοιμασθῆ γιὰ σᾶς ἀπὸ τότε ποὺ θεμελιωνόταν ὁ κόσμος»[17]· καὶ πάλι· «φύγετε ἐσεῖς μακριὰ ἀπὸ ἐμένα στὸ πῦρ τὸ αἰώνιο ποὺ ἔχει ἑτοιμασθῆ γιὰ τὸν διάβολο καὶ τοὺς ἀγγέλους του»[18]. Ἃς μὴν ἀκοῦμε ἔτσι ἁπλᾶ τὰ λόγια αὐτά, ἀλλὰ ἂς ἀναπαραστήσουμε αὐτὰ καὶ μὲ τὰ μάτια μας καὶ ἂς θεωρήσουμε ὅτι τώρα βρίσκεται μπροστά μας αὐτὸς καὶ τὰ λέγει αὐτά, καὶ ὅτι ἐμεῖς ὁδηγούμαστε σ' ἐκεῖνο τὸ πῦρ.

Πῶς θὰ νοιώθη ἡ ψυχή μας; ποιά παρηγοριὰ θὰ ἔχη; πῶς θὰ αἰσθανώμαστε ὅταν ὁ Θεὸς θὰ μᾶς ξεχωρίζη στὰ δύο μέρη; πῶς ἐπίσης ὅταν θὰ κατηγορούμαστε γιὰ ἁρπαγή; ποιά δικαιολογία θὰ βροῦμε νὰ ποῦμε; ποιά λόγια ποὺ νὰ γίνουν δεκτά; Κανένα· ἀλλὰ κατ' ἀνάγκη θὰ δεθοῦμε, θὰ σκύψουμε τὸ κεφάλι, θὰ συρθοῦμε πρὸς τὰ στόματα τῶν καμίνων, πρὸς τὸν ποταμὸ τοῦ πυρός, πρὸς τὸ σκοτάδι, πρὸς τὶς ἀθάνατες τιμωρίες, καὶ κανεὶς δὲν θὰ μπορέση νὰ παρακαλέση γιὰ τὴν ἀπαλλαγή μας. «Διότι δὲν εἶναι δυνατό», λέγει,

Οὐ γὰρ ἔστι, φησίν, «οὐκ ἔστιν ἐντεῦθεν διαβῆναι ἐκεῖ· χάσμα γὰρ μέγα μεταξὺ ἡμῶν καὶ ὑμῶν· καὶ οὐδὲ βουλομένοις ἔνι μεταβῆναι, καὶ ὀρέξαι χεῖρα»· ἀλλ' ἀνάγκη καίεσθαι διαπαντός, οὐδενὸς ἡμῖν ἀμύνοντος, κἂν πατὴρ ᾖ, κἂν μήτηρ, κἂν ὁστισοῦν, κἂν πολλὴν ἔχῃ 5 πρὸς τὸν Θεὸν παρρησίαν. «Ἀδελφός», γάρ φησιν, «οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος;».

Ἐπεὶ οὖν οὐκ ἔστιν ἐν ἑτέρῳ τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας, ἀλλ' ἐν αὐτῷ μετὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, παρακαλῶ, πάντα πράττωμεν, ὥστε ἡμῖν τὸν βίον γενέσθαι καθαρὸν 10 καὶ τὴν πολιτείαν ἀρίστην, καὶ μηδὲ παρὰ τὴν ἀρχὴν δέξασθαι κηλῖδά τινα· εἰ δὲ ἐδεξάμεθα, μετὰ γοῦν τὴν κηλῖδα μὴ καθεύδωμεν, ἀλλὰ διαπαντὸς ἐπιμένωμεν ἀποπλύνοντες τὸν ῥύπον διὰ μετανοίας, διὰ δακρύων, διὰ εὐχῶν, διὰ ἐλεημοσύνης. Τί οὖν, ἐὰν μὴ ἔχω, φησίν, ἐλεημοσύνην ἐργάζεσθαι; Ἀλλὰ ψυχροῦ ποτήριον 15 ἔχεις, ὅσον ἂν ᾖς πένης· ἀλλὰ δύο λεπτὰ ἔχεις, ὡς ἂν ᾖς ἐν πενίᾳ· ἀλλὰ πόδας ἔχεις ὥστε ἐπισκέψασθαι ἀρρώστους, ὥστε εἰς δεσμωτήριον εἰσελθεῖν, ἀλλὰ στέγην ἔχεις ὥστε δέξασθαι ξένους. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι συγγνώμη οὐδεμία τῷ ἐλεημοσύνην μὴ ἐργαζομένῳ.

20 *Ταῦτα συνεχῶς λέγομεν πρὸς ὑμᾶς, ἵνα κἂν μικρὸν ἀπὸ τῆς συνεχείας ἀνύσωμεν· ταῦτα λέγομεν, οὐ τῶν εὖ πασχόντων φροντίζοντες, ὡς ὑμῶν. Ἐκείνοις μὲν γὰρ τὰ ἐνταῦθα δίδοτε, ἀντιλαμβάνετε δὲ τὰ οὐράνια, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ 25 ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

19. Λουκᾶ 16,26.
20. Ψαλμ. 48,8.

«δὲν εἶναι δυνατὸ νὰ περάση κανεὶς ἀπὸ τὸ ἕνα μέρος στὸ ἄλλο· διότι ὑπάρχει μεγάλο βάραθρο ἀνάμεσα σ' ἐμᾶς καὶ σ' ἐσᾶς, καὶ δὲν μποροῦν νὰ περάσουν οὔτε ἐκεῖνοι ποὺ θέλουν νὰ βοηθήσουν»[19]· ἀλλὰ ἀναγκαστικὰ θὰ καιγώμαστε αἰώνια, κανεὶς δὲν θὰ μπορέση νὰ μᾶς βοηθήση, εἴτε εἶναι πατέρας, εἴτε εἶναι μητέρα, εἴτε ὁποιοσδήποτε ἄλλος, εἴτε ἔχει μεγάλη παρρησία ἐνώπιον τοῦ Θεοῦ. Διότι λέγει, «ἀδελφὸς δὲν μπορεῖ νὰ τὸν σώση, καὶ θὰ τὸν λυτρώση ὁ ξένος ἄνθρωπος;»[20].

Ἐπειδὴ λοιπὸν δὲν μποροῦμε νὰ στηρίζουμε τὴν ἐλπίδα τῆς σωτηρίας μας σὲ κανέναν ἄλλο, παρὰ μόνο στὸν ἑαυτό μας καὶ στὴ φιλανθρωπία τοῦ Θεοῦ, σᾶς παρακαλῶ, ὅλα νὰ τὰ κάνουμε, ὥστε νὰ εἶναι ἡ ζωή μας καθαρὴ καὶ ὁ καθημερινὸς τρόπος τῆς ζωῆς μας ἄριστος, καὶ νὰ μὴν δεχθοῦμε καμμιὰ κηλίδα ἀπὸ τὴν ἀρχὴ ἀκόμη· ἀλλὰ κι' ἂν τὴν δεχθήκαμε, μετὰ τὴν κηλίδα ἂς μὴν ἡσυχάζουμε, ἀλλὰ διαρκῶς ἂς προσπαθοῦμε νὰ ξεπλύνουμε τὸν ρύπο μὲ τὴ μετάνοια, μὲ τὰ δάκρυα, μὲ τὶς προσευχές, μὲ τὴν ἐλεημοσύνη. Τί λοιπόν, λέγει, ἐὰν δὲν ἔχω χρήματα γιὰ νὰ κάνω ἐλεημοσύνη; Ἀλλὰ ὅσο φτωχὸς κι' ἂν εἶσαι, ἔχεις ἕνα ποτήρι δροσερὸ νερό· ἔχεις δύο λεπτά, ὅσο μεγάλη κι' ἂν εἶναι ἡ φτώχεια σου· ἔχεις πόδια γιὰ νὰ ἐπισκεφθῆς τοὺς ἀρρώστους, γιὰ νὰ ἐπισκεφθῆς τοὺς φυλακισμένους· ἔχεις μία στέγη γιὰ νὰ δεχθῆς ξένους. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει καμμιὰ συγγνώμη σ' ἐκεῖνον ποὺ δὲν ἐλεεῖ.

Αὐτὰ σᾶς τὰ λέγω διαρκῶς, μήπως καὶ σᾶς ὠφελήσω ἔστω καὶ λίγο μὲ τὴν συνεχῆ ἐπανάληψι· αὐτὰ σᾶς τὰ λέγω, ὄχι φροντίζοντας τόσο γιὰ ἐκείνους ποὺ ὑποφέρουν, ὅσο γιὰ σᾶς. Διότι σ' ἐκείνους δίνετε τὰ ἐδῶ ὑλικὰ ἀγαθά, ἐξασφαλίζετε ὅμως γιὰ σᾶς ὡς ἀμοιβὴ τὰ ἐπουράνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις, ἡ τιμὴ καὶ ἡ προσκύνησις, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΒ'

(Ἑβρ. 12,18–27)

«Οὐ γὰρ προσεληλύθατε ὄρει ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρί, γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐ-
5 *τοῖς λόγον (οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον)· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται· καὶ (οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον) Μωϋσῆς εἶπεν, ἔκφοβός εἰμι καὶ ἔντρομος· ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ Ἐκκλησίᾳ πρωτο-*
10 *τόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ».*

1. Ἦν μὲν τὰ κατὰ τὸν ναὸν θαυμαστά, τὰ Ἅγια τῶν ἁγίων· ἦν δὲ πάλιν φοβερὰ καὶ ταῦτα τὰ κατὰ τὸ Σινᾶ ὄρος γεγενημένα, τὸ
15 *πῦρ, τὸ σκότος, ὁ γνόφος, ἡ θύελλα. «Ὤφθη», γάρ φησιν, «ὁ Θεὸς ἐν Σινᾷ διὰ πυρὸς καὶ θυέλλης καὶ γνόφου». Ἡ μέντοι Διαθήκη ἡ Καινὴ μετ' οὐδενὸς τούτων ἐδόθη, ἀλλ' ἐν διαλέξει ψιλῇ παρὰ τοῦ Χριστοῦ δέδοται. Ὅρα τοίνυν πῶς ποιεῖται τὰς συγκρίσεις καὶ τούτων· καὶ εἰκότως αὐτὰ ὕστερον ἔθηκεν. Ὅτε γὰρ αὐτοὺς διὰ*
20 *μυρίων ἔπεισεν, ὅτε καὶ τὸ μέσον ἔδειξεν ἑκατέρας τῆς Διαθήκης,*

1. Ἐξ. 19,16.

ΟΜΙΛΙΑ ΛΒ΄

(Ἑβρ. 12, 18–27)

«Διότι δὲν ἔχετε πλησιάσει σὲ βουνό, ποὺ μπορεῖ νὰ ψηλαφηθῆ καὶ ποὺ ἔχει καῆ μὲ φωτιά, οὔτε πλησιάσατε σὲ ὁμίχλη καὶ σὲ σκοτάδι καὶ σὲ θύελλα καὶ σὲ ἦχο σάλπιγγας καὶ σὲ φωνὴ λόγων, ποὺ μόλις τὰ ἄκουσαν οἱ Ἰουδαῖοι τὰ ἀρνήθηκαν καὶ ζήτησαν νὰ μὴν ἀκούσουν ἄλλο λόγο, διότι δὲν μποροῦσαν νὰ ὑποφέρουν ἐκεῖνο ποὺ διατάχθηκε ἀπὸ τὸν Θεό· (ἂν ζῶο πλησιάση στὸ βουνό, νὰ λιθοβοληθῆ· καὶ ἦταν τόσο φοβερὸ αὐτὸ ποὺ φαινόταν μπροστὰ στὰ μάτια τους, ὥστε καὶ ὁ ἴδιος ὁ Μωϋσῆς εἶπε· 'εἶμαι γεμᾶτος φόβο καὶ τρόμο')· ἀλλὰ ἔχετε προσέλθει στὸ ὄρος τῆς πνευματικῆς Σιὼν καὶ στὴν πόλι τοῦ ζωντανοῦ Θεοῦ, στὴν ἐπουράνιο Ἰερουσαλήμ, καὶ σὲ μυριάδες ἀγγέλων ποὺ πανηγυρίζουν, ἔχετε προσέλθει στὴν ἐκκλησία τῶν πρωτοτόκων, ποὺ ἔχουν καταγραφῆ πολῖτες στοὺς οὐρανούς, καὶ στὸν Θεὸ ποὺ εἶναι κριτὴς ὅλων, καὶ στὰ πνεύματα τῶν δικαίων, ποὺ ἔχουν γίνει τέλειοι, καὶ στὸν Ἰησοῦ, τὸν μεσίτη τῆς νέας διαθήκης, καὶ στὸ αἷμα τοῦ ραντισμοῦ, ποὺ ὁμιλεῖ πρὸς τὸν Θεὸ καλύτερα ἀπὸ τὸ αἷμα τοῦ Ἄβελ».

1. Ὅλα τὰ σχετικὰ μὲ τὸν ναὸ τῶν Ἰουδαίων ἦταν θαυμαστά, ἰδιαίτερα ὅμως τὰ Ἅγια τῶν ἁγίων· ἦταν ἐπίσης φοβερὰ καὶ ἐκεῖνα ποὺ συνέβηκαν στὸ ὄρος Σινᾶ, τὸ πῦρ, τὸ σκοτάδι, ὁ γνόφος, ἡ θύελλα. Διότι λέγει, «φανερώθηκε ὁ Θεὸς στὸ ὄρος Σινᾶ μέσα ἀπὸ τὸ πῦρ καὶ τὴ θύελλα καὶ τὸ σύννεφο»[1]. Ἡ Καινὴ ὅμως Διαθήκη δὲν δόθηκε μὲ κανένα ἀπὸ αὐτά, ἀλλ' ἔχει δοθῆ ἀπὸ τὸν Χριστὸ μὲ ἁπλὸ λόγο. Πρόσεχε λοιπὸν πῶς κάνει καὶ τὶς συγκρίσεις αὐτῶν. Καὶ σωστὰ αὐτὰ τὰ πρόσθεσε μετά· ἀφοῦ προηγουμένως τοὺς ἔπεισε μὲ πάρα πολλὰ ἐπιχειρήματα, καὶ ἀφοῦ ἔδειξε τὴν ἰδιαιτερότητα

τότε λοιπὸν ὡς προκατεγνωσμένης αὐτῆς, ῥᾳδίως καὶ τούτοις ἐπιχειρεῖ· καὶ τί φησιν; «Οὐ γὰρ προσεληλύθατε ὄρει ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρί, καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ
5 *προστεθῆναι αὐτοῖς λόγον· οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται». Φοβερὰ ταῦτα, φησί, καὶ οὕτω φοβερά, ὡς μηδὲ φέρειν τὴν ἀκοήν, ὡς μηδὲ θηρίον τολμᾶν ἀνιέναι.*

Ἀλλ' οὐ τοιαῦτα οἷα τὰ μετὰ ταῦτα· τί γὰρ τὸ Σινᾶ πρὸς τὸν
10 *οὐρανόν; Τί δὲ τὸ ψηλαφώμενον πῦρ πρὸς τὸν ἀψηλάφητον Θεόν; «Ὁ Θεὸς γὰρ ἡμῶν πῦρ καταναλίσκον», φησίν. Ὅτι δὲ φρίκης ἔγεμον τὰ ἐν τῷ ὄρει τότε γεγενημένα, δῆλον ἐξ ὧν ἔλεγον· «μὴ λαλείτω ὁ Θεός, ἀλλὰ λαλείτω ἡμῖν Μωϋσῆς». «Οὐκ ἔφερον», γάρ φησι, «τὸ διαστελλόμενον· κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβο-*
15 *ληθήσεται, καὶ (οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον), Μωϋσῆς εἶπεν· «ἔκφοβός εἰμι καὶ ἔντρομος». Τί θαυμαστὸν εἰ περὶ τοῦ λαοῦ τοιαῦτα παθεῖν διαλέγεται, ὅπου καὶ αὐτὸς ὁ εἰς τὸν γνόφον εἰσελθών, οὗ ἦν ὁ Θεός, φησίν, «ἔμφοβός εἰμι καὶ ἔντρομος»; «Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ*
20 *ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ».*

25 *Ὅρα διὰ πόσων ἔδειξε τὸ ὑπερέχον τῆς Καινῆς πρὸς τὴν Παλαιάν. Ἀντὶ γὰρ τῆς κάτω Ἱερουσαλὴμ ἡ ἐπουράνιος· «προσεληλύθατε», γάρ φησι, «πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ»· ἀντὶ Μωϋσέως ὁ Ἰησοῦς· «καὶ διαθήκης», φησί, «νέας μεσίτῃ Ἰησοῦ»· ἀντὶ δὲ τοῦ λαοῦ πάντες οἱ ἄγγελοι· «καὶ μυριάσιν ἀγ-*

2. Ἐξ. 20,19.

τῆς κάθε Διαθήκης, τότε πλέον, ἐπειδὴ ἤδη ἦταν γνωστὴ αὐτὴ ἐκ τῶν προτέρων, εὔκολα ἐπιχειρεῖ νὰ τοὺς τὰ παρουσιάση καὶ αὐτά· καὶ τί λέγει; «Διότι δὲν ἔχετε πλησιάσει σὲ βουνὸ ποὺ μπορεῖ νὰ ψηλαφηθῆ καὶ ποὺ ἔχει καῆ μὲ φωτιά, οὔτε πλησιάσατε σὲ σύννεφο καὶ σὲ σκοτάδι καὶ σὲ θύελλα καὶ σὲ ἦχο σάλπιγγας καὶ σὲ φωνὴ λόγων, ποὺ ὅσοι τὴν ἄκουσαν παρεκάλεσαν νὰ μὴ προστεθῆ σ' αὐτοὺς κι' ἄλλος λόγος· διότι δὲν μποροῦσαν ν' ἀντέξουν ἐκεῖνο ποὺ παρήγγειλε ὁ Θεός· 'κι' ἂν κάποιο θηρίο ἀγγίξη τὸ βουνὸ νὰ λιθοβοληθῆ'». Ἦταν φοβερά, λέγει, αὐτά, καὶ τόσο φοβερά, ὥστε νὰ μὴν ἀντέχουν νὰ τὰ ἀκοῦν, οὔτε ζῶο νὰ τολμᾶ ν' ἀνεβῆ στὸ βουνό.

Ἀλλὰ δὲν εἶναι τέτοια ἐκεῖνα ποὺ συνέβηκαν ἀργότερα· διότι τί εἶναι τὸ Σινᾶ μπροστὰ στὸν οὐρανό; Καὶ τί εἶναι τὸ πῦρ ποὺ ψηλαφᾶται μπροστὰ στὸν ἀψηλάφητο Θεό; Διότι λέγει, «ὁ Θεός μας εἶναι φωτιὰ ποὺ κατακαίει καὶ ἐξολοθρεύει». Καὶ ὅτι αὐτὰ ποὺ εἶχαν γίνει τότε στὸ ὄρος ἦταν γεμᾶτα ἀπὸ φρίκη, γίνεται ὁλοφάνερο ἀπὸ αὐτὰ ποὺ ἔλεγαν· «ἂς μὴ λαλῆ ὁ Θεὸς πρὸς ἐμᾶς, ἀλλὰ ἂς ὁμιλῆ ὁ Μωϋσῆς σ' ἐμᾶς»[2]. «Διότι δὲν μποροῦσαν νὰ ὑποφέρουν», λέγει, «ἐκεῖνο ποὺ εἶχε παραγγείλει ὁ Θεός· 'κι' ἂν ἀκόμη κάποιο ζῶο ἀγγίξη τὸ βουνό, νὰ λιθοβοληθῆ'· καὶ (ἦταν τόσο φοβερὸ αὐτὸ ποὺ φαινόταν στὰ μάτια τους), ποὺ καὶ ὁ ἴδιος ὁ Μωϋσῆς εἶπε· «εἶμαι γεμᾶτος φόβο καὶ τρόμο». Γιατί ἀπορεῖτε γιὰ τὸν φόβο τοῦ λαοῦ, ἐφ' ὅσον καὶ αὐτὸς ποὺ μπῆκε μέσα στὸ πυκνὸ σύννεφο, ὅπου ἦταν ὁ Θεός, λέγει, «εἶμαι καταφοβισμένος καὶ κατατρομαγμένος»; «Ἐσεῖς ὅμως ἔχετε προσέλθει στὸ ὄρος τῆς πνευματικῆς Σιὼν καὶ στὴν πόλι τοῦ ζωντανοῦ Θεοῦ, στὴν ἐπουράνια Ἰερουσαλὴμ καὶ στὴν πανήγυρι μυριάδων ἀγγέλων, ἔχετε προσέλθει στὴν Ἐκκλησία τῶν πρωτοτόκων, ποὺ ἔχουν πολιτογραφηθῆ στοὺς οὐρανούς· ἔχετε πλησιάσει καὶ στὸν Θεό, τὸν κριτὴ ὅλων καὶ στὰ πνεύματα τῶν δικαίων ποὺ ἔχουν γίνει τέλειοι, καὶ στὸν Ἰησοῦ τὸν μεσίτη τῆς νέας διαθήκης, καὶ στὸ αἷμα τοῦ ραντισμοῦ ποὺ μιλάει πρὸς τὸν Θεὸ καλύτερα ἀπὸ τὸ αἷμα τοῦ Ἄβελ».

Πρόσεχε μὲ πόσα ἔδειξε τὴν ὑπεροχὴ τῆς Καινῆς Διαθήκης ἔναντι τῆς Παλαιᾶς. Διότι ἀντὶ τῆς κάτω Ἰερουσαλὴμ ὑπάρχει ἐδῶ ἡ ἐπουράνια· καθόσον λέγει, «ἔχετε προσέλθει στὴν πόλι τοῦ ζωντανοῦ Θεοῦ, στὴν ἐπουράνια Ἰερουσαλὴμ»· ἀντὶ τοῦ Μωϋσῆ, ὁ Ἰησοῦς· «καὶ προσήλθατε», λέγει, «στὸν Ἰησοῦ τὸν μεσίτη τῆς

γέλων πανηγύρει», φησί. Τίνας δὲ πρωτοτόκους καλεῖ λέγων, «καὶ Ἐκκλησίᾳ πρωτοτόκων»; Πάντας τοὺς χοροὺς τῶν πιστῶν. Τοὺς αὐτοὺς δὲ «καὶ πνεύματα δικαίων τετελειωμένων» λέγει. Μὴ τοίνυν ἀσχάλλετε· μετὰ τούτων ἔσεσθε, φησί. Τί ἐστιν ὃ λέγει, «αἵματι
5 *ραντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ»; Τὸ γὰρ τοῦ Ἄβελ ἐλάλησε; Ναί· καὶ πῶς, ἄκουε Παύλου λέγοντος, «πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ». Τοῦτο καὶ ὁ Θεὸς δείκνυσι λέγων· «φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με». Ἢ*
10 *τοῦτο τοίνυν ἔστιν εἰπεῖν, ἢ ὅτι ἔτι καὶ νῦν ᾄδεται· ἀλλ' οὐχ οὕτως ὡς τὸ τοῦ Χριστοῦ· τοῦτο γὰρ πάντας ἐκάθηρε καὶ φωνὴν ἀφίησι λαμπροτέραν καὶ εὐσημοτέραν, ὅσῳ μείζονα τὴν μαρτυρίαν ἔχει τὴν διὰ τῶν πραγμάτων.*

«Βλέπετε μὴ παραιτήσεσθε τὸν λαλοῦντα. Εἰ γὰρ ἐκεῖνοι οὐκ
15 *ἐξέφυγον, τὸν ἐπὶ γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανοῦ ἀποστρεφόμενοι. Οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἐπήγγελται, λέγων· 'Ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν'. Τὸ δέ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν, ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σα-*
20 *λευόμενα. Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχομεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας. Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον». Φοβερὰ ἐκεῖνα, ἀλλὰ πολλῷ ταῦτα θαυμασιώτερα καὶ λαμπρότερα· οὐ γὰρ σκότος ἐνταῦθα, οὐδὲ γνόφος, οὐδὲ θύελλα, ὥσπερ ἐκεῖ. Καὶ τίνος ἕνεκεν*
25 *διὰ πυρὸς ὤφθη τότε ὁ Θεός; Ἐμοὶ δοκεῖ δι' ἐκείνων αἰνίττεσθαι τὸ ἀσαφὲς τῆς Παλαιᾶς καὶ τὸ συνεσκιασμένον τοῦ νόμου καὶ τὸ*

3. Ἑβρ. 11,4.
4. Γεν. 20,19.

Καινῆς Διαθήκης»· ἀντὶ τοῦ λαοῦ, ὅλοι οἱ ἄγγελοι· «καὶ σὲ μυριάδες ἀγγέλων ποὺ πανηγυρίζουν», λέγει. Ἀλλὰ ποιούς ὀνομάζει πρωτοτόκους, ὅταν λέγη «καὶ στὴν ἐκκλησία τῶν πρωτοτόκων»; Ἐννοεῖ ὅλους τοὺς οὐράνιους χοροὺς τῶν πιστῶν. Τοὺς ἴδιους τοὺς ὀνομάζει «καὶ πνεύματα δικαίων, ποὺ ἔχουν γίνει τέλειοι». Μὴ λοιπὸν στενοχωρῆσθε· μ' αὐτούς, λέγει, θὰ εἶσθε. Τί σημαίνει αὐτὸ ποὺ λέγει, «πλησιάσατε καὶ στὸ αἷμα τοῦ ραντισμοῦ, ποὺ μιλάει στὸν Θεὸ καλύτερα ἀπ' ὅντι τὸ αἷμα τοῦ Ἄβελ»; Τὸ αἷμα τοῦ Ἄβελ μίλησε; Ναί· καὶ πῶς, ἄκουσε τὸν Παῦλο ποὺ λέγει, «μὲ τὴν πίστι ποὺ εἶχε ὁ Ἄβελ στὸν Θεὸ πρόσφερε τελειότερη θυσία ἀπὸ τὸν Κάϊν καὶ ἐξ αἰτίας αὐτῆς δόθηκε ἡ μαρτυρία ἀπὸ τὸν Θεὸ ὅτι εἶναι δίκαιος· καὶ χάρις σ' αὐτήν, ἂν καὶ πέθανε πρὸ πολλοῦ, διαλαλεῖται ὅτι εἶναι δίκαιος»[3]. Αὐτὸ δείχνει καὶ ὁ Θεὸς ὅταν λέγη· «ἡ φωνὴ τοῦ αἵματος τοῦ ἀδελφοῦ σου βοᾶ πρὸς ἐμένα»[4]. Ἢ αὐτὸ λοιπὸν μποροῦμε νὰ ποῦμε, ἢ ὅτι ἀκόμη καὶ τώρα δοξάζεται· ἀλλὰ δὲν ὁμιλεῖ τόσο, ὅσο τὸ αἷμα τοῦ Χριστοῦ· διότι αὐτὸ τοὺς καθάρισε ὅλους καὶ ἀφήνει φωνὴ πιὸ λαμπρὴ καὶ πιὸ εὐδιάκριτη, ὅσο μεγαλύτερη ἔχει τὴ μαρτυρία ἀπὸ τὰ ἴδια τὰ γεγονότα.

«Προσέχετε νὰ μὴν ἀπαρνηθῆτε αὐτὸν ποὺ σᾶς ὁμιλεῖ. Διότι ἐὰν οἱ Ἑβραῖοι δὲν ἀπέφυγαν τὴν τιμωρία, ἐπειδὴ ἀρνήθηκαν νὰ ὑπακούσουν σ' αὐτὸν ποὺ τοὺς μιλοῦσε ἐπάνω στὴ γῆ, πολὺ περισσότερο ἐμεῖς ποὺ ἀποστρεφόμαστε αὐτὸν ποὺ μᾶς ὁμιλεῖ ἀπὸ τὸν οὐρανό. Αὐτοῦ ἡ φωνὴ ποὺ σάλευσε τότε τὴ γῆ τώρα ἔχει παραγγείλει καὶ λέγει· «ἀκόμη μιὰ φορὰ ἐγὼ θὰ σείσω ὄχι μόνο τὴ γῆ, ἀλλὰ καὶ τὸν οὐρανό. Τό, 'ἔτι ἅπαξ', φανερώνει τὴ μετακίνησι ἐκείνων ποὺ σαλεύονται καὶ μετακινοῦνται ὡς κτίσματα φθαρτά, ποὺ ἔχουν ἀρχὴ καὶ τέλος. Θὰ μετακινηθοῦν αὐτὰ καὶ θὰ φύγουν γιὰ νὰ μείνουν αὐτὰ ποὺ εἶναι ἀσάλευτα καὶ ἄφθαρτα. Γι' αὐτό, ἀφοῦ ἐλέβαμε βασιλεία ἀσάλευτη, ἂς εὐχαριστοῦμε τὸν Θεὸ καὶ ἂς τὸν λατρεύουμε μὲ τρόπο εὐάρεστο σ' αὐτόν, μὲ σεβασμὸ καὶ εὐλάβεια· διότι ὁ Θεός μας εἶναι φωτιὰ ποὺ κατακαίει». Εἶναι φοβερὰ ἐκεῖνα τοῦ Σινᾶ, ἀλλὰ πολὺ πιὸ ἀξιοθαύμαστα καὶ λαμπρὰ εἶναι αὐτά. Διότι ἐδῶ δὲν ὑπάρχει σκοτάδι, οὔτε σύννεφο πυκνό, οὔτε θύελλα, ὅπως ἀκριβῶς ὑπῆρχε ἐκεῖ. Καὶ γιατί τότε ὁ Θεὸς ἐμφανίσθηκε μέσα ἀπὸ τὴ φωτιά; Ἔχω τὴν γνώμη ὅτι μ' ἐκεῖνα τὰ σημεῖα ὑποδηλώνεται ἡ ἀσάφεια τῆς Παλαιᾶς Διαθήκης καὶ τὸ συσκιασμένο καὶ τὸ συγκε-

συγκεκαλυμμένον· ἄλλως δέ, ἵνα δείξῃ ὅτι ὁ νομοθέτης φοβερὸς ὀφείλει εἶναι, καὶ κολαστικὸς τοῖς παραβαίνουσι.

2. Τί δὲ οἱ ἦχοι τῆς σάλπιγγος; Εἰκότως, ἅτε ὡς βασιλέως τινὸς παρόντος. Τοῦτο γοῦν καὶ ἐπὶ τῆς δευτέρας ἔσται παρουσίας· 5 «σαλπίσει», γάρ φησι, «καὶ πάντες ἀναστησόμεθα». Ὥστε τῇ τοῦ Θεοῦ δυνάμει πάντων ἡ ἀνάστασις ἔσται. Ἡ δὲ φωνὴ τῆς σάλπιγγος οὐδὲν ἕτερον, ἀλλ' ἢ τοῦτο δηλοῖ, ὅτι πάντας ἐγηγέρθαι δεῖ. Ἀλλὰ τότε μὲν ἦσαν ἐκεῖνα αἰσθητά, καὶ ὄψεις, καὶ φωναί· τὰ δὲ μετὰ ταῦτα πάντα, νοητὰ καὶ ἀόρατα. Καὶ τὸ μὲν πῦρ τοῦτο δηλοῖ, 10 ὅτι ὁ Θεὸς πῦρ ἐστι. «Πῦρ», γάρ φησιν, «ὁ Θεὸς ἡμῶν καταναλίσκον»· ὁ δὲ γνόφος καὶ τὸ σκότος καὶ ὁ καπνὸς πάλιν τὸ φοβερὸν ἐμφαίνει. Οὕτω καὶ ὁ Ἠσαΐας φησί· «καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ». Καὶ ἡ θύελλα τί βούλεται; Ῥάθυμον τὸ γένος τὸ ἀνθρώπινον ἦν· ἔδει τοίνυν αὐτὸ διανίστασθαι τούτοις. Οὐδεὶς γὰρ οὕτω νωθής, 15 ὃς οὐκ ἄνω τὴν διάνοιαν εἶχε γινομένων τούτων καὶ νομοθετουμένων· Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνετο αὐτῷ φωνῇ· ἔδει γὰρ τοῦ Θεοῦ φέρεσθαι τὴν φωνήν. Ἐπεὶ δὲ διὰ Μωϋσέως ἔμελλε νομοθετεῖν, διὰ τοῦτο ἀξιόπιστον αὐτὸν ποιεῖ. Οὐχ ἑώρων αὐτὸν διὰ τὸν γνόφον, οὐκ ἤκουον αὐτοῦ διὰ τὸ ἰσχνόφωνον. Τί οὖν; Ἀποκρίνεται 20 ὁ Θεὸς φωνῇ φθεγγόμενος, ὥσπερ καὶ δημηγορῶν καὶ ἐξάκουστα ποιῶν τὰ νομοθετούμενα.

Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα· «οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει καὶ κεκαυμένῳ πυρὶ καὶ σάλπιγγος ἤχῳ, φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο», φησί, «μὴ προστεθῆναι 25 αὐτοῖς τὸν λόγον». Ἄρα αὐτοὶ γεγόνασιν αἴτιοι τοῦ διὰ σαρκὸς φανῆναι τὸν Θεόν. Τί δὲ καὶ ἔλεγον; «Λαλείτω ἡμῖν Μωϋσῆς, καὶ μὴ λαλείτω ἡμῖν ὁ Θεός». Οἱ τὰς συγκρίσεις ποιοῦντες, μᾶλλον ἐκεῖνα αἴρουσιν, ἵνα ταῦτα πολλῷ μείζονα δείξωσιν· ἐγὼ δὲ κἀκεῖνα ἡγούμενος θαυμαστὰ (Θεοῦ γὰρ ἔργα, καὶ τῆς αὐτοῦ δυνάμεως 30 ἀπόδειξις), ὅμως καὶ ταύτῃ κρείττονα καὶ θαυμασιώτερα τὰ ἡμέτε-

5. Α' Κορ. 15,52.
6. Ἠσ. 6,4.

καλυμμένο τοῦ νόμου· ἀκόμη καὶ γιὰ νὰ δείξη ὅτι ὁ νομοθέτης ὀφείλει νὰ εἶναι φοβερὸς καὶ νὰ τιμωρῆ τοὺς παραβάτες.

2. Ἀλλὰ τί σημαίνουν οἱ ἦχοι τῆς σάλπιγγας; Εἶναι φυσικό, ὅτι σημαίνουν τὴν παρουσία κάποιου βασιλιᾶ. Αὐτὸ λοιπὸν θὰ γίνη καὶ κατὰ τὴ δευτέρα παρουσία τοῦ Κυρίου· διότι λέγει, «θὰ σαλπίση καὶ ὅλοι θ' ἀναστηθοῦμε»[5]. Ὥστε μὲ τὴ δύναμι τοῦ Θεοῦ θὰ γίνη ἡ ἀνάστασις ὅλων· καὶ ἡ φωνὴ τῆς σάλπιγγας τίποτε ἄλλο δὲν φανερώνει παρὰ μόνο αὐτό, ὅτι ὅλοι πρέπει ν' ἀναστηθοῦν. Ἀλλὰ τότε ἐκεῖνα γίνονταν ἀντιληπτὰ διὰ τῶν αἰσθήσεων καὶ τὰ ὅσα ἔβλεπαν καὶ τὰ ὅσα ἄκουαν, ἐνῶ αὐτὰ ποὺ θὰ συμβοῦν μετὰ θὰ εἶναι ὅλα νοητὰ καὶ ἀόρατα. Καὶ ἡ φωτιὰ βέβαια φανερώνει αὐτό, ὅτι ὁ Θεός μας εἶναι φωτιά. Διότι λέγει, «ὁ Θεός μας εἶναι φωτιὰ ποὺ κατακαίει»· ἐνῶ ὁ γνόφος καὶ τὸ σκοτάδι καὶ ὁ καπνὸς πάλι δείχνουν τὸ φοβερό. Ἔτσι λέγει καὶ ὁ Ἡσαΐας· «καὶ τὸ σπίτι γέμισε ἀπὸ καπνό»[6]. Καὶ ἡ θύελλα τί θέλει νὰ δείξη; Τὸ γένος τῶν ἀνθρώπων ἦταν ράθυμο· ἔπρεπε λοιπὸν νὰ τὸ διεγείρη μὲ τέτοια μέσα. Διότι κανεὶς δὲν ἦταν τόσο ράθυμος, ποὺ νὰ μὴν εἶχε τὴν καρδιά του στραμμένη πρὸς τὸν οὐρανό, ὅταν συνέβαιναν αὐτὰ καὶ ἔδινε ὁ Θεὸς τὸν νόμο· ὁ Μωϋσῆς μιλοῦσε καὶ ὁ Θεὸς τοῦ ἀπαντοῦσε μὲ φωνή· διότι ἔπρεπε νὰ μεταφέρη τὰ λόγια τοῦ Θεοῦ. Καὶ ἐπειδὴ ἐπρόκειτο μέσω τοῦ Μωϋσέως νὰ δώση τὸν νόμο, γι' αὐτὸ τὸν κάνει ἀξιόπιστο. Δὲν τὸν ἔβλεπαν ἐξ αἰτίας τοῦ πυκνοῦ σύννεφου, δὲν τὸν ἄκουγαν ἐπειδὴ ἦταν ἰσχνόφωνος. Τί λοιπόν; Ἀπαντᾶ ὁ Θεὸς μὲ καθαρὴ φωνή, σὰν ν' ἀπευθύνεται ἀπ' εὐθείας στὸν λαό του, κάνοντας ν' ἀκούγωνται καλὰ ὁ νόμοι ποὺ ὁρίζει.

Ἀλλὰ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ τὰ λεχθέντα. «Διότι δὲν ἔχετε πλησιάσει σὲ βουνὸ ποὺ μπορεῖ νὰ ψηλαφηθῆ καὶ ποὺ ἔχει καῆ μὲ φωτιά, οὔτε σὲ ἦχο σάλπιγγας καὶ σὲ φωνὴ λόγων, ποὺ ἐκεῖνοι ποὺ τὴν ἄκουσαν τὴν ἀρνήθηκαν», λέγει, «καὶ ζήτησαν νὰ μὴ προστεθῆ σ' αὐτοὺς ἄλλος λόγος». Ἑπομένως αὐτοὶ ἔγιναν αἰτία νὰ παρουσιασθῆ ὁ Θεὸς μὲ ἀνθρώπινη φωνή. Ἀλλὰ καὶ τί ἔλεγαν; «Ἂς μᾶς μιλάει ὁ Μωϋσῆς καὶ ὄχι ὁ Θεός». Αὐτοὶ ποὺ κάνουν τὶς συγκρίσεις, ἐκεῖνα ἐξυψώνουν περισσότερο, γιὰ νὰ δείξουν ὅτι αὐτὰ εἶναι πολὺ μεγαλύτερα· ἐγὼ ὅμως κι' ἐκεῖνα τὰ θεωρῶ ἀξιοθαύμαστα (διότι εἶναι ἔργα τοῦ Θεοῦ καὶ ἀπόδειξις τῆς δυνάμεώς του) ὅμως καὶ ἔτσι δείχνω ὅτι τὰ δικά μας εἶναι ἀνώτερα καὶ θαυμασιώτερα. Πράγματι

ρα δείκνυμι. Διπλῆ γὰρ μεγάλα· ὅτι τε λαμπρὰ καὶ ὅτι μείζονα ὄντα, εὐπρόσιτα μᾶλλόν ἐστι καὶ ἡμερώτερα. Τοῦτο καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων φησί· «ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, καὶ οὐχ ὡς Μωϋσῆς 5 *ἐτίθει κάλυμμα ἐπὶ πρόσωπον αὐτοῦ. Οὐκ ἠξιώθησαν», φησίν, «ὧν ἡμεῖς ἐκεῖνοι». Τίνος γὰρ κατηξιώθησαν; Σκότος εἶδον, γνόφον, φωνῆς ἤκουσαν. Ἀλλὰ καὶ σὺ φωνῆς ἤκουσας, οὐ διὰ γνόφου, ἀλλὰ διὰ σαρκός· οὐ διεταράχθης οὐδὲ διεθορυβήθης, ἀλλὰ καὶ ἔστης καὶ διελέχθης τῷ μεσίτῃ. Ἄλλως δέ, καὶ τὸ ἀόρατον δείκνυ-* 10 *σι διὰ τοῦ σκότους.*

Καὶ γνόφος, φησίν, ὑπὸ τοὺς πόδας αὐτοῦ. Τότε καὶ Μωϋσῆς ἔδεισε, νυνὶ δὲ οὐδείς· κάτω εἱστήκει ὁ λαὸς τότε, ἡμεῖς δὲ οὐκ ἐσμεν κάτω, ἀλλὰ τοῦ οὐρανοῦ ἀνώτεροι, ἐγγὺς τοῦ Θεοῦ ὡς υἱοί, ἀλλ' οὐχ ὡς Μωϋσῆς. Ἐκεῖ ἔρημος ἦν, ἐνταῦθα πόλις. «Καὶ μυ- 15 *ριάσιν ἀγγέλων πανηγύρει»· ἐνταῦθα τὴν χαρὰν δείκνυσι καὶ τὴν εὐφροσύνην, ἀντὶ τοῦ γνόφου καὶ τοῦ σκότους καὶ τῆς θυέλλης. «Καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων». Ἐκεῖνοι οὐ προσῆλθον, ἀλλὰ πόρρω εἱστήκεισαν, καὶ ὁ Μωϋσῆς· ὑμεῖς δὲ προσεληλύθατε. Ἐνταῦθα αὐτοὺς* 20 *φοβεῖ εἰπών, «καὶ κριτῇ Θεῷ πάντων». Ἄρα οὐχὶ τῶν Ἰουδαίων μόνον, οὐδὲ τῶν πιστῶν, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης καθεδεῖται κριτής. «Καὶ πνεύματι δικαίων τετελειωμένων». Τὰς ψυχὰς λέγει τῶν εὐδοκίμων. «Καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ»· τουτέστι, καθαρμοῦ. «Κρεῖττον λαλοῦντι παρὰ τὸν* 25 *Ἄβελ». Εἰ δὲ τὸ αἷμα λαλεῖ, πολλῷ μᾶλλον ὁ σφραγιασθεὶς ζῇ. Τί δὲ λαλεῖ, ἄκουε· «καὶ τὸ πνεῦμα», φησί, «λαλεῖ στεναγμοῖς ἀλαλήτοις». Πῶς λαλεῖ; Ἔνθα γὰρ ἂν εἰς εἰλικρινῆ διάνοιαν ἐμπέσῃ, αὐτὴν διανίστησι καὶ ποιεῖ λαλεῖν.*

«Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα»· τουτέστι, μὴ

7. Β' Κορ. 3,18· 13.
8. Ρωμ. 8,26.

γιὰ δύο λόγους εἶναι μεγάλα· καὶ ἐπειδὴ εἶναι λαμπρὰ καὶ διότι εἶναι μεγαλύτερα, εἶναι περισσότερο προσιτὰ στοὺς ἀνθρώπους καὶ πιὸ ἥμερα. Αὐτὸ τὸ λέγει καὶ στὴν πρὸς Κορινθίους ἐπιστολή του· «καὶ ὅλοι ἐμεῖς μὲ ξέσκεπο τὸ πρόσωπο τοῦ ἐσωτερικοῦ μας ἀνθρώπου, σὰν ἄλλοι καθρέπτες δεχόμαστε καὶ ἀντανακλοῦμε τὴ δόξα τοῦ Κυρίου· καὶ ὄχι ὅπως ὁ Μωϋσῆς ὁ ὁποῖος ἔβαλε κάλυμμα στὸ πρόσωπό του»[7]. Δὲν ἀξιώθηκαν, λέγει, ἐκεῖνοι αὐτὰ ποὺ ἀξιωθήκαμε ἐμεῖς. Τί ἀξιώθηκαν δηλαδὴ ἐκεῖνοι; Σκοτάδι εἶδαν, γνόφο, φωνὴ ἄκουσαν. Ὅμως κι' ἐσὺ ἄκουσες φωνή, ὄχι μέσα ἀπὸ γνόφο, ἀλλὰ μέσα ἀπὸ ἀνθρώπινο σῶμα· δὲν ταράχθηκες, οὔτε θορυβήθηκες, ἀλλὰ καὶ στάθηκες καὶ συνωμίλησες μὲ τὸν μεσίτη. Ἄλλωστε τὸ σκοτάδι δείχνει καὶ ὅτι ὁ Θεὸς εἶναι ἀόρατος.

Καὶ μαῦρο σύννεφο, λέγει, ἦταν κάτω ἀπὸ τὰ πόδια του. Τότε φοβήθηκε καὶ ὁ Μωϋσῆς, ἐνῶ τώρα κανείς· ὁ λαὸς περίμενε τότε κάτω στοὺς πρόποδες, ἐνῶ ἐμεῖς δὲν εἴμαστε κάτω, ἀλλὰ πιὸ πάνω ἀπὸ τὸν οὐρανό, κοντὰ στὸν Θεό, σὰν παιδιά του καὶ ὄχι ὅπως ὁ Μωϋσῆς. Ἐκεῖ ἦταν ἔρημος, ἐδῶ πόλις, μὲ μυριάδες ἀγγέλους ποὺ πανηγυρίζουν· ἐδῶ φανερώνει τὴ χαρὰ καὶ τὴν εὐφροσύνη, ἀντὶ τοῦ σύννεφου καὶ τοῦ σκοταδιοῦ καὶ τῆς θύελλας. «Καὶ ἔχετε προσέλθει στὴ σύναξι τῶν ἐκλεκτῶν τοῦ Θεοῦ, ποὺ πολιτογραφήθηκαν στὴ βασιλεία τῶν οὐρανῶν καὶ στὸν Θεὸ ποὺ εἶναι κριτὴς ὅλων». Ἐκεῖνοι δὲν πλησίασαν, ἀλλὰ στάθηκαν μακριά, ἀκόμα καὶ ὁ Μωϋσῆς· ἐνῶ ἐσεῖς ἔχετε πλησιάσει. Ἐδῶ τοὺς ἐκφοβίζει μ' αὐτὸ ποὺ εἶπε, «πλησιάσατε καὶ στὸν Θεό, ποὺ εἶναι δίκαιος κριτὴς ὅλων». Ἄρα ὄχι μόνο τῶν Ἰουδαίων, οὔτε τῶν πιστῶν, ἀλλ' ὅλος τῆς οἰκουμένης θὰ εἶναι κριτής. «Πλησιάσατε καὶ στὰ πνεύματα τῶν δικαίων ποὺ ἔγιναν τέλειοι». Ἐννοεῖ τὶς ψυχὲς τῶν ἀγαθῶν ἀνθρώπων. «Προσήλθατε ἀκόμη καὶ στὸν μεσίτη τῆς νέας διαθήκης, τὸν Ἰησοῦ, καὶ στὸ αἷμα τοῦ ραντισμοῦ»· δηλαδὴ στὸ αἷμα μὲ τὸ ὁποῖο ἐξαγνισθήκατε. «Αὐτὸ τὸ αἷμα λαλεῖ στὸν Θεὸ καλύτερα ἀπὸ τὸ αἷμα τοῦ Ἄβελ». Ἀλλὰ ἐὰν τὸ αἷμα λαλῆ, πολὺ περισσότερο ζῆ αὐτὸς ποὺ ἔχει θυσιασθῆ. Καὶ ἄκουγε τί λέγει· «καὶ τὸ Πνεῦμα», λέγει, «ὁμιλεῖ μὲ στεναγμούς, τοὺς ὁποίους ἀδυνατεῖ ἀνθρώπινη γλῶσσα νὰ ἐκφράσῃ»[8]. Πῶς λαλεῖ; Ὅταν δηλαδὴ μπῆ μέσα σὲ εἰλικρινῆ διάνοια, τὴν διεγείρει καὶ τὴν κάνει νὰ ὁμιλῆ.

«Προσέχετε νὰ μὴν ἀρνηθῆτε αὐτὸν ποὺ σᾶς ὁμιλεῖ»· δηλα-

ἀπογνῶτε. «Εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυγον τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα». Τίνα λέγει; Ἐμοὶ δοκεῖ, Μωϋσῆν. Ὁ δὲ λέγει, τοῦτό ἐστιν· Εἰ ἐπὶ γῆς νομοθετοῦντα παραιτησάμενοι οὐκ ἐξέφυγον, ἀπὸ τοῦ οὐρανοῦ νομοθετοῦντα πῶς παραιτησόμεθα;
5 *Ἐνταῦθα ἐπιδείκνυσιν, οὐχ ὅτι ἄλλος ἐστὶν ἐκεῖνος· μὴ γένοιτο· οὐκ ἄλλον καὶ ἄλλον δείκνυσιν, ἀλλὰ ὅτι φοβερὸς φαίνεται φωνὴν ἀφιεὶς ἐκ τοῦ οὐρανοῦ. Αὐτὸς μὲν οὖν ἐστι καὶ οὗτος κἀκεῖνος, φοβερὸς δὲ οὗτος· οὐ γὰρ διαφορὰν λέγει προσώπων, ἀλλὰ δόσεως. Πόθεν δῆλον; Ἐξ ὧν ἐπήγαγε λέγων· «εἰ γὰρ ἐκεῖνοι οὐκ ἐξέφυ-*
10 *γον, παραιτησάμενοι τὸν ἐπὶ γῆς χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι».*

Τί οὖν; Ἄλλος οὗτός ἐστι παρ' ἐκεῖνον; Πῶς οὖν φησιν, «οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε»; Ἡ γὰρ τοῦ τότε δόντος τὸν νόμον φωνὴ τὴν γῆν ἐσάλευσε. Νῦν δὲ ἐπήγγελται λέγων· «ἔτι ἅπαξ ἐγὼ
15 *σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ τὸν οὐρανόν. Τὸ δέ, 'ἔτι ἅπαξ', δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν ὡς πεποιημένων». Ἄρα ἐκ τοῦ μέσου πάντα ἀρθήσεται καὶ ἐπὶ τὸ βέλτιον συμπαγήσεται ἄνωθεν· τοῦτο γὰρ αἰνίττεται ταῦτα λέγων ἐνταῦθα. Τί τοίνυν ἀλγεῖς, ἐν κόσμῳ πάσχων οὐ μένοντι, ἐν κόσμῳ θλιβόμενος μικρὸν ὕστερον*
20 *παροδευομένῳ; Εἰ ἐν ὑστέρῳ τοῦ κόσμου ἡ ἄνεσις ἦν, τότε θλίβεσθαι ἐχρῆν πρὸς τὸ τέλος ὁρῶντα. «Ἵνα μείνῃ, φησί, «τὰ μὴ σαλευόμενα». Ποῖα δέ ἐστι τὰ «μὴ σαλευόμενα»; Τὰ μέλλοντα.*

3. Πάντα τοίνυν ὑπὲρ τούτου πράττωμεν, ὥστε ἐκείνων τυχεῖν, ὥστε ἐκείνων ἀπολαῦσαι τῶν ἀγαθῶν. Ναὶ δέομαι καὶ ἀντιβολῶ,
25 *τοῦτο σπουδάζωμεν. Οὐδεὶς ἐν πόλει μελλούσῃ καταπίπτειν οἰκοδομεῖ. Εἰπὲ δή μοι, παρακαλῶ, εἴ τις ἔλεγεν ὅτι μετὰ ἐνιαυτὸν αὕτη*

δή, προσέχετε νὰ μὴν ἀπογοητευθῆτε. «Διότι, ἐὰν ἐκεῖνοι ποὺ δὲν πειθάρχησαν σ' αὐτὸν ποὺ τοὺς μιλοῦσε ἐπάνω στὴ γῆ δὲν διέφυγαν τὴν τιμωρία». Ποιόν ἐννοεῖ; Νομίζω ὅτι ἐννοεῖ τὸν Μωϋσῆ. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐὰν δὲν διέφυγαν τὴν τιμωρία ἐκεῖνοι ποὺ ἀρνήθηκαν νὰ ὑπακούσουν σ' αὐτὸν ποὺ τοὺς φανέρωσε θεῖες ἐντολές ἐπάνω στὴ γῆ, πῶς θὰ διαφύγουμε τὴν τιμωρία ἐμεῖς ποὺ ἀρνούμαστε νὰ ὑπακούσουμε σ' αὐτὸν ποὺ νομοθετεῖ ἀπὸ τον οὐρανό; Ἐδῶ φανερώνει, ὄχι ὅτι ἄλλος εἶναι ἐκεῖνος· μὴ γένοιτο· δὲν δείχνει ὅτι ἄλλος εἶναι ἐκεῖνος καὶ ἄλλος αὐτός, ἀλλ' ὅτι φαίνεται φοβερὸς μιλώντας ἀπὸ τὸν οὐρανό. Ὁ ἴδιος λοιπὸν εἶναι καὶ αὐτὸς καὶ ἐκεῖνος, ὅμως ἐκεῖνος εἶναι φοβερός. Δὲν ἐννοεῖ δηλαδὴ διαφορετικὰ πρόσωπα, ἀλλὰ διαφορετικὸ τρόπο παραδόσεως τοῦ νόμου. Ἀπὸ ποῦ γίνεται φανερό; Ἀπὸ αὐτὰ ποὺ πρόσθεσε καὶ εἶπε. «Διότι, ἐὰν δὲν διέφυγαν τὴν τιμωρία ἐκεῖνοι ποὺ δὲν πειθάρχησαν σ' ἐκεῖνον, ὁ ὁποῖος τοὺς φανέρωσε τὶς θεῖες ἐντολὲς ἐπάνω στὴ γῆ, πολὺ περισσότερο δὲν θὰ ξεφύγουμε ἐμεῖς, ποὺ ἀποστρεφόμαστε τὸν Θεό, ὁ ὁποῖος μᾶς μιλάει ἀπὸ τὸν οὐρανό».

Τί λοιπόν; Εἶναι ἄλλος αὐτὸς ἀπὸ ἐκεῖνον; Πῶς λοιπὸν λέγει, «τοῦ Θεοῦ αὐτοῦ ἡ φωνὴ σάλευσε τότε τὴ γῆ»; Πράγματι ἡ φωνὴ ἐκείνου ποὺ ἔδωσε τότε τὸν νόμο σάλευσε τὴ γῆ. Καὶ τώρα ἔχει δώσει ὑπόσχεσι καὶ εἶπε· «ἀκόμα μιὰ φορὰ ἐγὼ θὰ σείσω ὄχι μόνο τὴ γῆ, ἀλλὰ καὶ τὸν οὐρανό. Καὶ τὸ 'ἀκόμη μιὰ φορὰ' φανερώνει τὴ μετακίνησι ἐκείνων ποὺ σαλεύονται καὶ μετακινοῦνται ὡς κτίσματα φθαρτά». Ἑπομένως ὅλα ὅσα βρίσκονται ἐδῶ κάτω θὰ μετακινηθοῦν, καὶ θὰ ἑνωθοῦν ὅλα μαζὶ πρὸς τὸ καλύτερο, ἐπάνω στὸν οὐρανό· διότι αὐτὸ ὑπονοεῖ ὅταν τὰ λέγη αὐτὰ ἐδῶ. Γιατί λοιπὸν θλίβεσαι ἐφ' ὅσον δὲν θὰ μείνης στὸν κόσμο ποὺ ὑποφέρει, ἐφ' ὅσον μετὰ θὰ τὸν ἐγκαταλείψης αὐτὸν τὸν κόσμο μέσα στὸν ὁποῖο λίγο καταπιέζεσαι; Ἐὰν στὸ τέλος τοῦ κόσμου ὑπῆρχε ἡ ἄνεσις, τότε ἔπρεπε νὰ θλίβεσθε βλέποντας πρὸς τὸ τέλος. «Γιὰ νὰ μείνουν», λέγει, «τὰ ἀμετακίνητα». Καὶ ποιά εἶναι αὐτὰ τὰ ἀμετακίνητα; Αὐτὰ ποὺ ἀνήκουν στὴ μέλλουσα ζωή.

3. Ὅλα λοιπὸν ἂς τὰ κάνουμε χάριν αὐτῆς τῆς ζωῆς, γιὰ νὰ ἐπιτύχουμε ἐκεῖνα, γιὰ νὰ ἀπολαύσουμε ἐκεῖνα τὰ ἀγαθά. Ναί, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω, αὐτὸ ἂς ἐπιδιώκουμε. Κανεὶς δὲν χτίζει σπίτι σὲ πόλι ποὺ πρόκειται νὰ πέση· πές μου λοιπόν, σὲ παρακαλῶ,

πεσεῖται ἡ πόλις, ἡ δεῖνα δὲ οὐ πάντως, ἆρα ἂν ᾠκοδόμησας ἐν τῇ μελλούσῃ καταπίπτειν; Ὥστε τοῦτο καὶ νῦν λέγω, μὴ οἰκοδομῶμεν ἐν τῷ κόσμῳ τούτῳ· πεσεῖται μικρὸν ὕστερον καὶ πάντα ἀπολεῖται. Τί δὲ λέγω, πεσεῖται; Πρὸ τῆς πτώσεως ἡμεῖς ἀπολούμεθα 5 καὶ δεινὰ πεισόμεθα, ἡμεῖς αὐτῶν ἐκστησόμεθα.

Τί οἰκοδομοῦμεν ἐπὶ τὴν ἄμμον; Οἰκοδομήσωμεν ἐπὶ τὴν πέτραν· ὅπερ γὰρ ἐὰν ἐπέλθῃ, ἀνάλωτος ἐκείνη μένει ἡ οἰκοδομή, οὐδὲν αὐτὴν δυνήσεται ἑλεῖν, εἰκότως· πάσαις γὰρ ἐπιβουλαῖς τοιαύταις ἄβατος ὁ χῶρος ἐκεῖνος, ὥσπερ οὖν ὁ ἐνταῦθα βατός· καὶ γὰρ 10 σεισμοὶ καὶ ἐμπρησμοὶ καὶ πολεμίων ἔφοδος καὶ ζῶντας ἡμᾶς ἀφαιρεῖται αὐτήν, πολάκις δὲ καὶ μετ' αὐτῆς ἀπόλλυσιν. Ὅταν δὲ καὶ αὐτὴ ἑστήκῃ, τότε ἡμᾶς ἢ νόσος ἀπήγαγε θᾶττον, ἢ μένοντας οὐκ εἴασεν αὐτῆς ἀπολαῦσαι καλῶς· ποία γὰρ ἡδονή, ἔνθα νόσοι καὶ συκοφαντίαι καὶ φθόνος καὶ ἐπιβουλαί; Ἢ εἰ μηδὲν τούτων ᾖ τὸ 15 ἐνοχλοῦν, παιδία πολλάκις μὴ ἔχοντες, ἀλύομεν, δυσανασχετοῦμεν, οὐκ ἔχοντες οἷς παραδῶμεν τὰς οἰκίας καὶ τἄλλα πάντα· καὶ κατατρυχόμεθα λοιπὸν ὡς ἑτέροις πονοῦντες· πολλάκις δὲ καὶ εἰς ἐχθροὺς ἦλθεν ὁ κλῆρος, οὐκ ἀπελθόντων μόνον ἡμῶν, ἀλλὰ καὶ ζώντων. Τί τοίνυν ἀθλιώτερον τοῦ τοῖς ἐχθροῖς κάμνειν, καὶ ἵνα 20 ἐκεῖνοι ἀναπαύσωνται, αὐτοὺς ἁμαρτίας συλλέγειν; Καὶ τούτου τὰ ὑποδείγματα πολλὰ ἐν ταῖς πόλεσιν ὁρᾶται· καὶ σιγῶ, ἵνα μὴ λυπήσω τοὺς ἀπεστερημένους· ἐπεὶ εἶπον ἂν ὀνομαστὶ καί τινας ἐξ αὐτῶν, καὶ πολλὰ εἶχον διηγήματα εἰπεῖν, καὶ πολλὰς ὑποδεῖξαι οἰκίας ὑμῖν, αἳ κυρίους ἔλαβον τοὺς ἐχθροὺς τῶν περὶ αὐτὰς πονη-25 σάντων· οὐκ οἰκίαι δέ, ἀλλὰ καὶ ἀνδράποδα καὶ ἅπας ὁ κλῆρος πολλάκις εἰς τοὺς ἐχθροὺς περιῆλθε. Τοιαῦτα γὰρ τὰ ἀνθρώπινα.

Ἐν τοῖς οὐρανοῖς δὲ οὐδὲν ἔστι δεῖσαι τούτων, μὴ τοῦ τετελευτηκότος ἕτερος ἔλθῃ ὁ ἐχθρὸς καὶ τὸν κλῆρον διαδέξηται· οὔτε γὰρ θάνατός ἐστιν ἐκεῖ, οὔτε ἀπέχθεια· αἱ σκηναὶ τῶν ἁγίων εἰσὶ

ἐὰν κάποιος σοῦ ἔλεγε ὅτι μετὰ ἕνα χρόνο θὰ πέση αὐτὴ ἡ πόλις, ἐνῶ ἡ ἄλλη ποτέ, ἄραγε θὰ ἔχτιζες σπίτι στὴν πόλι ποὺ ἐπρόκειτο νὰ πέση; Ὥστε αὐτὸ καὶ τώρα λέγω, νὰ μὴν χτίζουμε σ' αὐτὸν τὸν κόσμο· μετὰ ἀπὸ λίγο θὰ πέση καὶ ὅλα θὰ χαθοῦν. Ἀλλὰ γιατί λέγω, 'θὰ πέση'; Πρὶν ἀπὸ τὴν πτῶσι ἐμεῖς θὰ χαθοῦμε, καὶ θὰ πάθουμε φοβερὰ πράγματα, ἐμεῖς θὰ τὰ ἐγκαταλείψουμε.

Γιατί χτίζουμε ἐπάνω στὴν ἄμμο; Ἂς χτίσουμε ἐπάνω στὴν πέτρα· διότι ὅ,τι κι' ἂν συμβῆ, ἐκείνη ἡ οἰκοδομὴ θὰ μένη ἀπόρθητη, τίποτε δὲν θὰ μπορέση νὰ τὴν καταστρέψη, ὅπως εἶναι φυσικό· διότι σὲ ὅλες αὐτοῦ τοῦ εἴδους τὶς ἐπιθέσεις ὁ χῶρος ἐκεῖνος εἶναι ἀπλησίαστος, ὅπως ἀκριβῶς ὁ ἐδῶ εἶναι ἔκθετος σὲ ὅλες· καθόσον καὶ σεισμοὶ καὶ πυρκαγιὲς καὶ ἐπίθεσις ἐχθρῶν κι' ἐνῶ ζοῦμε ἀκόμη μᾶς ἀφαιροῦν τὴν οἰκοδομὴ αὐτὴ καὶ πολλὲς φορὲς μαζὶ μ' αὐτὴν χανόμαστε κι' ἐμεῖς. Ἀλλὰ κι' ὅταν αὐτὴ παραμένη, ἐμᾶς ἢ κάποια ἀρρώστια γρηγορώτερα μᾶς ἁρπάξε ἢ κι' ἂν μείνουμε δὲν μᾶς ἐπιτρέπει νὰ τὴν ἀπολαύσουμε ὅπως ἐπιθυμοῦμε· ποιά ἡδονὴ δηλαδὴ ὑπάρχει ἐκεῖ ποὺ ὑπάρχουν ἀρρώστιες, συκοφαντίες, φθόνος καὶ μηχανορραφίες; Ἢ κι' ἂν τίποτε ἀπὸ αὐτὰ δὲν ὑπάρχη ποὺ νὰ μᾶς στενοχωρῆ, πολλὲς φορές, ἐπειδὴ δὲν ἔχουμε παιδιά, ταρασσόμαστε, δυσανασχετοῦμε, μὴ ἔχοντας σὲ ποιούς ν' ἀφήσουμε τὰ σπίτια μας καὶ ὅλα τ' ἄλλα· καὶ φθειρόμαστε κοπιάζοντας γι' ἄλλους· καὶ πολλὲς φορὲς καὶ στοὺς ἐχθρούς μας πῆγε ἡ περιουσία μας, ὄχι μόνο ἀφοῦ ἐμεῖς φύγουμε, ἀλλὰ καὶ ἐνῶ ἀκόμα ζοῦμε. Τί λοιπὸν εἶναι ἀθλιώτερο ἀπὸ τὸ νὰ δουλεύουν γιὰ τοὺς ἐχθρούς τους καὶ γιὰ νὰ ζήσουν ἐκεῖνοι ἀναπαυμένοι, αὐτοὶ συγκεντρώνουν ἁμαρτίες; Καὶ τέτοιου εἴδους παραδείγματα ὑπάρχουν πολλὰ στὶς πόλεις· καὶ δὲν τὰ ἀναφέρω γιὰ νὰ μὴν λυπήσω αὐτοὺς ποὺ δὲν ἔχουν ἀπογόνους· διότι θὰ μποροῦσα καὶ ὀνομαστικῶς νὰ ἀναφέρω μερικοὺς ἀπὸ αὐτούς, καὶ νὰ σᾶς παρουσιάσω πολλὰ σπίτια, ποὺ δέχθηκαν ὡς κυρίους τοὺς ἐχθροὺς αὐτῶν ποὺ μὲ κόπο τὰ ἔφτειαξαν· καὶ ὄχι μόνο τὰ σπίτια, ἀλλὰ καὶ οἱ δοῦλοι καὶ πολλὲς φορὲς ὅλος ὁ κλῆρος περιῆλθε στοὺς ἐχθρούς. Διότι τέτοια εἶναι τὰ ἀνθρώπινα.

Στοὺς οὐρανοὺς ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἔχεις νὰ φοβηθῆς, οὔτε αὐτοῦ ποὺ ἔχει πεθάνει ὁ ἐχθρὸς θὰ ἔλθη καὶ θὰ κληρονομήση τὴν περιούσια του· διότι οὔτε θάνατος ὑπάρχει ἐκεῖ, οὔτε ἔχθρα.

μόναι· ἐν δὲ τοῖς ἁγίοις ἐκείνοις ἀγαλλίασις, χαρά, εὐφροσύνη· «φωνή», γάρ φησιν, «ἀγαλλιάσεως ἐν σκηναῖς δικαίων». Αἰώνιοί εἰσι, τέλος οὐκ ἔχουσαι. Οὐχ αὗται τῷ χρόνῳ καταπίπτουσιν, οὐ τοὺς κεκτημένους ἀμείβουσιν, ἀλλ' ἑστήκασιν ἐν ἀκμῇ διηνεκεῖ, εἰ- 5 *κότως· οὐ γάρ ἐστι τι φθαρτὸν οὐδὲ ἐπίκηρον ἐκεῖ, ἀλλὰ πάντα ἀθάνατα καὶ ἀκήρατα. Οὐκοῦν κενώσωμεν εἰς ταύτην τὴν οἰκοδομὴν τὰ χρήματα· οὐ δεῖ τεκτόνων ἡμῖν, οὐδὲ ἐργατῶν· αἱ τῶν πενήτων χεῖρες τὰς τοιαύτας οἰκοδομοῦσιν οἰκίας, οἱ χωλοί, οἱ τυφλοί, οἱ ἀνάπηροι· οὗτοι ἐκείνας τὰς οἰκίας οἰκοδομοῦσι. Καὶ μὴ θαυ-* 10 *μάσῃς, ὅπου γε καὶ βασιλείαν ἡμῖν οὗτοι προξενοῦσι καὶ παρρησίαν ἡμῖν διδόασι πρὸς τὸν Θεόν.*

4. Ἡ γὰρ ἐλεημοσύνη τέχνη τίς ἐστιν ἀρίστη καὶ προστάτις τῶν ἐργαζομένων αὐτήν· φίλη γὰρ τῷ Θεῷ ἐστι καὶ πλησίον ἕστηκεν αὐτοῦ, ὑπὲρ ὧν ἂν βούληται, εὐκόλως αἰτοῦσα χάριν, μόνον ἂν μὴ 15 *ἀδικῆται παρ' ἡμῶν· ἀδικεῖται δέ, ὅταν ἐξ ἁρπαγῆς αὐτὴν ἐργαζώμεθα· ὡς ἐὰν ᾖ καθαρά, πολλὴν τοῖς ἀναπέμπουσιν αὐτὴν δίδωσι τὴν παρρησίαν. Τοσαύτη αὐτῆς ἡ ἰσχύς, ὅτι καὶ ὑπὲρ προσκεκρουκότων δεῖται καὶ ὑπὲρ ἡμαρτηκότων. Αὕτη διαρρήγνυσι τὰ δεσμά, λύει τὸ σκότος, σβέννυσι τὸ πῦρ, θανατοῖ τὸν σκώληκα, ἀπελαύνει* 20 *τὸν τῶν ὀδόντων βρυγμόν· ταύτῃ μετὰ πολλῆς ἀδείας ἀνοίγονται τῶν οὐρανῶν αἱ πύλαι. Καὶ ὥσπερ βασιλίδος εἰσιούσης οὐδεὶς τολμήσει τῶν φυλάκων τῶν ἐπὶ ταῖς θύραις ταταγμένων ἐξετάσαι τίς εἴη καὶ πόθεν, ἀλλὰ πάντες εὐθέως ὑποδέχονται, οὕτω δὴ καὶ τὴν ἐλεημοσύνην· βασιλὶς γάρ ἐστιν ὄντως, ὁμοίους ἀνθρώπους ποιοῦσα* 25 *Θεῷ. «Ἔσεσθε», γάρ φησιν, «οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν». Ὑπόπτερός ἐστι καὶ κούφη, πτέρυγας ἔχουσα χρυσᾶς, πτῆσιν ἔχουσα πάνυ τέρπουσαν τοὺς ἀγγέλους. «Ἐκεῖ», φησί, «πτέρυγες περιστερᾶς περιηργυρωμέναι καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου». Καθάπερ γὰρ περιστερά τις* 30 *χρυσῆ καὶ ζῶσα πέταται, ὄμμα προσηνὲς ἔχουσα, ὀφθαλμὸν ἥμερον. Οὐδὲν τοῦ ὀφθαλμοῦ ἐκείνου βέλτιον.*

9. Ψαλμ. 117,15.
10. Λουκᾶ 6,36.
11. Ψαλμ. 67,14.

Ἐκεῖ ὑπάρχουν μόνο οἱ σκηνὲς τῶν ἁγίων· καὶ στοὺς ἁγίους ἐκείνους ὑπάρχει ἀγαλλίασις, χαρὰ καὶ εὐφροσύνη· διότι λέγει, «φωνὴ ἀγαλλιάσεως ὑπάρχει μέσα στὶς σκηνὲς τῶν δικαίων»[9]. Εἶναι αἰώνιες, δὲν ἔχουν τέλος. Δὲν καταστρέφονται αὐτὲς ἀπὸ τὸν χρόνο, δὲν ἀμείβουν αὐτοὺς ποὺ τὶς ἔχουν ἀποκτήσει, ἀλλὰ στέκονται διαρκῶς ἀκμαῖες, ὅπως εἶναι φυσικό· διότι δὲν ὑπάρχει τίποτε φθαρτὸ οὔτε θνητὸ ἐκεῖ, ἀλλ' ὅλα εἶναι ἀθάνατα καὶ ἄφθαρτα. Λοιπὸν ἂς ξοδέψουμε τὰ χρήματά μας σ' αὐτὴν τὴν οἰκοδομή· δὲν χρειαζόμαστε τεχνίτες, οὔτε ἐργάτες· αὐτοῦ τοῦ εἴδους τὰ σπίτια τὰ χτίζουν τὰ χέρια τῶν φτωχῶν, οἱ χωλοί, οἱ τυφλοί, οἱ ἀνάπηροι· αὐτοὶ χτίζουν ἐκεῖνα τὰ σπίτια. Καὶ μὴν ἀπορῆς, τὴ στιγμὴ μάλιστα ποὺ αὐτοὶ μᾶς παρέχουν καὶ τὴ βασιλεία τῶν οὐρανῶν καὶ μᾶς δίνουν θάρρος μπροστὰ στὸν Θεό.

4. Πράγματι ἡ ἐλεημοσύνη εἶναι κάποια τέχνη ἄριστη καὶ δοξάζει αὐτοὺς ποὺ τὴν ἀσκοῦν· ἐπειδὴ εἶναι ἀγαπητὴ στὸν Θεὸ καὶ βρίσκεται κοντά του, εὔκολα ζητᾶ χάρι γι' αὐτοὺς ποὺ θέλει, φτάνει νὰ μὴν ἀδικῆται ἀπὸ μᾶς· καὶ ἀδικεῖται ὅταν τὴν κάνουμε μὲ χρήματα ποὺ ἔχουμε ἁρπάξει ἀπὸ ἄλλους· ὅπως ὅταν εἶναι καθαρή, δίνει μεγάλη παρρησία σ' αὐτοὺς ποὺ τὴν στέλνουν πρὸς τὸν Θεό. Εἶναι τόσο μεγάλη ἡ δύναμίς της, ἀφοῦ δέεται καὶ γι' αὐτοὺς ποὺ συγκρούσθηκαν μὲ τὸν Θεὸ καὶ γι' αὐτοὺς ποὺ ἔχουν ἁμαρτήσει. Αὐτὴ διασπᾶ τὰ δεσμά, διαλύει τὸ σκοτάδι, σβήνει τὴ φωτιά, θανατώνει τὸν σκώληκα, ἀπομακρύνει τὸν βρυγμὸ τῶν ὀδόντων· γι' αὐτὴν ἀνοίγονται μὲ πολλὴ ἀσφάλεια οἱ πύλες τῶν οὐρανῶν. Καὶ ὅπως ἀκριβῶς ὅταν εἰσέρχεται ἡ βασίλισσα στὰ ἀνάκτορα κανεὶς δὲν θὰ τολμήση ἀπὸ τοὺς φύλακες ποὺ φυλάγουν τὶς πόρτες νὰ τὴν ρωτήση ποιά εἶναι καὶ ἀπὸ ποῦ, ἀλλ' ὅλοι ἀμέσως τὴν ὑποδέχονται, ἔτσι λοιπὸν καὶ τὴν ἐλεημοσύνη· διότι πραγματικὰ εἶναι βασίλισσα καὶ κάνει τοὺς ἀνθρώπους ὁμοίους μὲ τὸν Θεό. Διότι λέγει, «νὰ εἶσθε σπλαχνικοὶ πρὸς τὸν πλησίον σας, ὅπως ὁ οὐράνιος Πατέρας σας εἶναι σπλαχνικὸς πρὸς ὅλους»[10]. Εἶναι φτερωτὴ καὶ εὐκίνητη, ἔχει χρυσᾶ φτερά, ἔχει πέταγμα ποὺ εὐχαριστεῖ πάρα πολὺ τοὺς ἀγγέλους. «Ἐκεῖ», λέγει, «οἱ πτέρυγες τῆς πειριστερᾶς παρουσιάζονται σὰν ἐπαργυρωμένες καὶ μὲ χρυσοπράσινα ἀνάμεσα στὶς φτεροῦγες τους φτερά»[11]. Ἀκριβῶς δηλαδὴ σὰν κάποιο χρυσὸ καὶ ζωντανὸ περιστέρι πετᾶ, ἔχει μάτι πρᾶο καὶ βλέμμα ἥμερο. Τίποτε δὲν εἶναι καλύτερο ἀπὸ τὸν ὀφθαλμὸ ἐκεῖνον.

Καλός ἐστι καὶ ὁ ταώς, ἀλλὰ πρὸς ἐκείνην κολοιός ἐστιν· οὕτως ἡ ὄρνις αὕτη καλή τίς ἐστι καὶ θαυμαστή. Ἄνω διὰ παντὸς ὁρᾷ, πολλῇ τοῦ Θεοῦ τῇ δόξῃ περιστοιχίζεται· παρθένος ἐστὶ πτέρυγας ἔχουσα χρυσᾶς, περιεσταλμένη, λευκὸν πρόσωπον ἔχουσα 5 καὶ ἥμερον· ὑπόπτερός ἐστι καὶ κούφη, παρὰ τὸν θρόνον ἑστῶσα τὸν βασιλικόν. Ὅταν κρινώμεθα, ἄφνω ἐφίπταται καὶ φαίνεται καὶ ἐξαιρεῖται τῆς κολάσεως ἡμᾶς, ταῖς αὐτῆς πτέρυξι περιβάλλουσα. Ταύτην θέλει ὁ Θεὸς μᾶλλον, ἢ θυσίας· πολλὰς περὶ αὐτῆς διαλέγεται· οὕτως αὐτὴν φιλεῖ. «Χήραν καὶ ὀρφανὸν καὶ πένητα», φησίν, 10 «ἀναλήψεται». Ἀπ' αὐτῆς φιλεῖ καλεῖσθαι ὁ Θεός· «οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος», φησίν, ὁ Δαυΐδ, «μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός»· καὶ πάλιν ἕτερος, «ἔλεος τοῦ Θεοῦ ἐπὶ πᾶσαν τὴν γῆν». Αὕτη τὸ τῶν ἀνθρώπων γένος διέσωσεν· εἰ γὰρ μὴ ἠλέησεν ἡμᾶς ὁ Θεός, πάντα ἂν ἀπόλωλεν· αὕτη ἐχθροὺς ἡμᾶς ὄντας κα-15 τήλλαξεν, αὕτη τὰ μυρία ἀγαθὰ εἰργάσατο, αὕτη τὸν Υἱὸν τοῦ Θεοῦ ἔπεισε δοῦλον γενέσθαι καὶ κενῶσαι ἑαυτόν. Ταύτην ζηλώσωμεν, ταύτην χρημάτων προτιμήσωμεν, καὶ χωρὶς χρημάτων ψυχὴν ἐλεήμονα ἔχωμεν.

Οὐδὲν οὕτω χαρακτηριστικὸν Χριστιανοῦ, ὡς ἐλεημοσύνη· 20 οὐδὲν οὕτω καὶ ἄπιστοι καὶ πάντες θαυμάζουσιν, ὡς ὅταν ἐλεῶμεν. Πολλαχοῦ γὰρ καὶ ἡμεῖς δεόμεθα τοῦ ἐλέους τούτου, καὶ πρὸς τὸν Θεὸν καθ' ἑκάστην λέγομεν· «κατὰ τὸ μέγα σου ἔλεος ἐλέησον ἡμᾶς». Πρότερον αὐτοὶ ἀρχώμεθα· μᾶλλον δὲ οὐκ ἀρχόμεθα πρότερον· καὶ γὰρ αὐτὸς ἤδη ἐπεδείξατο τὸν ἔλεον αὐτοῦ τὸν περὶ 25 ἡμᾶς. Ἀλλ', ἀγαπητοί, κἂν δεύτεροι ἑπώμεθα. Εἰ γὰρ ἄνθρωποι τὸν ἐλεήμονα, κἂν μυρία ἐργάσηται ἁμαρτήματα, ἐλεοῦσι, πολλῷ μᾶλλον ὁ Θεός. Ἄκουε τοῦ προφήτου λέγοντος· «ἐγὼ δὲ ὡσεὶ ἐλαία», φησί, «κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ». Τοιοῦτοι γενώμεθα, ὡς ἐλαία γενώμεθα· πάντοθεν βριθώμεθα ταῖς ἐντολαῖς· 30 οὐ γὰρ ἀρκεῖ ὡς ἐλαίαν εἶναι, ἀλλὰ καὶ κατάκαρπον. Εἰσὶ γὰρ οἳ ἐλεοῦντες ὀλίγα διδόασιν, ἢ διὰ παντὸς τοῦ ἐνιαυτοῦ ἅπαξ, ἢ καθ'

12. Ψαλμ. 145,9.
13. Ψαλμ. 102,8.
14. Ψαλμ. 56,12.
15. Ψαλμ. 24,7.
16. Ψαλμ. 51,10.

Εἶναι ὡραῖο καὶ τὸ παγώνι, ἀλλὰ μπροστὰ σ' ἐκείνην εἶναι καλιακούδα· τόσο πολὺ τὸ πτηνὸ αὐτὸ εἶναι ὡραῖο καὶ ἀξιοθαύμαστο. Βλέπει διαρκῶς πρὸς τὰ ἐπάνω καὶ περιβάλλεται μὲ πολλὴ θεϊκὴ δόξα· εἶναι παρθένος ποὺ τὴν στολίζουν χρυσᾶ φτερὰ καὶ ἔχει πρόσωπο λευκὸ καὶ ἥμερο· εἶναι πτερωτὴ καὶ ἀνάλαφρη καὶ στέκεται δίπλα στὸν βασιλικὸ θρόνο. Ὅταν κρινώμαστε, ξαφνικὰ πετᾶ καὶ παρουσιάζεται μπροστά μας καὶ μᾶς ἁρπάζει ἀπὸ τὴν κόλασι, περιτυλίγοντάς μας μὲ τὰ φτερά της. Αὐτὴν μᾶλλον θέλει ὁ Θεὸς παρὰ τὶς θυσίες· πολλὰ λέγει γι' αὐτήν· τόσο πολὺ τὴν ἀγαπᾶ. «Ὁ Κύριος», λέγει, «θ' ἀναλάβη ὑπὸ τὴν προστασία του τὰ ὀρφανὰ καὶ τὶς χῆρες»[12]. Ἀπὸ αὐτὴν ἀγαπᾶ νὰ ὀνομάζεται ὁ Θεός· λέγει ὁ Δαυΐδ, «ὁ Κύριος εἶναι οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλαιος καὶ ἀληθινός»[13]· καὶ πάλι ἄλλος λέγει· «τὸ ἔλεος τοῦ Θεοῦ ἐκτείνεται ἐπάνω σ' ὅλη τὴ γῆ»[14]. Αὐτὴ διέσωσε τὸ ἀνθρώπινο γένος· διότι, ἐὰν δὲν μᾶς σπλαχνιζόταν ὁ Θεός, ὅλα θὰ εἶχαν χαθῆ. Αὐτή, ἂν καὶ ἤμασταν ἐχθροί, μᾶς συμφιλίωσε, αὐτὴ ἔγινε πρόξενος πολλῶν ἀγαθῶν, αὐτὴ ἔπεισε τὸν Υἱὸ τοῦ Θεοῦ νὰ γίνη δοῦλος καὶ νὰ ταπεινωθῆ. Αὐτὴν ἂς προσπαθήσουμε νὰ μιμηθοῦμε, ἀγαπητοί, μέσω τῆς ὁποίας σωθήκαμε· αὐτὴν ἂς ἀγαπήσουμε, αὐτὴν ἂς τὴν προτιμήσουμε ἀπὸ τὰ χρήματα, καὶ χωρὶς χρήματα ἂς ἔχουμε ἐλεήμονα ψυχή.

Τίποτε δὲν χαρακτηρίζει τόσο τὸν Χριστιανό, ὅσο ἡ ἐλεημοσύνη· τίποτε δὲν θαυμάζουν τόσο καὶ οἱ ἄπιστοι καὶ ὅλοι, ὅσο ὅταν ἐλεοῦμε. Καθόσον πολλὲς φορὲς κι' ἐμεῖς παρακαλοῦμε νὰ ἐπιτύχουμε αὐτὸ τὸ ἔλεος καὶ καθημερινὰ λέμε στὸν Θεό· «σύμφωνα μὲ τὸ ἄπειρο ἔλεός σου ἐλέησέ μας»[15]. Πρῶτοι ἐμεῖς ἂς ἀρχίσουμε· ἢ καλύτερα δὲν ἀρχίζουμε πρῶτοι· διότι αὐτὸς ἤδη ἔχει δείξει τὸ ἔλεός του σ' ἐμᾶς. Ἀλλά, ἀγαπητοί, ἔστω κι' ἂν εἴμαστε δεύτεροι ἂς ἀκολουθοῦμε. Διότι, ἐὰν οἱ ἄνθρωποι συμπαθοῦν τὸν ἐλεήμονα κι' ἂν ἀκόμα διαπράξη μύρια ἁμαρτήματα, πολὺ περισσότερο ὁ Θεός. Ἄκουε τὸν προφήτη ποὺ λέγει· «ἐγὼ ὅμως θὰ εἶμαι μέσα στὸ οἶκο τοῦ Κυρίου, ὅπως ἡ κατάκαρπη ἐληά»[16]. Τέτοιοι ἂς γίνουμε, ἂς γίνουμε σὰν τὴν ἐληά· ἀπὸ παντοῦ ἂς εἴμαστε φορτωμένοι μὲ τοὺς καρποὺς τῶν ἐντολῶν· διότι δὲν εἶναι ἀρκετὸ νὰ εἴμαστε σὰν τὴν ἐληά, ἀλλὰ νὰ εἴμαστε καὶ φορτωμένοι μὲ καρπούς. Πράγματι ὑπάρχουν αὐτοὶ ποὺ ὅταν ἐλεοῦν δίνουν λίγα ἢ μιὰ φορὰ ἐλεοῦν ὅλο τὸ χρόνο, ἢ κάθε ἑβδομάδα, ἢ χαρίζουν αὐτὸ ποὺ τυχαῖα βρέθηκε

ἑκάστην ἑβδομάδα, ἢ τὸ τυχὸν προϊέμενοι· οὗτοι ἐλαῖαι μέν εἰσιν, οὐ κατάκαρποι δέ, ἀλλὰ καὶ ξηροί. Ὅτι μὲν γὰρ ἐλεοῦσιν, ἐλαῖαι, ὅτι δὲ οὐ φιλοτίμως, οὐ κατάκαρποι ἐλαῖαι. Ἀλλ' ἡμεῖς κατάκαρποι γενώμεθα.

5 *Ὃ πολλάκις εἶπον καὶ λέγω νῦν· οὐ τῷ μέτρῳ τῶν διδομένων τὸ μέγεθος δείκνυται τῆς ἐλεημοσύνης, ἀλλὰ τῇ προαιρέσει τοῦ διδόντος. Ἴστε τὰ κατὰ τὴν χήραν· καλὸν ἀεὶ φέρειν τοῦτο τὸ ὑπόδειγμα, ἵνα μηδὲ ὁ πένης ἀπογινώσκῃ ἑαυτοῦ, ὁρῶν εἰς τὴν τὰ δύο λεπτὰ καταβαλοῦσαν. Ἤνεγκάν τινες καὶ τρίχας ἐν τῇ τοῦ*
10 *ναοῦ κατασκευῇ, καὶ οὐδὲ οὗτοι ἀπεβλήθησαν. Ἀλλ', εἰ μὲν χρυσίον ἔχοντες, τρίχας ἔφερον, ἐπικατάρατοι· εἰ δὲ τοῦτο ἔχοντες μόνον, τοῦτο ἤνεγκαν, ἀπόδεκτοι. Διὰ τοῦτο καὶ ὁ Κάϊν ἐμέμφθη, οὐκ ἐπειδὴ φαῦλα προσήνεγκεν, ἀλλ' ἐπειδὴ ὧν εἶχε τὰ φαυλότερα· «ἐπικατάρατος», φησίν, «ὃς ἔχει ἄρσεν, καὶ θύει διεφθαρμένον τῷ*
15 *Θεῷ». Οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ὁ ἔχων, φησί, καὶ φειδόμενος. Εἰ τοίνυν τις οὐκ ἔχει, ἀπήλλακται καὶ ἐγκλημάτων, μᾶλλον δὲ ἔχει μισθόν. Τί γὰρ δύο ὀβολῶν εὐτελέστερον, καὶ τριχῶν οὐδαμινέστερον; Τί δὲ σεμιδάλεως κοτύλης; Ἀλλ' ὅμως ταῦτα ηὐδοκίμησεν ὁμοίως τοῖς μόσχοις καὶ τῷ χρυσίῳ. «Καθ' ὃ γὰρ ἔχει τις, εὐπρόσ-*
20 *δεκτος, οὐ καθ' ὃ οὐκ ἔχει»· καί, «ὡς ἂν ἔχῃ», φησίν, «ἡ χείρ σου, εὖ ποίει».*

Διό, παρακαλῶ, κενώσωμεν προθύμως τὰ ὄντα εἰς τοὺς πένητας· κἂν ὀλίγα ᾖ, τὸν αὐτὸν ληψόμεθα μισθὸν τοῖς τὰ πλείονα καταβάλλουσι, μᾶλλον δὲ πλείονα τῶν μυρία τάλαντα καταβαλλόν-
25 *των. Ἂν ταῦτα ποιῶμεν, ἐπιτευξόμεθα τῶν ἀφάτων θησαυρῶν τοῦ Θεοῦ, ἂν μὴ ἀκούωμεν μόνον, ἀλλὰ καὶ πράττωμεν, ἂν μὴ ἐπαινῶμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδεικνύωμεν. Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα,*
30 *κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

17. Μαλαχ. 1,14.
18. Β' Κορ. 8,12.

μπροστά τους· αὐτοὶ εἶναι βέβαια ἐλαιόδενδρα, ὄχι ὅμως κατάφορτα ἀπὸ καρπούς, ἀλλὰ καὶ ξηρά. Ἐπειδὴ δηλαδὴ ἐλεοῦν εἶναι ἐλαιόδενδρα, ἐπειδὴ ὅμως δὲν τὸ κάνουν μὲ ἀγάπη, δὲν εἶναι ἐληὲς φορτωμένες μὲ καρπούς. Ἐμεῖς ὅμως ἂς γίνουμε κατάκαρπες ἐληές.

Αὐτὸ ποὺ πολλὲς φορὲς εἶπα, τὸ ἐπαναλαμβάνω καὶ τώρα· δὲν ἐξαρτᾶται ἡ πραγματικὴ ἐλεημοσύνη ἀπὸ τὸ μέγεθος τῆς προσφορᾶς, ἀλλὰ ἀπὸ τὴ διάθεσι αὐτοῦ ποὺ ἐλεεῖ. Γνωρίζετε τὰ σχετικὰ μὲ τὴν χήρα· εἶναι καλὸ πάντα νὰ φέρνουμε αὐτὸ τὸ παράδειγμα, γιὰ νὰ μὴν ἀπογοητεύεται ὁ φτωχὸς ἐξ αἰτίας τῆς φτώχειας του, κοιτάζοντας πρὸς αὐτὴν ποὺ πρόσφερε τὰ δύο λεπτά. Πρόσφεραν μερικοὶ καὶ τὶς τρίχες τῶν μαλλιῶν τους ὅταν κατασκευαζόταν ὁ ναὸς καὶ οὔτε αὐτοὶ ἀπορρίφθηκαν. Ἀλλὰ ἐάν, ἐνῶ εἶχαν χρυσάφι, πρόσφερναν τὰ μαλλιά τους, θὰ ἦταν ἐπικατάρατοι· ἐφ' ὅσον ὅμως ἔχοντας αὐτὸ μόνο, αὐτὸ ἔφεραν, ἔγιναν ἀποδεκτοί. Γι' αὐτὸ καὶ ὁ Κάϊν κατηγορήθηκε, ὄχι ἐπειδὴ ἡ προσφορά του ἦταν χειρότερη, ἀλλ' ἐπειδὴ πρόσφερε τὰ χειρότερα ἀπὸ αὐτὰ ποὺ εἶχε· «καταραμένος», λέγει, «θὰ εἶναι ἐκεῖνος, ὁ ὁποῖος, ἐνῶ εἶχε στὸ ποίμνιό του ἀρσενικὸ ζῶο, προσφέρει θυσία στὸν Θεὸ ζῶο βλαμμένο»[17]. Δὲν εἶπε ἁπλῶς 'ὅποιος ἔχει', ἀλλὰ ὅποιος ἔχει, λέγει, καὶ λυπᾶται νὰ τὸ προσφέρη. Ἐὰν λοιπὸν κάποιος δὲν ἔχη, εἶναι ἀπαλλαγμένος ἀπὸ τὴν κατηγορία, καὶ ἐπὶ πλέον ἔχει μισθό. Διότι τί εἶναι πιὸ εὐτελὲς ἀπὸ τοὺς δύο ὀβολοὺς καὶ μηδαμινότερο ἀπὸ τὶς τρίχες; Καὶ τί ἀπὸ ἕνα καυκὶ σεμιγδάλι; Ἀλλ' ὅμως αὐτὰ τὰ ἀποδέχθηκε ὅμοια μὲ τὰ μοσχάρια καὶ τὸν χρυσό. «Διότι μ' αὐτὸ ποὺ ἔχει κανεὶς εἶναι εὐπρόσδεκτος, ὄχι μ' αὐτὸ ποὺ δὲν ἔχει»[18]· καί, «ἀνάλογα», λέγει, «μ' αὐτὰ ποὺ θὰ ἔχη τὸ χέρι σου, νὰ εὐεργετῇς».

Γι' αὐτό, σᾶς παρακαλῶ, ἂς δώσουμε μὲ προθυμία τὰ ὑπάρχοντά μας στοὺς φτωχούς· κι' ἂν εἶναι λίγα θὰ λάβουμε τὸν ἴδιο μισθὸ μ' αὐτοὺς ποὺ θὰ δώσουν τὰ περισσότερα, ἢ καλύτερα περισσότερα κι' ἀπ' αὐτοὺς ποὺ καταβάλλουν μύρια τάλαντα. Ἂν αὐτὰ τὰ κάνουμε, θὰ κερδίσουμε τοὺς ἀπερίγραπτους θησαυροὺς τοῦ Θεοῦ, ἂν δὲν εἴμαστε μόνο ἀκροατές, ἀλλὰ καὶ ποιητές, ἂν δὲν ἐπαινοῦμε, ἀλλὰ καὶ ἔμπρακτα τὸ δείχνουμε. Αὐτὰ τὰ ἀγαθὰ εὔχομαι ὅλοι μας νὰ τὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΓ'

(Ἑβρ. 12,28–13,16)

«Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας. Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον».

1. Ὅπερ ἀλλαχοῦ φησι, «τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ
5 μὴ βλεπόμενα αἰώνια», καὶ ἀπὸ τούτου ποιούμενος τὴν παράκλησιν τὴν ἐπὶ τοῖς κακοῖς οἷς κατὰ τὸν παρόντα βίον ὑπομένομεν, τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ, καί φησιν, «ἔχωμεν χάριν»· τουτέστιν, εὐχαριστῶμεν τῷ Θεῷ, βέβαιοι μένωμεν. Οὐ γὰρ μόνον οὐκ ὀφείλομεν ἀποδυσπετεῖν ἐπὶ τοῖς παροῦσιν, ἀλλὰ καὶ χάριν αὐτῷ μεγί-
10 στην εἰδέναι ἐπὶ τοῖς μέλλουσι. «Δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ»· τουτέστιν, οὕτω γὰρ ἔστιν εὐαρέστως λατρεύειν τῷ Θεῷ, εὐχαριστοῦντα ἐν ἅπασι. «Πάντα ποιεῖτε», φησί, «χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν», ὃ γὰρ ἂν ἐργάσηταί τις γογγύζων, ὑποτέμνεται καὶ ἀπώλεσε τὸν μισθόν, καθάπερ οἱ Ἰσραηλῖται· ἴστε γὰρ
15 ἡλίκην ἐκεῖνοι δίκην ἔτισαν ὑπὲρ γογγυσμῶν. Διό φησι, «μηδὲ γογγύζετε». Οὐκ ἄρα ἔστιν εὐαρέστως λατρεῦσαι, μὴ χάριν εἰδότα πάντων αὐτῷ καὶ τῶν πειρασμῶν καὶ τῶν ἀνέσεων. «Μετὰ αἰδοῦς καὶ εὐλαβείας»· τουτέστι, μηδὲν ἰταμὸν φθεγγώμεθα, μηδὲν ἀναίσχυντον, ἀλλὰ συστέλλωμεν ἑαυτούς, ἵνα αἰδέσιμοι ὦμεν· τοῦ-
20 το γάρ ἐστιν ὃ λέγει, «μετ' αἰδοῦς καὶ εὐλαβείας».

1. Φιλ. 2,14.

ΟΜΙΛΙΑ ΛΓ'

('Εβρ. 12,28–13,16)

«Γι' αὐτό, ἀφοῦ παραλάβαμε σὰν κληρονομία βασιλεία ἀσάλευτη, ἂς εὐχαριστοῦμε τὸν Θεό. Καὶ μὲ τὴν εὐχαριστία αὐτὴ λατρεύουμε τὸν Θεὸ κατὰ τρόπο εὐάρεστο σ' αὐτόν, μὲ σεμνότητα καὶ εὐλάβεια. Διότι ὁ Θεός μας εἶναι φωτιὰ ποὺ κατακαίει».

1. Αὐτὸ ποὺ λέγει ἀλλοῦ, «διότι τὰ βλεπόμενα εἶναι πρόσκαιρα, ἐνῶ τὰ μὴ βλεπόμενα αἰώνια», καὶ ἀπὸ αὐτὸ μᾶς παρηγορεῖ γιὰ ὅσα δυσάρεστα μᾶς συμβαίνουν σ' αὐτὴ τὴ ζωή, αὐτὸ λοιπὸν κάνει καὶ ἐδῶ, καὶ λέγει, «ἔχουμε χάρι»· δηλαδή, ἂς εὐχαριστοῦμε τὸν Θεό, ἂς μένουμε σταθεροὶ στὴν πίστι μας. Διότι ὄχι μόνο ὀφείλουμε νὰ μὴ χάνουμε τὴν ὑπομονή μας γιὰ ὅσα μᾶς συμβαίνουν σ' αὐτὴ τὴ ζωή, ἀλλὰ καὶ νὰ τὸν εὐγνωμονοῦμε πάρα πολὺ γι' αὐτὰ ποὺ θὰ μᾶς χαρίση στὸ μέλλον. «Καὶ μὲ τὴν εὐχαριστία αὐτὴ λατρεύουμε τὸν Θεὸ μὲ τρόπο εὐάρεστο σ' αὐτόν»· δηλαδή, τότε λατρεύουμε τὸν Θεὸ μὲ τρόπο εὐάρεστο σ' αὐτόν, ὅταν τὸν εὐχαριστοῦμε γιὰ ὅλα. «῞Ολα νὰ τὰ κάνετε», λέγει, «χωρὶς γογγυσμοὺς καὶ ἐσωτερικὲς ἀμφιβολίες καὶ ταλαντεύσεις»[1], διότι αὐτὸ τὸ ἔργο ποὺ κάνει κανεὶς γογγύζοντας, κατακομματιάζεται καὶ χάνει τὸν μισθὸ ὁ γογγυστής, ὅπως οἱ Ἰσραηλῖτες· διότι γνωρίζετε πόσο ἐκεῖνοι τιμωρήθηκαν ἐξ αἰτίας τῶν γογγυσμῶν τους. Γι' αὐτὸ λέγει· «νὰ μὴν γογγύζετε». Δὲν εἶναι ἑπομένως, δυνατὸ νὰ λατρεύσετε τὸν Θεό, μὲ τρόπο ποὺ νὰ τὸν εὐαρεστῆ, ἐὰν δὲν τὸν εὐχαριστῆτε γιὰ ὅλα, καὶ γιὰ τοὺς πειρασμοὺς καὶ γιὰ τὶς ἀνέσεις. «Μὲ σεμνότητα καὶ εὐλάβεια»· δηλαδή, ἂς μὴν λέμε τίποτε τὸ ἀπερίσκεπτο, τίποτε τὸ ἀδιάντροπο, ἀλλὰ ἂς ταπεινώνουμε τοὺς ἑαυτούς μας γιὰ νὰ εἴμαστε σεβαστοί· καθόσον αὐτὸ ἐννοεῖ ὅταν λέγη «μὲ σεμνότητα καὶ εὐλάβεια».

«Ἡ φιλαδελφία μενέτω. «Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους». Ὅρα πῶς τὰ παρόντα προστάττει φυλάττειν αὐτούς· καὶ οὐχὶ προστίθησιν ἕτερα· οὐ γὰρ εἶπε, 'γίνεσθε φιλάδελφοι', ἀλλά, «μενέτω ἡ φιλαδελφία».
5 Καὶ πάλιν οὐκ εἶπε, 'φιλόξενοι γένεσθε', ὡς οὐκ οὖσιν, ἀλλά, «τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε»· τοῦτο γὰρ εἰκὸς ἀπὸ τῶν θλίψεων γίνεσθαι. Εἶτα καὶ ἐπάγει ὅπερ ἱκανὸν ἦν μᾶλλον προτρέψαι, λέγων· «ἔλαθόν τινες ξενίσαντες ἀγγέλους». Ὁρᾷς ὅση ἡ τιμή, ὅσον τὸ κέρδος; Τί ἐστιν, «ἔλαθον»; «Οὐκ εἰδότες», φησίν, «ἐξένισαν».
10 Διὰ τοῦτο καὶ μέγας ὁ μισθὸς τῷ Ἀβραὰμ δέδοται, ὅτι μὴ εἰδὼς ἀγγέλους αὐτοὺς ὄντας, ἐξένισεν· ἐπεί, εἰ ᾔδει, οὐδὲν θαυμαστόν. Τινὲς ἐνταῦθα καὶ τὸν Λὼτ αὐτὸν αἰνίττεσθαί φασι, καὶ δι' αὐτὸν εἰρηκέναι αὐτό.

«Μιμνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι, τῶν κακου-
15 χουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν». Ὅρα πόσος περὶ σωφροσύνης ὁ λόγος αὐτῷ. Εἶπεν, «εἰρήνην διώκετε καὶ τὸν ἁγιασμόν»· καὶ πάλιν, «μή τις ἢ πόρνος, ἢ βέβηλος»· νῦν πάλιν φησί,
20 «πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ Θεός». Πανταχοῦ δὲ μετὰ ἐπιτιμίου ἡ ἀπαγόρευσις. Καὶ πῶς, σκόπει ἐντεῦθεν· «εἰρήνην», εἰπών, «διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμόν», ἐπήγαγεν, «οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον»· ἐνταῦθα δέ, «πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός», καὶ πρότερον θεὶς τό, «τίμιος ὁ γάμος ἐν πᾶσι καὶ
25 ἡ κοίτη ἀμίαντος», εἶτα ἐπιτίμιον ἐπαγαγών, δείκνυσιν ὅτι δικαίως τὰ ἑξῆς ἐπήγαγεν. Εἰ γὰρ γάμος συνεχωρήθη, δικαίως ὁ πόρνος κολάζεται, δικαίως ὁ μοιχὸς τιμωρεῖται. Ἐνταῦθα πρὸς τοὺς αἱρετικοὺς ἀποδύεται. Οὐκ εἶπε πάλιν, 'μηδεὶς ἔστω πόρνος', ἀλλ'

«Ἡ ἀγάπη πρὸς τοὺς ἀδελφοὺς ἂς εἶναι μόνιμη καὶ σταθερή. Μὴν ξεχνᾶτε τὴ φιλοξενία· διότι μὲ αὐτὴν ἀξιώθηκαν μερικοί, χωρὶς νὰ τὸ γνωρίζουν, νὰ φιλοξενήσουν ἀγγέλους». Πρόσεχε πῶς τοὺς παραγγέλλει νὰ φυλάττουν τὰ παρόντα· καὶ δὲν προσθέτει ἄλλα· δὲν εἶπε δηλαδή, 'νὰ ἀγαπᾶτε τοὺς ἀδελφούς σας', ἀλλά, «ἂς μένη σταθερὴ ἡ ἀγάπη σας πρὸς τοὺς ἀδελφούς». Καὶ πάλι δὲν εἶπε, 'νὰ εἶσθε φιλόξενοι', σὰν νὰ μὴν ἦταν, ἀλλά, «μὴ ξεχνᾶτε τὴ φιλοξενία»· διότι αὐτὸ εἶναι φυσικὸ νὰ γίνεται ἐξ αἰτίας τῶν θλίψεων. Ἔπειτα προσθέτει καὶ αὐτὸ ποὺ ἦταν περισσότερο ἱκανὸ νὰ τοὺς προτρέψη, λέγοντας· «μερικοὶ ἐξ αἰτίας τῆς φιλοξενίας καὶ χωρὶς νὰ τὸ καταλάβουν φιλοξένησαν ἀγγέλους». Βλέπεις πόσο μεγάλη εἶναι ἡ τιμή, πόσο εἶναι τὸ κέρδος; Τί σημαίνει τὸ «ἔλαθον»; «Χωρὶς νὰ τὸ γνωρίζουν», λέγει, «φιλοξένησαν». Γι' αὐτὸ καὶ ἔχει δοθῆ μεγάλος μισθὸς στὸν Ἀβραάμ, διότι χωρὶς νὰ γνωρίζη ὅτι αὐτοὶ εἶναι ἄγγελοι, τοὺς φιλοξένησε· καθόσον, ἐὰν τὸ γνώριζε, δὲν θὰ ἦταν καθόλου ἄξιο θαυμασμοῦ. Μερικοὶ λένε, ὅτι ἐδῶ ὑπαινίσσεται καὶ τὸν Λὼτ καὶ ὅτι γι' αὐτὸν ἔχει λεχθῆ αὐτό.

«Νὰ θυμᾶσθε τοὺς φυλακισμένους, σὰν νὰ εἶσθε κι' ἐσεῖς μαζί τους δεμένοι μὲ τὶς ἁλυσίδες τῶν φυλακῶν· νὰ θυμᾶσθε τοὺς ταλαιπωρουμένους, διότι κι' ἐσεῖς ἔχετε σῶμα φθαρτό. Ἂς εἶναι ὁ γάμος κατὰ πάντα τίμιος καὶ ἡ κλίνη τοῦ γάμου ἂς φυλάσσεται ἀμόλυντη· διότι τοὺς πόρνους καὶ τοὺς μοιχοὺς θὰ τοὺς κρίνη ὁ Θεός. Ἡ διάθεσίς σας νὰ εἶναι ἀφιλάργυρη, καὶ νὰ ἀρκῆσθε σ' αὐτὰ ποὺ ἔχετε». Πρόσεχε πόσος λόγος γίνεται γιὰ τὴ σωφροσύνη. Εἶπε, «νὰ ἐπιδιώκετε τὴν εἰρήνη μεταξύ σας καὶ τὸν ἁγιασμό»· καὶ πάλι· «ἂς μὴν ὑπάρχη ἀνάμεσά σας κανένας πόρνος ἢ βέβηλος»· τώρα πάλι λέγει, «τοὺς πόρνους καὶ τοὺς μοιχοὺς θὰ τοὺς κρίνη ὁ Θεός». Σὲ ὅλες τὶς περιπτώσεις ἡ ἀπαγόρευσις συνοδεύεται ἀπὸ ἐπιτίμιο. Καὶ πῶς, πρόσεχε ἐδῶ. Ἀφοῦ εἶπε, «νὰ ἐπιδιώκετε τὴν εἰρήνη μὲ ὅλους καὶ τὸν ἁγιασμό», πρόσθεσε, «χωρὶς τὸν ὁποῖο κανεὶς δὲν θὰ δῆ τὸν Κύριο»· καὶ ἐδῶ λέγει, «τοὺς πόρνους καὶ τοὺς μοιχοὺς θὰ τοὺς κρίνη ὁ Θεός», καὶ ἀφοῦ προηγουμένως ἔθεσε τό, «ἂς εἶναι τίμιος ὁ γάμος καθ' ὅλα καὶ ἡ συζυγικὴ κοίτη ἀμόλυντη», ἔπειτα, ἀφοῦ πρόσθεσε τὸ ἐπιτίμιο, δείχνει ὅτι δικαίως πρόσθεσε τὸ παρακάτω. Διότι, ἐὰν ἐπετράπηκε ὁ γάμος, δίκαια ὁ πόρνος κολάζεται, δίκαια ὁ μοιχὸς τιμωρεῖται. Ἐδῶ ἀναφέρεται στοὺς αἱρετικούς. Δὲν εἶπε

ἅπαξ εἰπών, τότε ἐπήγαγεν ὡς κοινὴν παραίνεσιν, καὶ οὐχ ὡς πρὸς αὐτοὺς ἀποτεινόμενος.

«Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν». Οὐκ εἶπεν, ὅτι 'μηδὲν κτήσησθε', ἀλλ', «ἀφιλάργυρος ὁ τρόπος ἔστω»· 5 τουτέστιν, ἐλεύθερος ὁ νοῦς ἔστω, δεικνύτω τὸ φιλόσοφον ἡ γνώμη· δείξει δέ, ἐὰν μὴ ζητῶμεν τὰ περιττά, ἐὰν τῆς χρείας μόνον γενώμεθα. Καὶ γὰρ ἀνωτέρω ἔλεγε, «καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε». Ταῦτα ὥστε μὴ εἶναι φιλαργύρους παραινεῖ. «Ἀρκούμενοι», φησί, «τοῖς παροῦσιν». Εἶτα 10 καὶ ἐνταῦθα ἡ παραμυθία, ὥστε μὴ ἀπαγορεύειν· αὐτὸς γάρ, φησίν, εἴρηκεν, «οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω. Ὥστε θαρροῦντας ἡμᾶς λέγειν, Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.

«Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν». Τοῦτο ἄνωθεν ὤδι-15 νεν εἰπεῖν· διὰ τοῦτο ἔλεγεν, «εἰρήνην διώκετε μετὰ πάντων». Τοῦτο καὶ Θεσσαλονικεῦσι παρῄνει, ὥστε ἔχειν αὐτοὺς ἐν τιμῇ ὑπὲρ ἐκπερισσοῦ. «Μνημνεύετε», φησί, «τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸ λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν». Ποία ἀκολουθία αὕτη; Ἀρί-20 στη μὲν οὖν· λέγει γάρ, «θεωροῦντες αὐτῶν τὴν ἀναστροφήν», τουτέστι, τὸν βίον, μιμεῖσθε τὴν πίστιν· ἀπὸ γὰρ βίου καθαροῦ ἡ πίστις. Ἢ «τὴν πίστιν» τὸ βέβαιον λέγει. Πῶς; Δείκνυσι γὰρ ὅτι πιστεύσαντες βεβαίως τοῖς μέλλουσι, τὴν ἀρίστην πολιτείαν κατώρθωσαν. Οὐ γὰρ ἂν ἐπεδείξαντο βίον καθαρόν, εἴ γε ἠμφισβήτουν 25 περὶ τῶν μελλόντων, εἴ γε ἀμφέβαλλον. Ὥστε καὶ ἐνταῦθα τὸ αὐτὸ θεραπεύει. «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε·

2. Ἑβρ. 10,34.

πάλι, 'ἃς μὴν εἶναι κανεὶς πόρνος', ἀλλά, ἀφοῦ τὸ εἶπε μία φορά, κατόπιν σὰν κοινὴ παρότρυνσι τὸ πρόσθεσε καὶ ὄχι ὡς ἀπευθυνόμενος σ' αὐτούς.

«Ἡ διάθεσίς σας νὰ εἶναι ἀφιλάργυρη καὶ νὰ εἶσθε εὐχαριστημένοι μὲ ὅσα ἔχετε». Δὲν εἶπε, 'νὰ μὴν ἀποκτήσετε τίποτε', ἀλλὰ «ἡ διάθεσίς σας νὰ εἶναι ἀπαλλαγμένη ἀπὸ τὴ φιλαργυρία»· δηλαδή, ὁ νοῦς σας νὰ εἶναι ἐλεύθερος, ἡ διάθεσίς σας νὰ δείχνη πολλὴ φιλοσοφικότητα· καὶ θὰ τὸ δείξη, ἐὰν δὲν ζητοῦμε τὰ περιττά, ἐὰν φροντίζουμε μόνον γι' αὐτὰ ποὺ μᾶς χρειάζονται. Καθόσον καὶ παραπάνω ἔλεγε, «καὶ τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων σας τὴν δεχθήκατε μὲ χαρά»[2]. Αὐτὰ τοὺς συμβουλεύει, γιὰ νὰ μὴν εἶναι φιλάργυροι. «Νὰ ἀρκῆσθε», λέγει «σ' αὐτὰ ποὺ ἔχετε». Ἔπειτα καὶ ἐδῶ τοὺς παρηγορεῖ γιὰ νὰ μὴν ἀπογοητευθοῦν· διότι λέγει, Αὐτὸς ἔχει πῆ, «δὲν θὰ σὲ ἀφήσω ποτέ, οὔτε θὰ σὲ ἐγκαταλείψω. Ὥστε μὲ τὸ θάρρος, ποὺ μᾶς δίνει ἡ ἐμπιστοσύνη στὴν ὑπόσχεσι αὐτὴ τοῦ Θεοῦ, νὰ λέμε· ὁ Κύριος εἶναι βοηθός μου καὶ δὲν θὰ φοβηθῶ· τί θὰ μοῦ κάνη ὁποιοσδήποτε ἄνθρωπος;». Νὰ πάλι στοὺς πειρασμοὺς ἡ παρηγοριά.

«Νὰ θυμᾶσθε πάντοτε τοὺς πνευματικοὺς ἀρχηγούς σας». Αὐτὸ ἀπὸ τὴν ἀρχὴ ἤθελε νὰ δείξη· γι' αὐτὸ ἔλεγε, «ἐπιδιώκετε νὰ ἔχετε εἰρήνη μὲ ὅλους». Αὐτὸ συμβούλευε καὶ τοὺς Θεσσαλονικεῖς, νὰ τοὺς τιμοῦν ὅσο τὸ δυνατὸ περισσότερο. «Νὰ μνημονεύετε», λέγει, «τοὺς προϊσταμένους σας, οἱ ὁποῖοι σᾶς δίδαξαν τὸν λόγο τοῦ Θεοῦ· νὰ ἐξετάζετε μὲ προσοχὴ τὴν ὅλη πορεία τῆς ἐδῶ ζωῆς τους καὶ νὰ μιμῆσθε τὴν πίστι τους». Ποιά σχέσι ἔχει αὐτό; Ἄριστη φυσικά· διότι λέγει, νὰ μελετᾶτε τὴν ὅλη συμπεριφορά τους», δηλαδή, τὴ ζωή τους, καὶ νὰ μιμῆσθε τὴν πίστι τους· διότι ἡ πίστις ἐξαρτᾶται ἀπὸ τὴν ἁγνότητα τῆς ζωῆς. Ἢ μὲ τὴν λέξι «πίστις» ἐννοεῖ τὴ βεβαιότητα. Πῶς; Διότι δείχνει, ἐπειδη πίστεψαν σταθερὰ στὴν ὕπαρξι τῶν μελλοντικῶν ἀγαθῶν, ἔζησαν ἐδῶ ἄριστη ζωή. Δὲν θὰ παρουσίαζαν ζωὴ καθαρή, ἐὰν φυσικὰ ἀμφισβητοῦσαν τὴν ὕπαρξι τῶν μελλοντικῶν ἀγαθῶν, ἐὰν ἀμφέβαλλαν γι' αὐτά. Ὥστε καὶ ἐδῶ τὸ ἴδιο θεραπεύει. «Ὁ Ἰησοῦς Χριστὸς καὶ χθὲς καὶ σήμερα εἶναι ὁ ἴδιος, καὶ θὰ εἶναι ὁ ἴδιος στοὺς αἰῶνες. Μὴ παρασύρεσθε ἀπὸ διδασκαλίες διαφορετικὲς καὶ ξένες· διότι εἶναι καλὸ νὰ στερεώνεται

καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες».

*2. Ἐνταῦθα τὸ «χθές», τὸν παρελθόντα πάντα λέγει χρόνον· τὸ «σήμερον», τὸν ἐνεστῶτα· «ὁ αἰών», τὸ ἄπειρον καὶ λῆξιν οὐκ
5 ἔχον. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἀρχιερέα ἠκούσατε, ἀλλ' οὐκ ἀρχιερέα λήγοντα· ἀεὶ γὰρ ὁ αὐτός ἐστι. Τάχα δὲ ὡς ὄντων τινῶν τῶν λεγόντων, ὅτι οὐκ ἔστιν ὁ σταυρωθεὶς οὗτος ὁ προσδοκώμενος Χριστός, ἀλλ' ἕτερος ἥξει, τὸ χθὲς καὶ σήμερον λέγει, καὶ «ὁ αὐτὸς εἰς τοὺς αἰῶνας»· δηλῶν διὰ τούτου, ὅτι ὁ ἐλθὼν πάλιν ἥξει,
10 καὶ αὐτὸς οὗτος καὶ προῆν, καὶ ἔστι, καὶ ἔσται εἰς τοὺς αἰῶνας. Ἐπεὶ καὶ νῦν Ἰουδαῖοι λέγουσιν, ὅτι ἕτερος ἥξει· οἳ καὶ τοῦ ὄντος ἀποστερήσαντες ἑαυτούς, τῷ Ἀντιχρίστῳ περιπεσοῦνται. «Διδαχαῖς ποικίλαις», φησί, «καὶ ξέναις μὴ παραφέρεσθε». Οὐ μόνον ξέναις, ἀλλ' οὐδὲ ποικίλαις διδαχαῖς βούλεται αὐτοὺς παραφέρεσθαι·
15 οἶδε γὰρ ἐξ ἀμφοτέρων τοῖς παραφερομένοις ὄλεθρον τίκτεσθαι.*

*«Καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες». Ἐνταῦθα ἠρέμα αἰνίττεται τοὺς τὴν παρατήρησιν τῶν βρωμάτων εἰσάγοντας· τῇ γὰρ πίστει πάντα καθαρά· πίστεως οὖν δεῖ, οὐ βρωμάτων. «Ἔχομεν γὰρ
20 θυσιαστήριον, ἐξ οὗ φαγεῖν ἐξουσίαν οὐκ ἔχουσιν οἱ τῇ σκηνῇ λατρεύοντες». Οὐχ οἷα τὰ ἰουδαϊκά, φησί, τοιαῦτα τὰ παρ' ἡμῖν, ὡς μηδὲ ἀρχιερεῖ θέμις εἶναι μετέχειν αὐτῶν. Ὥστε, ἐπειδὴ εἶπε, «μὴ παρατηρεῖτε», ἐδόκει δὲ τοῦτο καταβάλλοντος εἶναι τὰ ἴδια, πάλιν αὐτὸ περιστρέφει. Μὴ γὰρ καὶ ἡμεῖς οὐ παρατηροῦμεν, φησί; Καὶ
25 παρατηροῦμεν καὶ σφοδρότερον οὐδὲ αὐτοῖς τοῖς ἱερεῦσι μεταδιδόντες αὐτῶν. «Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω*

ἡ καρδιά μὲ τὴ χάρι τοῦ Χριστοῦ καὶ ὄχι μὲ τὴ διάκρισι τῶν φαγητῶν, ἀπὸ τὴν ὁποία δὲν ὠφελήθηκαν ὅσοι στηρίχθηκαν σ' αὐτά».

2. Ἐδῶ τὸ «χθές», σημαίνει ὅλο τὸ παρελθόν· τὸ «σήμερα», τὸν παρόντα χρόνο· ὁ «αἰὼν» φανερώνει τὸ ἄπειρο, αὐτὸ ποὺ δὲν ἔχει τέλος. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἀκούσατε ἀρχιερέα, ἀλλὰ ἀρχιερέα ποὺ δὲν ἔχει τέλος· διότι πάντοτε εἶναι ὁ ἴδιος. Καὶ ἴσως ἐπειδὴ ὑπῆρχαν μερικοὶ ποὺ ἔλεγαν, ὅτι δὲν εἶναι αὐτὸς ποὺ σταυρώθηκε ὁ ἀναμενόμενος Χριστός, ἀλλ' ὅτι θὰ ἔλθη ἄλλος, γι' αὐτὸ εἶπε τὸ «χθὲς καὶ σήμερα» καὶ ὅτι «ὁ ἴδιος εἶναι στοὺς αἰῶνες», γιὰ νὰ δηλώση μ' αὐτό, ὅτι αὐτὸς ποὺ ἦλθε πάλι θὰ ἔλθη, καὶ ὅτι αὐτὸς ὁ ἴδιος καὶ προϋπῆρχε, καὶ ὑπάρχει καὶ θὰ ὑπάρχη στοὺς αἰῶνες. Ἀφοῦ καὶ τώρα ὑπάρχουν Ἰουδαῖοι ποὺ λένε, ὅτι ἄλλος θὰ ἔρθη· αὐτοὶ ἀφοῦ στέρησαν τοὺς ἑαυτούς τους ἀπὸ τὸν Θεὸ ποὺ ἦρθε, θὰ περιπέσουν στὸν Ἀντίχριστο. «Μὴ παρασύρεσθε», λέγει, «ἀπὸ διδασκαλίες διαφορετικὲς καὶ ξένες πρὸς τὴν ἀληθινὴ διδασκαλία»· ὄχι μόνο ἀπὸ ξένες, ἀλλ' οὔτε ἀπὸ διαφορετικὲς διδασκαλίες θέλει νὰ παρασύρωνται· διότι γνωρίζει ὅτι καὶ ἀπὸ τὶς δύο ὁδηγοῦνται στὴν καταστροφή, ὅσοι παρασύρονται ἀπὸ αὐτές.

«Εἶναι καλὸ νὰ στερεώνεται ἡ καρδιὰ μὲ τὴ χάρι τοῦ Χριστοῦ καὶ ὄχι μὲ τὴ διάκρισι τῶν φαγητῶν, ἀπὸ τὴν ὁποία δὲν ὠφελήθηκαν ὅσοι στηρίχθηκαν σ' αὐτά». Ἐδῶ ἤρεμα ὑπαινίσσεται αὐτοὺς ποὺ εἰσήγαγαν τὴ διάκρισι τῶν φαγητῶν· διότι γιὰ τοὺς πιστοὺς ὅλα εἶναι καθαρά· ἔχουμε λοιπὸν ἀνάγκη ἀπὸ πίστι καὶ ὄχι ἀπὸ φαγητά. «Διότι ἔχουμε ἐμεῖς θυσιαστήριο, ἀπὸ τὸ ὁποῖο δὲν ἔχουν δικαίωμα νὰ φᾶνε οὔτε αὐτοὶ ποὺ λατρεύουν τὸν Θεὸ στὴν σκηνὴ τοῦ μαρτυρίου». Τὰ δικά μας δὲν εἶναι τέτοια, ὅπως τὰ ἰουδαϊκά, λέγει, ὥστε νὰ μὴν ἐπιτρέπεται οὔτε στὸν ἀρχιερέα νὰ μετέχη σ' αὐτά. Λοιπόν, ἐπειδὴ εἶπε, «μὴν κάνετε διακρίσεις στὶς τροφές», καὶ φαινόταν μὲ αὐτὸ ὅτι καταργεῖ τὰ τῆς πίστεώς του, πάλι περιστρέφεται γύρω ἀπὸ τὸ ἴδιο θέμα. Μήπως καὶ ἐμεῖς, λέγει, δὲν κάνουμε διακρίσεις; Καὶ διακρίσεις κάνουμε, καὶ σὲ μεγαλύτερο βαθμό, καὶ οὔτε στοὺς ἴδιους τοὺς ἱερεῖς ἐπιτρέπουμε νὰ μεταδώσουν ἕνα μέρος ἀπὸ αὐτά. Διότι τὰ σώματα τῶν ζώων ἐκείνων, τῶν ὁποίων τὸ αἷμα ἔφερνε ὁ ἀρχιερεὺς κατὰ τὴν ἡμέρα τοῦ ἐξιλασμοῦ μέσα στὰ Ἅγια τῶν ἁγίων, ὡς θυσία γιὰ τὶς ἁμαρτίες, δὲν τρώγονταν ἀπὸ τοὺς ἱερεῖς, ἀλλὰ καίγονταν ὁλόκληρα ἔξω ἀπὸ τὸ στρατόπεδο τοῦ

τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης», φησίν, «ἔπαθεν». Εἶδες τὸν τύπον λάμποντα; «Ἔξω», φησίν, «τῆς παρεμβολῆς», καί, «ἔξω τῆς πύλης».

Ἐπεὶ οὖν τὰ προσφερόμενα περὶ ἁμαρτίας τύπος τις ἦσαν,
5 *καὶ ἔξω τῆς παρεμβολῆς ὡλοκαυτοῦντο, καὶ ὁ ὑπὲρ ἁμαρτιῶν ἡμῶν προσαχθεὶς Ἰησοῦς εἰκότως ἔξω τῆς πύλης πάσχει. Οὐκοῦν καὶ ἡμᾶς τὸν ὑπὲρ ἡμῶν παθόντα μιμεῖσθαι χρή, καὶ ἔξω τοῦ κόσμου γίνεσθαι, μᾶλλον δὲ τῶν τοῦ κόσμου πραγμάτων. Διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε· «τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς*
10 *παρεμβολῆς, φέροντες τὸν ὀνειδισμὸν αὐτοῦ»· τουτέστι, τὰ αὐτὰ πάσχοντες, κοινωνοῦντες αὐτῷ ἐν τοῖς παθήμασιν. Ὡς κατάδικος ἐσταυρώθη ἔξω· μὴ τοίνυν μηδὲ ἡμεῖς αἰσχυνώμεθα ἐξιέναι ἔξω τοῦ κόσμου· τοῦτο γὰρ ᾐνίξατο τῷ εἰπεῖν, «ἔξω τῆς παρεμβολῆς», καί, «ἔξω τῆς πύλης». «Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν», φησί, «πό-*
15 *λιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν.*

Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ· τουτέστι, καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ». «Δι' αὐτοῦ», εἶπεν, ὡς δι' ἀρχιερέως, τὸ κατὰ σάρκα. «Ὁμολογούντων», φησί, «τῷ ὀνόματι αὐτοῦ». Ὡσανεὶ ἔλεγεν, Εἰ ὁμολο-
20 *γεῖν αὐτῷ δεῖ, μηδὲν βλάσφημον, μηδὲν ἰταμόν, μηδὲν θρασύ, μηδὲν τολμηρόν, μηδὲν ἀπονενοημένον φθεγγώμεθα, ἀλλὰ μετὰ αἰδοῦς καὶ εὐλαβείας πάντα ποιῶμεν καὶ λέγωμεν. Ταῦτα λέγει οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ οἶδεν αὐτοὺς θλιβομένους· ψυχὴ δὲ ἐν ταῖς θλίψεσιν ἀπογινώσκει καὶ ἀπαναισχυντεῖ. Ἀλλὰ μὴ ἡμεῖς, φησίν. Ἰδοὺ*
25 *πάλιν τὸ αὐτὸ εἶπεν, ὅπερ ἀνωτέρω ἔλεγε· «μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν». Οὕτω δυνησόμεθα μετὰ αἰδοῦς πάντα ποιεῖν· πολλάκις γὰρ καὶ ἀνθρώπους αἰσχυνόμενοι, πολλὰ οὐ πράττομεν τῶν πονηρῶν. «Τῆς δὲ εὐποιίας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε».*

30 *3. Ταῦτα τότε μὲν ὁ Παῦλος ἔλεγε, νῦν δὲ ἐγὼ λέγω· οὐχὶ*

3. Ἑβρ. 10,25.

Ἰσραηλιτικοῦ λαοῦ· γι' αὐτὸ καὶ ὁ Ἰησοῦς, γιὰ νὰ ἁγιάση μὲ τὸ ἴδιο του τὸ αἷμα τὸν λαό, «ἔπαθε ἔξω ἀπὸ τὴν πύλη τῆς πόλεως», λέγει. Εἶδες πῶς λάμπει ὁ τύπος; «Ἔξω», λέγει, «ἀπὸ τὸ στρατόπεδο», καί, «ἔξω ἀπὸ τὴν πύλη».

Ἐπειδὴ λοιπὸν τὰ προσφερόμενα ζῶα γιὰ τὴν ἐξιλέωσι τῆς ἁμαρτίας ἦταν κάποιος τύπος, καὶ καίγονταν ὁλόκληρα ἔξω ἀπὸ τὸ στρατόπεδο, εὔλογα καὶ ὁ Ἰησοῦς ποὺ θυσιάσθηκε γιὰ τὴν ἐξιλέωσι τῶν ἁμαρτιῶν μας θυσιάσθηκε ἔξω ἀπὸ τὴν πύλη. Λοιπὸν καὶ ἐμεῖς πρέπει νὰ μιμηθοῦμε αὐτὸν ποὺ θυσιάσθηκε γιὰ χάρι μας, καὶ νὰ ζήσουμε ἔξω ἀπὸ τὸν κόσμο, ἢ καλύτερα ν' ἀπομακρυνθοῦμε ἀπὸ τὰ πράγματα τοῦ κόσμου. Γι' αὐτὸ γιὰ νὰ τὸ δηλώση καὶ αὐτό, πρόσθεσε· «λοιπόν, ἂς βγαίνουμε ἔξω ἀπὸ τὸ στρατόπεδο, ὑπομένοντας τὸν ὀνειδισμό του»· δηλαδή, νὰ παθαίνουμε τὰ ἴδια καὶ νὰ γινώμαστε μέτοχοι τῶν παθημάτων του. Σὰν κατάδικος σταυρώθηκε ὁ Κύριος ἔξω ἀπὸ τὴν πόλι· ἂς μὴ ντρεπώμαστε λοιπὸν κι' ἐμεῖς νὰ βγοῦμε ἔξω ἀπὸ τὸν κόσμο· διότι αὐτὸ ὑπαινίχθηκε μὲ τὸ νὰ πῆ, «ἔξω ἀπὸ τὸ στρατόπεδο», καὶ «ἔξω ἀπὸ τὴν πύλη». «Διότι δὲν ἔχουμε ἐδῶ μόνιμη πατρίδα καὶ πόλι», λέγει, «ἀλλὰ μὲ πόθο πολὺ ζητοῦμε τὴν μέλλουσα.

Ἂς προσφέρουμε λοιπὸν μέσω αὐτοῦ πάντοτε θυσία αἰνέσεως καὶ δοξολογίας στὸν Θεό· δηλαδή, τὸν καρπὸ τῶν χειλέων μας ποὺ ὁμολογοῦν τὸ ὄνομά του». «Μέσω αὐτοῦ» εἶπε, ὡς δι' ἀρχιερέως, ἐν σχέσει πρὸς τὴν ἀνθρώπινη φύσι του. «Ποὺ δοξολογοῦν», λέγει, «τὸ ὄνομά του». Σὰν νὰ ἔλεγε· ἐὰν πρέπει νὰ τὸν δοξολογοῦμε, ἂς μὴ βλασφημοῦμε, ἂς μὴ λέμε τίποτε τὸ ἀπερίσκεπτο, τίποτε τὸ θρασύ, τίποτε τὸ τολμηρό, τίποτε τὸ ἀπεγνωσμένο, ἀλλὰ μὲ σεβασμὸ καὶ εὐλάβεια ἂς λέμε καὶ ἂς κάμνουμε τὰ πάντα. Αὐτὰ τὰ εἶπε ὄχι τυχαῖα, ἀλλ' ἐπειδὴ εἶδε ὅτι εἶναι στενοχωρημένοι· καὶ ἡ ψυχὴ ὅταν θλίβεται ἀπογοητεύεται καὶ ἀποθρασύνεται. Ἐμεῖς ὅμως ἂς μὴν κάνουμε τὸ ἴδιο, λέγει. Νά, πάλι τὸ ἴδιο εἶπε, αὐτὸ ποὺ ἀνέφερε καὶ προηγουμένως· «νὰ μὴ παραμελῆτε τὴ συνάντησί σας στὸν ἴδιο χῶρο»[3]. Ἔτσι θὰ μπορέσουμε ὅλα νὰ τὰ κάνουμε μὲ σεβασμό· διότι πολλὲς φορὲς μὲ τὸ νὰ σεβώμαστε τοὺς ἀνθρώπους, ἀποφεύγουμε πολλὰ ἀπὸ τὰ πονηρὰ ἔργα. «Νὰ μὴ λησμονῆτε τὴν ἀγαθοεργία καὶ τὴ διάθεσι αὐτῶν ποὺ ἔχετε σὲ ἄλλους».

3. Αὐτὰ τὰ ἔλεγε τότε ὁ Παῦλος, τώρα ὅμως σᾶς τὰ λέγω ἐγώ·

πρὸς τοὺς παρόντας μόνον ἀδελφοὺς δὲ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ πρὸς τοὺς ἀπόντας. Οὐδεὶς τὰ ὑπάρχοντα ὑμῶν ἥρπασεν· εἰ δέ τινες καὶ ἡρπάκασιν, ἐκ τῶν ἐνόντων τὴν φιλοξενίαν ἐπιδείκνυσθε. Τίνα γὰρ ἕξομεν ἡμεῖς ἀπολογίαν λοιπόν, τούτων καὶ μετὰ τὴν ἁρ- 5 *παγὴν τῶν ὑπαρχόντων ταῦτα ἀκουόντων; Καὶ ὅρα, ἐνταῦθα λέγει, «τῆς εὐποιΐας μὴ ἐπιλανθάνεσθε», εἰπὼν ἀνωτέρω, «τῆς φιλοξενίας»· οὐκ ἄλλο καὶ ἄλλο δηλῶν, ἀλλὰ τὸ αὐτὸ δι' ἑτέρας λέξεως. Καὶ οὐκ εἶπε, 'τῆς ξενοδοχίας μὴ ἐπιλανθάνεσθε', ἀλλά, «τῆς φιλοξενίας»· τουτέστι, μὴ ἁπλῶς ξενοδοχεῖτε, ἀλλὰ μετὰ τοῦ φιλεῖν* 10 *τοὺς ξένους. Καὶ οὐκ εἶπε τὴν μέλλουσαν καὶ ἀποκειμένην ἀμοιβήν, ἵνα μὴ πάλιν αὐτοὺς ὑπτιωτέρους ἐργάσηται, ἀλλὰ τὴν ἤδη δοθεῖσαν· ἐπήγαγε γάρ, «δι' αὐτῆς ἔλαθόν τινες ξενίσαντες ἀγγέλους». Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.*

«Τίμιος ὁ γάμος», φησίν, «ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος». 15 *Πῶς τίμιος ὁ γάμος; Ὅτι ἐν σωφροσύνῃ, φησί, διατηρεῖ τὸν πιστόν. Ἐνταῦθα καὶ Ἰουδαίους αἰνίττεται, ὅτι βδελυρὰν ἡγοῦντο τὴν κοίτην· «καὶ ὃς ἂν ᾖ», φησίν, «ἀπὸ κοίτης, οὐκ ἔστι καθαρός». Οὐκ ἔστι βδελυρὰ ἀπὸ φύσεως, ὦ ἄγνωμον καὶ ἀναίσθητε Ἰουδαῖε, ἀλλὰ τὰ ἀπὸ προαιρέσεως· εἰ γὰρ τίμιος ὁ γάμος καὶ καθα-* 20 *ρός, τί δήποτε καὶ ἐξ αὐτοῦ μιαίνεσθαι νομίζεις; «Ἀφιλάργυρος», φησίν, «ὁ τρόπος». Ἐπειδὴ πολλοὶ μετὰ τὸ κενῶσαι τὰ ὑπάρχοντα, ὕστερον βούλονται προσχήματι ἐλεημοσύνης ἀνακτᾶσθαι πάλιν αὐτά, διὰ τοῦτό φησιν, «ἀφιλάργυρος ὁ τρόπος»· τουτέστιν, ἵνα τῆς χρείας ὦμεν καὶ τῶν ἀναγκαίων. Τί οὖν, ἂν μηδὲ τούτων, φησίν,* 25 *εὐπορῶμεν; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· αὐτὸς γὰρ εἶπε καὶ οὐ ψεύδεται, ὅτι «οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω. Ὥστε θαρροῦντας ἡμᾶς λέγειν· Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος». Ὡσεὶ ἔλεγε, τὴν ὑπόσχεσιν ἔχεις παρ' αὐτοῦ, μὴ ἀμφίβαλλε λοιπόν· αὐτὸς ἐπηγγείλατο, μὴ ἀμφισβήτει. Τό* 30 *δέ, «οὐ μή σε ἀνῶ», οὐ περὶ χρημάτων μόνον φησίν, ἀλλὰ καὶ περὶ τῶν ἄλλων ἁπάντων λέγει.*

4. Ψαλ. 117, 6.

καὶ δὲν τὰ λέγω αὐτὰ μόνο στοὺς ἀδελφοὺς ποὺ εἶναι παρόντες, ἀλλὰ καὶ πρὸς τοὺς ἀπόντες. Κανεὶς δὲν ἅρπαξε τὰ ὑπάρχοντά σας· ἀλλὰ καὶ ἐὰν σᾶς τὰ ἔχουν ἁρπάξει κάποιοι, ἀπὸ αὐτὰ ποὺ ἔχετε νὰ φιλοξενῆτε. Ποιά λοιπὸν ἀπολογία θὰ ἔχουμε ἐμεῖς, ὅταν αὐτοὶ καὶ μετὰ τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων τους αὐτὰ τὰ λόγια ἀκοῦν; Καὶ πρόσεχε, ἐδῶ λέγει, «μὴ λησμονῆτε τὴν ἀγαθοεργία», ἐνῶ προηγουμένως εἶπε, «τὴ φιλοξενία»· δὲν σημαίνει ἄλλο τὸ ἕνα καὶ ἄλλο τὸ ἄλλο, ἀλλὰ τὸ ἴδιο πρᾶγμα τὸ λέγει μὲ ἄλλη λέξι. Καὶ δὲν εἶπε, 'μὴ λησμονῆτε νὰ δέχεσθε τοὺς ξένους', ἀλλὰ «μὴ ξεχνᾶτε τὴ φιλοξενία»· δηλαδή, μὴν ὑποδέχεσθε ἁπλῶς τοὺς ξένους, ἀλλὰ νὰ ἀγαπᾶτε τοὺς ξένους. Καὶ δὲν ἀναφέρθηκε στὴν μελλοντικὴ ἀμοιβὴ ποὺ βρίσκεται μακριά, γιὰ νὰ μὴν τοὺς κάνη νωθρότερους, ἀλλὰ σ' αὐτὴν ποὺ ἤδη δόθηκε· διότι πρόσθεσε, «μὲ αὐτὴν μερικοὶ χωρὶς νὰ τὸ γνωρίζουν φιλοξένησαν ἀγγέλους». Ἀλλὰ ἂς δοῦμε ἀπὸ τὴν ἀρχὴ αὐτὰ ποὺ λέχθηκαν.

«Ἂς εἶναι», λέγει, «καθ' ὅλα τίμιος ὁ γάμος καὶ ἡ συζυγικὴ κλίνη ἂς φυλλάσσεται ἀμόλυντη». Πῶς εἶναι τίμιος ὁ γάμος; Διότι φυλλάσσει τὸν πιστὸ μέσα στὴν ἐγκράτεια. Ἐδῶ ὑπαινίσσεται καὶ τοὺς Ἰουδαίους, οἱ ὁποῖοι θεωροῦσαν βδελυρὴ τὴ συζυγικὴ κλίνη». Δὲν εἶναι βδελυρὰ ὅσα ἐκ φύσεως ὑπάρχουν, ἀνόητε καὶ ἀναίσθητε Ἰουδαῖε, ἀλλὰ αὐτὰ ποὺ ἐξαρτῶνται ἀπὸ τὴν προαίρεσι τοῦ ἀνθρώπου· διότι, ἐὰν ὁ γάμος εἶναι τίμιος καὶ καθαρός, γιατί λοιπὸν νομίζεις ὅτι μολύνεσαι ἀπ' αὐτόν; «Ἡ διάθεσίς σας νὰ εἶναι ἀφιλάργυρη», λέγει. Ἐπειδὴ πολλοὶ μετὰ τὴ διάθεσι τῶν ὑπαρχόντων τους, θέλουν ἀργότερα μὲ τὸ πρόσχημα τῆς ἐλεημοσύνης πάλι νὰ τ' ἀποκτήσουν, γι' αὐτὸ λέγει, «νὰ εἶναι ἡ διάθεσις τῆς ψυχῆς σας ἀπαλλαγμένη ἀπὸ τὴ φιλαργυρία»· δηλαδή, νὰ ἔχουμε τὰ ἀναγκαῖα καὶ τὰ ἀπαραίτητα. Τί λοιπόν, λέγει, ἂν δὲν ἔχουμε οὔτε τὰ ἀπαραίτητα; Δὲν εἶναι δυνατὸ αὐτό, δὲν εἶναι δυνατό· διότι ὁ ἴδιος ὁ Κύριος εἶπε καὶ δὲν ψεύδεται· «δὲν θὰ σὲ ἀφήσω, οὔτε θὰ σὲ ἐγκαταλείψω. Ὥστε μὲ τὸ θάρρος ποὺ μᾶς δίνει ἡ πεποίθησις στὴν ὑπόσχεσι αὐτὴ τοῦ Θεοῦ νὰ λέμε· ὁ Κύριος εἶναι βοηθός μου καὶ δὲν θὰ φοβηθῶ· τί θὰ μοῦ κάνη ὁ ἄνθρωπος;»[4]. Σὰν νὰ ἔλεγε· ἔχεις τὴν ὑπόσχεσι τοῦ Θεοῦ, μὴν ἀμφιβάλλης λοιπόν· αὐτὸς τὸ ἔχει ὑποσχεθῆ, μὴν τὸ ἀμφισβητῆς. Καὶ τὸ «δὲν θὰ σὲ ἀφήσω», δὲν τὸ λέγει μόνο γιὰ τὰ χρήματα, ἀλλὰ καὶ γιὰ ὅλα τὰ ἄλλα.

«Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος». Εἰκότως τὸ τοῦ πρφήτου ἐπήγαγεν, ἐπισφραγίζων τούτῳ τὸν λόγον, καὶ προθυμοτέρους μᾶλλον ποιῶν, ὥστε μὴ ἀπαγορεύειν. Τοῦτο τοίνυν καὶ ἡμεῖς ἐν πᾶσι λέγωμεν τοῖς πειρασμοῖς,
5 *καὶ καταγελῶμεν τῶν ἀνθρωπίνων πραγμάτων· ἕως ἂν ἔχωμεν τὸν Θεὸν ἡμῖν εὐμενῆ, οὐδεὶς ἡμῶν περιέσται. Ὥσπερ γὰρ ἐκείνου ἐχθροῦ ὄντος, κἂν ἅπαντες ἡμᾶς πολεμῶσιν, οὐδεμία βλάβη. Διὰ τοῦτο ἔλεγεν, «οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος».*

«Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν
10 *τὸν λόγον τοῦ Θεοῦ». Ἐνταῦθα καὶ περὶ ἐπικουρίας αὐτὸν οἶμαι λέγειν· τοῦτο γάρ ἐστι τό, «οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν». Τί ἐστιν, «ἀναθεωροῦντες»; Συνεχῶς στρέφοντες, παρ' ἑαυτοῖς ἐξετάζοντες, λογιζόμενοι, ζητοῦντες ἀκριβῶς, ὡς*
15 *βούλεσθε βασανίζοντες. Καλῶς εἶπε, «τὴν ἔκβασιν τῆς ἀναστροφῆς»· τουτέστι, τὴν μέχρι τέλους πολιτείαν· ὅτι τέλος ἔσχε χρηστὸν αὐτῶν ἡ ἀναστροφή. «Ἰησοῦς», φησί, «Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας». Ὃ λέγει, τοῦτό ἐστι· Μὴ νομίσητε ὅτι τότε ἐθαυματούργησε, νῦν δὲ οὐ θαυματουργεῖ· ὁ αὐτός ἐστι,*
20 *καὶ ἐπεὶ ὁ αὐτός ἐστιν, οὐκ ἔστιν ὅτε μὴ δύναται τὰ αὐτὰ ἐνεργεῖν. Τάχα πρὸς τοῦτο ἀφορῶν εἶπε, «μνημονεύετε τῶν ἡγουμένων ὑμῶν».*

«Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε». «Ξέναις», τουτέστι, παρ' ἃς ἠκούσατε παρ' ἡμῶν· «ποικίλαις», παντοδαπαῖς·
25 *αἱ τοιαῦται γὰρ οὐδὲν βέβαιον ἔχουσιν, ἀλλ' εἰσὶ διάφοροι, μάλιστα δὲ τὸ τῶν βρωμάτων διάφορον· διὸ καὶ πρὸς τοῦτο ἱστάμενος ἐπάγει, «καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν». Αἱ ποικίλαι αὗται, αἱ ξέναι αὗται. Ἐνταῦθα εἰς παρατήρησιν βρωμά-*

«Ὁ Κύριος εἶναι βοηθός μου καὶ δὲν θὰ φοβηθῶ· τί θὰ μὲ κάνη ὁ ἄνθρωπος;». Εὔλογα πρόσθεσε τὸ προφητικὸ χωρίο γιὰ νὰ ἐπιβεβαιώση μ' αὐτὸ τὸν λόγο του, καὶ νὰ τοὺς κάνη περισσότερο προθυμότερους, ὥστε νὰ μὴ καταβληθοῦν. Αὐτὸ λοιπὸν κι' ἐμεῖς ἂς τὸ λέμε σ' ὅλους τοὺς πειρασμοὺς καὶ ἂς περιφρονοῦμε τὰ ἀνθρώπινα πράγματα· ὅσο ὁ Θεὸς εἶναι εὐμενὴς ἀπέναντί μας, κανεὶς δὲν θὰ μᾶς καταβάλλη. Πράγματι, ὅπως ἀκριβῶς ὅταν ἐκεῖνος εἶναι ἐχθρός μας, κι' ἂν ὅλοι οἱ ἄλλοι εἶναι φίλοι μας, δὲν ἔχουμε κανένα κέρδος, ἔτσι ὅταν αὐτὸς εἶναι φίλος μας, κι' ἂν ὅλοι οἱ ἄλλοι μᾶς πολεμοῦν, δὲν μποροῦν νὰ μᾶς βλάψουν. Γι' αὐτὸ ἔλεγε, «δὲν θὰ φοβηθῶ· τί θὰ μοῦ κάνη ὁ ἄνθρωπος».

«Νὰ θυμᾶσθε τοὺς πνευματικοὺς ἀρχηγούς σας, οἱ ὁποῖοι σᾶς δίδαξαν τὸν λόγο τοῦ Θεοῦ». Ἐδῶ νομίζω ὅτι αὐτὸ τὸ λέγει καὶ γιὰ βοήθεια αὐτῶν· διότι αὐτὸ σημαίνει τό, «οἱ ὁποῖοι σᾶς δίδαξαν τὸν λόγο τοῦ Θεοῦ». «Ὅλων αὐτῶν νὰ μελετᾶτε τὴν ὅλη ἔκβασι τῆς ζωῆς τους καὶ νὰ μιμῆσθε τὴν πίστι τους». Τί σημαίνει τὸ «ἀναθεωροῦντες»; Συνεχῶς νὰ στρέφετε τὴ σκέψι σας σ' αὐτούς, νὰ τοὺς ἐξετάζετε μέσα σας, νὰ τοὺς σκέπτεσθε, νὰ τοὺς μελετᾶτε μὲ προσοχή, ἐξετάζοντας τὴ γνησιότητα αὐτῶν. Καλὰ εἶπε, «τὴν ἔκβασι τῆς ἀναστροφῆς»· δηλαδή, νὰ μελετᾶτε τὴν μέχρι τέλους τῆς ζωῆς τους συμπεριφορά τους· διότι ἡ ἐνάρετη συμπεριφορά τους εἶχε τέλος ὠφέλιμο. «Ὁ Ἰησοῦς Χριστός», λέγει «ἦταν χθές, εἶναι καὶ σήμερα ὁ ἴδιος καὶ θὰ εἶναι ὁ ἴδιος καὶ στοὺς αἰῶνες». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Μὴ νομίσετε ὅτι τότε θαυματούργησε, ἐνῶ τώρα δὲν θαυματουργεῖ· ὁ ἴδιος εἶναι, καὶ ἀφοῦ εἶναι ὁ ἴδιος, δὲν εἶναι δυνατὸ νὰ μὴν μπορῇ νὰ κάνη τὰ ἴδια θαύματα. Ἴσως σ' αὐτὸ ἀποβλέποντας εἶπε, «νὰ θυμᾶσθε τοὺς πνευματικούς σας ἀρχηγούς».

«Μὴν παρασύρεσθε ἀπὸ διδασκαλίες διαφορετικὲς καὶ ξένες». «Ξένες», δηλαδή, διαφορετικὲς ἀπὸ αὐτὲς ποὺ ἀκούσατε ἀπὸ μᾶς· διδασκαλίες διάφορες καὶ παντὸς εἴδους· διότι αὐτοῦ τοῦ εἴδους οἱ διδασκαλίες δὲν ἔχουν τίποτε τὸ σταθερό, ἀλλ' εἶναι ἀντίθετες πρὸς τὴν ἀληθινὴ διδασκαλία, μάλιστα ἡ διδασκαλία γιὰ τὴ διάκρισι τῶν τροφῶν· γι' αὐτὸ καὶ στεκόμενος στὸ θέμα αὐτό, προσθέτει· «εἶναι καλὸ νὰ στερεώνεται ἡ καρδιὰ μὲ τὴ χάρι τοῦ Χριστοῦ καὶ ὄχι μὲ τὴ διάκρισι τῶν φαγητῶν». Οἱ ποικίλες αὐτὲς

των αὐτοὺς κωμῳδεῖ· δείκνυσι γὰρ ὅτι ἀπὸ τῆς τῶν βρωμάτων παρατηρήσεως εἰς τὸ ἑτεροδιδασκαλεῖν ἐξέπεσον, καὶ ἀπὸ τούτων πρὸς τὰς ποικίλας καὶ ξένας διδαχὰς ἐξηνέχθησαν. Καὶ ὅρα αὐτὸν οὐ τολμῶντα φανερῶς εἰπεῖν τοῦτο, ἀλλ' ὡς ἐν αἰνίγματι· τῷ 5 γὰρ εἰπεῖν, «ποικίλαις καὶ ξέναις διδαχαῖς μὴ παραφέρεσθε», καί, «καλὸν χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασι», μονονουχὶ τὸ τοῦ Χριστοῦ λέγει, ἐν οἷς ἔλεγεν· «οὐ τὸ εἰσερχόμενον κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐξερχόμενον». Καὶ δείκνυσιν ὅτι τὸ πᾶν πίστις ἐστίν· ἂν αὕτη βεβαιώσῃ, ἡ καρδία ἐν ἀσφαλείᾳ ἕστηκεν. Ἄρα πί-10 στις βεβαιοῖ· οὐκοῦν λογισμοὶ σαλεύουσιν· ἐναντίον γὰρ ἡ πίστις λογισμῷ.

«Ἐν οἷς οὐκ ὠφελήθησαν», φησίν, «οἱ περιπατήσαντες». Τί γὰρ τὸ κέρδος, φησίν, ἀπὸ τῆς παρατηρήσεως, εἰπέ μοι; Οὐχὶ ἀπόλλυσι μᾶλλον; οὐχὶ ὑπὸ ἁμαρτίαν ἐργάζεται τὸν τοιοῦτον; Εἰ δεῖ 15 παρατηρεῖν, ἔστι παρατηρεῖσθαι ὅθεν ὠφέλεια τοῖς παρατηροῦσιν ἔσται. Καλὴ παρατήρησις κακίας ἀποφυγή, καρδίας εὐθύτης, εὐσέβεια εἰς Θεόν, πίστις ὀρθή. «Ἐν οἷς», φησίν, «οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες»· τουτέστιν, οἱ διαπαντὸς φυλάξαντες αὐτά. Μία ἐστὶ παρατήρησις τὸ ἁμαρτίας ἀπέχεσθαι. Τί γὰρ ὄφελος, ὅπου γε 20 οὕτως εἰσί τινες μιαροί, ὡς μὴ δύνασθαι μετέχειν τῶν θυσιῶν; Ὥστε οὐδὲν αὐτοὺς ἔσωζε, καίτοι σπουδὴν ἐποιοῦντο περὶ τὰς παρατηρήσεις, ἀλλ' ἐπειδὴ πίστιν οὐκ εἶχον, οὐδὲν ὠφελήθησαν οὐδὲ οὕτως.

Εἶτα ἀναιρεῖ ἀπὸ τοῦ τύπου τὴν θυσίαν, καὶ ἐπὶ τὸ πρωτότυ-25 πον ἄγει τὸν λόγον, λέγων ὅτι «ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθεν». Ἄρα τύπος ἐκεῖνα τούτων ἦν, καὶ οὕτω τὰ πάντα ἐπλήρωσεν ὁ Χριστὸς ἔξω παθών. Ἐνταῦθα

5. Ματθ. 15,11.

καὶ ξένες διδασκαλίες. Ἐδῶ τοὺς διακωμωδεῖ, ἐπειδὴ ἀσχολοῦνται μὲ τὴ διάκρισι τῶν φαγητῶν· διότι δείχνει ὅτι ἐξ αἰτίας τῆς διακρίσεως τῶν τροφῶν ἔφθασαν νὰ διδάσκουν ἄλλα, καὶ ἀπὸ αὐτὰ προχώρησαν σὲ διαφορετικὲς καὶ ξένες διδασκαλίες. Καὶ πρόσεχε ὅτι δὲν τολμᾶ νὰ τὸ πῆ αὐτὸ φανερά, ἀλλὰ τὸ λέγει μὲ τρόπο αἰνιγματικό· διότι μ' αὐτὸ ποὺ εἶπε, «μὴ παρασύρεσθε ἀπὸ διδασκαλίες διαφορετικὲς καὶ ξένες», καὶ «εἶναι καλὸ νὰ στερεώνεται ἡ καρδιὰ μὲ τὴ χάρι τοῦ Χριστοῦ καὶ ὄχι μὲ τὴ διάκρισι τῶν φαγητῶν»· σχεδὸν λέγει αὐτὸ ποὺ εἶπε ὁ Χριστὸς μὲ ἐκεῖνα ποὺ ἔλεγε· «δὲν μολύνει τὸν ἄνθρωπο ἐκεῖνο ποὺ εἰσέρχεται ἀπὸ τὸ στόμα, ἀλλ' ἐκεῖνο ποὺ βγαίνει ἀπὸ τὸ στόμα»[5]. Καὶ δείχνει ὅτι ἡ πίστις εἶναι τὸ πᾶν· ἂν αὐτὴ τὸ βεβαιώση, ἡ καρδιὰ μένει σταθερή. Ἄρα ἡ πίστις δίνει τὴ διαβεβαίωσι, καὶ ἑπομένως οἱ λογισμοὶ κλονίζουν· διότι ἡ πίστις ἐναντιώνεται στὸν λογισμό.

«Ἀπὸ τὴ διάκρισι αὐτὴ τῶν φαγητῶν δὲν ὠφελήθηκαν ὅσοι βασίσθηκαν σ' αὐτήν». Διότι πές μου, λέγει, ποιό εἶναι τὸ κέρδος ἀπὸ τὴ διάκρισι τῶν φαγητῶν; δὲν καταστρέφει μᾶλλον; δὲν κάνει τὸν ἄνθρωπο ν' ἁμαρτάνη; Ἐὰν πρέπει νὰ νὰ κάνετε διάκρισι, μπορεῖτε νὰ κάνετε τὴ διάκρισι ἐκείνη ἀπὸ τὴν ὁποία προκύπτει ὠφέλεια σ' ἐκείνους ποὺ κάνουν τὴ διάκρισι. Καλὴ διάκρισις εἶναι ἡ ἀποφυγὴ τῆς κακίας, ἡ δικαιοσύνη τῆς καρδιᾶς, ἡ εὐσέβεια πρὸς τὸν Θεό, ἡ ὀρθὴ πίστις. «Ἀπὸ τὴ διάκρισι αὐτὴ τῶν φαγητῶν, δὲν ὠφελήθηκαν ὅσοι βασίσθηκαν σ' αὐτήν»· δηλαδή, ὅσοι τὰ τήρησαν γιὰ πάντα. Μία διάκρισις ὑπάρχει, τὸ νὰ ἀπέχη κανεὶς ἀπὸ τὴν ἁμαρτία. Διότι ποιό εἶναι τὸ ὄφελος, τὴ στιγμὴ ποὺ ὑπάρχουν μερικοὶ ποὺ εἶναι τόσο ἀκάθαρτοι, ὥστε νὰ μὴ μποροῦν νὰ μετέχουν στὶς θυσίες; Ἑπομένως τίποτε δὲν τοὺς ἔσωζε, ἂν καὶ μὲ ζῆλο τιμοῦσαν τὶς διακρίσεις, ἐπειδὴ ὅμως δὲν εἶχαν πίστι, δὲν ὠφελήθηκαν οὔτε καὶ μ' αὐτό.

Ἔπειτα ἀναιρεῖ τὴ θυσία ἀπὸ τὸν τύπο καὶ φέρνει τὸν λόγο στὸ πρωτότυπο, λέγοντας· «ἐπειδὴ τὰ σώματα τῶν ζώων ἐκείνων, τῶν ὁποίων τὸ αἷμα μεταφέρεται ἀπὸ τὸν ἀρχιερέα στὰ Ἅγια τῶν ἁγίων γιὰ τὶ ἁμαρτίες, καίγονταν ἔξω ἀπὸ τὸ στρατόπεδο, γι' αὐτὸ καὶ ὁ Ἰησοῦς, γιὰ νὰ ἁγιάση μὲ τὸ ἴδιο του τὸ αἷμα τὸν νέο λαό, ἔπαθε ἔξω ἀπὸ τὴν πύλη». Ἑπομένως ἐκεῖνα ἦταν τύπος αὐτῶν τῶν γεγονότων καὶ ἔτσι ὁ Χριστὸς ποὺ σταυρώθηκε ἔξω ἀπὸ τὴν πύλη,

καὶ τὸ ἑκοντὶ πεπονθέναι δηλοῖ· δείκνυσι γάρ, ὅτι οὐδὲ ἐκεῖνα ἁπλῶς, ἀλλὰ τύπος τις ἦν, καὶ αὐτὴ ἡ οἰκονομία οὐκ ἔξω τοῦ πάθους ἦν, ἀλλ' εἰς τὸν οὐρανὸν τὸ αἷμα ἀνηνέχθη.

4. Ὁρᾷς οὖν ὅτι αἵματος μετέχομεν τοῦ εἰς τὰ ἅγια εἰσφερομένου, τὰ ἅγια τὰ ἀληθινά, τῆς θυσίας ἧς μόνος ἀπήλαυσεν ὁ ἀρχιερεύς. Ἡμεῖς οὖν τῆς ἀληθείας μετέχομεν. Εἰ τοίνυν οὐκ ὀνειδισμοῦ, ἀλλ' ἁγιασμοῦ μετέχομεν, ὁ ὀνειδισμὸς τοῦ ἁγιασμοῦ αἴτιον· καθάπερ γὰρ αὐτὸς ὠνειδίσθη, οὕτω καὶ ἡμεῖς. Ἂν ἐξέλθωμεν οὖν, κοινωνοῦμεν αὐτῷ. Τί δέ ἐστι τοίνυν, «ἐξερχώμεθα πρὸς αὐτόν»; Κοινωνῶμεν αὐτῷ τῶν παθῶν, φέρωμεν αὐτοῦ τὸν ὀνειδισμόν· οὐ γὰρ ἁπλῶς ἔξω πύλης ἔπαθεν, ἀλλ' ἵνα καὶ ἡμεῖς τὸν σταυρὸν αὐτοῦ αἴρωμεν, καὶ ἔξω κόσμου μένωμεν, καὶ εἶναι σπουδάζωμεν. Ὥσπερ οὖν ἐκεῖνος ὠνειδίζετο ὡς κατάδικος, οὕτω καὶ ἡμεῖς. «Καὶ δι' αὐτοῦ θυσίαν ἀναφέρωμεν τῷ Θεῷ». Ποίαν δὲ θυσίαν λέγει; Αὐτὸς ἡρμήνευσε λέγων, «καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ· τουτέστιν, εὐχάς, ὕμνους, εὐχαριστίαν· ταῦτα γὰρ τῶν χειλέων ὁ καρπός. Ἐκεῖνοι προσέφερον πρόβατα, μόσχους, καὶ ἐδίδοσαν τῷ ἱερεῖ· ἡμεῖς δὲ μηδὲν τούτων προσενέγκωμεν, ἀλλ' εὐχαριστίαν καὶ τὴν ἐν πᾶσιν, ὡς οἷόν τε, μίμησιν τοῦ Χριστοῦ· τοῦτο βλαστησάτω ἡμῶν τὰ χείλη.

«Τῆς εὐποιίας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός». Δῶμεν, φησί, τοιαύτην αὐτῷ θυσίαν, ἵνα ἀνενέγκῃ τῷ Πατρί· ἄλλως γὰρ οὐκ ἀναφέρεται, ἂν μὴ διὰ τοῦ Υἱοῦ· μᾶλλον δὲ καὶ διὰ καρδίας συντετριμμένης. Πάντα ταῦτα οὕτως εἶπε διὰ τοὺς ἀσθενέστερον διακειμένους ἔτι τῶν ἀκροατῶν· ἐπεὶ ὅτι τοῦ Υἱοῦ ἐστιν ἡ χάρις, δῆλον· ἐπεὶ πῶς ἐστι τιμὴ ἴση; «Ἵνα πάντες», φησί, «τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα». Εἰ μὴ τοῦ Πατρὸς δοξαζομένου καὶ ὁ Υἱὸς συνδοξάζεται, ποῦ ἴση ἡ τιμή; Ἐπειδὴ «καρπὸς χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ» τὸ χάριν αὐτῷ εἰδέναι, τουτέστιν, ὑπὲρ πάντων,

6. Ἰω. 5,23.

ὅλα τὰ ἐκπλήρωσε. Ἐδῶ φανερώνει καὶ τὸ ὅτι μὲ τὴ θέλησί του θυσιάσθηκε· διότι δείχνει ὅτι οὔτε ἐκεῖνα ἦταν τυχαῖα, ἀλλ' ἦταν κάποιος τύπος καὶ ἡ ἴδια ἡ οἰκονομία δὲν ἦταν ἔξω ἀπὸ τὸ πάθος, ἀλλὰ τὸ αἷμα μεταφέρθηκε στὸν οὐρανό.

4. Βλέπεις λοιπὸν ὅτι ἐμεῖς μετέχουμε τοῦ αἵματος ποὺ εἰσάγεται στὰ ἅγια, τὰ ἅγια τὰ ἀληθινά, μετέχουμε τῆς θυσίας, τὴν ὁποία ἀπήλαυσε μόνον ὁ Ἀρχιερεύς. Ἄρα ἐμεῖς μετέχουμε στὴν ἀλήθεια. Ἐὰν λοιπὸν μετέχουμε ὄχι στὸν ὀνειδισμό, ἀλλὰ στὸν ἁγιασμό, ὁ ὀνειδισμος εἶναι ἡ αἰτία τοῦ ἁγιασμοῦ· διότι, ὅπως ἀκριβῶς ὁ Κύριος ὑβρίσθηκε, ἔτσι κι' ἐμεῖς. Ἂν βγοῦμε λοιπὸν ἀπὸ τὸν κόσμο, γινόμαστε κοινωνοὶ τοῦ Κυρίου. Τί σημαίνει λοιπόν, «ἐξερχώμεθα πρὸς αὐτόν»; Νὰ συμμετέχουμε στὰ παθήματά του, νὰ φέρουμε τὸν ὀνειδισμὸ τοῦ Χριστοῦ, νὰ περιφρονούμαστε γι' αὐτόν· διότι δὲν ἔπαθε τυχαῖα ἔξω ἀπὸ τὴν πύλη, ἀλλὰ γιὰ νὰ σηκώνουμε κι' ἐμεῖς τὸν σταυρό του καὶ νὰ ζοῦμε ἔξω ἀπὸ τὸν κόσμο καὶ νὰ φροντίζουμε νὰ μένουμε ἔξω. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνος ὠνιδιζόταν ὡς κατάδικος, ἔτσι κι' ἐμεῖς. «Καὶ μέσω αὐτοῦ ἂς προσφέρουμε στὸν Θεὸ θυσία». Ποιά θυσία ὅμως ἐννοεῖ; Ὁ ἴδιος τὸ ἐξήγησε λέγοντας, «καρπὸ χειλέων ποὺ δοξολογοῦν τὸ ὄνομά του»· δηλαδή, εὐχές, ὕμνους, εὐχαριστία· διότι αὐτὰ εἶναι ὁ καρπὸς τῶν χειλέων. Ἐκεῖνοι πρόσφερναν πρόβατα, μοσχάρια, καὶ τὰ ἔδιναν στὸν ἱερέα· ἐμεῖς ὅμως τίποτε ἀπὸ αὐτὰ ἂς μὴ προσφέρουμε, ἀλλὰ εὐχαριστία καὶ τὴν μίμησι τοῦ Χριστοῦ, ὅσο εἶναι δυνατό, σὲ ὅλα· αὐτὸ ἂς βλαστήσουν τὰ χείλη μας.

«Μὴ λησμονῆτε τὴν ἀγαθοεργία καὶ τὴ συμμετοχὴ ἄλλων στὰ ἀγαθά σας· διότι μὲ τέτοιες θυσίες εὐχαριστεῖται ὁ Θεός». Ἂς τοῦ προσφέρουμε, λέγει, τέτοια θυσία, γιὰ νὰ τὴν μεταφέρῃ ἐπάνω στὸν Πατέρα· διότι μὲ ἄλλον τρόπο δὲν μεταφέρεται ἐπάνω, παρὰ μόνο διὰ τοῦ Υἱοῦ· ἢ καλύτερα μὲ καρδιὰ συντριμμένη. Ὅλα αὐτὰ τὰ εἶπε μ' αὐτὸν τὸν τρόπο ἐξ αἰτίας τῆς πνευματικῆς ἀκόμη ἀδυναμίας τῶν ἀκροατῶν του· τὸ ὅτι δηλαδὴ ἡ χάρις εἶναι τοῦ Υἱοῦ, εἶναι ὁλοφάνερο· διότι πῶς ἀλλιῶς εἶναι ἴση ἡ τιμή; «Γιὰ νὰ τιμοῦν», λέγει, «ὅλοι τὸν Υἱὸ ὅπως τιμοῦν τὸν Πατέρα»[6]. Ἐὰν ὅταν δοξάζεται ὁ Πατέρας δὲν δοξάζεται καὶ ὁ Υἱός, ποῦ εἶναι ἴση ἡ τιμή; Ἐπειδὴ καρπὸς τῶν χειλέων αὐτῶν ποὺ ὁμολογοῦν τὸ ὄνομά του εἶναι τὸ νὰ τὸν εὐχαριστοῦν, δηλαδὴ νὰ τὸν εὐχαριστοῦν γιὰ ὅλα, καὶ γι' αὐτὰ

καὶ ὑπὲρ ὧν δι' ἡμᾶς ἔπαθε· πάντα φέρωμεν εὐχαρίστως, κἂν πενία, κἂν νόσος ᾖ, κἂν ὁτιοῦν ἕτερον· τὰ γὰρ ἡμῖν συμφέροντα αὐτὸς οἶδε μόνος. «Τὸ γὰρ τί προσευξώμεθα», φησί, «καθ' ὃ δεῖ, οὐκ οἴδαμεν». Οἱ οὖν μηδὲ αἰτῆσαι εἰδότες ὅ τι χρή, ἐὰν μὴ τοῦ Πνεύματος ἐπιλαβώμεθα, πῶς ἂν εἰδείημεν τὰ συμφέροντα;

Οὐκοῦν σπουδάζωμεν εὐχαριστίαν ὑπὲρ ἁπάντων ἀναφέρειν, καὶ γενναίως ἅπαντα φέρωμεν τὰ συμπίπτοντα. Ὅταν τοίνυν ἐν πενίᾳ ὦμεν, ὅταν ἐν νόσῳ, εὐχαριστῶμεν· ὅταν συκοφαντώμεθα, εὐχαριστῶμεν· ὅταν κακῶς πάσχωμεν, εὐχαριστῶμεν· τοῦτο ἡμᾶς ἐγγὺς εἶναι τοῦ Θεοῦ ποιεῖ· τότε καὶ τὸν Θεὸν ὀφειλέτην ἔχομεν. Ὅταν δὲ καλῶς πάθωμεν, ἡμεῖς ἐσμεν ὀφειλέται καὶ ὑπεύθυνοι τοῦ Θεοῦ· ἄλλως τε καὶ πολλάκις ἡμῖν ταῦτα εἰς κρῖμα γίνεται, ἐκεῖνα δὲ εἰς ἔκτισιν ἁμαρτημάτων. Ἐκεῖνα ἔλεον ἐπισπᾶται, ἐκεῖνα φιλανθρωπίαν· ταῦτα δὲ καὶ εἰς ἀπόνοιαν αἴρει, ταῦτα καὶ εἰς ῥᾳθυμίαν ἐξάγει, καὶ μεγάλα περὶ ἑαυτοῦ παρασκευάζει φαντάζεσθαι, ταῦτα χαυνοῖ. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· «ἀγαθόν μοι, Κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου». Ὅτε εὐεργετήθη καὶ ἀπηλλάγη τῶν κακῶν ὁ Ἐζεκίας, ἐπήρθη εἰς ὕψος ἡ καρδία αὐτοῦ· ὅτε ἠρρώστησε, τότε ἐταπεινώθη, τότε ἐγγὺς ἐγένετο τοῦ Θεοῦ. «Ὅτε», φησίν, «ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν»· καὶ πάλιν· «ὅτε ἐπαχύνθη καὶ ἐλιπάνθη, ἀπελάκτισεν ὁ ἠγαπημένος». Γινώσκεται γὰρ Κύριος κρίματα ποιῶν.

Μέγα θλῖψις ἀγαθόν. Στενή ἐστιν ἡ ὁδός· ὥστε ἡ θλῖψις ἡμᾶς ὠθεῖ ἐν τῇ στενῇ· ὁ μὴ θλιβόμενος εἰσελθεῖν οὐ δυνήσεται. Ὁ γὰρ ἐν τῇ στενῇ θλίβων ἑαυτόν, οὗτός ἐστιν ὁ καὶ ἀνέσεως ἀπολαύων· ὁ δὲ ἐμπλατύνων ἑαυτόν, οὔτε εἰσέρχεται, καὶ θλίβεται σφηνούμενος, ὡς εἰπεῖν. Ἄκουε πῶς εἰσῆλθεν εἰς τὴν στενὴν ταύτην ὁδὸν Παῦλος. «Ὑπωπιάζω», φησί, «μοῦ τὸ σῶμα καὶ δουλα-

7. Ψαλμ. 118,71.
8. Ψαλμ. 77,34.
9. Δευτ. 32,15.
10. Ψαλμ. 9,17.

ποὺ ἔπαθε γιὰ χάρι μας, ἂς τὰ ὑπομένουμε ὅλα εὐχαρίστως, εἴτε εἶναι φτώχεια, εἴτε ἀρρώστια, εἴτε ὁ,τιδήποτε ἄλλο εἶναι αὐτό· διότι αὐτὸς μόνος γνωρίζει αὐτὰ ποὺ μᾶς συμφέρουν. Διότι λέγει, «ἐμεῖς δὲν γνωρίζουμε ποιό εἶναι τὸ συμφέρον μας, γιὰ νὰ τὸ ζητήσουμε στὴν προσευχή μας». Ἐφ' ὅσον λοιπὸν δὲν γνωρίζουμε τί πρέπει νὰ ζητοῦμε στὴν προσευχή μας, ἐὰν δὲν μᾶς τὸ διδάξη τὸ ἅγιο Πνεῦμα, πῶς θὰ θέλαμε νὰ γνωρίζουμε αὐτὰ ποὺ μᾶς συμφέρουν;

Γι' αὐτὸ ἂς φροντίζουμε νὰ τὸν εὐχαριστοῦμε γιὰ ὅλα καὶ νὰ ὑπομένουμε μὲ γενναιότητα ὅλα ὅσα μᾶς συμβαίνουν. Ὅταν λοιπὸν εἴμαστε φτωχοί, ὅταν εἴμαστε ἄρρωστοι, ἂς τὸν εὐχαριστοῦμε· ὅταν μᾶς συκοφαντοῦν, ἂς τὸν εὐχαριστοῦμε· ὅταν μᾶς κακοποιοῦν ἂς τὸν εὐχαριστοῦμε· αὐτὸ μᾶς φέρνει κοντὰ στὸν Θεό· τότε καὶ τὸν Θεὸ τὸν ἔχουμε ὀφειλέτη. Ὅταν ὅμως εὐτυχοῦμε, ἐμεῖς εἴμαστε ὀφειλέτες καὶ ὑπόλογοι στὸν Θεό. Ἄλλωστε πολλὲς φορὲς τὰ ἀγαθὰ γίνονται αἰτία νὰ καταδικασθοῦμε, ἐνῶ οἱ θλίψεις γίνονται αἰτία νὰ συγχωροῦνται οἱ ἁμαρτίες μας. Τὰ κακοπαθήματα ἐπισύρουν τὸ ἔλεος τοῦ Θεοῦ, ἐπισύρουν τὴ φιλανθρωπία του, ἐνῶ τὰ ἀγαθὰ καὶ σὲ ἀλαζονεία μᾶς φέρνουν, καὶ στὴν ἀδιαφορία μᾶς ὁδηγοῦν, καὶ μᾶς κάνουν νὰ φανταζώμαστε μεγάλα πράγματα γιὰ τὸν ἑαυτό μας, αὐτὰ μᾶς ἀποχαυνώνουν. Γι' αὐτὸ καὶ ὁ προφήτης ἔλεγε· «μοῦ εἶναι εὐεργετικὸ καὶ σωτήριο τὸ γεγονός, ὅτι μὲ ταπείνωσες, γιὰ νὰ γνωρίσω ἔτσι καλύτερα τὶς ἐντολές σου»[7]. Ὅταν εὐεργετήθηκε καὶ ἀπαλλάχθηκε ἀπὸ τὶς συμφορὲς ὁ Ἐζεκίας, ὑπερηφανεύθηκε· ὅταν ἀρρώστησε, τότε ταπεινώθηκε, τότε πλησίασε τὸν Θεό. «Ὅταν ὁ Κύριος τοὺς παρέδιδε στὸν θάνατο, τότε τὸν ἀναζητοῦσαν μὲ ζῆλο, ἐπέστρεφαν σ' αὐτὸν καὶ ἀπὸ τὸν βαθὺ ὄρθρο κατέφευγαν σ' αὐτὸν γιὰ νὰ προσευχηθοῦν»[8]· καὶ πάλι λέγει· «ὅταν τράφηκε καλὰ καὶ ἔγινε παχύς, ὁ ἀγαπημένος αὐτὸς λαὸς κλώτσησε τὸν Θεό»[9]. Διότι «εἶναι πασίγνωστο, ὅτι ὁ Θεὸς ἀπονέμει δικαιοσύνη»[10].

Εἶναι μεγάλο ἀγαθὸ ἡ θλῖψις. Εἶναι στενὴ ἡ ὁδός· ὥστε ἡ θλῖψις μᾶς σπρώχνει μέσα στὴν στενὴ ὁδό· ὅποιος δὲν θλίβεται, δὲν θὰ μπορέση νὰ εἰσέλθη. Διότι αὐτὸς ποὺ καταθλίβει τὸν ἑαυτό του μέσα στὴ στενὴ ὁδό, αὐτὸς εἶναι ποὺ ἀπολαμβάνει καὶ τὴν ἄνεσι, ἐνῶ ὅποιος πλατύνει τὸν ἑαυτό του, καὶ δὲν εἰσέρχεται καὶ ὅταν σφηνώνεται θλίβεται, ὅπως λέχθηκε. Ἄκουσε πῶς μπῆκε σ' αὐτὴ τὴ στενὴ ὁδὸ ὁ Παῦλος. «Ταλαιπωρῶ τὸ σῶμα μου», λέγει, «καὶ τὸ

γωγῶ». Ὑπωπίαζε τὸ σῶμα, ὥστε δυνηθῆναι εἰσελθεῖν· διὰ τοῦτο ἐν πάσαις ταῖς θλίψεσιν εὐχαριστῶν τῷ Θεῷ διετέλει. Ἐζημιώθης χρήματα; Τοῦτό σοι τὸ πολὺ τῆς εὐρύτητος ἐπεκούφισεν. Ἐξέπεσες δόξης; Ἑτέρα αὕτη εὐρύτης. Ἐσυκοφαντήθης; Ἐπιστεύθη κατὰ
5 *σοῦ τὰ λεχθέντα, ἐν οἷς οὐ σύνοιδας σαυτῷ; Χαῖρε καὶ ἀγαλλία. «Μακάριοι γάρ ἐστε», φησίν, «ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς».*

Τί θαυμάζεις εἰ σὺ ἀσχάλλεις καὶ θέλεις ἀνεθῆναι ἐκ τῶν πει-
10 *ρασμῶν; Παῦλος ἠθέλησεν ἀνεθῆναι, καὶ πολλάκις τὸν Θεὸν παρεκάλεσε, καὶ οὐκ ἔτυχε· τὸ γὰρ «τρὶς» πολλάκις ἐστίν. «Ὑπὲρ τούτου τρὶς τὸν Κύριον», φησί, «παρεκάλεσα, καὶ εἶπέ μοι, 'ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται'»· «ἀσθένειαν» λέγει ἐνταῦθα τὰς θλίψεις. Τί οὖν; Ἐπειδὴ ταῦτα*
15 *ἤκουσεν, εὐχαρίστως ἤνεγκε, καὶ λέγει· «διὸ εὐδοκῶ ἐν ἀσθενείαις»· τουτέστιν, ἀρέσκομαι, ἀναπαύομαι ἐν ταῖς θλίψεσιν. Ὑπὲρ πάντων οὖν εὐχαριστῶμεν, ὑπέρ τε ἀνέσεως, ὑπέρ τε θλίψεως, μὴ γογγύζωμεν, μὴ ἀχάριστοι ὦμεν. Λέγε καὶ σύ· «γυμνὸς ἐξῆλθεν ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι». Οὐκ ἐξῆλθες ἔνδο-*
20 *ξος· μὴ ζήτει δόξαν. Γυμνὸς οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης καὶ εὐφημίας, εἰς τὸν βίον παρήχθης. Ἐννόησον πόσα πολλάκις ἀπὸ χρημάτων κακὰ γέγονε· μᾶλλον δὲ ἄκουε τί φησιν ὁ Χριστός· «εὐκοπώτερον», γάρ φησι, «κάμηλον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν».*

25 *Ὁρᾷς πόσων ἀγαθῶν ἐμπόδιον ὁ πλοῦτος γίνεται, καὶ σὺ πλουτῆσαι ζητεῖς; Καὶ οὐ χαίρεις ἐν πενίᾳ ὤν, ὅτι τὸ κώλυμα ἀνατέτραπται; «Οὕτω στενή ἐστιν ἡ ὁδὸς ἡ εἰσάγουσα εἰς τὴν βασιλείαν»· οὕτω πλατὺς ὁ πλοῦτος, καὶ ὄγκου γέμων καὶ φυσήματος. Διὰ τοῦτό φησι· «πώλησόν σου τὰ ὑπάρχοντα», ἵνα σε δέξηται ἡ*
30 *ὁδὸς ἐκείνη. Τί ποθεῖς τὰ χρήματα; Διὰ τοῦτό σε ἀφείλετο, ἵνα σε*

11. Α' Κορ. 9,27.
12. Ματθ. 5,11–12.
13. Β'. Κορ. 12,8–9.
14. Ἰὼβ 1,21.
15. Ματθ. 19,24.
16. Ματθ. 19,21.

μεταχειρίζομαι σὰν δοῦλο»[11]. Ταλαιπωροῦσε τὸ σῶμα του γιὰ νὰ μπορέση νὰ μπῆ· γι' αὐτὸ σὲ ὅλες τὶς θλίψεις του εὐχαριστοῦσε τὸν Θεό. Ἔπαθες κάποια ζημία χρηματική; Αὐτὸ θὰ σὲ κάνη νὰ προχωρήσης πιὸ ἄνετα στὸ στενὸ δρόμο. Ξέπεσες ἀπὸ τὴ δόξα ποὺ εἶχες; Αὐτὴ εἶναι μία ἄλλη εὐρύτητα. Συκοφαντήθηκες; ἔγιναν πιστευτὰ αὐτὰ ποὺ λέχθηκαν ἐναντίον σου, αὐτὰ γιὰ τὰ ὁποῖα ἐσὺ δὲν ξέρεις τίποτε; Νὰ χαίρεσαι καὶ νὰ ἀγάλλεσαι. Διότι λέγει, «μακάριοι εἶσθε, ὅταν σᾶς ὑβρίσουν οἱ ἄνθρωποι καὶ ποῦν ψευδόμενοι κάθε εἴδους κακολογία ἐναντίον σας ἐξ αἰτίας μου. Χαίρετε καὶ ἀγάλλεσθε, διότι ὁ μισθός σας θὰ εἶναι μεγάλος στοὺς οὐρανούς»[12].

Γιατί ἀπορεῖς γιὰ τὶς λύπες ποὺ σοῦ συμβαίνουν καὶ θέλεις ν' ἀπαλλαγῆς ἀπὸ τοὺς πειρασμούς; Καὶ ὁ Παῦλος θέλησε ν' ἀπαλλαγῆ καὶ πολλὲς φορὲς παρεκάλεσε γι' αὐτὸ τὸν Θεὸ καὶ δὲν τὸ κατώρθωσε· διότι τὸ «τρὶς» σημαίνει πολλὲς φορές. «Γιὰ τὸν πειρασμὸ αὐτὸ τρεῖς φορὲς παρεκάλεσα τὸν Κύριο», λέγει, «καὶ μοῦ εἶπε· 'εἶναι ἀρκετὴ ἡ χάρις ποὺ σοῦ δίνω· διότι ἡ δύναμίς μου ἀναδεικνύεται τέλεια ὅταν ὁ ἄνθρωπος ζῆ μέσα στὶς θλίψεις»[13]. «Ἀσθένεια» ἐδῶ λέγει τὶς θλίψεις. Τί λοιπόν; Ἐπειδὴ τὰ ἄκουσε αὐτά, εὐχαρίστως τὶς ὑπέμεινε καὶ εἶπε· «γι' αὐτὸ ἀποδέχομαι μὲ εὐχαρίστησι τὶς ἀσθένειες»· δηλαδή, ἀρέσκομαι, ἀναπαύομαι στὶς θλίψεις. Γιὰ ὅλα λοιπὸν ἂς εὐχαριστοῦμε τὸν Θεὸ καὶ γιὰ τὴν ἄνεσι καὶ γιὰ τὴ θλῖψι, ἂς μὴν γογγύζουμε, ἂς μὴν εἶμαστε ἀχάριστοι. Λέγε καὶ σύ· «γυμνὸς βγῆκα ἀπὸ τὴν κοιλιὰ τῆς μάννας μου, γυμνὸς καὶ θὰ φύγω ἀπὸ τὸν κόσμο αὐτό»[14]. Δὲν βγῆκες ἔνδοξος· μὴν ἐπιδιώκης τὴ δόξα. Γυμνὸς ἦρθες στὴ ζωὴ ὄχι μόνον ἀπὸ χρήματα, ἀλλὰ καὶ ἀπὸ δόξα καὶ καλὴ φήμη. Σκέψου πόσα κακὰ ἔχουν γίνει πολλὲς φορές, ἐξ αἰτίας τῶν χρημάτων· ἢ καλύτερα ἄκουσε τί λέγει ὁ Χριστός· «εἶναι εὐκολώτερο», λέγει, «νὰ περάση ἕνα χονδρὸ σχοινὶ ἀπὸ τὴν τρύπα τῆς βελόνας, παρὰ ὁ πλούσιος νὰ μπῆ στὴ βασιλεία τῶν οὐρανῶν»[15].

Βλέπεις πόσων ἀγαθῶν ἐμπόδιο γίνεται ὁ πλοῦτος, καὶ σὺ θέλεις νὰ γίνης πλούσιος; καὶ δὲν χαίρεσαι γιὰ τὴ φτώχεια σου, διότι ἔχει παραμερισθῆ τὸ ἐμπόδιο; Τόσο πολὺ στενὴ εἶναι ἡ ὁδὸς ποὺ εἰσάγει στὴ βασιλεία τῶν οὐρανῶν καὶ τόσο πλατὺς εἶναι ὁ πλοῦτος καὶ γεμᾶτος ἀπὸ κομπασμὸ καὶ ὑπερηφάνεια. Γι' αὐτὸ λέγει· «πούλησε τὰ ὑπάρχοντά σου»[16], γιὰ νὰ σὲ δεχθῆ ἡ ὁδὸς ἐκείνη. Τί πο-

ἀπαλλάξῃ δουλείας· ἐπεὶ καὶ οἱ πατέρες οἱ γνήσιοι, ἐπειδὰν ὁ παῖς τύχῃ προσεφθαρμένος ἑταίρα τινὶ καὶ πολλὰ παραινέσαντες μὴ πείθωσιν αὐτῆς ἀποστῆναι, τὴν ἑταίραν ἐξορίζουσι. Τοιαύτη ἐστὶ καὶ ἡ εὐπορία τῶν χρημάτων. Κηδόμενος τοίνυν καὶ ἡμῶν ὁ Δεσπότης 5 καὶ ἀπαλλάττων ἡμᾶς τῆς ἐντεῦθεν βλάβης, ἀφαιρεῖται ἡμῶν τὰ χρήματα.

Μὴ τοίνυν νομίζωμεν πενίαν κακὸν εἶναι· ἁμαρτία κακὸν μόνον. Οὐδὲ γὰρ ὁ πλοῦτος ἀγαθὸν καθ' ἑαυτόν· τῷ Θεῷ εὐαρεστεῖν ἀγαθὸν μόνον. Τὴν πενίαν τοίνυν ζητῶμεν, ταύτην διώκωμεν· 10 οὕτω τοῦ οὐρανοῦ ἐπιληψόμεθα, οὕτω τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἐπιτευξόμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θεῖς τὰ χρήματα; Γι' αὐτὸ σοῦ τὰ ἀφήρεσε, γιὰ νὰ σὲ ἀπαλλάξη ἀπὸ τὴ σκλαβιά· ἀφοῦ καὶ οἱ γνήσιοι πατέρες, ὅταν τὸ παιδί τους βαδίζη πρὸς τὴν καταστροφή, ἐπειδὴ κατὰ τύχη συνάντησε κάποια πόρνη, καὶ ἂν καὶ τὸ συμβούλευσαν πολύ, δὲν τὸ ἔπεισαν νὰ ἀπομακρυνθῆ ἀπὸ αὐτήν, ἀπομακρύνουν τὴν πόρνη. Τέτοια εἶναι καὶ ἡ ἀφθονία τῶν χρημάτων. Ἐπειδή λοιπὸν ὁ Κύριος ἐνδιαφέρεται γιὰ μᾶς, γιὰ νὰ μᾶς ἀπαλλάξη ἀπὸ τὴ ζημιὰ ποὺ προκαλοῦν τὰ χρήματα, μᾶς τὰ ἀφαιρεῖ.

Ἂς μὴ νομίζουμε λοιπὸν ὅτι ἡ φτώχεια εἶναι κακό· ἡ ἁμαρτία εἶναι κακὸ μόνο. Διότι οὔτε ὁ πλοῦτος ὁ ἴδιος εἶναι ἀγαθό· τὸ νὰ εἴμαστε εὐάρεστοι στὸν Θεὸ εἶναι τὸ μόνο ἀγαθό. Τὴν φτώχεια λοιπὸν ἂς ἐπιζητοῦμε, αὐτὴν ἂς ἐπιδιώκουμε· ἔτσι θὰ κατακτήσουμε τὸν οὐρανό, ἔτσι θὰ κερδίσουμε τὰ ἀγαθὰ ποὺ ὑπάρχουν στοὺς οὐρανούς, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΔ'

(Ἑβρ. 13,17–25)

«Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπέρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσαντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο».

1. Κακὸν μὲν ἡ ἀναρχία πανταχοῦ καὶ πολλῶν ὑπόθεσις συμφο-
5 ρῶν, καὶ ἀρχὴ ἀταξίας καὶ συγχύσεως· μάλιστα δὲ ἐν Ἐκκλησίᾳ τοσοῦτον ἐπισφαλεστέρα ἐστίν, ὅσον καὶ τὸ τῆς ἀρχῆς μεῖζον καὶ ὑψηλότερον. Ὥσπερ γάρ, ἂν χοροῦ τὸν κορυφαῖον ἀνέλῃς, οὐχὶ κατὰ μέλος καὶ κατὰ τάξιν ὁ χορὸς ἔσται, καὶ φάλαγγος στρατοπέδου τὸν στρατηγὸν ἂν ἀποστήσῃς, οὐκ ἔτι ῥυθμῷ καὶ τάξει τὰ τῆς
10 παρατάξεως ἔσται, καὶ πλοίου τὸν κυβερνήτην ἐὰν περιέλῃς, καταδύσεις τὸ σκάφος· οὕτω καί, ποιμνίου τὸν ποιμένα ἐὰν ἀποστήσῃς, πάντα ἀνέτρεψας καὶ ἠφάνισας. Κακὸν μὲν οὖν ἡ ἀναρχία καὶ ἀνατροπῆς ὑπόθεσις, κακὸν δὲ οὐχ ἧττον καὶ ἡ ἀπείθεια τῶν ἀρχομένων· τὸ αὐτὸ γὰρ γίνεται πάλιν. Λαὸς γὰρ ἄρχοντι μὴ πειθόμενος,
15 ὅμοιός ἐστι τῷ μὴ ἔχοντι, τάχα δὲ καὶ χείρων· ἐκεῖ μὲν γὰρ καὶ συγγνώμην ἔχουσιν ὑπὲρ τῆς ἀταξίας, ἐνταῦθα δὲ οὐκέτι, ἀλλὰ καὶ κολάζονται. Ἀλλ' ἴσως ἐρεῖ τις ἡμῖν, ὅτι ἔστι καὶ τρίτον κακόν, ὅταν ὁ ἄρχων ᾖ κακός. Οἶδα κἀγώ, καὶ οὐ μικρὸν τοῦτο κακόν, ἀλλὰ καὶ τῆς ἀναρχίας πολλῷ κάκιον· κρεῖττον γὰρ ὑπὸ μηδενὸς
20 ἄγεσθαι ἢ ὑπὸ κακοῦ ἄγεσθαι. Ὁ μὲν γὰρ πολλάκις μὲν ἐσώθη, πολλάκις δὲ ἐκινδύνευσεν· οὗτος δὲ πάντως κινδυνεύσει, εἰς βάραθρα ἀγόμενος.

1. Ματθ. 23.2.

ΟΜΙΛΙΑ ΛΔ΄

(Ἑβρ. 13,17–25)

«Νὰ ὑπακοῦτε καὶ νὰ ὑποτάσσεσθε στοὺς προϊσταμένους, γιατὶ αὐτοὶ ἀγρυπνοῦν γιὰ τὴ σωτηρία τῶν ψυχῶν σας, σὰν ἄνθρωποι ποὺ θὰ δώσουν λόγο γι' αὐτές, ὥστε νὰ ἐκτελοῦν τὸ ἔργο τους αὐτὸ μὲ χαρὰ καὶ χωρὶς στεναγμούς· διότι δὲν σᾶς συμφέρει τὸ νὰ στενάζουν αὐτοί».

1. Ἡ ἀναρχία παντοῦ εἶναι κακὸ καὶ αἰτία πολλῶν συμφορῶν καὶ ἀρχὴ τῆς ἀταξίας καὶ τῆς συγχύσεως, κυρίως ὅμως στὴν Ἐκκλησία εἶναι πάρα πολὺ ἐπικίνδυνη, διότι καὶ ἡ ἐξουσία τῆς Ἐκκλησίας εἶναι μεγαλύτερη καὶ ὑψηλότερη. Ὅπως δηλαδὴ ἂν σκοτώσῃς τὸν ἀρχηγὸ τοῦ χοροῦ θὰ διαλυθῇ ὁ χορὸς καὶ ὡς πρὸς τὰ μέλη του καὶ ὡς πρὸς τὴν τάξι, κι' ἂν ἁρπάξῃς τὸν στρατηγὸ ἀπὸ τὴ στρατιωτικὴ φάλαγγα, δὲν θὰ ὑπάρχῃ εὐρυθμία καὶ τάξις στὴν παράταξι, καὶ ἐπίσης ἂν ἀφαιρέσῃς τὸν κυβερνήτη ἀπὸ τὸ πλοῖο, θὰ καταβυθίσῃς τὸ σκάφος, ἔτσι καὶ ἐὰν ἀπομακρύνῃς τὸν ποιμένα ἀπὸ τὸ ποίμνιο, ὅλα θὰ τὰ ἀνατρέψῃς καὶ θὰ τὰ καταστρέψῃς. Εἶναι λοιπὸν μεγάλο κακὸ ἡ ἀναρχία καὶ αἰτία καταστροφῆς, ἀλλὰ ὄχι μικρότερο κακὸ εἶναι καὶ ἡ ἀνυπακοὴ τῶν ὑπηκόων· το ἴδιο λοιπὸν συμβαίνει καὶ ἐδῶ. Διότι ὁ λαὸς ποὺ δὲν ὑπακούει στὸν ἄρχοντά του μοιάζει μ' ἐκεῖνον ποὺ δὲν ἔχει ἄρχοντα, καὶ ἴσως χειρότερα· καθόσον ἐκεῖ καὶ συγχωροῦνται γιὰ τὴν ἀταξία τους, ἐνῶ ἐδῶ ὄχι μόνο δὲν συγχωροῦνται, ἀλλὰ καὶ τιμωροῦνται. Ἴσως ὅμως μᾶς πῇ κάποιος, ὅτι ὑπάρχει καὶ τρίτο κακό, τὸ νὰ εἶναι ὁ ἀρχηγὸς κακός. Τὸ ξέρω κι' ἐγώ, κι' ὄχι μόνο δὲν εἶναι μικρὸ τὸ κακὸ αὐτό, ἀλλ' εἶναι πολὺ χειρότερο καὶ ἀπὸ τὴν ἀναρχία· καὶ εἶναι προτιμότερο νὰ μὴ διοικῆσαι ἀπὸ κανέναν, παρὰ νὰ διοικῆσαι ἀπὸ κακὸν ἄρχοντα. Διότι αὐτὸς πολλὲς φορὲς σώθηκε, ἀλλὰ πολλὲς φορὲς καὶ κινδύνευσε, ἐνῶ ὁ ἄλλος ὁπωσδήποτε θὰ κινδυνεύσῃ, ὁδηγούμενος στὰ βάραθρα.

Πῶς οὖν ὁ Παῦλός φησι· «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε»; Ἀνωτέρω εἰπών, «ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθαι τὴν πίστιν», τότε εἶπε, «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε». Τί οὖν, φησίν, ὅταν πονηρός ᾖ,
5 *καὶ μὴ πειθώμεθα; Πονηρός, πῶς λέγεις; εἰ μὲν πίστεως ἕνεκεν, φεῦγε αὐτὸν καὶ παραίτησαι, μὴ μόνον ἂν ἄνθρωπος ᾖ, ἀλλὰ κἂν ἄγγελος ἐξ οὐρανοῦ κατιών· εἰ δὲ βίου ἕνεκεν, μὴ περιεργάζου. Καὶ τοῦτο οὐκ οἴκοθεν λέγω τὸ ὑπόδειγμα, ἀλλ' ἀπὸ τῆς θείας Γραφῆς. Ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· «ἐπὶ τῆς Μωϋσέως καθέδρας*
10 *ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι». Πρότερον εἰπὼν δεινὰ πολλὰ περὶ αὐτῶν, τότε φησίν· «ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν. Πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε». Ἔχουσι, φησί, τὸ ἀξίωμα, ἀλλὰ βίου εἰσὶν ἀκαθάρτου. Ἀλλὰ μὴ τῷ βίῳ, ἀλλὰ τοῖς λόγοις προσέχετε· τῶν*
15 *μὲν γὰρ ἠθῶν ἕνεκεν οὐδεὶς ἂν βλαβείη. Τί δήποτε; Ὅτι καὶ δῆλα πᾶσίν ἐστι, καὶ οὐδὲ αὐτός, κἂν μυριάκις ᾖ πονηρός, πονηρὰ διδάξει ποτέ. Πίστεως δὲ ἕνεκεν, οὔτε δῆλόν ἐστιν ἅπασιν, ὅ τε πονηρὸς οὐ παραιτήσεται διδάσκειν· ἐπεὶ καὶ τό, «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε», περὶ βίου ἐστίν, οὐ περὶ πίστεως· τὸ γοῦν ἐπαγόμενον*
20 *τοῦτο δηλοῖ. «Τί γὰρ βλέπεις», φησί, «τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς;».*

«Πάντα οὖν ὅσα ἂν λέγωσιν ὑμῖν», φησί, «ποιεῖν, ποιεῖτε» (τὸ δὲ ποιεῖν ἔργων ἐστίν, οὐ πίστεως), «κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ
25 *ποιεῖτε». Ὁρᾷς ὅτι οὐ περὶ δογμάτων ἐστὶν ὁ λόγος, ἀλλὰ περὶ βίου καὶ ἔργων; Ἀλλ' ὁ Παῦλος πρότερον συνέστησεν αὐτοὺς καὶ τότε φησί· «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες». Ἀκουέτωσαν καὶ οἱ ἄρχοντες, μὴ μόνον οἱ ἀρχόμενοι, ὅτι ὥσπερ*
30 *πειθηνίους εἶναι δεῖ τοὺς ἀρχομένους, οὕτω καὶ τοὺς ἄρχοντας ἀγρύπνους εἶναι καὶ νηφαλίους. Τί λέγεις; ἀγρυπνεῖ, κινδύνους ἔχει*

Πῶς λοιπὸν ὁ Παῦλος λέγει, «νὰ ὑπακοῦτε καὶ νὰ ὑποτάσσεσθε στοὺς προϊσταμένους σας»; Ἀφοῦ εἶπε προηγουμένως, «νὰ ἀναλογίζεσθε τὴν ὅλη πορεία τῆς ζωῆς τους καὶ νὰ μιμῆσθε τὴν πίστι τους», κατόπιν πρόσθεσε, «νὰ ὑπακοῦτε καὶ νὰ ὑποτάσσεσθε στοὺς προϊσταμένους σας». Τί λοιπὸν θὰ συμβῆ, λέγει, ὅταν εἶναι κακὸς καὶ δὲν τὸν ὑπακοῦμε; Κακός, πῶς τὸ ἐννοεῖς; ἐὰν εἶναι τέτοιος ἐξ αἰτίας τῆς πίστεως, ἀπόφευγέ τον καὶ ἀπομακρύνσου ἀπ' αὐτόν, ὄχι μόνο ἂν εἶναι ἄνθρωπος, ἀλλὰ κι' ἂν ἀκόμη εἶναι ἄγγελος ποὺ κατέβηκε ἀπὸ τὸν οὐρανό· ἐὰν ὅμως εἶναι κακὸς ὡς πρὸς τὴν ἰδιωτική του ζωή, μὴν ἀσχολῆσαι μ' αὐτήν. Κι' αὐτὸ δὲν τὸ λέγω ἐγώ, ἀλλὰ τὸ παίρνω ἀπὸ τὴ θεία Γραφή. Ἄκουσε τί λέγει ὁ Χριστός· «στὴν ἕδρα τοῦ Μωϋσῆ κάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι»[1]. Ἀφοῦ προηγουμένως τοὺς καταδίκασε, κατόπιν πρόσθεσε· «στὴν ἕδρα τοῦ Μωϋσῆ κάθισαν. Ὅλα λοιπόν, ὅσα σᾶς λένε νὰ κάνετε, νὰ τὰ κάνετε· νὰ μὴν ἐνεργῆτε ὅμως σύμφωνα μὲ τὰ ἔργα τους». Ἔχουν, λέγει, τὸ ἀξίωμα τοῦ διδασκάλου, ἀλλ' ἡ ζωή τους εἶναι ἀκάθαρτη. Ἐσεῖς ὅμως μὴ προσέχετε τὴ συμπεριφορά τους, ἀλλὰ τὰ λόγια τους· διότι τὰ ἤθη τους δὲν θὰ βλάψουν κανέναν. Γιατί; Καὶ διότι εἶναι γνωστὰ σὲ ὅλους, ἀλλὰ οὔτε καὶ ὁ ἴδιος, κι' ἂν ἀκόμα εἶναι μύριες φορὲς κακός, θὰ διδάξη ποτὲ τὸ κακό. Ἂν ὅμως εἶναι κακὸς ὡς πρὸς τὰ θέματα πίστεως, οὔτε γίνεται σὲ ὅλους φανερό, καὶ ὁ κακὸς δὲν θὰ διστάση νὰ διδάσκη τὸ κακό· ἀφοῦ καὶ τό, «μὴ κρίνετε, γιὰ νὰ μὴ κριθῆτε», ἀναφέρεται στὸν τρόπο ζωῆς, κι' ὄχι στὴν πίστι· διότι αὐτὸ ποὺ προσθέτει αὐτὸ δείχνει. «Γιατί βλέπεις», λέγει, «τὸ ἄχυρο ποὺ ὑπάρχει στὸ μάτι τοῦ ἀδελφοῦ σου, καὶ δὲν ἀντιλαμβάνεσαι τὸ δοκάρι ποὺ ὑπάρχει στὸ δικό σου μάτι;».

«Ὅλα λοιπόν, ὅσα σᾶς λένε», λέγει, «νὰ κάνετε, νὰ τὰ κάνετε (καὶ τὸ «νὰ τὰ κάνετε» ἀναφέρεται στὰ ἔργα, ὄχι στὴν πίστι)· νὰ μὴν κάνετε ὅμως αὐτὰ ποὺ κάνουν αὐτοί». Βλέπεις ὅτι ὁ λόγος δὲν γίνεται γιὰ δόγματα, ἀλλὰ γιὰ τρόπο ζωῆς καὶ πράξεως; Ἀλλ' ὁ Παῦλος πρῶτα τοὺς ἔδωσε συστάσεις καὶ κατόπιν πρόσθεσε· «νὰ ὑπακοῦτε καὶ νὰ ὑποτάσσεσθε στοὺς προϊσταμένους σας, διότι αὐτοὶ ἀγρυπνοῦν γιὰ τὴ σωτηρία τῶν ψυχῶν σας, ἐπειδὴ θὰ λογοδοτήσουν γι' αὐτές». Ἂς τὰ ἀκούσουν αὐτὰ καὶ οἱ ἄρχοντες καὶ ὄχι μόνο οἱ ὑπήκοοι, διότι ὅπως ἀκριβῶς ὀφείλουν νὰ εἶναι πειθαρχικοὶ οἱ ὑπήκοοι, ἔτσι καὶ οἱ ἄρχοντες πρέπει νὰ εἶναι ἄγρυπνοι καὶ συνετοί. Τί

κατὰ τῆς αὐτοῦ κεφαλῆς, ὑπόκειται ταῖς τιμωρίαις τῶν σῶν ἁμαρτημάτων, καὶ διὰ σὲ τοσούτῳ ἐστὶν ὑπεύθυνος φόβῳ, καὶ σὺ ῥαθυμεῖς καὶ ἀκκίζῃ καὶ βάναυσος εἶ, καὶ οὐ βούλει πείθεσθαι; Διὰ τοῦτο προστίθησι λέγων· «Ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στε-
5 *νάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο».*

Ὁρᾷς ὅτι τὸν ἄρχοντα καταφρονούμενον οὐκ ἀμύνεσθαι χρή, ἀλλ' ἡ πολλὴ ἄμυνα τὸ κλαῦσαι καὶ στενάξαι ἐστίν; εἰκότως. Ἐπεὶ καὶ ἰατρὸν καταφρονούμενον ὑπὸ τοῦ κάμνοντος, οὐκ ἔνι ἀμύνασθαι, ἀλλὰ δακρῦσαι καὶ ἀνοιμῶξαι. Ὥστε, ἐὰν στενάξῃ ὁ ἄρχων,
10 *ἀμύνεταί σε ὁ Θεός. Εἰ γὰρ ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων στενάζοντες ἐπισπώμεθα τὸν Θεόν· ὑπὲρ τῆς τῶν ἄλλων ἀπονοίας καὶ καταφρονήσεως στενάζοντες, οὐ πολλῷ μᾶλλον; Ὁρᾷς ὅτι οὐκ ἀφίησιν αὐτὸν εἰς ὕβρεις ἐξάγεσθαι; Ὁρᾷς ὅση ἡ φιλοσοφία; Στενάζειν δεῖ τὸν καταφρονούμενον, τὸν καταπατούμενον, τὸν διαπτυ-*
15 *όμενον. Μὴ θαρρήσῃς ὅτι σε οὐκ ἀμύνεται· ὁ γὰρ στεναγμὸς πάσης ἀμύνης χείρων. Ὅταν γὰρ αὐτὸς μηδὲν ὀνήσῃ στενάζων, καλεῖ τὸν Δεσπότην· καὶ καθάπερ ἐπὶ διδασκάλου καὶ τροφέως, ὅταν ἐκείνου μὴ ἀκούῃ τὸ παιδίον, καλεῖται ὁ αὐστηρότερον προσφερόμενος, οὕτω καὶ ἐνταῦθα. Βαβαί, πόσος ὁ κίνδυνος! τί ἄν τις εἴποι πρὸς*
20 *τοὺς ἀθλίους, τοὺς ἐπιρρίπτοντας ἑαυτοὺς τοσαύτῃ τιμωριῶν ἀβύσσῳ; Πάντων ὧν ἄρχεις γυναικῶν καὶ ἀνδρῶν καὶ παίδων σὺ λόγον δίδως· τοσούτῳ πυρὶ τὴν κεφαλὴν ὑποτίθης.*

Θαυμάζω εἴ τινα ἔστι τῶν ἀρχόντων σωθῆναί ποτε, πρὸς τῇ τοσαύτῃ ἀπειλῇ καὶ τῇ παρούσῃ ῥαθυμίᾳ ὁρῶν ἔτι καὶ ἐπιτρέχον-
25 *τάς τινας καὶ ἐπιρρίπτοντας ἑαυτοὺς τῷ τοσούτῳ ὄγκῳ τῆς ἀρχῆς. Εἰ γὰρ οἱ ἀνάγκῃ ἑλκόμενοι οὐδεμίαν ἔχουσι συγγνώμην οὐδὲ ἀπολογίαν, κακῶς τὸ πρᾶγμα οἰκονομοῦντες καὶ ἀμελοῦντες· ἐπεὶ καὶ Ἀαρὼν ἀνάγκῃ εἱλκύσθη καὶ ἐκινδύνευσε, καὶ Μωϋσῆς πάλιν*

λές; 'Αγρυπνεῖ ὁ ἄρχοντας, κίνδυνοι ἀπειλοῦν αὐτὸν τὸν ἴδιο, ὑπόκειται σὲ τιμωρίες γιὰ τὰ ἁμαρτήματα σου, καὶ εἶναι ὑπεύθυνος ἀπὸ τόσο φόβο ἐξ αἰτίας σου, κι' ἐσὺ ραθυμεῖς καὶ ἀδιαφορεῖς καὶ εἶσαι βάναυσος καὶ δὲν θέλεις νὰ τὸν ὑπακοῦς; Γι' αὐτὸ προσθέτει λέγοντας· «γιὰ νὰ ἐκτελοῦν μὲ χαρὰ τὸ ἔργο τους αὐτὸ καὶ ὄχι μὲ στεναγμούς· διότι τὸ νὰ στενάζουν δὲν σᾶς συμφέρει».

Βλέπεις ὅτι ὁ ἄρχοντας, ὅταν τὸν καταφρονοῦν, δὲν πρέπει νὰ ἐκδικῆται, ἀλλὰ ἡ μεγάλη ἄμυνά του εἶναι τὰ δάκρυα καὶ οἱ ἀναστεναγμοί; Σωστά· ἀφοῦ καὶ ὁ γιατρὸς δὲν πρέπει νὰ ἐκδικῆται ὅταν καταφρονῆται ἀπὸ τὸν ἀσθενῆ, ἀλλὰ νὰ κλαίη καὶ νὰ θρηνῆ. Ἄρα, ἐὰν ἀναστενάξη ὁ ἄρχοντας, θὰ σὲ ἐκδικηθῆ ὁ Θεός. Διότι, ἐὰν προσελκύουμε τὸν Θεὸ ὅταν ἀναστενάζουμε γιὰ τὰ λάθη μας, δὲν θὰ τὸν προσελκύσουμε ἀκόμη περισσότερο ὅταν ἀναστενάζουμε ἐξ αἰτίας τοῦ φόβου καὶ τῆς περιφρονήσεως τῶν ἄλλων; Βλέπεις ὅτι δὲν ἀφήνει τὸν ἄρχοντα νὰ παρασύρεται σὲ ἔργα αὐθάδη; βλέπεις πόση εἶναι ἡ φιλοσοφία τοῦ πράγματος; 'Οφείλει ν' ἀρκῆται στὸν ἀναστεναγμὸ αὐτὸς ποὺ περιφρονεῖται, ποὺ καταπατεῖται, ποὺ καταφρονεῖται. Μὴ πάρης θάρρος, ἐπειδὴ δὲν σὲ ἐκδικεῖται· καθόσον ὁ ἀναστεναγμὸς εἶναι ἡ πιὸ φοβερὴ ἐκδίκησις. Διότι αὐτός, ὅταν δὲν μπορῆ νὰ σὲ βοηθήση μὲ τοὺς στεναγμούς του, καλεῖ τὸν Δεσπότη· καὶ ὅπως στὴν περίπτωσι τοῦ διδασκάλου καὶ τοῦ παιδαγωγοῦ, ὅταν τὸ παιδὶ δὲν τὸν ἀκούη, καλεῖται ἐκεῖνος ποὺ εἶναι αὐστηρότερος, ἔτσι κι' ἐδῶ. Πώ, πώ, πόσο μεγάλος εἶναι ὁ κίνδυνος! Τί θὰ μποροῦσε νὰ πῆ κανεὶς πρὸς τοὺς ἄθλιους ἐκείνους ποὺ σπρώχνουν τὸν ἑαυτό τους σὲ τόση μεγάλη ἄβυσσο τιμωριῶν; Γιὰ ὅλους αὐτοὺς ποὺ ἐξουσιάζεις, γυναῖκες, ἄνδρες καὶ παιδιά, σὺ εἶσαι ὑπόλογος· κάτω ἀπὸ τόση μεγάλη φωτιὰ βάζεις τὸ κεφάλι σου.

'Αναρωτιέμαι, ἂν εἶναι δυνατὸ νὰ σωθῆ ποτὲ κάποιος ἀπὸ τοὺς ἄρχοντες, καὶ πῶς, παρὰ τὴν τόσο μεγάλη ἀπειλὴ καὶ τὴν ραθυμία ποὺ ὑπάρχει, βλέπω ἀκόμη νὰ τρέχουν μερικοὶ καὶ νὰ ρίχνωνται στὸν τόσο μεγάλο ὄγκο τῆς ἐξουσίας· διότι, ἐὰν αὐτοί, ποὺ μὲ τὴ βία ἀνέβηκαν στὴν ἐξουσία, δὲν συγχωροῦνται καὶ εἶναι ἀδικαιολόγητοι ὅταν δὲν κυβερνοῦν σωστὰ καὶ παραμελοῦν τὸ καθῆκον τους (καθόσον καὶ ὁ 'Ααρὼν ποὺ ἀναγκαστικὰ ἀνέλαβε τὴν ἐξουσία κινδύνευσε, καὶ ὁ Μωϋσῆς κινδύνευσε, ἂν καὶ πολλὲς φορὲς ζήτησε ἀπὸ τὸν Θεὸ νὰ τὸν συγχωρήση γιὰ τὴν ἄρνησί του ν'

ἐκινδύνευσε, καίτοι πολλάκις παραιτησάμενος· καὶ Σαοὺλ ἑτέραν ἐμπιστευθεὶς ἀρχήν, μετὰ τὸ παραιτήσασθαι ἐκινδύνευσεν, ἐπειδὴ κακῶς αὐτὴν ᾠκονόμησε· πόσῳ μᾶλλον οἱ σπουδὴν ταύτην τιθέμενοι καὶ ἐπιρρίπτοντες ἑαυτούς; ὁ γὰρ τοιοῦτος πολλῷ πλέον ἑαυ-
5 *τὸν ἀποστερεῖ πάσης συγγνώμης. Δεδοικέναι γὰρ χρὴ καὶ τρέμειν καὶ διὰ τὸ συνειδὸς καὶ διὰ τὸν ὄγκον τῆς ἀρχῆς, καὶ οὔτε ἑλκομένους ἅπαξ παραιτεῖσθαι, οὔτε μὴ ἑλκομένους ἐπιρρίπτειν ἑαυτούς, ἀλλὰ καὶ φεύγειν μὲν προορῶντας τοῦ ἀξιώματος τὸ μέγεθος, κατασχεθέντας δέ, πάλιν τὴν εὐλάβειαν ἐπιδείκνυσθαι χρή. Μηδὲν*
10 *ἄμετρον ἔστω, πάντα κατὰ τάξιν γινέσθω. Πρὸ τοῦ γενέσθαι προαισθόμενος, ἀναχώρει, πεισθεὶς σαυτὸν ἀνάξιον εἶναι τοῦ πράγματος· συλληφθεὶς πάλιν, ὁμοίως εὐλαβὴς ἔσο, πανταχοῦ τὴν εὐγνωμοσύνην ἐπιδεικνύμενος. «Προσεύχεσθε», φησίν, «καὶ περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέ-*
15 *λοντες ἀναστρέφεσθαι».*

2. Ὁρᾷς ὅτι ταῦτα ἀπολελόγηται ὡς πρὸς λελυπημένους πρὸς αὐτὸν γράφων, ὡς πρὸς ἀποστρεφομένους, ὡς πρὸς παραβάτην διακειμένους, καὶ οὐκ ἀνεχομένους οὐδὲ τὸ ὄνομα αὐτοῦ ἀκοῦσαι. Ἐπεὶ οὖν παρὰ τῶν μισούντων αὐτὸν ταῦτα ἀπῄτει, ἅπερ ἂν παρὰ
20 *τῶν φιλούντων οἱ λοιποὶ πάντες, τούτου ἕνεκεν ἐνταῦθα τίθησι τοῦτο, λέγων· «πεποίθαμεν ὅτι καλὴν συνείδησιν ἔχομεν». Μὴ γάρ μοι τὰς κατηγορίας εἴπῃς· τὸ συνειδὸς ἡμῶν, φησίν, οὐδὲν ἡμῶν καταγινώσκει, οὐδὲ σύνισμεν ἑαυτοῖς ὅτι ἐπεβουλεύσαμεν ὑμῖν. «Πεποίθαμεν», γάρ φησιν, «ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι*
25 *καλῶς θέλοντες ἀναστρέφεσθαι». Ἄρα οὐκ ἐν ἐθνικοῖς μόνον, ἀλλὰ καὶ ἐν ὑμῖν. Οὐδὲν μετὰ καπηλείας, οὐδὲν μετὰ ὑποκρίσεως πεποιήκαμεν· εἰκὸς γὰρ ἦν αὐτὸν ταῦτα διαβάλλεσθαι. Καὶ ὅτι διεβέβλητο, ἄκουε Ἰακώβου λέγοντος· «κατηχήθησαν γὰρ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις». Οὐχ ὡς ἐχθρός, φησίν, οὐδὲ ὡς πολέ-*
30 *μιος ταῦτα γράφω, ἀλλ' ὡς φίλος. Καὶ τοῦτο καὶ ἐκ τοῦ ἑξῆς*

2. Πράξ. 21,21.

ἀναλάβη τὸ ἔργο ποὺ τοῦ ἀνέθετε, καὶ ὁ Σαούλ, στὸν ὁποῖο ὁ Θεὸς ἐμπιστεύθηκε τὴν ἐξουσία, παρὰ τὴν ἄρνησί του, κινδύνευσε, ἐπειδὴ δὲν ἔπραξε σωστὰ τὸ καθῆκον του), πόσο μᾶλλον θὰ τιμωρηθοῦν ὅσοι μὲ μανία τὴν ἀναζητοῦν καὶ μόνοι τους τὴν ἐπιδιώκουν; Διότι ἕνας τέτοιος στερεῖ τὸν ἑαυτό του ἀπὸ κάθε ἐλπίδα συγγνώμης. Πράγματι, πρέπει νὰ φοβώμαστε καὶ νὰ τρέμουμε, καὶ ἐξ αἰτίας τῆς συνειδήσεώς μας καὶ ἐξ αἰτίας τοῦ βάρους τῆς ἐξουσίας, καὶ οὔτε νὰ τὴν ἐγκαταλείπουμε, ἐὰν κάποτε μᾶς ἀνατεθῆ, οὔτε ἐὰν δὲν μᾶς ἀνατεθῆ, νὰ τὴν ἐπιδιώκουμε, ἀλλὰ καὶ νὰ τὴν ἀποφεύγουμε, σκεπτόμενοι τὸ μέγεθος τοῦ ἀξιώματος, ἐὰν ὅμως τὴν ἀναλάβουμε, πρέπει νὰ δείχνουμε ὅλη τὴν εὐλάβεια. Ἂς μὴν γίνεται τίποτε πέρα ἀπὸ ἐκεῖνο ποὺ πρέπει, ὅλα ἂς γίνωνται μὲ τάξι. Ἐὰν τὸ προαισθανθῆς, πρὶν γίνης ἄρχοντας, φύγε, ἂν πείσθηκες ὅτι εἶσαι ἀνάξιος γι' αὐτὸ τὸ ἔργο· ἂν πάλι ἔχεις συλληφθῆ, νὰ εἶσαι ἐξ ἴσου προσεκτικός, δείχνοντας παντοῦ τὴν εὐγνωμοσύνη. «Νὰ προσεύχεσθε», λέγει, «καὶ γιὰ μᾶς· ἔχουμε τὴν πεποίθησι, ὅτι ἡ συνείδησίς μας δὲν μᾶς ἐλέγχει γιὰ τίποτε, ἐπειδὴ θέλουμε σὲ ὅλα νὰ συμπεριφερώμαστε σωστά».

2. Βλέπεις ὅτι τὰ γράφει αὐτὰ σὰν ἀπολογία πρὸς ἐκείνους ποὺ ἦταν λυπημένοι μαζί του, ποὺ τὸν ἀποστρέφονταν, ποὺ τὸν θεωροῦσαν παραβάτη καὶ δὲν ἤθελαν οὔτε τὸ ὄνομά του ν' ἀκούσουν. Ἐπειδὴ δηλαδὴ αὐτὸς ζητοῦσε ἀπὸ ἐκείνους ποὺ τὸν μισοῦσαν αὐτὰ ποὺ ὅλοι οἱ ἄλλοι θὰ τὰ ζητοῦσαν ἀπὸ τοὺς καλύτερους φίλους τους, γι' αὐτὸ ἐδῶ τὸ θέτει αὐτὸ λέγοντας· «ἔχουμε τὴν πεποίθησι ὅτι ἡ συνείδησίς μας δὲν μᾶς ἐλέγχει». Μὴν μοὺ ἀναφέρης, σὲ παρακαλῶ, τὶς κατηγορίες· ἡ συνείδησίς μας, λέγει, δὲν μᾶς κατηγορεῖ γιὰ τίποτε, οὔτε αἰσθανόμαστε, ὅτι σᾶς ἐπιβουλευθήκαμε. «Καθόσον ἔχουμε τὴν πεποίθησι», λέγει, «ὅτι ἡ συνείδησίς μας δὲν μᾶς ἐλέγχει γιὰ τίποτε, ἀλλὰ μᾶς διαβεβαιώνει, ὅτι θέλουμε σὲ ὅλα νὰ συμπεριφερώμαστε σωστά». Ἑπομένως, ὄχι μόνο ἀπέναντι στοὺς ἐθνικούς, ἀλλὰ καὶ σ' ἐσᾶς. Ποτὲ δὲν ἐνεργήσαμε μὲ δόλο, ποτὲ μὲ ὑποκρισία· διότι ἦταν φυσικό, νὰ τοῦ ἀποδίδουν αὐτὲς τὶς κατηγορίες. Καὶ γιὰ τὸ ὅτι κατηγορήθηκε ἀπὸ τοὺς Ἑβραίους, ἄκουε τί λέγει ὁ Ἰάκωβος· «πληροφορήθηκαν γιὰ σένα, ὅτι διδάσκεις τὴν ἀποστασία ἀπὸ τὸν νόμο»[2]. Δὲν σοῦ τὰ γράφω, λέγει, σὰν ἐχθρός, ἢ σὰν ἀντίπαλος, ἀλλὰ σὰν φίλος. Καὶ αὐτὸ τὸ φανερώνει καὶ μὲ τὰ παρα-

δηλοῖ· «περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν». Τοῦτο σφόδρα φιλοῦντος ἦν αὐτούς, τὸ οὕτως ἀξιοῦν εὔξασθαι. Μὴ ἁπλῶς, φησίν, ἀλλὰ μετὰ πάσης σπουδῆς· «ὥστε με ταχέως ἐλθεῖν πρὸς ὑμᾶς». Τοῦτο μηδὲν ἑαυτῷ συνειδότος ἐστί, τὸ σπουδάζειν ἐλθεῖν πρὸς αὐτούς, καὶ παρακαλεῖν αὐτοὺς εὔχεσθαι ὑπὲρ αὐτοῦ. Τούτου ἕνεκεν πρῶτον παρ' αὐτῶν αἰτήσας τὰς εὐχάς, τότε καὶ αὐτὸς αὐτοῖς ἐπεύχεται πάντα τὰ ἀγαθά.

«Ὁ δὲ Θεὸς τῆς εἰρήνης», φησί. Τοῦτο εἶπε διὰ τὸ στασιάζειν αὐτούς. Εἰ τοίνυν ὁ Θεός ἐστι, μὴ διαστασιάζετε πρὸς ἡμᾶς. «Ὁ ἀναγαγὼν ἐκ τῆς γῆς τὸν Ποιμένα τῶν προβάτων». Περὶ τῆς ἀναστάσεως τοῦτο εἴρηται. «Τὸν μέγαν». Ἄλλη προσθήκη. Ἐνταῦθα πάλιν μέχρι τέλους τὸν περὶ τῆς ἀναστάσεως αὐτοῖς λόγον διαβεβαιοῦται. «Ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ· εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ». Πάλιν μαρτυρεῖ αὐτοῖς μεγάλα· τὸ γὰρ καταρτιζόμενόν ἐστι τὸ ἀρχὴν ἔχον, εἶτα πληρούμενον. Καὶ ἐπεύχεται αὐτοῖς· ὅπερ ἐστὶ ποθοῦντος. Καὶ ὅρα· ἐν μὲν ταῖς ἄλλαις ἐπιστολαῖς ἐν τοῖς προοιμίοις εὔχεται, ἐνταῦθα δὲ ἐν τῷ τέλει. «Ποιῶν», φησίν, «ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βρεχέων ἐπέστειλα ὑμῖν». Ὁρᾷς ὅτι ὃ μηδενὶ ἐπέστειλε, τοῦτο τούτοις ἐπιστέλλει; «Καὶ γὰρ διὰ βραχέων», φησίν, «ἐπέστειλα»· τουτέστιν, οὐδὲ ἐνοχλῶ ὑμᾶς τῇ μακρολογίᾳ. Οἶμαι αὐτοὺς οὐ πάνυ πρὸς τὸν Τιμόθεον ἔχειν ἀπεχθῶς· ὅθεν καὶ αὐτὸν προεστήσατο. «Γινώσκετε», γάρ φησι, «τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς». «Ἀπολελυμένον», φησί· πόθεν; Οἶμαι αὐτὸν εἰς δεσμωτήριον ἐμβεβλῆσθαι· ἤ, εἰ μὴ τοῦτο, ἀπὸ Ἀθηνῶν ἀπολελυμένον· καὶ γὰρ καὶ τοῦτο ἐν ταῖς Πράξεσι κεῖται. «Ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ πάντας τοὺς ἁγίους.

κάτω· «περισσότερο ὅμως σᾶς παρακαλῶ νὰ τὸ κάνετε αὐτὸ γιὰ μένα, γιὰ νὰ ἔλθω γρηγορώτερα κοντά σας». Αὐτὸ ἔδειχνε ὅτι ὑπερβολικὰ τοὺς ἀγαποῦσε, τὸ ὅτι τοὺς θεωροῦσε ἄξιους νὰ προσεύχωνται γι' αὐτόν. Ὄχι ἁπλῶς, λέγει, ἀλλὰ νὰ προσεύχεσθε μὲ ζῆλο· «γιὰ νὰ ἐπανέλθω τὸ συντομώτερο κοντά σας». Αὐτὸ δείχνει ἄνθρωπο μὲ ἐσωτερικὴ ἐπίγνωσι τῶν πράξεων του, τὸ ὅτι ἐπιθυμεῖ νὰ ἔλθη κοντά τους, καὶ τοὺς παρακαλεῖ νὰ προσεύχωνται γι' αὐτό. Γι' αὐτὸ τὸ λόγο, ἀφοῦ πρῶτα τοὺς ζήτησε τὶς προσευχές τους, κατόπιν τοὺς εὔχεται καὶ ὁ ἴδιος ὅλα τὰ ἀγαθά.

«Καὶ ὁ Θεὸς τῆς εἰρήνης», λέγει. Αὐτὸ τὸ εἶπε, ἐπειδὴ ἐκεῖνοι εἶχαν ξεσηκωθῆ ἐναντίον του. Ἐφ' ὅσον ὁ Θεός μας εἶναι Θεὸς τῆς εἰρήνης, μὴ δημιουργῆτε φατρίες ἐναντίον μας. «Αὐτὸς ποὺ ἀνέστησε ἀπὸ τὴ γῆ τὸν ποιμένα τῶν προβάτων». Αὐτὸ λέχθηκε γιὰ τὴν ἀνάστασι. «Τὸν μέγαν». Νὰ καὶ ἄλλη προσθήκη. Ἐδῶ πάλι μέχρι τέλους τοὺς διαβεβαιώνει μὲ ἐπιμονὴ τὸν λόγο γιὰ τὴν ἀνάστασι τοῦ Κυρίου. «Μὲ τὸ αἷμα αἰώνιας διαθήκης, τὸν Κύριό μας τὸν Ἰησοῦ Χριστό, μακάρι νὰ σᾶς τελειοποιήση σὲ κάθε ἔργο ἀγαθό, ὥστε νὰ κάνετε τὸ θέλημά του, καὶ ἂς ἐνεργῆ μέσα σας αὐτὸ ποὺ τοῦ εἶναι εὐάρεστο ἐνώπιόν του». Πάλι τοὺς δίνει μεγάλες διαβεβαιώσεις· διότι τὸ τελειοποιούμενο εἶναι αὐτὸ ποὺ ἄρχισε νὰ γίνεται τέλειο καὶ θὰ ὁλοκληρωθῆ ἡ τελειότης του μετά. Καὶ τοὺς τὸ εὔχεται αὐτό, πρᾶγμα ποὺ δείχνει ὅτι τοὺς ἀγαπᾶ καὶ ποθεῖ νὰ γίνη αὐτό. Καὶ πρόσεχε· στὶς ἄλλες ἐπιστολὲς δίνει τὶς εὐχὲς στὴν ἀρχή, ἐνῶ ἐδῶ στὸ τέλος. «Εὔχομαι νὰ ἐνεργῆ μέσα σας», λέγει, «ἐκεῖνο ποὺ εἶναι εὐάρεστο σ' αὐτόν, διὰ τοῦ Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Σᾶς παρακαλῶ, ἀδελφοί μου, νὰ ἀνεχθῆτε τὸν λόγο τῆς παρακλήσεώς μου· ἐξ' ἄλλου σᾶς ἔγραψα μὲ λίγα λόγια». Βλέπεις ὅτι ἐκεῖνο ποὺ δὲν ἔγραψε σὲ κανέναν, αὐτὸ τὸ γράφει σ' αὐτούς; Διότι λέγει, «σᾶς ἔγραψα μὲ λίγα λόγια»· δηλαδή, οὔτε σᾶς κουράζω μὲ τὴν πολυλογία. Νομίζω ὅτι αὐτοὶ δὲν μισοῦσαν πάρα πολὺ τὸν Τιμόθεο· γι' αὐτὸ καὶ τὸν πρόβαλε ὡς δικαιολογία. «Μάθετε», λέγει, «ὅτι ὁ ἀδελφὸς Τιμόθεος εἶναι ἤδη ἐλεύθερος, καὶ μαζὶ μ' αὐτόν, ἐὰν ἔλθη γρήγορα, θὰ σᾶς δῶ» «Ἔχει ἐλευθερωθῆ», λέγει. Ἀπὸ ποῦ; Νομίζω ὅτι εἶχε φυλακισθῆ· ἤ, ἐὰν ὄχι αὐτό, ἐννοεῖ ὅτι εἶχε φύγει ἀπὸ τὴν Ἀθήνα· καθόσον καὶ αὐτὸ ἀναφέρεται στὶς πράξεις τῶν Ἀποστόλων. «Ἀσπασθῆτε ὅλους τοὺς προϊσταμένους σας καὶ ὅλους τοὺς

Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν».

Ὁρᾷς πῶς δείκνυσι τὴν ἀρετὴν οὔτε ἐκ τοῦ Θεοῦ τὸ ὅλον, οὔτε ἐξ ἡμῶν μόνον κατορθουμένην; τῷ γὰρ εἰπεῖν· «καταρτίσαι 5 ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ», καὶ τὰ ἑξῆς, τοῦτο δηλοῖ· ὡσεὶ ἔλεγεν· Ἔχετε μὲν ἀρετήν, δεῖσθε δὲ πληρώσεως. Εἰπὼν δὲ «ἔργῳ καὶ λόγῳ ἀγαθῷ», ἔδειξεν ὅτι καὶ βίον ὀρθὸν ἔχειν δεῖ καὶ δόγματα. Καλῶς δὲ προσέθηκε τό, «ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ». «Ἐνώπιον αὐτοῦ», φησίν· αὕτη γὰρ ἡ μεγίστη ἀρετή, 10 ποιεῖν ἐνώπιον τοῦ Θεοῦ τὸ εὐάρεστον· καθὰ καὶ ὁ Προφήτης λέγει· «καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ». Τοσαῦτα δὲ γράψας, ὀλίγα αὐτὰ ἔφησεν εἶναι, σύγκρισιν ποιῶν πρὸς ἃ ἔμελλε λέγειν· καθὰ καὶ ἀλλαχοῦ φησι, «καθὼς ἔγραψα ὑμῖν ἐν ὀλίγῳ· πρὸς ὃ δύνασθε ἀναγινώσκοντες 15 νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ».

Καὶ ὅρα αὐτοῦ τὴν σοφίαν· οὐ λέγει, «παρακαλῶ ὑμᾶς ἀνέχεσθε» 'τοῦ λόγου τῆς παραινέσεως', ἀλλά, «τοῦ λόγου τῆς παρακλήσεως»· τουτέστι, τῆς παραμυθίας, τῆς προτροπῆς. Οὐκ ἔχει τις, φησί, πρὸς τὸ μῆκος ἀπαγορεῦσαι τῶν λεχθέντων. Τί οὖν; καὶ τοῦ-20 το ἦν ὃ ἐποίει αὐτοὺς ἀποστρέφεσθαι; Οὐδαμῶς· ἀλλ' οὐ βούλεται αὐτοῖς ἐνδείξασθαι, καὶ εἰπεῖν ὅτι ὀλιγοψυχεῖτε· τῶν γὰρ τοιούτων ἴδιον τὸ μὴ ἀνέχεσθαι λόγου μακροῦ. «Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς». Τοῦτο ἱκανὸν αὐτοὺς πεῖσαι καθυφεῖναι, εἰ ἕτοιμός ἐστιν ἐλθεῖν 25 μετὰ τοῦ μαθητοῦ. «Ἀσπάσασθε τοὺς ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους». Ὅρα πῶς αὐτοὺς ἐτίμησεν, εἴγε ἐκείνοις ἐπέστειλεν ἀντ' ἐκείνων. «Ἀσπάζονται ὑμᾶς οἱ ἐκ τῆς Ἰταλίας». Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν». Ὅπερ ἦν κοινὸν ἁπάντων, τοῦτο ὕστερον εἶπεν. Ἡ χάρις δὲ πῶς γίνεται μεθ' ἡμῶν; Ἂν μὴ ὑβρί-

3. Ψαλμ. 17,21.
4. Ἐφ. 3,3–4.

πιστούς. Σᾶς ἀσπάζονται οἱ ἀδελφοί, ποὺ κατάγονται ἀπὸ τὴν Ἰταλία. Ἡ χάρις τοῦ Θεοῦ ἂς εἶναι μὲ ὅλους σας. Ἀμήν».

Βλέπεις πῶς δείχνει ὅτι ἡ πραγμάτωσις τῆς ἀρετῆς δὲν εἶναι ὑπόθεσις οὔτε τοῦ Θεοῦ μόνο, οὔτε μόνο δική μας; Διότι μὲ τὸ νὰ πῆ, «νὰ σᾶς τελειοποιήση σὲ κάθε ἀγαθὸ ἔργο», καὶ τὰ παρακάτω αὐτὸ δηλώνουν· σὰν νὰ τοὺς ἔλεγε. Ἔχετε βέβαια ἀρετή, χρειάζεται ὅμως νὰ τὴν τελειοποιήσετε. Καὶ μ' αὐτὸ ποὺ εἶπε, «νὰ σᾶς τελειοποιήση σὲ κάθε ἔργο καὶ λόγο ἀγαθό», ἔδειξε ὅτι πρέπει νὰ ἔχουν καὶ ἐνάρετη ζωὴ καὶ πίστι ὀρθή. Καὶ σωστὰ πρόσθεσε τὸ «μακάρι νὰ ἐνεργήση μέσα σας ὁ Θεὸς αὐτὸ ποὺ εἶναι εὐχάριστο ἐνώπιόν του». «Ἐνώπιόν του», λέγει· διότι αὐτὴ εἶναι ἡ μεγίστη ἀρετή, τὸ νὰ κάνη κανεὶς ἐνώπιον τοῦ Θεοῦ, αὐτὸ ποὺ τοῦ εἶναι εὐχάριστο· καθὼς καὶ ὁ προφήτης λέγει· «καὶ σύμφωνα μὲ τὴν καθαρότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν του θὰ μὲ ἀνταμείψη»[3]. Καὶ ἐνῶ ἔγραψε τόσα πολλά, εἶπε ὅτι εἶναι λίγα αὐτά, συγκρίνοντάς τα πρὸς ἐκεῖνα ποὺ θὰ ἤθελε νὰ πῆ· ὅπως καὶ ἀλλοῦ λέγει, «ὅπως σᾶς ἔγραψα σύντομα καὶ προηγουμένως· καὶ σύμφωνα μὲ ὅσα σᾶς ἔγραψα μπορεῖτε διαβάζοντάς τὰ ν' ἀντιληφθῆτε τὴν τέλεια γνῶσι, ποὺ ἔχω γιὰ τὴν ἀλήθεια ποὺ μοῦ ἀποκαλύφθηκε διὰ τοῦ μυστηρίου τοῦ Χριστοῦ»[4].

Καὶ πρόσεχε τὴ σοφία του· δὲν λέγει, 'σᾶς παρακαλῶ νὰ ἀνέχεσθε τὸν λόγο τῆς παραινέσεως', ἀλλὰ τὸν λόγο τῆς παρακλήσεως»· δηλαδή, τῆς παρηγοριᾶς, τῆς προτροπῆς. Διότι δὲν εἶναι δυνατό, λέγει, κανεὶς ν' ἀποκάμη ἀπὸ τὸ μῆκος τῶν λεχθέντων. Τί λοιπόν; Καὶ αὐτὸ ἦταν ἐκεῖνο ποὺ τοὺς ἔκανε νὰ τὸν ἀποστρέφωνται; Καθόλου· ἀλλὰ δὲν θέλει νὰ τοὺς δείξη καὶ νὰ τοὺς πῆ, 'εἶσθε ὀλιγόψυχοι'· διότι γνώρισμα αὐτῶν τῶν ἀνθρώπων εἶναι τὸ νὰ μὴν δέχωνται τὰ πολλὰ λόγια. «Μάθετε γιὰ τὸν ἀδελφὸ Τιμόθεο ὅτι ἔχει ἐλευθερωθῆ. Θὰ σᾶς δῶ μαζὶ μ' αὐτόν, ἐὰν ἔλθη γρήγορα νὰ μὲ συναντήση». Αὐτὸ εἶναι ἀρκετὸ γιὰ νὰ τοὺς κάνη πιὸ ὑπομονητικούς, ἐφόσον εἶναι ἕτοιμος νὰ ἔλθη μὲ τὸν μαθητή. «Ἀσπασθῆτε τοὺς προϊσταμένους σας, καὶ ὅλους τοὺς πιστούς». Κοίταξε πῶς τοὺς τίμησε, ἀφοῦ ἔγραψε σ' αὐτοὺς καὶ ὄχι στοὺς προϊσταμένους τους. «Σᾶς ἀσπάζονται οἱ ἀδελφοὶ ποὺ κατάγονται ἀπὸ τὴν Ἰταλία. Ἡ χάρις τοῦ Κυρίου ἂς εἶναι μὲ ὅλους σας. Ἀμήν». Αὐτὸ ποὺ ἦταν κοινὸ καλὸ γιὰ ὅλους, τὸ εἶπε τελευταῖα. Ἡ χάρις ὅμως πῶς θὰ εἶ-

σωμεν εἰς τὴν εὐεργεσίαν, ἂν μὴ ῥᾴθυμοι γενώμεθα περὶ τὴν δωρεάν.

Καὶ τί ἐστιν ἡ χάρις, φησίν; Ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ κάθαρσις· αὕτη γὰρ μεθ' ἡμῶν ἐστι. Τίς γάρ, φησίν, ὑβρικῶς δύναται
5 *φυλάξαι τὴν χάριν καὶ οὐκ ἀπόλλυσιν αὐτήν; Οἷόν ἐχαρίσατό σοι τὰ ἁμαρτήματα· πῶς οὖν ἔσται μετὰ σοῦ ἡ χάρις, τουτέστιν, ἡ εὐδοκίμησις, ἢ ἡ τοῦ Πνεύματος ἐνέργεια, ἂν μὴ διὰ τῶν ἀγαθῶν πράξεων αὐτὴν ἐπισπάσῃ; Τοῦτο γὰρ πάντων αἴτιον ἀγαθῶν, τὸ παραμένειν ἡμῖν ἀεὶ τὴν χάριν τοῦ Πνεύματος· αὕτη γὰρ πρὸς*
10 *ἅπαντα ἡμᾶς ὁδηγεῖ, ὥσπερ οὖν ὅταν ἀποπτῇ ἡμῶν, ἀπόλλυσιν ἡμᾶς καὶ ἐρήμους ποιεῖ.*

3. Μὴ δὴ αὐτὴν ἀποκρουσώμεθα· ἐν ἡμῖν γάρ ἐστι καὶ μένειν αὐτήν, καὶ ἀπελθεῖν. Τὸ μὲν γάρ, ὅταν τὰ οὐράνια λογιζώμεθα, γίνεται· τὸ δέ, ὅταν τὰ βιωτικά. «Ὃ ὁ κόσμος», φησίν, «οὐ δύναται
15 *λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό». «Κόσμον» τὸν πονηρὸν καὶ αἰσχρὸν βίον καλεῖ. Ὁρᾷς ὅτι οὐκ ἔστι κοσμικῆς ψυχῆς τὸ ἔχειν αὐτό; Πολλῆς τοίνυν ἡμῖν δεῖ τῆς σπουδῆς, ὥστε αὐτὸ κατασχεθῆναι παρ' ἡμῶν, ὥστε πάντα τὰ ἡμέτερα οἰκονομεῖν, καὶ ἐν ἀσφαλείᾳ ποιεῖν καὶ ἐν εἰρήνῃ πολλῇ. Ὥσπερ γὰρ τὴν ἐξ οὐ-*
20 *ρίων πλέουσαν ναῦν οὐκ ἔστιν οὔτε ἐμποδισθῆναι, οὔτε βαπτισθῆναι, ἕως ἂν ἀπολαύῃ δεξιοῦ τοῦ πνεύματος καὶ διηνεκοῦς, ἀλλὰ καὶ πολλὴν μετὰ τὴν κάθοδον ἐπιδόσεως δόξαν παρέχεται τοῖς τε ναύταις, τοῖς τε ἐπιβάταις, τοὺς μὲν διαναπαύουσα καὶ οὐκ ἐῶσα ταῖς κώπαις προσταλαιπωρεῖν, τοὺς δὲ παντὸς ἀπαλλάττουσα δέους,*
25 *καὶ θέαμα ἥδιστον τὸν αὐτῆς παρεχομένη δρόμον· οὕτω καὶ ψυχὴ τῷ θείῳ ὠχυρωμένη Πνεύματι, πάντως μὲν ἔστιν ἀνωτέρα τῶν τρικυμιῶν τῶν βιωτικῶν, τὴν δὲ ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδὸν σφοδρότερον ἐκείνης τέμνει τῆς νεώς, ἅτε οὐχ ὑπ' ἀνέμου παραπεμπομένη, ἀλλ' ὑπ' αὐτοῦ τοῦ Παρακλήτου πεπληρωμένα ἔχουσα*
30 *τὰ ἱστία πάντα καὶ καθαρά, καὶ πᾶν χαῦνον καὶ διαλελυμένον ἐκβάλλει ἐκ τῆς διανοίας τῆς ἡμετέρας.*

Ὥσπερ γὰρ εἰς χαῦνον ἱστίον ἐμπίπτων ὁ ἄνεμος, οὐκ ἂν

5. Ἰω. 14,17.

ναι μαζί μας; Ἂν δὲν ὑβρίζουμε ὅταν μᾶς εὐεργετοῦν, ἂν δὲν εἶμαστε ἀδιάφοροι ἀπέναντι στὴ δωρεά.

Καὶ τί εἶναι, λέγει, ἡ χάρις; Ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ κάθαρσις· διότι αὐτὴ εἶναι μαζί μας. Ποιός εἶναι αὐτός, λέγει, ποὺ ἐνῶ τὴν πρόσβαλε, μπορεῖ νὰ τὴν διατηρήση καὶ νὰ μὴν τὴν χάση; Ὅπως, σοῦ χάρισε τὶς ἁμαρτίες ὁ Θεός· πῶς θὰ εἶναι μαζί σου ἡ χάρις, δηλαδή, ἡ εὐδοκίμησις στὴν ἀρετή, ἡ βοήθεια τοῦ Πνεύματος, ἐὰν δὲν τὴν ἐπισύρης μὲ τὶς καλές σου πράξεις; Διότι αὐτὴ εἶναι ἡ αἰτία ὅλων τῶν ἀγαθῶν, τὸ νὰ εἶναι διαρκῶς μαζί μας ἡ χάρις τοῦ Πνεύματος· καθόσον αὐτὴ μᾶς καθοδηγεῖ σὲ ὅλα, ὅπως καὶ μᾶς καταστρέφει καὶ μᾶς ἀπογυμνώνει ἡ ἀπομάκρυνσίς της ἀπὸ ἐμᾶς.

3. Ἂς μὴν ἀπομακρύνουμε λοιπὸν τὴ χάρι· διότι ἀπὸ ἐμᾶς ἐξαρτᾶται τὸ νὰ παραμείνη ἢ ν' ἀπομακρυνθῆ. Τὸ πρῶτο γίνεται ὅταν σκεπτώμαστε τὰ οὐράνια, τὸ δεύτερο, ὅταν προσηλωνώμαστε στὰ ἐπίγεια. «Αὐτὸ τὸ Πνεῦμα», λέγει, «ὁ κόσμος δὲν μπορεῖ νὰ τὸ λάβη, διότι δὲν τὸ βλέπει μὲ τὰ αἰσθητὰ μάτια καὶ δὲν τὸ διακρίνει»[5]. «Κόσμο» ὀνομάζει τὸν πονηρὸ καὶ αἰσχρὸ βίο. Βλέπεις, ὅτι δὲν εἶναι δυνατὸ ἡ κοσμικὴ ψυχὴ νὰ ἔχη τὴ χάρι τοῦ Πνεύματος; Χρειάζεται λοιπὸν νὰ καταβάλουμε μεγάλη προσπάθεια, γιὰ νὰ μπορέσουμε νὰ τὸ διατηρήσουμε, γιὰ νὰ μᾶς κατευθύνη σὲ ὅλα, νὰ εἴμαστε ἀσφαλεῖς καὶ νὰ ἔχουμε πολλὴ ἐσωτερικὴ εἰρήνη. Διότι, ὅπως τὸ πλοῖο ποὺ κατευθύνεται ἀπὸ εὐνοϊκοὺς ἀνέμους, δὲν εἶναι δυνατό, οὔτε νὰ συναντήση κάποιο ἐμπόδιο, οὔτε νὰ καταβυθισθῆ, ἐφ' ὅσον ὁ ἄνεμος εἶναι εὐνοϊκὸς καὶ ἀδιάκοπος, ἀλλὰ καὶ πολλὴ δόξα μετὰ τὴν ἐπιστροφὴ προσφέρει καὶ στοὺς ναῦτες καὶ στοὺς ἐπιβάτες, στοὺς ναῦτες προσφέρει τὴν ἀνάπαυσι, ἀπαλλάσσοντάς τους ἀπὸ τὴν ταλαιπωρία τῆς κωπηλασίας, ἐνῶ τοὺς ἐπιβάτες τοὺς ἀπαλλάσσει ἀπὸ κάθε φόβο καὶ τοὺς προσφέρει σ' ὅλο τὸ ταξίδι πάρα πολὺ εὐχάριστο θέαμα· ἔτσι καὶ ἡ ψυχὴ ποὺ εἶναι ὀχυρωμένη μὲ τὸ θεῖο Πνεῦμα, ὁπωσδήποτε ξεπερνᾶ τὶς τρικυμίες τῆς ζωῆς, καὶ τὴν ὁδὸ ποὺ ὁδηγεῖ στὸν οὐρανὸ τὴν διασχίζει πιὸ ἄνετα ἀπὸ ἐκεῖνο τὸ πλοῖο, ἐφ' ὅσον δὲν προπέμπεται ἀπὸ τὸν ἄνεμο, ἀλλὰ ἀπὸ τὸν ἴδιο τὸν Παράκλητο, ἔχοντας φουσκωμένα καὶ καθαρὰ ὅλα τὰ πανιά, καὶ κάθε τι χαλαρωμένο καὶ διαλυμένο ὁ Παράκλητος τὸ ἀπομακρύνει ἀπὸ τὴ σκέψι μας.

Πράγματι, ὅπως ὁ ἄνεμος δὲν θὰ ἐνεργοῦσε ἐὰν ἔπνεε σὲ χα-

ἐνεργήσειεν· οὕτως οὐδὲ τὸ Πνεῦμα εἰς χαύνην ψυχὴν παραμένειν ἀνέχεται, ἀλλὰ δεῖ πολλῆς τῆς τάσεως, τῆς σφοδρότητος. Ὥστε πεπυρωμένην ἡμῖν εἶναι χρὴ τὴν διάνοιαν καὶ πανταχοῦ τετάσθαι ἡμῶν τὰ ἔργα καὶ τετονῶσθαι· οἷόν, ὅταν εὐχώμεθα, μετὰ πολλῆς
5 *τοῦτο τῆς στάσεως δεῖ ποιεῖν, ἀποτείνοντας πρὸς τὸν οὐρανὸν τὴν ψυχήν, οὐ σχοινίοις, ἀλλὰ προθυμίᾳ σφοδρᾷ. Ὅταν ἐλεῶμεν πάλιν, τάσεως ἡμῖν δεῖ, μήποτε φροντὶς οἰκίας καὶ προστασία παίδων καὶ γυναικὸς ἐπιμέλεια καὶ δέος πενίας ἐπεισελθόν, χαυνώσῃ τὸ ἱστίον. Ἂν γὰρ τῇ τῶν μελλόντων ἐλπίδι τείνωμεν αὐτὸ πάντοθεν,*
10 *καλῶς δέχεται τοῦ Πνεύματος τὴν ἐνέργειαν· ἐκείνων δὲ τῶν ἐπικήρων καὶ ταλαιπώρων οὐδὲν εἰς αὐτὴν ἐμπεσεῖται, ἀλλὰ κἂν ἐμπέσῃ, αὐτὴν μὲν οὐδὲν ἔβλαψεν, ἀπεκρούσθη δὲ ταχέως τῷ στεγανῷ καὶ ἐξέπεσεν ἀποτιναχθέν.*

Διὰ τοῦτο τοίνυν πολλῆς ἡμῖν δεῖ τῆς τάσεως· καὶ γὰρ καὶ
15 *ἡμεῖς θάλατταν πλέομεν μεγάλην καὶ εὐρύχωρον, πολλῶν μὲν θηρίων γέμουσαν, πολλῶν δὲ σκοπέλων, πολλοὺς δὲ ἡμῖν χειμῶνας τίκτουσαν, καὶ ἐξ αἰθρίας μέσης χαλεπωτάτην ζάλην ἐπεγείρουσαν. Δεῖ τοίνυν, εἴγε βουλοίμεθα μετὰ εὐμαρείας πλεῖν καὶ ἀκινδύνως, τείνειν τὰ ἱστία, τουτέστι, τὴν προαίρεσιν τὴν ἡμετέραν· ἀρκεῖ γὰρ*
20 *ἡμῖν τοῦτο· ἐπεὶ καὶ ὁ Ἀβραάμ, ἐπειδὴ τὸν πόθον ἔτεινε πρὸς τὸν Θεόν, καὶ τὴν προαίρεσιν παρέστησεν ἀπηρτισμένην, τίνος ἑτέρου ἐδεήθη; οὐδενός, «ἀλλ' ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Ἡ δὲ πίστις προαιρέσεως γνησίας ἐστίν. Ἀνήνεγκε τὸν υἱόν, καὶ μὴ σφάξας, τὴν τοῦ σφάξαντος ἀμοιβὴν ἐδέξατο, καὶ*
25 *τοῦ ἔργου μὴ γενομένου ὁ μισθὸς ἐδίδοτο.*

Ἔστω τοίνυν ἡμῖν καθαρὰ καὶ καινὰ τὰ ἱστία, μὴ πεπαλαιωμένα· «πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ»· μὴ ἐκτετρημένα, ὥστε στέγειν τοῦ Πνεύματος τὴν ἐνέργειαν· «ψυχικὸς γὰρ ἄνθρωπος», φησίν, «οὐ δέχεται τὰ τοῦ Πνεύματος».
30 *Ὥσπερ γὰρ τὰ τῶν ἀραχνῶν ὑφάσματα Πνεύματος ῥύμην οὐκ ἂν δέξαιτο· οὕτως οὐδὲ ψυχὴ βιωτική, οὐδὲ ἄνθρωπος ψυχικὸς Πνεύματος χάριν δέξασθαι δυνήσεταί ποτε. Ἐκείνων γὰρ οὐδὲν διεστή-*

6. Γεν. 15,6.
7. Ἑβρ. 8,13.

λαρωμένο πανί, ἔτσι οὔτε τὸ Πνεῦμα ἀνέχεται νὰ παραμένη σὲ ἀναιδῆ ψυχή, ἀλλὰ θέλει ψυχὴ διεγειρμένη, γεμάτη δραστηριότητα. Ἑπομένως, ἡ σκέψις μας πρέπει νὰ πυρπολῆται, καὶ τὰ ἔργα μας παντοῦ νὰ μᾶς διεγείρουν καὶ νὰ μᾶς ἐνισχύουν· παραδείγματος χάριν, ὅταν προσευχώμαστε νὰ τὸ κάνουμε μὲ πολλὴ δύναμι, ὑψώνοντας πρὸς τὸν οὐρανὸ τὴν ψυχή, ὄχι μὲ σχοινιά, ἀλλὰ μὲ μεγάλη προθυμία. Ὅταν ἐλεοῦμε πάλι χρειαζόμαστε δύναμι, μήπως ἡ φροντίδα τοῦ σπιτιοῦ, καὶ ἡ προστασία τῶν παιδιῶν, καὶ ἡ ἐπιμέλεια τῆς συζύγου, καὶ ὁ φόβος τῆς φτώχειας εἰσχωρήσουν καὶ χαλαρώσουν τὸ πανί. Διότι, ὅταν ἀπὸ παντοῦ τὸ τεντώνουμε καλά, μὲ τὴν ἐλπίδα τῶν ἀγαθῶν τοῦ μέλλοντος, δέχεται τὴν ἐπενέργεια τοῦ Πνεύματος καλά· τίποτε ἀπὸ ἐκεῖνα τὰ ἐφήμερα καὶ δυσάρεστα δὲν θὰ εἰσέλθη σ' αὐτήν, ἀλλὰ καὶ ἂν εἰσέλθη, τὴν ψυχὴ δὲν τὴν ἔβλαψε, ἀλλὰ καὶ ἀποκρούσθηκε γρήγορα χάρις στὴ γερὴ ἀσφάλειά της καὶ ἀποκρουόμενο ἔτσι ἀπομακρύνθηκε.

Γι' αὐτὸ λοιπὸν χρειαζόμαστε μεγάλη ἐπαγρύπνησι· ἐπειδὴ κι' ἐμεῖς πλέουμε σὲ μεγάλη κι' εὐρύχωρη θάλασσα, ποὺ εἶναι γεμάτη μὲ πολλὰ θηρία καὶ πολλοὺς σκοπέλους καὶ μᾶς προξενεῖ πολλὲς τρικυμίες, ξεσηκώνοντας σὲ αἴθριο καιρὸ ἰσχυρότατη ζάλη. Πρέπει λοιπόν, ἐὰν θέλουμε νὰ πλέουμε μὲ ἄνεσι καὶ χωρὶς κινδύνους, νὰ τεντώνουμε τὰ πανιά μας, δηλαδὴ τὴ διάθεσί μας· καὶ αὐτὸ μᾶς ἀρκεῖ· διότι καὶ ὁ Ἀβραάμ, ὅταν ἔτεινε τὸν πόθο πρὸς τὸν Θεὸ καὶ παρουσίασε ὁλοκληρωμένη διάθεσι, τίνος ἄλλου εἶχε ἀνάγκη; Κανενός, «ἀλλὰ πίστεψε στὸν Θεὸ καὶ ἡ πίστις του θεωρήθηκε σὰν μεγάλη ἀρετή»[6]. Ἡ πίστις εἶναι ἀποτέλεσμα τῆς γνήσιας διαθέσεως. Πρόσφερε τὸν υἱό του, καὶ ἐνῶ δὲν τὸν ἔσφαξε, ἀμείφθηκε σὰν νὰ τὸν ἔσφαξε, καὶ ἐνῶ τὸ ἔργο δὲν ἔγινε, ὁ μισθὸς δόθηκε.

Ἂς εἶναι λοιπὸν καθαρὰ καὶ καινούργια τὰ πανιά μας καὶ ὄχι ἄχρηστα· «διότι κάθε τι ποὺ παλιώνει καὶ γηράσκει πλησιάζει στὸν ἀφανισμό»[7]· ἂς μὴν εἶναι κατατρυπημένα, γιὰ νὰ διατηρήσουν τὴν ἐνέργεια τοῦ Πνεύματος· διότι λέγει, «ὁ φυσικὸς καὶ μὴ ἀναγεννημένος ἄνθρωπος, δὲν δέχεται ἐκεῖνα ποὺ διδάσκει τὸ Πνεῦμα τοῦ Θεοῦ». Πράγματι, ὅπως οἱ ἱστοὶ τῶν ἀραχνῶν δὲν ἀντέχουν τὴν ὁρμὴ τοῦ ἀνέμου, ἔτσι οὔτε ἡ κοσμικὴ ψυχή, οὔτε ὁ ψυχικὸς ἄνθρωπος θὰ μπορέση ποτὲ νὰ δεχθῆ τὴ χάρι τοῦ Πνεύματος. Διότι σὲ τίποτε δὲν διαφέρουν οἱ δικοί μας λογισμοὶ ἀπὸ τοὺς ἱστούς, φαινο-

κασιν ἡμῶν οἱ λογισμοί, ὄψει μὲν μόνον ἀκολουθίαν σώζοντες, δυνάμεως δὲ ἀπεστερημένοι πάσης. Ἀλλ᾽ οὐ τὰ ἡμέτερα τοιαῦτα, ἐὰν νήφωμεν· ἀλλὰ ὅπερ ἂν ἐμπέσῃ, πάντα στέγει καὶ πάντων ἐστὶν ἀνώτερος, πάσης ἴλιγγος ἰσχυρότερος.

5 *Ἔστω γάρ τις πνευματικὸς ἀνὴρ καὶ μυρία αὐτῷ συμπιπτέτω δεινά· ἀλλ᾽ οὐδενὶ τούτων ἁλίσκεται. Καὶ τί λέγω; ἐπαγέσθω πενία, νόσος, ὕβρεις, λοιδορίαι, σκώμματα, πληγαί, πᾶν εἶδος κολάσεως, πᾶν εἶδος χλευασίας καὶ ὀνειδισμῶν καὶ ὕβρεων· ἀλλ᾽ ὥσπερ ἐκτὸς ὢν τῆς οἰκουμένης καὶ τῶν τοῦ σώματος ἀπηλλα-*
10 *γμένος παθῶν, οὕτως ἁπάντων καταγελάσεται. Καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, πολλοὺς μὲν οἶμαι εἶναι καὶ νῦν· οἷον, τῶν τὰς ἐρημίας κατειληφότων. Ἀλλ᾽ οὐδὲν θαυμαστόν, φησίν. Ἐγὼ δὲ λέγω, καὶ τῶν ἐν ταῖς πόλεσιν ἀνυπονοήτους ἄνδρας εἶναι τοιούτους. Εἰ δὲ βούλει, καὶ τῶν πάλαι τινὰς ἐπιδεῖξαι δυνήσομαι. Καὶ ἵνα μάθῃς,*
15 *ἐννόει μοι τὸν Παῦλον· τί μὲν οὐκ ἔπαθε δεινόν, τί δὲ οὐχ ὑπέστη; ἀλλὰ πάντα ἔφερε γενναίως. Τοῦτον δὴ μιμησώμεθα καὶ ἡμεῖς· οὕτω γὰρ δυνησόμεθα καὶ ἐνώπιον τοῦ Θεοῦ εὐαρεστῆσαι καὶ πρὸς τοὺς λιμένας καταχθῆναι τοὺς εὐδιεινοὺς μετὰ πολλῆς τῆς ἐμπορίας.*

20 *Τείνωμεν τοίνυν τὴν διάνοιαν ἡμῶν πρὸς τὸν οὐρανόν, τῷ πόθῳ κατασχεθῶμεν ἐκείνῳ, τῷ πυρὶ περιβάλωμεν ἑαυτοὺς τῷ πνευματικῷ, τῇ φλογὶ διαζώσωμεν ἑαυτούς. Οὐδεὶς φλόγα ἐπιφερόμενος δέδοικε τοὺς ἀπαντῶντας· κἂν θηρίον ᾖ, κἂν ἄνθρωπος, κἂν μυρίαι παγίδες, ἕως πεπυρωμένος ᾖ, πάντα ὑπεξίσταται, πάν-*
25 *τα παραχωρεῖ. Ἀνύποιστος ἡ φλόξ, ἀφόρητος ἡ πυρά, πάντα καταναλίσκει. Τοῦτο τὸ πῦρ περιβάλωμεν ἑαυτούς, καὶ δόξαν ἀναπέμψωμεν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, μεθ᾽ οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

μενικὰ μόνο δείχνουν τὴ συνοχή τους, ἐνῶ στεροῦνται κάθε δύναμι. Ὅμως δὲν εἶναι τὰ δικά μας τέτοια, ἐὰν προσέχουμε, ἀλλά, ὅ,τι κι' ἂν συμβῆ, ὅλα τὰ ὑπομένει ὁ πνευματικὸς ἄνθρωπος κι' ὅλα τὰ ξεπερνᾶ καὶ ἀποδεικνύεται ἰσχυρότερος ἀπὸ κάθε τρικυμία.

Ἂν κάποιος δηλαδὴ εἶναι πνευματικὸς ἄνθρωπος καὶ πέσουν ἐπάνω του ἀναρίθμητα κακά, τίποτε ἀπὸ αὐτὰ δὲν θὰ τὸν αἰχμαλωτίση. Καὶ τί λέγω; Ἂς ἔλθη ἡ φτώχεια, ἡ ἀσθένεια, οἱ ὕβρεις, οἱ λοιδορίες, οἱ ἐμπαιγμοί, οἱ πληγές, κάθε εἶδος κολάσεως, κάθε εἶδος ἐμπαιγμοῦ καὶ ὀνειδισμῶν καὶ ὕβρεων· αὐτὸς ὅμως, σὰν νὰ εἶναι ἔξω ἀπὸ ὅλον τὸν κόσμο καὶ ἀπαλλαγμένος ἀπὸ τὰ σωματικὰ πάθη, ἔτσι ὅλα θὰ τὰ περιγελάση. Καὶ ὅτι δὲν εἶναι ὑπερβολικὰ τὰ λόγια μου, γνωρίζω ὅτι καὶ τώρα ὑπάρχουν πολλοί, ὅπως ἐκεῖνοι, ποὺ ζοῦν στὶς ἐρήμους. Ὅμως, λέγει, δὲν εἶναι καθόλου ἀξιοθαύμαστο αὐτό. Ἀλλὰ σᾶς λέγω, ὅτι καὶ στὶς πόλεις ὑπάρχουν τέτοιοι ἄνθρωποι, τοὺς ὁποίους δὲν μπορεῖ κανεὶς νὰ ὑποπτευθῆ. Ἐὰν ὅμως θέλης θὰ σοῦ δείξω μερικοὺς ἀπὸ ἐκείνους ποὺ ἔζησαν παλαιότερα. Καὶ γιὰ νὰ τὸ καταλάβης, σοῦ ἀναφέρω τὸν Παῦλο. Ποιό κακὸ δὲν ἔπαθε καὶ τί δὲν ὑπέφερε; Ὅμως, ὅλα τὰ ὑπέμεινε μὲ γενναιότητα. Ἂς τὸν μιμηθοῦμε λοιπὸν κι' ἐμεῖς· διότι ἔτσι θὰ μπορέσουμε νὰ εὐαρεστήσουμε τὸν Θεό, καὶ νὰ προσορμισθοῦμε σὲ γαλήνια λιμάνια μὲ πολλοὺς θησαυρούς.

Ἂς ὑψώσουμε λοιπὸν τὴ διάνοιά μας πρὸς τὸν οὐρανό, αὐτὸν τὸν πόθο μόνο ἂς ἔχουμε, ἂς περιβάλουμε τοὺς ἑαυτούς μας μὲ τὸ πνευματικὸ πῦρ, καὶ ἂς διασώσουμε τοὺς ἑαυτούς μας ἀπὸ τὸ πῦρ τῆς κολάσεως. Κανεὶς δὲν φοβᾶται ἐκείνους ποὺ συναντᾶ, ὅταν ὁρμᾶ ἐναντίον τους μ' αὐτὴ τὴ φλόγα. Κι' ἂν εἶναι θηρίο, ἢ ἄνθρωπος, ἢ μύριες παγίδες, ὅσο εἶναι ὁπλισμένος μ' αὐτὴ τὴ φλόγα, ὅλα ὑποχωροῦν, ὅλα ἀπομακρύνονται. Εἶναι ἀφόρητη ἡ φλόγα, ἀνυπόφορη ἡ πυρά, ὅλα τὰ κατατρώει. Μ' αὐτὴ τὴ φλόγα ἂς περιβάλουμε τοὺς ἑαυτούς μας καὶ ἂς δοξάσουμε τὸν Κύριό μας Ἰησοῦ Χριστό, μαζὶ μὲ τὸν ὁποῖο, στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΙ Α'-Ζ'

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

ΜΕΤΑ ΤΑΣ ΚΑΛΑΝΔΑΣ ΤΗι ΕΞΗΣ ΕΝ ΑΝΤΙΟΧΕΙΑι ΛΕΧΘΕΙΣ

Κατὰ μεθυόντων, καὶ περὶ τῶν εἰς καπηλεῖα εἰσιόντων καὶ εἰς τὴν πόλιν χορείας τελούντων, καὶ ὅτι τὸν διδάσκαλον οὐ χρὴ ἀπογινώσκειν τῶν μαθητῶν, κἂν πρὸς τὸ παρὸν μὴ πείθωνται, καὶ εἰς τὸν πτωχὸν Λάζαρον καὶ τὸν πλούσιον.

α΄. Τὴν χθὲς ἡμέραν, ἑορτὴν οὖσαν σατανικήν, ἐποιήσατε ὑμεῖς ἑορτὴν πνευματικήν, μετὰ πολλῆς τῆς εὐνοίας τοὺς παρ' ἡμῶν δεξάμενοι λόγους, καὶ τὸ πλέον ἐνταῦθα τῆς ἡμέρας διατρίψαντες, καὶ μέθην μεθυσθέντες σωφροσύνης γέμουσαν, καὶ μετὰ τοῦ Παύ-
5 λου χορεύσαντες. Διπλοῦν τοίνυν οὕτω τὸ κέρδος ὑμῖν γέγονεν, ὅτι καὶ τῆς ἀτάκτου τῶν μεθυόντων ἀπηλλάγητε χορείας, καὶ σκιρτήματα ἐσκιρτήσατε πνευματικά, πολλὴν εὐταξίαν ἔχοντα· καὶ μετέσχετε κρατῆρος, οὐκ ἄκρατον ἐκχέοντος, ἀλλὰ διδασκαλίας πεπληρωμένου πνευματικῆς· καὶ αὐλὸς ἐγένεσθε καὶ κιθάρα τῷ Πνεύμα-
10 τι τῷ ἁγίῳ· καὶ τῶν ἄλλων τῷ διαβόλῳ χορευόντων, ὑμεῖς ὄργανα καὶ σκεύη πνευματικὰ κατασκευάσαντες ἑαυτούς, διὰ τῆς ἐνταῦθα διατριβῆς, ἐδώκατε τῷ Πνεύματι κροῦσαι τὰς ὑμετέρας ψυχάς, καὶ τὴν παρ' ἑαυτοῦ χάριν ἐμπνεῦσαι ταῖς ὑμετέραις καρδίαις· ὅθεν καὶ παναρμόνιον ἠχήσατε μέλος, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰς
15 ἄνω δυνάμεις εὐφραῖνον.

Φέρε οὖν καὶ σήμερον κατὰ μέθης ὁπλίσωμεν τὴν γλῶσσαν, καὶ τὸν ὑγρὸν καὶ διαρρέοντα καταβάλωμεν βίον· κατηγορήσωμεν, τῶν ἐν αὐτῇ διημερευόντων, οὐχ ἵνα αὐτοὺς καταισχύνωμεν, ἀλλ' ἵνα αὐτοὺς αἰσχύνης ἀπαλλάξωμεν· οὐχ ἵνα αὐτοὺς ὀνειδίσωμεν,
20 ἀλλ' ἵνα αὐτοὺς διορθωσώμεθα· οὐχ ἵνα αὐτοὺς ἐκπομπεύσωμεν,

ΣΤΟΝ ΦΤΩΧΟ ΛΑΖΑΡΟ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ

ΛΕΧΘΗΚΕ ΣΤΗΝ ΑΝΤΙΟΧΕΙΑ ΤΗΝ ΕΠΟΜΕΝΗ ΤΩΝ ΚΑΛΑΝΔΩΝ

Ἐναντίον ἐκείνων ποὺ μεθοῦν καὶ γιὰ ἐκείνους ποὺ μπαίνουν στὶς ταβέρνες καὶ κάμνουν χορούς στὴν πόλι, καὶ ὅτι ὁ διδάσκαλος δὲν πρέπει ν' ἀπογοητεύεται γιὰ τοὺς μαθητές του, κι' ὅταν πρὸς τὸ παρὸν δὲν ὑπακοῦν, καὶ στὸν φτωχὸ Λάζαρο καὶ στὸν πλούσιο.

1. Τὴ χθεσινὴ ἡμέρα, ποὺ ἦταν γιορτὴ σατανική, τὴν κάνατε ἐσεῖς γιορτὴ πνευματική, διότι δεχθήκατε μὲ πολλὴ διάθεσι τὰ λόγια μου, καὶ περάσατε τὸ μεγαλύτερο μέρος τῆς ἡμέρας ἐδῶ, μεθώντας μὲ μέθη γεμάτη σύνεσι καὶ χορεύοντας μαζὶ μὲ τὸν Παῦλο. Ἔτσι λοιπὸν εἴχατε διπλὸ κέρδος· καὶ ἀπαλλαχθήκατε ἀπὸ τὴν ἄτακτη παρέα τῶν μεθύσων καὶ σκιρτήσατε μὲ πνευματικὰ σκιρτήματα, τὰ ὁποῖα εἶχαν πολλὴ σεμνότητα. Πήρατε μέρος σὲ κρατήρα, ποὺ δὲν κερνοῦσε σκέτο κρασί, ἀλλ' ἦταν γεμᾶτος ἀπὸ πνευματικὴ διδασκαλία, καὶ γίνατε αὐλὸς καὶ κιθάρα τοῦ ἁγίου Πνεύματος· καὶ ἐνῶ οἱ ἄλλοι χόρευαν γιὰ τὸν διάβολο, ἐσεῖς, ἀφοῦ κάνατε τοὺς ἑαυτούς σας ὄργανα καὶ σκεύη πνευματικά, μὲ τὴν ἐδῶ παραμονή σας, δώσατε τὴ δυνατότητα στὸ ἅγιο Πνεῦμα νὰ κρούσῃ τὶς ψυχές σας καὶ νὰ ἐμφυσήσῃ στὶς καρδιές σας τὴ χάρι του· γι' αὐτὸ καὶ κάνατε νὰ ἠχήσῃ ἁρμονικώτατη μελωδία, ποὺ εὐφραίνει ὄχι μόνο τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὶς οὐράνιες δυνάμεις.

Ἐμπρὸς λοιπόν, ἂς ὁπλίσουμε καὶ σήμερα τὴ γλῶσσα ἐναντίον τῆς μέθης καὶ ἂς καταβάλουμε τὴν ἄσωτη καὶ φιλήδονη ζωή· ἂς κατηγορήσουμε αὐτοὺς ποὺ περνοῦν τὴν ἡμέρα τους στὴ μέθη, ὄχι γιὰ νὰ τοὺς ντροπιάσουμε, ἀλλὰ γιὰ νὰ τοὺς ἀπαλλάξουμε ἀπὸ τὴ ντροπή· ὄχι γιὰ νὰ τοὺς ὀνειδίσουμε, ἀλλὰ γιὰ νὰ τοὺς διορθώ-

ἀλλ' ἵνα πομπῆς ἀσχήμονος ἀπαγάγωμεν, καὶ τῶν τοῦ διαβόλου χειρῶν ἐξαρπάσωμεν· ὁ γὰρ ἐν μέθῃ διημερεύων καὶ τρυφῇ καὶ ἀδηφαγίᾳ, ὑπ' αὐτὴν τοῦ διαβόλου τὴν τυραννίδα γεγένηται. Καὶ γένοιτο μέν τι πλέον γενέσθαι ἐκ τῶν ἡμετέρων ῥημάτων· ἂν δ' ἄρα τοῖς αὐτοῖς ἐπιμένωσι καὶ μετὰ τὴν παραίνεσιν, οὐδὲ οὕτως ἡμεῖς ἀποστησόμεθα τῆς πρὸς αὐτοὺς συμβουλῆς· καὶ γὰρ αἱ κρῆναι, κἂν μηδεὶς ὑδρεύηται, ῥέουσι, καὶ αἱ πηγαί, κἂν μηδεὶς ἀρύηται, ἀναβλύζουσι, καὶ οἱ ποταμοί, κἂν μηδεὶς πίνῃ, τρέχουσι. Δεῖ τοίνυν καὶ τὸν λέγοντα, κἂν μηδεὶς προσέχῃ, τὰ παρ' ἑαυτοῦ πάντα πληροῦν.

Καὶ γὰρ νόμος ἡμῖν τοῖς τὴν τοῦ λόγου διακονίαν ἐγκεχειρισμένοις παρὰ τοῦ φιλανθρώπου κεῖται Θεοῦ, μηδέποτε τὰ παρ' ἑαυτῶν ἐλλιμπάνειν, μηδὲ σιγᾶν, κἂν ἀκούῃ τις, κἂν παρατρέχῃ. Ὁ γοῦν Ἱερεμίας, ἐπειδὴ πολλὰ τοῖς Ἰουδαίοις ἀπειλῶν καὶ τὰ μέλλοντα προαναφωνῶν δεινά, παρὰ τῶν ἀκουόντων ἐκωμῳδεῖτο, καὶ δι' ὅλης ἐγελᾶτο τῆς ἡμέρας, ἐβουλεύσατό ποτε τῆς προφητείας ἀποστῆναι ἐκείνης, ἀνθρώπινόν τι παθών, καὶ τὰ σκώμματα καὶ τὰς λοιδορίας οὐκ ἐνεγκών. Καὶ ἄκουε αὐτοῦ τοῦτο δηλοῦντος δι' ὧν φησιν· «ἐγενόμην εἰς γέλωτα ὅλην τὴν ἡμέραν· εἶπον· οὐ μὴ λαλήσω, οὐδὲ μὴ ὀνομάσω τὸ ὄνομα Κυρίου. Καὶ ἐγένετο ἐν ἐμοὶ ὡς πῦρ καιόμενον καὶ φλεγμαῖνον ἐν τοῖς ὀστέοις μου· παρεῖμαι πάντοθεν, καὶ οὐ δύναμαι φέρειν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐβουλευσάμην ἀποστῆναι τῆς προφητείας, φησίν, ἐπειδὴ οὐκ ἤκουον οἱ Ἰουδαῖοι καὶ ἅμα τοῦτο ἐβουλευσάμην, καθάπερ πῦρ εἰς τὴν ψυχὴν ἐνέπεσε τὴν ἐμὴν ἡ τοῦ Πνεύματος ἐνέργεια, καὶ πάντα τὰ ἔνδον κατέφλεγεν, ἐπιδαπανῶσά μου τὰ ὀστᾶ, καὶ κατεσθίουσα οὕτως, ὡς μὴ δύνασθαί με ἐνεγκεῖν τὸν ἐμπρησμὸν ἐκεῖνον. Εἰ δὲ ὁ γελώμενος καὶ χλευαζόμενος ἐκεῖνος καὶ καθ' ἑκάστην λοιδορούμενος τὴν ἡμέραν, ἐπειδὴ ἐβουλεύσατο σιγῆσαι, τοσαύτην ὑπέστη τιμωρίαν, τίνος ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, τοιοῦτον μὲν οὐδέπω παθόντες οὐδέν, διὰ δὲ τὴν ῥᾳθυμίαν τινῶν μικροψυχήσαντες καὶ τῆς διδασκαλίας ἀποστάντες τῆς πρὸς ἐκείνους, καὶ μάλιστα, ὅταν τοσοῦτοι οἱ προσέχοντες ὦσι;

1. Ἱερ. 20,7-9.

σουμε· ὄχι γιὰ νὰ τοὺς διασύρουμε, ἀλλὰ γιὰ νὰ τοὺς ἀπομακρύνουμε ἀπὸ τὴν ἀπρεπῆ πομπὴ καὶ νὰ τοὺς ἁρπάξουμε ἀπὸ τὰ χέρια τοῦ διαβόλου· διότι αὐτὸς ποὺ περνᾶ τὴν ἡμέρα του στὴ μέθη καὶ στὴν ἀσέλγεια καὶ στὴν πολυφαγία βρίσκεται κάτω ἀπὸ τὴν τυραννικὴ ἐξουσία τοῦ διαβόλου. Καὶ μακάρι νὰ γίνη κάτι καλύτερο μὲ τὰ ὅσα λέμε, ἂν ὅμως ἐπιμένουν νὰ κάνουν τὰ ἴδια καὶ μετὰ τὴν προτροπή μας, οὔτε καὶ τότε θὰ πάψουμε νὰ τοὺς συμβουλεύουμε· ἀφοῦ καὶ οἱ βρύσες κι' ἂν ἀκόμα κανεὶς δὲν παίρνη νερὸ τρέχουν, καὶ οἱ πηγὲς κι' ἂν ἀκόμα κανεὶς δὲν ἀντλῆ νερὸ ἀναβλύζουν, καὶ οἱ ποταμοὶ κι' ἂν ἀκόμη κανεὶς δὲν πίνη τρέχουν. Πρέπει λοιπὸν καὶ ὁ ὁμιλητής, κι' ἂν ἀκόμη κανεὶς δὲν προσέχη, νὰ κάνη ὅ,τι ἐξαρτᾶται ἀπὸ αὐτόν.

Καθόσον ὑπάρχει νόμος γιὰ μᾶς ἀπὸ τὸν φιλάνθρωπο Θεό, ποὺ μᾶς ἔχει ἐμπιστευθῆ τὴ διακονία τοῦ λόγου, ποτὲ νὰ μὴν ἐγκαταλείπουμε τὸ χρέος μας, οὔτε νὰ σιωποῦμε, εἴτε ἀκούει κάποιος εἴτε περιφρονεῖ τὰ λόγια μας. Ὁ Ἱερεμίας λοιπόν, ἀπευθύνοντας πολλὲς ἀπειλὲς ἐναντίον τῶν Ἰουδαίων καὶ προλέγοντας τὶς συμφορὲς ποὺ ἐπρόκειτο νὰ τοὺς συμβοῦν, ἐπειδὴ τὸν περιγελοῦσαν ἐκεῖνοι ποὺ τὸν ἄκουαν κι' ὅλη τὴν ἡμέρα τὸν γελοῦσαν, σκέφθηκε κάποτε νὰ σταματήση τὴν προφητεία ἐκείνη, διότι ἔπαθε κάτι τὸ ἀνθρώπινο καὶ δὲν μπόρεσε ν' ἀντέξη τὶς ὕβρεις καὶ τὰ πειράγματα. Κι' ἄκουσε πῶς τὸ βεβαιώνει ὁ ἴδιος λέγοντας· «μὲ περιγελοῦσαν ὅλη τὴν ἡμέρα· εἶπα· δὲν θὰ ξαναμιλήσω, οὔτε θὰ ἀναφέρω τὸ ὄνομα τοῦ Κυρίου. Καὶ ὅταν τὸ σκέφθηκα αὐτό, αἰσθάνθηκα μέσα μου κάτι σὰν φωτιὰ νὰ καίη τὰ ὀστᾶ μου· κυκλώνομαι ἀπὸ παντοῦ καὶ δὲν μπορῶ νὰ ὑποφέρω αὐτὴ τὴ φλόγα»[1]. Αὐτὸ ποὺ λέει σημαίνει τὸ ἑξῆς· θέλησα νὰ παραιτηθῶ ἀπὸ τὴν προφητεία, λέγει, ἐπειδὴ δὲν ἄκουγαν οἱ Ἰουδαῖοι, καὶ μόλις τὸ ἀπεφάσισα σὰν φωτιὰ ἔπεσε στὴν ψυχή μου ἡ ἐνέργεια τοῦ Πνεύματος καὶ κατέφλεγε ὅλα τὰ σπλάγχνα μου, κατακαίοντας τὰ ὀστᾶ μου τόσο, ὥστε νὰ μὴν μπορῶ νὰ ὑποφέρω ἐκείνη τὴν πυρκαϊά. Καὶ ἐὰν ἐκεῖνος, τὸν ὁποῖο περιγελοῦσαν καὶ κορόϊδευαν καὶ καθημερινὰ τὸν εἰρωνεύονταν, ἐπειδὴ ἀποφάσισε νὰ σωπάση, ὑπέστη τόση μεγάλη τιμωρία, ποιᾶς συγγνώμης θὰ ἤμασταν ἄξιοι ἐμεῖς, ἐάν, ἐνῶ ποτὲ δὲν πάθαμε κάτι τέτοιο, μικροψυχούσαμε ἐξ αἰτίας τῆς ραθυμίας κάποιων καὶ παύαμε νὰ τοὺς διδάσκουμε, καὶ μάλιστα τὴ στιγμὴ ποὺ ὑπάρχουν τόσοι ποὺ προσέχουν;

β'. Ταῦτα δὲ λέγω, οὐκ ἐμαυτὸν παραμυθούμενος, οὐδὲ παρακαλῶν· καὶ γὰρ πέπεικα τὴν ἐμαυτοῦ ψυχήν, ἕως ἂν ἐμπνέω, καὶ δοκῇ τῷ Θεῷ κατὰ τὸν παρόντα βίον ἡμᾶς εἶναι, ταύτην πληροῦν τὴν διακονίαν, καὶ ἄν τε προσέχῃ τις, ἄν τε μὴ προσέχῃ, τὸ ἐπιτα-
5 *χθὲν ποιεῖν· ἀλλ' ἐπειδὴ τινές εἰσιν οἱ τὰς τῶν πολλῶν ἐκλύοντες χεῖρας καὶ πρὸς τῷ μηδὲν αὐτοὺς χρήσιμον εἰς τὸν βίον εἰσφέρειν τὸν ἡμέτερον, καὶ τὴν ἑτέρων παραλύοντες σπουδήν, χλευάζοντες καὶ διακωμῳδοῦντες καὶ λέγοντες· 'ἀπόστηθι συμβουλεύων, παῦσαι παραινῶν· οὐ βούλονταί σοι προσέχειν, μηδὲν κοινὸν ἔχε πρὸς*
10 *αὐτούς'· ἐπειδή τινές εἰσι ταῦτα λέγοντες, τὴν πονηρὰν καὶ ἀπάνθρωπον ταύτην γνώμην καὶ διαβολικὴν ἐπιβουλὴν τῆς ψυχῆς τῶν πολλῶν ἐκκόψαι βουλόμενος, μακρότερον τοῦτον ποιῶ τὸν λόγον. Καὶ γὰρ καὶ χθὲς οἶδα πολλοὺς εἰρηκότας ταῦτα τὰ ῥήματα, οἵ, ἐπειδάν τινας εἶδον ἐν καπηλείῳ διατρίψαντας, γελῶντες καὶ*
15 *χλευάζοντες ἔλεγον· 'πάνυ γε γὰρ ἐπείσθησαν· ὅλως οὐδεὶς εἰς καπηλεῖον εἰσῆλθε· ἅπαντες ἐσωφρόνησαν'.*

Τί λέγεις, ἄνθρωπε; τοῦτο γὰρ ὑπεσχόμεθα πάντας ἐν μιᾷ σαγηνεύειν ἡμέρᾳ; Εἰ γὰρ δέκα μόνον ἐπείσθησαν, εἰ γὰρ πέντε μόνον, εἰ γὰρ εἷς, οὐχ ἱκανὸν ἡμῖν εἰς παραμυθίαν; Ἐγὼ δὲ καὶ ὑπερ-
20 *βολὴν ἑτέραν ποιοῦμαι. Κείσθω μηδένα πεπεῖσθαι τοῖς ἡμετέροις λόγοις, ὅπερ ἀδύνατον εἰς τοσαύτας ἀκοὰς σπειρόμενον λόγον ἄκαρπον γενέσθαι ποτέ· πλὴν ἀλλὰ κείσθω τοῦτο αὐτό· οὐδὲ οὕτως ἀκερδὴς ἡμῖν ὁ λόγος. Εἰ γὰρ καὶ εἰσῆλθον εἰς καπηλεῖον, ἀλλ' οὐ μετὰ τῆς αὐτῆς ἀναισχυντίας εἰσῆλθον, ἀλλὰ καὶ ἐπὶ τῆς*
25 *τραπέζης πολλάκις τῶν ἡμετέρων ἐμνήσθησαν λόγων, τῆς ἐπιτιμήσεως, τῆς ἐπιπλήξεως, καὶ μνησθέντες ᾐσχύνθησαν, ἠρυθρίασαν κατὰ διάνοιαν· οὐ μετὰ τοσαύτης ἰταμότητος τὰ εἰωθότα ἔπραξαν. Τοῦτο δὲ ἀρχὴ σωτηρίας καὶ μεταβολῆς ἀρίστης, τὸ ὅλως αἰσχυνθῆναι, τὸ ὅλως καταγνῶναι τῶν γινομένων. Πρὸς τούτοις δὲ*
30 *οὐκ ἔλαττον καὶ ἕτερον ἡμῖν ἐκ τούτου γεγένηται κέρδος. Ποῖον δὴ τοῦτο; Τὸ καὶ τοὺς σωφρονοῦντας σεμνοτέρους ποιῆσαι, καὶ πεῖσαι διὰ τῶν εἰρημένων ὅτι ἄριστα πάντων εἰσὶ βεβουλευμένοι, μὴ συναπαγόμενοι τοῖς πολλοῖς. Οὐκ ἀνέστησα τοὺς νοσοῦντας; ἀλλὰ*

2. Καὶ αὐτὰ τὰ λέγω, ὄχι γιὰ νὰ παρηγορήσω τὸν ἑαυτό μου, οὔτε νὰ τὸν δικαιολογήσω· διότι εἶμαι ἀποφασισμένος, ὅσο ἀναπνέω καὶ θέλει ὁ Θεὸς νὰ εἶμαι σ' αὐτὴ τὴ ζωή, νὰ ἐκτελῶ αὐτὴ τὴ διακονία, καὶ εἴτε προσέχει κανείς, εἴτε δὲν προσέχει, νὰ ἐκτελῶ τὴν ἐντολὴ ποὺ ἔχω λάβει. Ἀλλά, ἐπειδὴ ὑπάρχουν μερικοί, οἱ ὁποῖοι παραλύουν τὰ χέρια πολλῶν, γιὰ νὰ μὴν εἰσφέρουν τίποτε χρήσιμο στὴ ζωή μας, καὶ παραλύουν τὴν προσπάθεια τῶν ἄλλων, χλευάζοντας καὶ διακωμωδώντας καὶ λέγοντας· 'σταμάτα νὰ συμβουλεύῃς, πάψε νὰ προτρέπῃς· δὲν θέλουν νὰ σὲ προσέχουν, μὴν ἀσχοληθῆσαι μαζί τους'· ἐπειδὴ ὑπάρχουν μερικοὶ ποὺ τὰ λένε αὐτά, θέλοντας νὰ ξεριζώσω ἀπὸ τὴν ψυχὴ τῶν πολλῶν τὴν πονηρὴ καὶ ἀπάνθρωπη αὐτὴ σκέψι τους καὶ τὴ διαβολικὴ αὐτὴ ἐπιβουλή, κάνω μεγαλύτερη αὐτὴν τὴν ὁμιλία. Διότι ξέρω, ὅτι καὶ χθὲς πολλοὶ τὰ εἶπαν αὐτὰ τὰ λόγια, καὶ ἐπειδὴ εἶδαν μερικοὺς νὰ κάθωνται στὶς ταβέρνες, γελώντας καὶ χλευάζοντας ἔλεγαν· 'πείσθηκαν πράγματι πάρα πολύ· κανεὶς δὲν μπῆκε στὶς ταβέρνες· ὅλοι ἔγιναν σώφρονες'.

Τί λές, ἄνθρωπε; Αὐτὸ ὑποσχεθήκαμε, ὅλους νὰ τοὺς σαγηνέψουμε μέσα σὲ μία ἡμέρα; Ἐὰν δηλαδὴ πείσθησαν δέκα μόνο, ἐὰν πέντε μόνο, ἐὰν ἕνας μόνο, δὲν εἶναι ἀρκετὸ αὐτὸ πρὸς παρηγοριά μας; Ἀλλ' ἐγὼ κάνω κι' ἄλλη σκέψι πιὸ ὑπερβολική. Ἔστω ὅτι κανεὶς δὲν ἔχει πεισθῆ ἀπὸ τὰ λόγια μας, πρᾶγμα ποὺ εἶναι ἀδύνατο νὰ μείνῃ ποτὲ ἄκαρπος ὁ λόγος ποὺ σπέρνεται σὲ τόσες ἀκοές· πλὴν ὅμως ἂς τὸ ὑποθέσουμε κι' αὐτό· οὔτε καὶ τότε ὁ λόγος μας θὰ εἶναι χωρὶς κέρδος. Διότι, κι' ἂν μπῆκαν στὴν ταβέρνα, δὲν μπῆκαν ὅμως μὲ τὴν ἴδια ἀδιαντροπιά, ἀλλὰ καὶ στὸ τραπέζι πολλὲς φορὲς θυμήθηκαν τὰ λόγια μου, τὴν ἐπιτίμησι, τὴν ἐπίπληξι καὶ ντράπηκαν καὶ κοκκίνησαν μέσα τους φέρνοντάς τα στὴ μνήμη τους· δὲν ἔκαναν μὲ τὴν ἴδια ἀδιαντροπιὰ τὰ συνηθισμένα. Καὶ αὐτὸ εἶναι ἡ ἀρχὴ τῆς σωτηρίας καὶ τῆς ἄριστης μεταβολῆς, τὸ νὰ ντρέπεται κανεὶς τελείως, τὸ νὰ συναισθάνεται τὶς πράξεις του. Μαζὶ μ' αὐτὸ καὶ ἄλλο κέρδος, ὄχι μικρό, προέκυψε ἀπ' αὐτό. Ποιό λοιπὸν εἶναι αὐτό; Τὸ ὅτι καὶ οἱ σώφρονες ἔγιναν πιὸ σεμνοί, καὶ πείσθηκαν ἀπὸ τὰ λόγια μου, ὅτι αὐτοὶ σκέπτονται σωστότερα ἀπ' ὅλους, μὲ τὸ νὰ μὴν συμπεριφέρωνται ὅπως οἱ πολλοί. Δὲν θεράπευσα τοὺς ἀσθενεῖς; Τοὺς ὑγιεῖς ὅμως τοὺς ἔκανα πιὸ ἀσφαλεῖς· δὲν ἀπομάκρυνε μερι-

τοὺς ὑγιεῖς ἀσφαλεστέρους ἐποίησα· οὐκ ἀπήγαγέ τινας τῆς κακίας ὁ λόγος; ἀλλὰ τοὺς ἐν ἀρετῇ ζῶντας ἀκριβεστέρους εἰργάσατο.

Εἴπω τι καὶ πρὸς τούτοις τρίτον. Οὐκ ἔπεισα σήμερον; ἀλλ' αὔριον ἴσως δυνήσομαι πεῖσαι. Ἀλλ' οὐδὲ αὔριον; ἀλλὰ μετὰ τὴν
5 αὔριον, ἢ καὶ μετ' ἐκείνην ἴσως. Ὁ σήμερον ἀκούσας καὶ διακρουσάμενος, αὔριον ἴσως ἀκούσεται καὶ καταδέξεται· ὁ δὲ σήμερον καὶ αὔριον καταφρονήσας, μετὰ πλείους ἴσως ἡμέρας προσέξει τοῖς λεγομένοις. Καὶ γὰρ καὶ ἁλιεὺς πολλάκις δι' ὅλης τῆς ἡμέρας κενὸν ἀνασπάσας τὸ δίκτυον, ἐν ἑσπέρᾳ πολλάκις ἀναχωρεῖν μέλλων,
10 τὸν δι' ὅλης αὐτὸν τῆς ἡμέρας διαφυγόντα ἰχθὺν ἁλιεύσας ἀπῆλθεν. Εἰ δὲ μέλλοιμεν διὰ τὰς ἀεὶ γινομένας ἀποτυχίας ἐν ἀργίᾳ εἶναι καὶ τῶν πραγμάτων ἀφίστασθαι πάντων, ἅπας ἡμῖν ὁ βίος ἀπολεῖται· καὶ οὐχὶ τὰ πνευματικὰ μόνον, ἀλλὰ καὶ τὰ βιωτικὰ οἰχήσεται πάντα. Καὶ γὰρ ὁ γεωργός, εἰ μέλλοι διὰ τὰς ἅπαξ καὶ δὶς καὶ πολλά-
15 κις γινομένας τῶν ἀέρων ἀνωμαλίας τῆς γεωργίας ἀποπηδᾶν, λιμῷ ταχέως ἀπολούμεθα πάντες. Καὶ κυβερνήτης δέ, εἰ διὰ τὸν ἅπαξ καὶ δὶς καὶ πολλάκις συμβάντα χειμῶνα φύγοι τὴν θάλατταν, ἄπλωτον ἡμῖν ἔσται τὸ πέλαγος, καὶ ἄχρηστος καὶ ἐντεῦθεν ἡμῖν ὁ βίος πάλιν γενήσεται. Καθ' ἑκάστην δὲ τέχνην ἐπιών, εἰ ταῦτα πα-
20 ραινοίης καὶ συμβουλεύοις, πάντα ἄρδην ἀπολεῖται, καὶ ἀοίκητος ἔσται ἡ γῆ. Ἅπερ οὖν ἅπαντες εἰδότες, κἂν ἅπαξ, κἂν δίς, κἂν πολλάκις ἀποτύχωσι τοῦ τέλους τῶν πραγμάτων, ἐν οἷς εἰσι καὶ διατρίβουσι, πάλιν αὐτῶν ἐπιλαμβάνονται μετὰ τῆς αὐτῆς προθυμίας.

25 γ'. Ἅπερ ἅπαντα δὴ καὶ ἡμεῖς εἰδότες, ἀγαπητοί, μή, παρακαλῶ, μὴ ταῦτα φθεγγώμεθα, μηδὲ λέγωμεν· τί δεῖ λόγων ἡμῖν τοσούτων; οὐδὲν ἐκ τῶν λόγων τούτων ὄφελος γίνεται. Καὶ γὰρ ὁ γηπόνος ἅπαξ καὶ δὶς καὶ πολλάκις τὴν αὐτὴν σπείρας ἄρουραν καὶ ἀποτυχὼν τοῦ κέρδους, πάλιν αὐτὴν εἰργάσατο, καὶ ἐν ἑνὶ πολλάκις
30 ἐνιαυτῷ τοῦ παντὸς χρόνου τὴν ζημίαν ἀνέσωσε. Καὶ ἔμπορος δὲ ναυάγια πολλὰ πολλάκις ὑπομείνας, οὐκ ἀπέστη τοῦ λιμένος, ἀλλὰ καὶ πλοῖον καθείλκυσε, καὶ ναύτας ἐμισθώσατο, καὶ χρήματα δανεισάμενος τῶν αὐτῶν ἥψατο πραγμάτων, καίτοι τοῦ μέλλοντος

κοὺς ἀπὸ τὴν κακία ὁ λόγος; Ὅμως τοὺς ἐναρέτους τοὺς ἔκανε πιὸ προσεκτικούς.

Θὰ πῶ μαζὶ μ' αὐτὰ καὶ ἕνα τρίτο. Δὲν τοὺς ἔπεισα σήμερα; Ἴσως αὔριο μπορέσω νὰ τοὺς πείσω. Ἀλλὰ οὔτε αὔριο; Τότε μεθαύριο, ἢ καὶ μετὰ ἀπὸ ἐκείνην ἴσως. Αὐτὸς ποὺ τὰ ἄκουσε σήμερα καὶ τὰ ἀπέκρουσε, ἴσως αὔριο τὰ ἀκούση καὶ τὰ παραδεχθῇ· καὶ αὐτὸς ποὺ σήμερα καὶ αὔριο τὰ περιφρόνησε, ἴσως μετὰ ἀπὸ πολλὲς ἡμέρες προσέξη τὰ λεγόμενα. Διότι καὶ ὁ ψαρὰς πολλὲς φορές, ἐνῶ ὅλη τὴν ἡμέρα ἀνασύρει ἄδειο τὸ δίχτυ, κατὰ τὸ βράδυ, ἐνῶ πρόκειται ν' ἀναχωρήση, πιάνει τὸ ψάρι ποὺ ὅλη τὴν ἡμέρα τοῦ ξέφευγε καὶ ἀναχωρεῖ ἔτσι. Ἐὰν ὅμως θελήσουμε ἐξ αἰτίας τῶν συνεχῶν ἀποτυχιῶν νὰ μένουμε ἀργοὶ καὶ ν' ἀπομακρυνθοῦμε ἀπ' ὅλα τὰ πράγματα, τότε ὅλη ἡ ζωή μας θὰ περάση στὰ χαμένα· καὶ ὄχι μόνο τὰ πνευματικά, ἀλλὰ καὶ τὰ βιωτικὰ ὅλα θὰ ἐκλείψουν. Διότι καὶ ὁ γεωργός, ἐὰν θελήση νὰ ἐγκαταλείψη τὴ γεωργία ἐξ αἰτίας τῶν καιρικῶν ἀνωμαλιῶν ποὺ συμβαίνουν μιὰ καὶ δυὸ καὶ πολλὲς φορές, γρήγορα τότε ὅλοι μας θὰ χανόμασταν ἀπὸ τὴν πεῖνα. Ἀλλὰ καὶ ὁ κυβερνήτης, ἐὰν εἶχε ἐγκαταλείψει τὴ θάλασσα ἐξ αἰτίας τῆς καταιγίδας ποὺ συμβαίνει μιὰ καὶ δυὸ καὶ πολλὲς φορές, τὸ πέλαγος θὰ μείνη ἄπλευστο καὶ ἡ ζωή μας θὰ εἶναι ἄχρηστη πάλι ἐξ αἰτίας αὐτοῦ. Καὶ ὁποιαδήποτε ἄλλη τέχνη ἐξετάζοντας, ἐὰν αὐτὰ σκέφτεσαι καὶ αὐτὰ συμβουλεύῃς, ὅλα μονομιᾶς θὰ χαθοῦν καὶ ἡ γῆ θὰ μείνη ἀκατοίκητη. Γνωρίζοντας λοιπὸν ὅλοι αὐτά, κι' ἂν ἀποτύχουν μιὰ καὶ δυὸ καὶ πολλὲς φορὲς στὸν σκοπὸ τῶν πραγμάτων μὲ τὰ ὁποῖα ἀσχολοῦνται καὶ καταγίνονται, πάλι τὰ ἐπιχειροῦν μὲ τὴν ἴδια προθυμία.

3. Γνωρίζοντας λοιπὸν καὶ ἐμεῖς, ἀγαπητοί, ὅλα αὐτά, ἂς μὴν ἀφήνουμε, παρακαλῶ, νὰ βγοῦν ἀπὸ τὸ στόμα μας κι' ἂς μὴν τὰ λέμε. Τί μᾶς χρειάζονται τὰ τόσα λόγια; Κανένα κέρδος δὲν προέρχεται ἀπὸ τὰ λόγια αὐτά. Διότι καὶ ὁ γεωργός, ὅταν σπείρη μιὰ καὶ δυὸ καὶ πολλὲς φορὲς τὸ ἴδιο χωράφι καὶ ἀποτύχη νὰ κερδίση, τὸ καλλιεργεῖ καὶ πάλι καὶ πολλὲς φορὲς μέσα σὲ ἕναν χρόνο ἀναπλήρωσε τὴ ζημιὰ ὅλης τῆς περιόδου. Καὶ ὁ ἔμπορος ποὺ πολλὲς φορὲς ὑπέστη πολλὰ ναυάγια, δὲν ἐγκατέλειψε τὸ λιμάνι, ἀλλὰ καὶ πλοῖο ἔσυρε στὴ θάλασσα, καὶ ναῦτες μίσθωσε, καὶ ἀφοῦ δανείσθηκε χρήματα, καταπιάσθηκε μὲ τὰ ἴδια πράγματα, ἂν καὶ τὸ μέλλον πάλι

ὁμοίως ὄντος ἀδήλου. Καὶ ἕκαστος δὲ τῶν ὁτιοῦν μετιόντων οὕτω ποιεῖν εἰώθασιν, ὥσπερ ὁ γεωργὸς καὶ ὁ ἔμπορος. Εἶτα ἐκεῖνοι μὲν τοσαύτῃ χρῶνται πρὸς τὰ βιωτικὰ σπουδῇ, καίτοι τοῦ τέλους ὄντος ἀδήλου, ἡμεῖς δέ, ἂν εἰπόντες μὴ ἀκουσθῶμεν, εὐθέως ἀποστησό- 5 *μεθα; Καὶ ποίαν ἕξομεν συγγνώμην; τίνα δὲ ἀπολογίαν; Καίτοι ἐκείνοις μὲν ἐν ταῖς ἀποτυχίαις οὐδείς ἐστιν ὁ τὴν ζημίαν παραμυθησόμενος, οἷον ἐὰν ἐπικλύσῃ τὸ πλοῖον ἡ θάλασσα, οὐδεὶς τὴν πενίαν τοῦ ναυαγοῦντος διορθώσεται· ἂν καταχώσῃ τὴν ἄρουραν ἐπομβρία καὶ ἀποπνίξῃ τὰ σπέρματα, ἀνάγκη κεναῖς τὸν γεωργὸν* 10 *οἴκαδε ἀναχωρῆσαι χερσίν. Ἐφ' ἡμῶν δὲ τῶν λεγόντων καὶ παραινούντων οὐχ οὕτως.*

Ἀλλά, κἂν καταβάλῃς τὰ σπέρματα καὶ ὁ ἀκροατὴς μὴ δέξηται μηδὲ ἐνέγκῃ τὸν καρπὸν τῆς ὑπακοῆς, σὺ τὸν μισθὸν ἔχεις ἀπηρτισμένον παρὰ τοῦ Θεοῦ τῆς συμβουλῆς, καὶ τοσαύτην ἀπο- 15 *λήψῃ τὴν ἀμοιβὴν καὶ παρακούσαντος ἐκείνου, ὅσην ἔλαβες ἄν, εἰ ὑπήκουσε· τὸ γὰρ σαυτοῦ πᾶν ἐπλήρωσας. Τοῦ μὴ πεῖσαι τοὺς ἀκούοντας οὐκ ἐσμὲν ὑπεύθυνοι, ἀλλὰ τοῦ συμβουλεῦσαι μόνον· τὸ μὲν γὰρ παραινέσαι ἡμέτερον, τὸ δὲ πεισθῆναι ἐκείνων. Καὶ καθάπερ ἂν ἡμῶν μὴ παραινεσάντων μυρία κατορθώσωσιν ἐκεῖνοι, μό-* 20 *νοις αὐτοῖς ἅπας ὁ μισθὸς κείσεται, ἡμῖν δὲ οὐδὲν ἔσται τὸ κέρδος, ἐπειδὴ μὴ συνεβουλεύσαμεν· οὕτως ἂν ἡμῶν παραινεσάντων ἐκεῖνοι μὴ προσέχωσιν, ἅπασα αὐτοὺς ἡ τιμωρία καταλήψει, ἡμῖν δὲ οὐδὲν ἔσται ἔγκλημα, ἀλλὰ καὶ πολὺς ὁ μισθὸς ἀπαντήσεται παρὰ τοῦ Θεοῦ· τὸ γὰρ ἡμῶν ἅπαν ἐπληρώσαμεν. Καταβαλεῖν μόνον* 25 *κελευόμεθα τὰ ἀργύρια ἐπὶ τοὺς τραπεζίτας, εἰπεῖν καὶ συμβουλεῦσαι.*

Εἰπὲ τοίνυν καὶ παραίνεσον τῷ ἀδελφῷ. Ἀλλ' οὐκ ἤκουσεν; Ἀλλὰ σὺ τὸν μισθὸν ἔχεις ἀπηρτισμένον, μόνον ἂν ἀεὶ τοῦτο ποιῇς, ἂν μηδέποτε ἀποστῇς, ἕως ἂν πείσῃς, ἕως ἂν ἐμπνέῃς. Πέρας 30 *ἔστω τῆς συμβουλῆς ἡ ὑπακοὴ τοῦ τὴν παραίνεσιν ὑποδεχομένου. Ὁ διάβολος κατὰ τῆς σωτηρίας ἀεὶ τρέχει τῆς ἡμετέρας, οὐδὲν αὐτὸς κερδαίνων, ἀλλὰ καὶ τὰ μέγιστα βλαπτόμενος ἀπὸ τῆς σπου-*

2. Ματθ. 25,27.

τοῦ ἦταν ἄγνωστο. Ἀλλὰ καὶ καθένας ποὺ καταπιάνεται μὲ ὁ,τιδήποτε ἀπ' αὐτά, ἔτσι συνήθως ἐνεργεῖ, ὅπως ἀκριβῶς ὁ γεωργὸς καὶ ὁ ἔμπορος. Ἔπειτα, ἐκεῖνοι μὲ τόσο ζῆλο ἐπιδίδονται στὰ βιωτικά, ἂν καὶ τὸ ἀποτέλεσμα εἶναι ἄγνωστο, καὶ ἐμεῖς, ἐὰν δὲν δώσουν σημασία στὰ λόγια μας, ἀμέσως θὰ παραιτηθοῦμε; Καὶ ποιά συγγνώμη θὰ ἔχουμε; ποιά ἀπολογία; Ἂν καὶ βέβαια ἐκείνους, ἐὰν ἀποτύχουν, κανεὶς δὲν θὰ τοὺς παρηγορήση γιὰ τὴν ζημιά· ὅπως, ἐὰν κατακλύση τὸ πλοῖο ἡ θάλασσα, κανεὶς δὲν θὰ ἐπανορθώση τὴ ζημιά· ἂν καταχώση τὸ χωράφι ἡ πολλὴ βροχὴ καὶ πνίξη τοὺς σπόρους, κατ' ἀνάγκη ὁ γεωργὸς θ' ἀναχωρήση γιὰ τὸ σπίτι του μὲ ἄδεια χέρια. Ὅμως σ' ἐμᾶς ποὺ ὁμιλοῦμε καὶ συμβουλεύουμε δὲν συμβαίνει τὸ ἴδιο.

Ἂν δηλαδὴ σπείρης τοὺς σπόρους καὶ ὁ ἀκροατὴς δὲν τοὺς δεχθῆ καὶ δὲν ἐπιφέρη τὸν καρπὸ τῆς ὑπακοῆς, γιὰ σένα ἔχει ἑτοιμασθῆ ἀπὸ τὸν Θεὸ ὁ μισθὸς γιὰ τὴ συμβουλή σου, καὶ θὰ λάβης τόση ἀμοιβή, κι' ἂν ἀκόμη δὲν θὰ σὲ ἀκούση ἐκεῖνος, ὅση θὰ ἔπαιρνες ἐὰν σὲ ἄκουε· διότι ἐσὺ ἔκαμες ὅλα ἐκεῖνα ποὺ ἔπρεπε νὰ κάνης. Γιὰ τὸ ὅτι δὲν πείσαμε τοὺς ἀκροατὲς δὲν εἴμαστε ἐμεῖς ὑπεύθυνοι, ἀλλ' εἴμαστε ὑπόλογοι μόνο γιὰ τὸ ἂν τοὺς συμβουλεύσαμε· διότι τὸ νὰ τοὺς συμβουλεύσουμε εἶναι δικό μας ἔργο, ἐνῶ τὸ νὰ πεισθοῦν εἶναι δικό τους. Καὶ ὅπως ἀκριβῶς ἂν ἐκεῖνοι χωρὶς τὴν δική μας συμβουλὴ κατορθώσουν πάρα πολλά, ὅλος ὁ μισθὸς θ' ἀνήκη σ' ἐκείνους μόνο, ἐνῶ ἐμεῖς δὲν θὰ ἔχουμε κανένα κέρδος, ἐπειδὴ δὲν τοὺς συμβουλεύσαμε· ἔτσι κι' ἄν, ἐνῶ ἐμεῖς τοὺς συμβουλεύσαμε, ἐκεῖνοι δὲν προσέχουν, ὅλη ἡ τιμωρία θὰ εἶναι δική τους, ἐνῶ γιὰ μᾶς δὲν θὰ ὑπάρχη καμμιὰ κατηγορία, ἀλλὰ θὰ ἔχουμε καὶ μεγάλο μισθὸ ἀπὸ τὸν Θεό· διότι ἐκάναμε πλήρως τὸ καθῆκον μας. Ἔχουμε ἐντολὴ μόνο νὰ καταθέσουμε τὰ χρήματα στοὺς τραπεζίτες[2], νὰ ποῦμε καὶ νὰ συμβουλεύσουμε.

Πὲς λοιπὸν καὶ συμβούλευσε τὸν ἀδελφό. Ἀλλὰ δὲν σὲ ἄκουσε; Ἐσὺ ὅμως ἔχεις ὁλόκληρο τὸν μισθό, μόνο νὰ τὸ κάνης πάντα αὐτό, ποτὲ νὰ μὴν παραιτηθῆς, μέχρι ποὺ νὰ τὸν πείσης, μέχρις ὅτου θὰ ἀναπνέης. Τὸ τέλος τῆς συμβουλῆς ἂς εἶναι ἡ ὑπακοὴ αὐτοῦ ποὺ δέχεται τὴ συμβουλή. Ὁ διάβολος ἀγωνίζεται πάντα ἐναντίον τῆς δικῆς μας σωτηρίας, χωρὶς νὰ κερδίζη ὁ ἴδιος τίποτα, ἀλλὰ καὶ πάρα πολὺ βλάπτεται ἐξ αἰτίας τῆς προθυμίας του· ἀλλ',

δῆς· ἀλλ' ὅμως τοσαύτην ἔχει μανίαν, ὡς καὶ πολλάκις ἀδυνάτοις ἐπιχειρεῖν πράγματι καὶ ἐπιθέσθαι μὴ μόνον ἐκείνοις, οὓς προσδοκᾷ πάντως ὑποσκελίζειν καὶ περιτρέπειν, ἀλλὰ καὶ οὓς εἰκὸς περιέσεσθαι τῶν μηχανημάτων αὐτοῦ. Τὸν γοῦν Ἰὼβ ἀκούων ἐπαι-
5 νούμενον παρὰ τοῦ τὰ ἀπόρρητα πάντα εἰδότος Θεοῦ, προσεδόκησε δυνήσεσθαι καὶ περιτρέπειν· καὶ οὐκ ἀπέστη πάντα κινῶν καὶ μηχανώμενος ὁ δόλιος, ὥστε ὑποσκελίσαι τὸν ἄνθρωπον· καὶ οὐκ ἀπεγίνωσκεν ὁ μιαρὸς καὶ παμπόνηρος δαίμων ἐκεῖνος, καίτοι τοῦ Θεοῦ τοσαύτην τῷ δικαίῳ ψηφισαμένου ἀρετήν.

10 Εἶτα οὐκ αἰσχυνόμεθα, οὐδὲ ἐρυθριάζομεν, εἰπέ μοι, εἰ, τοῦ διαβόλου μηδέποτε ἀπογινώσκοντος τῆς ἀπωλείας ἡμῶν, ἀλλ' ἀεὶ προσδοκῶντος αὐτήν, αὐτοὶ τῆς τῶν ἀδελφῶν ἀπογνωσόμεθα σωτηρίας; Καίτοι ἐκεῖνον μὲν καὶ πρὸ τῆς πείρας ἀποστῆναι τῶν παλαισμάτων ἔδει· Θεὸς γὰρ ἦν ὁ μαρτυρῶν τῷ δικαίῳ τὴν ἀρε-
15 τήν· ἀλλ' ὅμως οὐκ ἀπέστη, ἀλλ' ὑπὸ πολλῆς μανίας τῆς καθ' ἡμῶν καὶ μετὰ τὴν τοῦ Θεοῦ μαρτυρίαν ἤλπισε περιέσεσθαι τοῦ γενναίου τότε ἐκείνου. Ἡμᾶς δὲ οὐδέν ἐστι τοιοῦτον τὸ ποιοῦν εἰς ἀπόγνωσιν ἐμπίπτειν, καὶ ὅμως ἀφιστάμεθα. Καὶ ὁ μὲν διάβολος, καίτοι τοῦ Θεοῦ κωλύοντος, οὐκ ἀναχωρεῖ τῆς καθ' ἡμῶν μάχης·
20 σὺ δέ, τοῦ Θεοῦ προτρέποντός σε καὶ διεγείροντος εἰς τὴν ἀντίληψιν τῶν πεπτωκότων, ἀποπηδᾷς; Ἤκουσεν ὁ διάβολος τοῦ Θεοῦ λέγοντος, «ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος», καὶ ὅτι οὐδείς ἐστι τοιοῦτος τῶν ἐπὶ τῆς γῆς καὶ μετὰ τοσαύτας καὶ τοιούτας ψήφους ἐνέμεινεν ὅ-
25 μως λέγων· μήποτε τῇ συνεχείᾳ καὶ τῷ μεγέθει τῶν ἐπαγομένων αὐτῷ κακῶν δυνηθῶ αὐτοῦ περιγενέσθαι καὶ τὸν μέγαν τοῦτον καθελεῖν πύργον.

δ'. Τίς οὖν ἡμῖν ἔσται συγγνώμη, ἀγαπητοί, τίς δὲ ἀπολογία, εἰ τοσαύτῃ τοῦ πονηροῦ δαίμονος καθ' ἡμῶν κεχρημένου μανίᾳ,
30 ἡμεῖς μηδὲ τὸ πολλοστὸν τῆς τοσαύτης σπουδῆς εἰς τὴν σωτηρίαν τῶν ἡμετέρων ἀδελφῶν εἰσενέγκοιμεν, καὶ ταῦτα τὸν Θεὸν σύμμαχον ἔχοντες; Ὅταν γοῦν ἴδῃς σκληρὸν καὶ ἀπηνῆ τὸν ἀδελφὸν καὶ μὴ προσέχοντά σοι, λέγε πρὸς σεαυτόν· 'μήποτε τῷ χρόνῳ δυνη-

3. Ἰὼβ 1,8.

ὅμως ἔχει τόσο μεγάλη μανία, ποὺ πολλὲς φορὲς ἐπιχειρεῖ καὶ ἀκατόρθωτα πράγματα, καὶ ἐπιτίθεται ὄχι μόνο σ' ἐκείνους ποὺ περιμένει ὁπωσδήποτε νὰ τοὺς ὑποσκελίση καὶ νὰ τοὺς ἀνατρέψη, ἀλλὰ καὶ σ' ἐκείνους ποὺ εἶναι σίγουρο ὅτι θὰ κατανικήσουν τὰ τεχνάσματά του. Ὅταν λοιπὸν ἄκουσε τὸν Θεό, ποὺ γνωρίζει ὅλα τὰ μυστικά, νὰ ἐπαινῆ τὸν Ἰώβ, νόμισε ὅτι θὰ μπορέση νὰ τὸν ἀνατρέψη· καὶ δὲν ἔπαψε νὰ κινῆ τὰ πάντα καὶ νὰ μηχανεύεται ὁ δόλιος, γιὰ νὰ ὑποσκελίση τὸν ἄνθρωπο· καὶ δὲν ἀπογοητευόταν ὁ μιαρὸς καὶ παμπόνηρος ἐκεῖνος δαίμονας, ἂν καὶ ὁ Θεὸς εἶχε ἐπιδοκιμάσει τόσο πολὺ τὴν ἀρετὴ τοῦ δικαίου.

Ἔπειτα, δὲν ντρεπόμαστε οὔτε κοκκινίζουμε, πές μου, πού, ἐνῶ ὁ διάβολος ποτὲ δὲν ἀπελπίζεται γιὰ τὴν ἀπώλειά μας, ἀλλὰ τὴν περιμένει πάντα, ἐμεῖς ἀπογοητευόμαστε γιὰ τὴ σωτηρία τῶν ἀδελφῶν μας; Ἂν καὶ ἐκεῖνος ἔπρεπε καὶ πρὶν ἀπὸ τὴν ἀπόπειρα ἐναντίον του νὰ ἐγκαταλείψη τὰ τεχνάσματά του· διότι ὁ Θεὸς ἀναγνώριζε τὴν ἀρετὴ τοῦ δικαίου· καὶ ὅμως δὲν ἀπομακρύνθηκε, ἀλλ' ἐξ αἰτίας τῆς πολλῆς μανίας του ἐναντίον μας, καὶ μετὰ τὴ μαρτυρία τοῦ Θεοῦ, ἤλπισε ὅτι θὰ κατανικήση τὸν γενναῖο ἐκεῖνον. Ἐνῶ σ' ἐμᾶς, ἂν καὶ δὲν ὑπάρχει τίποτε τέτοιο, ποὺ νὰ μᾶς κάνη νὰ ἀπογοητευώμαστε, κι ὅμως σταματοῦμε τὴν προσπάθειά μας. Καὶ ὁ διάβολος βέβαια, ἂν καὶ ὁ Θεὸς τὸν ἐμποδίζει, δὲν ἀποχωρεῖ ἀπὸ τὴν ἐναντίον μας μάχη· καὶ ἐσύ, ἐνῶ ὁ Θεὸς σὲ προτρέπει καὶ σὲ διεγείρει νὰ βοηθήσης τοὺς ἁμαρτωλούς, ἀποσκιρτᾶς; Ὁ διάβολος ἄκουσε τὸν Θεὸ νὰ λέγη, «εἶναι ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής, εἶναι μακριὰ ἀπὸ κάθε πονηρὸ πρᾶγμα»[3], καὶ ὅτι κανεὶς ἀπὸ τοὺς κατοίκους τῆς γῆς δὲν εἶναι σὰν αὐτόν, καὶ ὕστερα ἀπὸ τόσες καὶ τέτοιου εἴδους μαρτυρίες, ἐπέμενε, λέγοντας· 'μήπως μὲ τὰ συνεχῆ καὶ μεγάλα κακὰ ποὺ θὰ ἐπιφέρω ἐναντίον του, μπορέσω νὰ τὸν νικήσω καὶ νὰ γκρεμίσω τὸν μεγάλο αὐτὸ πύργο'.

4. Ποιὰ λοιπὸν συγγνώμη θὰ ἔχουμε, ἀγαπητοί, ποιὰ ἀπολογία, ἐάν, ἐνῶ τόσο μεγάλη μανία μεταχειρίζεται ἐναντίον μας ὁ πονηρὸς δαίμονας, ἐμεῖς οὔτε τὸ ἐλάχιστο μέρος τῆς τόσης δραστηριότητάς του δὲν καταβάλλουμε γιὰ τὴ σωτηρία τῶν ἀδελφῶν μας, καὶ ὅλα αὐτά, ἂν καὶ ἔχουμε σύμμαχο τὸν Θεό; Ὅταν λοιπὸν δῆς σκληρὸ καὶ τραχὺ τὸν ἀδελφὸ καὶ νὰ μὴ σὲ προσέχη, λέγε στὸν ἑαυτό σου· 'μήπως μὲ τὴν πάροδο τοῦ χρόνου μπορέσω νὰ τὸν πείσω'. Ἔτσι

θῶμεν πεῖσαι'. Οὕτω καὶ Παῦλος ἐκέλευσε ποιεῖν· «δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, ἐν πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δώῃ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας». Οὐχ ὁρᾷς τοὺς πατέρας, πῶς 5 πολλάκις τῶν υἱῶν αὐτοῖς ἀπεγνωσμένων, παρακάθηνται δακρύοντες, θρηνοῦντες, καταφιλοῦντες, τὰ παρ' ἑαυτῶν εἰσφέροντες ἅπαντα ἕως ἐσχάτης ἀναπνοῆς;

Τοῦτο καὶ σὺ περὶ τὸν ἀδελφὸν ποίησον. Καίτοι ἐκεῖνοι μὲν ἀπὸ τῶν θρήνων καὶ τῶν δακρύων οὔτε τὴν ἀρρωστίαν ἀπελάσαι, 10 οὔτε τὸν θάνατον ἐπελθόντα ἀποκρούσασθαι δύνανται· σὺ δὲ ψυχὴν ἀπογνωσθεῖσαν τῇ καρτερίᾳ καὶ τῇ προσεδρίᾳ δυνήσῃ πολλάκις διὰ τῶν θρήνων καὶ τῶν δακρύων ἐπισπάσασθαι καὶ ἀναστῆσαι. Συνεβούλευσας, καὶ οὐκ ἔπεισας; Δάκρυσον καὶ καθάψῃ πολλάκις· στέναξον πικρόν, ἵνα αἰδεσθεὶς σου τὴν κηδεμονίαν, ἐπι- 15 στρέψῃ πρὸς τὴν σωτηρίαν. Τί δυνήσομαι ἐγὼ μόνος ποιεῖν; οὐ γὰρ δὴ πᾶσιν ὑμῖν καθ' ἑκάστην συγγίνεσθαι δύναμαι μόνος τὴν ἡμέραν, οὐδὲ ἀρκῶ πλήθει τοσούτῳ διαλέγεσθαι μόνος.

Ὑμεῖς δέ, εἰ βουληθείητε τὴν ἀλλήλων διανείμασθαι σωτηρίαν, καὶ ἕκαστος ἕνα ἀπολαβεῖν τῶν ἠμελημένων ἀδελφῶν, 20 ταχέως ἡμῖν τὰ τῆς οἰκοδομῆς αὐξηθήσεται. Καὶ τί χρὴ λέγειν τῶν μετὰ πολλὴν παραίνεσιν ἀνακτωμένων ἑαυτούς; Οὐδὲ γὰρ ἐκείνων τῶν ἀνίατα νοσούντων ἀφίστασθαι χρὴ καὶ ἀμελεῖν, κἂν προειδότες ὦμεν σαφῶς, ὅτι πολλῆς ἀπολαύσαντες τῆς σπουδῆς καὶ τῆς συμβουλῆς, οὐδὲν κερδανοῦσι πλέον. Εἰ δὲ παράδοξος ὑμῖν ὁ λόγος 25 οὗτος εἶναι δοκεῖ, φέρε, ἀφ' ὧν ὁ Χριστὸς ἐποίησέ τε καὶ εἶπεν, ἀπὸ τούτων αὐτὸν πιστωσόμεθα. Ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι τὸ μέλλον ἀγνοοῦμεν, ὅθεν οὐδὲν διισχυρίζεσθαι δυνάμεθα περὶ τῶν ἀκουόντων, εἴτε πεισθήσονται, εἴτε ἀπειθήσουσι τοῖς παρ' ἡμῶν λεγομένοις, ὁ δὲ Χριστὸς ταῦτα ἀμφότερα εἰδὼς σαφῶς, οὐ διέλιπε 30 τὸν οὐκ ἀκουσόμενον αὐτοῦ διορθούμενος μέχρι τέλους.

Τὸν γοῦν Ἰούδαν εἰδὼς οὐκ ἀποστησόμενον τῆς προδοσίας, οὐ διέλιπε συμβουλαῖς, παραινέσεσιν, εὐεργεσίαις, ἀπειλαῖς, παντὶ τρόπῳ διδασκαλίας ἀναστέλλων αὐτὸν ἐκ τῆς προδοσίας, καὶ συν-

4. Β'. Τιμ. 2,24.

καὶ ὁ Παῦλος παρήγγειλε νὰ κάνουμε· «ὁ δοῦλος τοῦ Κυρίου δὲν πρέπει νὰ φιλονεικῆ, ἀλλὰ νὰ εἶναι ἤμερος πρὸς ὅλους, νὰ διδάσκη μὲ πραότητα τοὺς ἀντιφρονοῦντες, μήπως τοὺς δώση κάποτε ὁ Θεὸς μετάνοια καὶ γνωρίσουν τὴν ἀλήθεια»[4]. Δὲν βλέπεις τοὺς πατέρες, πῶς πολλὲς φορές, ὅταν τὰ παιδιά τους εἶναι ἀπελπισμένα, κάθονται κοντά τους μὲ δάκρυα, μὲ θρήνους, μὲ φιλιά, καὶ προσφέρουν ὅλα ὅσα μποροῦν, μέχρι τὴν τελευταία τους πνοή;

Αὐτὸ κι' ἐσὺ κάνε γιὰ τὸν ἀδελφό σου. Ἂν καὶ ἐκεῖνοι μὲ τοὺς θρήνους καὶ τὰ δάκρυα οὔτε τὴν ἀρρώστια μποροῦν ν' ἀπομακρύνουν, οὔτε τὸν θάνατο ν' ἀποκρούσουν ὅταν ἔλθη· ἐνῶ ἐσὺ τὴν ψυχὴ ποὺ ἔφθασε στὴν ἀπόγνωσι θὰ μπορέσης πολλὲς φορὲς μὲ τὴν ὑπομονὴ καὶ τὴ συμπαράστασί σου, μὲ τοὺς θρήνους καὶ τὰ δάκρυα, νὰ τὴν κερδίσης καὶ νὰ τὴν ἀναστήσης. Συμβούλεψες καὶ δὲν ἔπεισες; Δάκρυσε, καὶ πολλὲς φορὲς θὰ τὴν προσελκύσης· στέναξε πικρά, γιὰ νὰ ντραπῆ τὴ φροντίδα σου καὶ νὰ ἐπιστρέψη πρὸς τὴ σωτηρία. Τί θὰ μπορέσω νὰ κάνω ἐγὼ μόνος μου; Διότι ἀσφαλῶς δὲν μπορῶ μόνος ἐγὼ νὰ συναναστρέφωμαι ὅλους σας ὅλη τὴν ἡμέρα, οὔτε προλαβαίνω νὰ συνομιλῶ μόνος μου μὲ τόσο πλῆθος.

Ἐσεῖς ὅμως ἐὰν θελήσετε νὰ μοιρασθῆτε τὴν εὐθύνη γιὰ τὴ σωτηρία ὁ ἕνας τοῦ ἄλλου, καὶ ὁ καθένας ἀναλάβη ἕναν ἀπὸ τοὺς ἀδιάφορους ἀδελφούς, γρήγορα θ' αὐξηθῆ ἡ οἰκοδομή μας. Καὶ τί πρέπει νὰ πῶ γι' αὐτοὺς ποὺ ξαναβρίσκουν τοὺς ἑαυτούς τους, ὕστερα ἀπὸ πολλὴ προτροπή; Οὔτε βέβαια πρέπει ν' ἀπομακρυνώμαστε καὶ ν' ἀδιαφοροῦμε γιὰ ἐκείνους ποὺ πάσχουν ἀπὸ ἀθεράπευτες ἀσθένειες· κι' ἂν ἀκόμα ἔχουμε προβλέψει μὲ ἀκρίβεια, ὅτι καὶ ν' ἀπολαύσουν μεγάλη φροντίδα καὶ συμβουλή, τίποτε δὲν θὰ κερδίσουν πιά. Ἐὰν ὅμως νομίζετε ὅτι εἶναι παράξενος αὐτὸς ὁ λόγος, ἐλᾶτε, ἀπ' αὐτὰ ποὺ ἔκανε καὶ εἶπε ὁ Χριστός, ἀπ' αὐτὰ ἂς τὸν ἐπιβεβαιώσουμε. Διότι ἐμεῖς οἱ ἄνθρωποι ἀγνοοῦμε τὸ μέλλον, γι' αὐτὸ καὶ δὲν μποροῦμε νὰ βεβαιώσουμε μὲ σιγουριὰ γιὰ τοὺς ἀκροατές, ἐὰν θὰ ἀποδεχθοῦν ἢ θὰ ἀπορρίψουν αὐτὰ ποὺ τοὺς λέμε, ἐνῶ ὁ Χριστός, ἐπειδὴ τὰ γνώριζε αὐτὰ μὲ ἀκρίβεια, δὲν ἔπαυε νὰ διορθώνη μέχρι τέλους ἐκεῖνον ποὺ δὲν ἐπρόκειτο νὰ τὸν ἀκούση.

Ἐνῶ λοιπὸν γνώριζε ὅτι ὁ Ἰούδας δὲν θὰ παραιτηθῆ ἀπὸ τὴν προδοσία, δὲν ἔπαυε μὲ συμβουλές, μὲ νουθεσίες, μὲ εὐεργεσίες, μὲ ἀπειλές, μὲ κάθε τρόπο διδασκαλίας νὰ τὸν συγκρατῆ ἀπὸ τὴν προ-

εχῶς ἀνακρουόμενος, ὥσπερ τινὶ χαλινῷ, τῷ λόγῳ. Τοῦτο δὲ ποιεῖ, παιδεύων ἡμᾶς, κἂν προειδότες ὦμεν, ὅτι οὐ πεισθήσονται οἱ ἀδελφοί, τὰ παρ' ἑαυτῶν ἅπαντα ἀποπληροῦν, ὡς ἀπηρτισμένου τῆς συμβουλῆς ἡμῖν τοῦ μισθοῦ. Καὶ ὅρα πῶς συνεχῶς αὐτὸν καὶ
5 *σοφῶς ἀνέστελλε δι' ὧν ἔλεγεν· «εἷς ἐξ ὑμῶν παραδώσει με». Καὶ πάλιν· «οὐ περὶ πάντων ὑμῶν λέγω· οἶδα οὓς ἐξελεξάμην». Καὶ πάλιν· «εἷς ἐξ ὑμῶν διάβολός ἐστι». Καὶ ἠνείχετο πάντας ἐν ἀγωνίᾳ καθιστᾶν, ὥστε μὴ ἐκπομπεῦσαι τὸν προδότην καὶ ἀναισχυντότερον ποιῆσαι τῇ τῶν ἐλέγχων περιφανείᾳ.*

10 *Ὅτι γὰρ καὶ τοῖς ἄλλοις ἀγωνίαν καὶ φόβον ἐνέβαλε τὰ λεγόμενα, καίτοι μηδὲν ἑαυτοῖς συνειδόσι πονηρόν, ἄκουον πῶς ἕκαστος ἀγωνιῶν ἔλεγε· «μήτι ἐγώ εἰμι, Κύριε;». Οὐ διὰ ρημάτων δὲ μόνον ἀλλὰ καὶ διὰ πραγμάτων αὐτὸν ἐπαίδευεν. Ἐπειδὴ γὰρ τὴν ἑαυτοῦ φιλανθρωπίαν ἐπεδείξατο πολλάκις καὶ διὰ πάντων, λέ-*
15 *προὺς καθαίρων, δαίμονας ἀπευλαύνων, νοσοῦντας ἰώμενος, νεκροὺς ἐγείρων, παραλελυμένους σφίγγων, καὶ πάντας μὲν εὐηργέτησεν, ἐκόλασε δὲ οὐδένα, καὶ συνεχῶς ἔλεγεν, «οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον», ἵνα μὴ νομίσῃ ὁ Ἰούδας, ὅτι εὐεργετεῖν μὲν μόνον οἶδεν ὁ Χριστός, κολάζειν δὲ οὐ-*
20 *κέτι, καὶ τοῦτο αὐτὸν διδάσκει τὸ μέρος, οἷον ὅτι καὶ κολάζειν δύναται καὶ τιμωρεῖσθαι τοὺς ἁμαρτάνοντας.*

ε'. Καὶ ὅρα πῶς σαφῶς καὶ προσηκόντως καὶ τοῦτον μὲν ἐπαίδευσε, καὶ ἀνθρώπων οὐδένα κολάσαι οὐδὲ τιμωρήσασθαι ἠνέχετο. Πῶς οὖν; Ἵνα μάθῃ τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν ὁ μαθη-
25 *τής. Εἰ μὲν γὰρ ἐκόλασέ τινα, ἔδοξεν ἂν ἐναντιοῦσθαι ἑαυτῷ λέγοντι· «οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον». Πάλιν, εἰ μηδένα ἐκόλασεν, ἀδιόρθωτος ἔμενεν ὁ μαθητής, οὐ μανθάνων διὰ τῶν ἔργων τὴν κολαστικὴν αὐτοῦ δύναμιν. Τί οὖν ἵνα γένηται; Ὥστε καὶ τὸν μαθητὴν φοβηθῆναι καὶ μὴ καταφρονή-*
30 *σαντα γενέσθαι χείρω, καὶ ἀνθρώπων μηδένα πληγῆναι, μηδὲ κόλασιν ὑπομεῖναι καὶ τιμωρίαν, εἰς τὴν συκῆν τὴν δύναμιν ταύτην ἐπιδείκνυται ὁ Χριστός, εἰπών· «μηκέτι ἐκ σοῦ καρπὸς γένηται»,*

5. Ματθ. 26,21.
6. Ἰω. 6,71.
7. Ἰω. 6,71.
8. Ματθ. 26,22.
9. Ἰω. 12,47.
10. Ἰω. 12,47.

δοσία καὶ νὰ τὸν ἀναχαιτίζη συνεχῶς μὲ τὸν λόγο, σὰν μὲ κάποιο χαλινάρι. Κι' αὐτὸ τὸ κάνει, γιὰ νὰ μᾶς διδάξη, ὅτι κι' ἂν ἀκόμη γνωρίζουμε ἐκ τῶν προτέρων, ὅτι δὲν θὰ πεισθοῦν οἱ ἀδελφοί, ἐμεῖς νὰ ἐκτελοῦμε τὸ καθῆκον μας, ἐφ' ὅσον εἶναι ὁλόκληρος ὁ μισθὸς γιὰ τὴ συμβουλή μας. Καὶ πρόσεχε πῶς συνεχῶς καὶ μὲ σοφία τὸν συγκρατοῦσε, μ' αὐτὰ ποὺ ἔλεγε· «κάποιος ἀπὸ ἐσᾶς θὰ μὲ παραδώση»[5]. Καὶ πάλι· «δὲν τὰ λέγω γιὰ ὅλους σας· γνωρίζω ποιούς διάλεξα»[6]. Καὶ πάλι· «ἕνας ἀπὸ σᾶς εἶναι διάβολος»[7]. Καὶ ἀνεχόταν ὅλους νὰ τοὺς κρατᾶ σὲ ἀγωνία, γιὰ νὰ μὴν δυσφημήση τὸν προδότη, καὶ γιὰ νὰ μὴν τὸν κάνη πιὸ ἀδιάντροπο μὲ τὴν ἀλαζονεία τῶν ἐλέγχων.

Ὅτι βέβαια καὶ στοὺς ἄλλους προξενοῦσε ἀγωνία καὶ φόβο μ' αὐτὰ ποὺ ἔλεγε, ἂν καὶ τίποτε πονηρὸ δὲν εἶχαν στὴ συνείδησί τους, ἄκουσε πῶς ὁ καθένας ἐρωτοῦσε μὲ ἀγωνία· «μήπως εἶμαι ἐγώ, Κύριε;»[8]. Καὶ ὄχι μόνο μὲ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἔργα τὸν ἐδίδασκε. Ἐπειδὴ δηλαδὴ ἔδειξε τὴ φιλανθρωπία του πολλὲς φορὲς καὶ μὲ κάθε τρόπο, καθαρίζοντας τοὺς λεπρούς, ἀπομακρύνοντας τοὺς δαίμονες, θεραπεύοντας τοὺς ἀσθενεῖς, ἀνασταίνοντας τοὺς νεκρούς, ἀνορθώνοντας τοὺς παραλύτους, καὶ ὅλους τοὺς εὐεργέτησε, χωρὶς νὰ τιμωρήση κανένα, καὶ συνεχῶς ἔλεγχε, «δὲν ἦρθα γιὰ νὰ κρίνω τὸν κόσμο, ἀλλὰ γιὰ νὰ σώσω τὸν κόσμο»[9], γιὰ νὰ μὴ νομίση ὁ Ἰούδας, ὅτι νὰ εὐεργετῆ μόνο ξέρει ὁ Χριστός, καὶ ὄχι νὰ τιμωρῆ, τοῦ διδάσκει κι' αὐτὸ ἐν μέρει, ὅτι μπορεῖ καὶ νὰ τιμωρῆ καὶ νὰ καταδικάζη ἐκείνους ποὺ ἁμαρτάνουν.

5. Καὶ πρόσεχε μὲ πόση σαφήνεια καὶ κατάλληλο τρόπο καὶ αὐτὸν τὸν ἐδίδαξε καὶ κανέναν ἀπὸ τοὺς ἀνθρώπους δὲν ἀνεχόταν οὔτε νὰ τιμωρήση οὔτε νὰ καταδικάση. Πῶς λοιπόν; Γιὰ νὰ μάθη ὁ μαθητὴς τὴν τιμωρητική του δύναμι. Διότι, ἐὰν τιμωροῦσε κάποιον, θὰ ἔδειχνε ὅτι ἔρχεται σὲ ἀντίφασι μὲ τὸν ἑαυτό του ποὺ λέγει· «δὲν ἦλθα γιὰ νὰ κρίνω τὸν κόσμο, ἀλλὰ γιὰ νὰ σώσω τὸν κόσμον»[10]. Πάλι, ἐὰν δὲν τιμωροῦσε κανένα, θὰ ἔμενε ἀδιόρθωτος ὁ μαθητής, ἀφοῦ δὲν θὰ μάθαινε μέσω τῶν ἔργων τὴν τιμωρητική του δύναμι. Γιατί λοιπὸν τὰ ἔκανε αὐτά; Μὲ σκοπὸ καὶ ὁ μαθητὴς νὰ φοβηθῆ καὶ νὰ μὴ γίνη χειρότερος, ἐπειδὴ δὲν θὰ φοβόταν. Καὶ γιὰ νὰ μὴ πληγῆ κανεὶς ἄνθρωπος, οὔτε νὰ καταδικασθῆ καὶ νὰ τιμωρηθῆ, στὴ συκιὰ φανερώνει αὐτὴ τὴ δύναμι ὁ Χριστός, λέγοντας· «ποτὲ

καὶ ῥήματι ψιλῷ ξηράνας αὐτὴν παραχρῆμα. Οὕτω γὰρ οἵ τε ἄνθρωποι πάντες ἔμενον ἀβλαβεῖς, αὐτός τε τὴν ἑαυτοῦ δύναμιν ἐπεδείκνυτο, τοῦ φυτοῦ δεξαμένου τὴν τιμωρίαν. Καὶ ὁ μαθητὴς δὲ εἰ προσεῖχε, μεγάλην ἂν ἀπὸ τῆς κολάσεως ταύτης ἐκαρπώσατο τὴν 5 ὠφέλειαν· ἀλλ' ὅμως οὐδὲ οὕτω διωρθώθη.

Ὁ δὲ Χριστὸς καὶ τοῦτο προειδώς, οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερον μετὰ τοῦτο πολλῷ μεῖζον τούτου ἐποίησεν. Ὅτε γοῦν ἐπέθεντο αὐτῷ οἱ Ἰουδαῖοι μετὰ μαχαιρῶν καὶ ξύλων τὰς χεῖρας ὁπλίσαντες κατ' αὐτοῦ, τότε πάντας αὐτοὺς ἐπήρωσε· τὸ γὰρ εἰ-10 πεῖν, «τίνα ζητεῖτε;» τοῦτο ἐμφαίνοντος ἦν. Ἐπειδὴ γὰρ ἔλεγε συνεχῶς ὁ Ἰούδας· «τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν παραδώσω αὐτόν;», βουλόμενος ὁ Κύριος καὶ τοὺς Ἰουδαίους πεῖσαι, κἀκεῖνον διδάξαι, ὅτι ἑκὼν ἔρχεται ἐπὶ τὸ πάθος καὶ τὸ πᾶν αὐτοῦ ἐστιν, οὐ τῆς ἐκείνου πανουργίας δυνηθείσης αὐτοῦ περιγίνεσθαι, αὐτοῦ τοῦ 15 προδότου μετὰ πάντων ἑστῶτος, φησί, «τίνα ζητεῖτε;»· οὕτως οὐκ ᾔδει ὃν ἔμελλε παραδιδόναι, ἀλλ' ἐπήρωσεν αὐτοῦ τὴν ὄψιν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὑπτίους ἅπαντας ἔρριψε διὰ τῆς φωνῆς ταύτης. Καὶ ἐπειδὴ μηδὲ τοῦτο αὐτοὺς ἐπιεικεστέρους ἐποίησε, μηδὲ τὸν μιαρὸν ἐκεῖνον τῆς προδοσίας ἀπέστησεν, ἀλλ' ἔμενεν ἀνίατος 20 ὤν, οὐδὲ οὕτω πάλιν ὁ Χριστὸς ἀπέστη τῆς περὶ αὐτὸν εὐνοίας τε καὶ ἐπιμελείας· ἀλλ' ὅρα πῶς ἐντρεπτικώτατα τῆς ἀναιδοῦς καθάπτεται ψυχῆς, καὶ φθέγγεται ῥήματα ἱκανὰ καὶ λιθίνην μαλάξαι διάνοιαν. Ἐπειδὴ γὰρ ὥρμησεν αὐτὸν φιλῆσαι, τί φησιν; «Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδίδως;», οὐδὲ αὐτὸ τῆς 25 προδοσίας αἰσχύνῃ τὸ σχῆμα; Ταῦτα δὲ ἔλεγεν ὁ Χριστὸς καθαπτόμενος αὐτοῦ καὶ τῆς προτέρας ἀναμιμνήσκων συνηθείας. Ἀλλ' ὅμως, τοσαῦτα τοῦ Κυρίου καὶ ποιήσαντος καὶ εἰπόντος, οὐκ ἐγένετο βελτίων ἐκεῖνος, οὐ παρὰ τὴν τοῦ συμβουλεύσαντος ἀσθένειαν, ἀλλὰ παρὰ τὴν αὐτοῦ ῥᾳθυμίαν. Ὁ δὲ Χριστός, καίτοι ταῦτα 30 πάντα προειδώς, οὐ διέλιπεν ἐξ ἀρχῆς μέχρι τέλους τὰ παρ' ἑαυτοῦ ἅπαντα ἐπιδεικνύμενος.

Ἅπερ οὖν ἅπαντα καὶ ἡμᾶς εἰδότας, ἀγαπητοί, συνεχῶς καὶ διαπαντὸς τοὺς ἠμελημένους τῶν ἀδελφῶν τῶν ἡμετέρων ῥυθμίζειν καὶ φιλεῖν χρή, κἂν μηδὲν ἐκ τῆς συμβουλῆς γίνηται κέρδος.

11. Ματθ. 21,19.
12. Ἰω. 18,4.
13. Ματθ. 26,15.
14. Λουκᾶ 22,48.

πιὰ νὰ μὴν βγῆ ἀπὸ σένα καρπός»[11], καὶ μ' ἕναν ἁπλὸ λόγο τὴν ἀποξήρανε ἀμέσως. Ἔτσι λοιπὸν καὶ ὅλοι οἱ ἄνθρωποι ἔμεναν ἀβλαβεῖς καὶ αὐτὸς ἔδειχνε τὴ δύναμί του, ἀφοῦ τιμωρήθηκε τὸ φυτό. Ἀλλὰ καὶ ὁ μαθητής, ἐὰν πρόσεχε, θὰ εἶχε μεγάλη ὠφέλεια ἀπὸ τὴν τιμωρία αὐτή. Ἀλλ' ὅμως οὔτε μ' αὐτὸν τὸν τρόπο διωρθώθηκε.

Ὁ Χριστὸς ὅμως, ἐπειδὴ κι' αὐτὸ τὸ προγνώριζε, ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ἄλλο μετὰ ἀπὸ αὐτό, πολὺ μεγαλύτερο ἀπὸ αὐτό, ἔκανε. Ὅταν λοιπὸν βάδισαν ἐναντίον του οἱ Ἰουδαῖοι, ὡπλισμένοι μὲ μαχαίρια καὶ ξύλα, τότε ὅλους αὐτοὺς τοὺς τύφλωσε· διότι τὰ λόγια του «ποιόν ζητᾶτε;[12]», αὐτὸ φανέρωναν. Ἐπειδὴ δηλαδὴ ὁ Ἰούδας ἔλεγε συνεχῶς, «τί θὰ μοῦ δώσετε, κι' ἐγὼ θὰ σᾶς τὸν παραδώσω;»[13], θέλοντας ὁ Κύριος νὰ πείση καὶ τοὺς Ἰουδαίους, καὶ νὰ διδάξη κι' ἐκεῖνον, ὅτι μὲ τὴ θέλησί του βαδίζει πρὸς τὸ πάθος καὶ ὅτι ὅλα εἶναι στὴν ἐξουσία του, καὶ ὅτι δὲν θὰ μοροῦσε νὰ τὸν νικήση μὲ τὴν πανουργία του, ἐνῶ ὁ ἴδιος ὁ προδότης στεκόταν μαζὶ μὲ ὅλους, λέγει, «ποιόν ζητᾶτε;». Ἔτσι δὲν ἐγνώριζε αὐτὸν ποὺ ἐπρόκειτο νὰ παραδώση, ἀλλὰ τοῦ τύφλωσε τὴν ὅρασι· καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καὶ τοὺς ἔρριξε ὅλους κατὰ γῆς μ' αὐτὰ τὰ λόγια. Καὶ ἐπειδὴ οὔτε αὐτὸ τοὺς ἔκανε πιὸ ἐπιεικεῖς, οὔτε τὸν μιαρὸ ἐκεῖνον τὸν ἀπομάκρυνε ἀπὸ τὴν προδοσία, ἀλλ' ἔμενε ἀθεράπευτος, οὔτε ἀμέσως πάλι ὁ Χριστὸς τοῦ στέρησε τὴν εὔνοια καὶ τὴ φροντίδα του· ἀλλὰ πρόσεχε, πῶς ἀγγίζει τὴν ἀδιάντροπη ψυχὴ μὲ τρόπο ποὺ νὰ τὴν κάνη νὰ νοιώση ντροπή, καὶ λέγει λόγια ἱκανὰ νὰ μαλακώσουν καὶ τὴν πέτρινη καρδιά. Διότι, ὅταν ὥρμησε νὰ τὸν φιλήση, τί λέγει; «Ἰούδα, μὲ φίλημα παραδίνεις τὸν Υἱὸ τοῦ ἀνθρώπου;»[14]. Οὔτε αὐτὸ τὸ σχῆμα τῆς προδοσίας δὲν ντρέπεσαι; Καὶ αὐτὰ τὰ ἔλεγε ὁ Χριστὸς γιὰ νὰ τὸν συγκρατήση καὶ νὰ τοῦ θυμίση τὴν προηγούμενη συναναστροφὴ μαζί του. Ἀλλ' ὅμως, ἂν καὶ τόσα πολλὰ ἔκανε ὁ Κύριος καὶ εἶπε, δὲν ἔγινε καλύτερος ἐκεῖνος, ὄχι ἐξ αἰτίας τῆς ἀδυναμίας ἐκείνου ποὺ τὸν συμβούλευε, ἀλλ' ἐξ αἰτίας τῆς δικῆς του ραθυμίας. Ὁ Χριστὸς ὅμως, ἂν καὶ βέβαια ὅλα αὐτὰ τὰ γνώριζε ἐκ τῶν προτέρων, δὲν ἔπαυε ἀπὸ τὴν ἀρχὴ μέχρι τὸ τέλος νὰ δείχνη τὸ ἐνδιαφέρον του.

Ὅλα αὐτὰ λοιπὸν γνωρίζοντάς τα καὶ ἐμεῖς, ἀγαπητοί, ὀφείλουμε διαρκῶς καὶ πάντοτε νὰ διορθώνουμε τοὺς ἀδιάφορους ἀδελφούς μας καὶ νὰ τοὺς ἀγαποῦμε, ἔστω κι' ἂν κανένα κέρδος δὲν προ-

Εἰ γὰρ ὁ τὸ τέλος εἰδὼς τοιοῦτον ἐσόμενον, τοσαύτῃ περὶ τὸν οὐδὲν μέλλοντα καρποῦσθαι ἐκ τῆς παραινέσεως ταύτης ἐχρήσατο προνοίᾳ, ποίας ἂν εἴημεν ἄξιοι συγγνώμης ἡμεῖς, ὅταν μηδὲ τὴν τῶν πραγμάτων ἔκβασιν εἰδότες, οὕτω τῆς τῶν πλησίον σωτηρίας
5 *ῥᾳθυμῶμεν, ἐκ πρώτης καὶ δευτέρας αὐτοὺς συμβουλῆς ἐγκαταλιμπάνοντες; Μετὰ δὲ τῶν εἰρημένων ἁπάντων καὶ τὰ καθ' ἡμᾶς αὐτοὺς ἐννοήσωμεν, ὅτι καθ' ἑκάστην ἡμέραν τοῦ Θεοῦ πρὸς ἡμᾶς διαλεγομένου διὰ τῶν προφητῶν, διὰ τῶν ἀποστόλων, καθ' ἑκάστην παρακούομεν τὴν ἡμέραν· καὶ ὅμως οὐκ ἀφίσταται καὶ διαλεγό-*
10 *μενος καὶ παρακαλῶν ἀεὶ τοὺς ἀφηνιῶντας καὶ μὴ προσέχοντας. Καὶ βοᾷ Παῦλος λέγων· «ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ». Εἰ γὰρ χρή τι καὶ θαυμάσιον εἰπεῖν, οὐ τοσούτων ἐπαίνων ἄξιος ὁ προειδώς, ὅτι πεισθήσεται πάντως ὁ δεχόμενος*
15 *τὴν συμβουλήν, καὶ οὕτω συμβουλεύων, ὡς ὁ πολλάκις μὲν εἰπὼν καὶ συμβουλεύσας καὶ ἀποτυχών, οὐκ ἀφιστάμενος δὲ οὐδὲ οὕτω.*

Τὸν μὲν γὰρ πρότερον ἡ τοῦ πεισθήσεσθαι ἐλπὶς τὸν ἀκούοντα, κἂν ἁπάντων νωθέστρος ᾖ, διεγείρει πρὸς τὴν παραίνεσιν· οὗτος δὲ ὁ συνεχῶς συμβουλεύων καὶ παρακουόμενος, εἶτα οὐκ ἀφι-
20 *στάμενος, θερμοτάτης καὶ γνησιωτάτης ἀγάπης τεκμήριον ἐπιδείκνυται, ἐλπίδι μὲν οὐδεμιᾷ τοιαύτῃ τρεφόμενος, διὰ δὲ τὸ πρὸς τὸν ἀκούοντα φίλτρον μόνον τῆς περὶ τὸν ἀδελφὸν οὐκ ἀφιστάμενος ἐπιμελείας. Ἀλλ' ὅτι μὲν χρὴ μηδέποτε ἀφίστασθαι τῶν πεπτωκότων, κἂν προειδότες ὦμεν, ὅτι οὐ πεισθήσονται ἡμῖν, ἱκανῶς ἀπο-*
25 *δέδεικται. Δεῖ δὲ λοιπὸν ἐπὶ τὴν τῶν τρυφώντων κατηγορίαν βαδίσαι. Ἕως γὰρ ἂν ἑστήκῃ ἡ ἑορτὴ αὕτη, καὶ τὰ ἕλκη τῆς μέθης ἐνταῖς τῶν μεθυόντων ἐργάζεται ψυχαῖς ὁ διάβολος, καὶ ἡμᾶς τὰ φάρμακα ἐπιτιθέναι χρή.*

στ'. Χθὲς μὲν οὖν τὸν Παῦλον αὐτοῖς ἐπετειχίσαμεν λέγοντα·
30 *«εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Σήμερον δὲ τὸν Παύλου Δεσπότην δείξομεν αὐτοῖς, οὐχὶ παραινοῦντα μόνον, οὐδὲ συμβουλεύοντα ἀπέχεσθαι τρυφῆς, ἀλλὰ*

15. Β' Κορ. 5,20.
16. Α' Κορ. 10,31.

κύπτη ἀπὸ τὴ συμβουλή μας. Διότι, ἐὰν αὐτὸς ποὺ γνώριζε ὅτι θὰ εἶναι τέτοιο τὸ ἀποτέλεσμα, τόσο πολὺ φρόντισε γι' αὐτόν, ποὺ δὲν ἐπρόκειτο καθόλου νὰ ὠφεληθῆ ἀπὸ τὴ συμβουλή, ποιᾶς συγγνώμης θὰ κριθοῦμε ἄξιοι ἐμεῖς, ὅταν, χωρὶς νὰ γνωρίζουμε τὴν ἔκβασι τῶν πραγμάτων, ἀδιαφοροῦμε ἔτσι γιὰ τὴ σωτηρία τῶν πλησίον μας, ἐγκαταλείποντάς τους μετὰ τὴν πρώτη καὶ δεύτερη συμβουλή; Μαζὶ μὲ ὅλα αὐτὰ ποὺ ἔχουμε πῆ, ἂς ἀναλογισθοῦμε καὶ τὰ δικά μας, ὅτι, ἐνῶ κάθε ἡμέρα ὁ Θεὸς συνομιλεῖ μαζί μας μέσω τῶν προφητῶν καὶ τῶν ἀποστόλων, ἐμεῖς τὸν παρακοῦμε καθημερινά· καὶ ὅμως δὲν παύει νὰ συνομιλῆ καὶ νὰ παρακαλῆ πάντοτε ἐκείνους ποὺ κάνουν σὰν τὰ ἀφηνιασμένα ἄλογα καὶ δὲν προσέχουν. Καὶ ὁ Παῦλος φωνάζει λέγοντας· «ἐκ μέρους τοῦ Χριστοῦ ἐνεργοῦμε, σὰν ἀπεσταλμένοι τοῦ Θεοῦ σᾶς παρακαλοῦμε ἐκ μέρους του, σᾶς παρακαλοῦμε στὸ ὄνομα τοῦ Χριστοῦ, συμφιλιωθῆτε μὲ τὸν Θεό»[15]. Κι' ἂν πρέπει νὰ ποῦμε κάτι ἀξιοθαύμαστο, δὲν εἶναι τόσο ἀξιοθαύμαστος αὐτὸς ποὺ ξέρει ἐκ τῶν προτέρων ὅτι θὰ πεισθῆ ὁπωσδήποτε αὐτὸς ποὺ δέχεται τὴ συμβουλή, κι' ἔτσι συμβουλεύει, ὅσο αὐτὸς πού, ἐνῶ πολλὲς φορὲς εἶπε καὶ συμβούλεψε καὶ ἀπέτυχε, κι' ὅμως οὔτε ἔτσι σταμάτησε νὰ συμβουλεύη.

Διότι τὸν ἕνα τὸν διεγείρει πρὸς τὴν συμβουλὴ ἡ ἐλπίδα ὅτι θὰ πεισθῆ ὁ ἀκροατής, κι' ἂν ἀκόμα εἶναι ὀκνηρότερος ἀπ' ὅλους· ἐνῶ αὐτὸς ποὺ συνεχῶς συμβουλεύει, χωρὶς νὰ γίνεται παραδεκτός, καὶ ἔπειτα ἀπὸ αὐτὰ δὲν παύει νὰ συμβουλεύη, παρουσιάζει δεῖγμα τῆς πιὸ θερμῆς καὶ γνήσιας ἀγάπης, χωρὶς νὰ τρέφεται ἀπὸ καμμιὰ τέτοια ἐλπίδα, ἀλλὰ μόνο ἀπὸ ἀγάπη πρὸς τὸν ἀκροατή, δὲν παύει νὰ φροντίζη γιὰ τὸν ἀδελφό. Ἀλλὰ τὸ ὅτι πρέπει νὰ μὴν ἐγκατελείπουμε ποτὲ τοὺς ἁμαρτωλούς, κι' ἂν ἀκόμη γνωρίζουμε ἐκ τῶν προτέρων ὅτι δὲν θὰ μᾶς ἀκούσουν, ἔχει ἀρκετὰ ἀποδειχθῆ. Πρέπει τώρα νὰ προχωρήσουμε στὴν κατηγορία ἐκείνων ποὺ ἐπιδίδονται στὴν ἀσωτία. Διότι, ὅσο διαρκεῖ αὐτὴ ἡ ἑορτὴ καὶ ὁ διάβολος προξενεῖ τὶς πληγὲς τῆς μέθης στὶς ψυχὲς ἐκείνων ποὺ μεθοῦν, ὀφείλουμε κι' ἐμεῖς νὰ ἐπιθέτουμε τὰ φάρμακα.

6. Ἐχθὲς λοιπὸν χρησιμοποιήσαμε ὡς φραγμὸ τὸν Παῦλο, ποὺ λέγει· «εἴτε τρῶτε, εἴτε πίνετε, εἴτε ὁ,τιδήποτε κάνετε, ὅλα νὰ τὰ κάνετε πρὸς δόξα τοῦ Θεοῦ»[16]. Σήμερα ὅμως θὰ τοὺς δείξουμε, τὸν Κύριο τοῦ Παύλου, ὄχι μόνο νὰ προτρέπη, οὔτε νὰ τοὺς συμβου-

καὶ κολάζοντα τὸν ἐν τρυφῇ ζῶντα καὶ τιμωρούμενον. Ἡ γὰρ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου καὶ τῶν ἑκατέροις συμβάντων ἱστορία οὐδὲν ἕτερον ἢ τοῦτο ἐνδείκνυται. Μᾶλλον δέ, ἵνα μὴ παρέργως τοῦτο ποιήσωμεν, ἄνωθεν ἡμῖν αὐτὴν ἀναγνώσομαι τὴν παραβο-
5 *λήν. «Ἄνθρωπός τις ἦν πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς· πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο εἰς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι, περιέλει-*
10 *χον τὰ ἕλκη αὐτοῦ».*

Τίνος μὲν οὖν ἕνεκεν ἐν παραβολαῖς ἐλάλει ὁ Δεσπότης καὶ τί δήποτε τῶν παραβολῶν τὰς μὲν ἔλυε, τὰς δὲ οὐκ ἔλυε, καὶ τί πότ' ἐστιν ἡ παραβολή, καὶ ὅσα τοιαῦτα, εἰς ἕτερον καιρὸν ταμιευσόμεθα, ὥστε μὴ τοῦ κατεπείγοντος ἀποστῆναι λόγου νῦν· ἐκεῖνο δὲ
15 *τέως πρὸς ὑμᾶς ἐροῦμεν μόνον, τίς ἐστι τῶν εὐαγγελιστῶν ὁ τὴν παραβολὴν ταύτην εἰρηκέναι τὸν Χριστὸς εἰπών. Τίς οὖν ἐστιν; Ὁ Λουκᾶς μόνος. Καὶ γὰρ καὶ τοῦτο ἀναγκαῖον εἰδέναι, ὅτι τῶν εἰρημένων τὰ μὲν οἱ τέσσαρες εἶπον, τὰ δὲ κατ' ἰδίαν ἕκαστος ἀπολαβών. Τίνος ἕνεκεν; Ἵνα καὶ τῶν λοιπῶν ἀναγκαία ἡμῖν ἡ ἀνάγνω-*
20 *σις γένηται, καὶ τὸ τῆς συμφωνίας ἐξαίρετον διαφανῇ. Εἰ μὲν γὰρ πάντες ἅπαντα εἶπον, οὐκ ἂν πᾶσι μετὰ σπουδῆς προσείχομεν, ἀρκοῦντος ἑνὸς διδάξαι τὸ πᾶν· εἰ δὲ πάντες πάντα ἐξηλλαγμένα εἶπον, οὐκ ἂν ἐφάνη τὸ τῆς συμφωνίας ἐξαίρετον. Διὰ τοῦτο καὶ κοινῇ πάντες πολλὰ ἔγραψαν, καὶ κατ' ἰδίαν ἕκαστος ἀπολαβών.*
25 *Ὅπερ οὖν Χριστὸς διὰ τῆς παραβολῆς διδάσκει, τοῦτό ἐστιν.*

Ἄνθρωπός τις, φησίν, ἦν πλούσιος, κακίᾳ πολλῇ συζῶν, οὐδεμιᾶς πεῖραν ἐδέχετο συμφορᾶς, ἀλλὰ πάντα αὐτῷ ὥσπερ ἐκ πηγῶν ἐπέρρει. Ὅτι γὰρ οὐδὲν τῶν ἀδοκήτων συνέβαινεν αὐτῷ, οὐδ' ἀθυμίας ὑπόθεσις, οὐδ' ἀνωμαλία τις βιωτική, αὐτὸ τοῦτο
30 *ᾐνίξατο τὸ εἰπεῖν, ὅτι «ηὐφραίνετο καθ' ἡμέραν». Ὅτι δὲ κακίᾳ συνέζη, δῆλον μὲν καὶ ἐκ τοῦ λαχόντος αὐτῷ τέλους καὶ πρὸ τοῦ τέλους δὲ ἐκ τῆς περὶ τὸν πένητα γενομένης ὑπεροψίας. Ὅτι γὰρ*

17. Λουκᾶ 16,19.

λεύη νὰ ἀπέχουν ἀπὸ τὴν ἀκολασία, ἀλλὰ καὶ νὰ τιμωρῇ αὐτὸν ποὺ ζῇ ἀκόλαστη ζωὴ καὶ νὰ τὸν καταδικάζῃ. Διότι ἡ ἱστορία τοῦ πλουσίου καὶ τοῦ Λαζάρου καὶ ὅσων συνέβηκαν καὶ στοὺς δυό, δὲν δείχνει τίποτε ἄλλο, παρὰ μόνο αὐτό. Ἢ καλύτερα, γιὰ νὰ μὴν τὸ κάνουμε αὐτὸ σὰν πάρεργο, θὰ σᾶς διαβάσω ἀπὸ τὴν ἀρχὴ τὴν παραβολή. «Κάποιος ἄνθρωπος ἦταν πλούσιος καὶ ντυνόταν μὲ πορφύρα καὶ βύσσο, καὶ ζοῦσε καθημερινὰ μὲ λαμπρὲς διασκεδάσεις. Ἦταν καὶ κάποιος φτωχός, ποὺ ὠνομαζόταν Λάζαρος, ὁ ὁποῖος ἦταν πεταγμένος στὴν ἐξώπορτα τοῦ πλουσίου, καὶ ἐπιθυμοῦσε νὰ χορτάσῃ ἀπὸ τὰ ψίχουλα, ποὺ ἔπεφταν ἀπὸ τὸ τρεπέζι τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ σκύλοι ἔρχονταν καὶ ἔγλυφαν τὶς πληγές του»[17].

Γιὰ ποιό λόγο λοιπὸν μιλοῦσε ὁ Κύριος μὲ παραβολές, καὶ γιατί ἄλλες ἀπὸ τὶς παραβολὲς τὶς ἐξηγοῦσε, κι' ἄλλες τὶς ἄφηνε ἀνεξήγητες, καὶ τί εἶναι ἡ παραβολὴ καὶ ὅλα ὅσα εἶναι τέτοια, ἄλλη φορὰ θὰ τὰ ἐξηγήσουμε, γιὰ νὰ μὴν ἀπομακρυνθοῦμε τώρα ἀπὸ τὸν λόγο ποὺ ἐπείγει· ἐκεῖνο μόνο τώρα θὰ σᾶς πῶ, ποιός ἀπὸ τοὺς εὐαγγελιστὲς ἀναφέρει ὅτι ὁ Χριστὸς ἔχει πῆ αὐτὴν τὴν παραβολή. Ποιός λοιπὸν εἶναι; Μόνο ὁ Λουκᾶς. Διότι κι' αὐτὸ πρέπει νὰ τὸ γνωρίζουμε, ὅτι ἀπ' ὅσα ἔχουν λεχθῆ, ἄλλα τὰ ἀνέφεραν καὶ οἱ τέσσερεις, καὶ ἄλλα τὰ διέσωσε μόνος του ὁ καθένας ἀπὸ αὐτούς. Γιὰ ποιό λόγο; Γιὰ νὰ γίνῃ ἀπαραίτητη καὶ τῶν ἄλλων ἡ ἀνάγνωσις καὶ νὰ γίνῃ ὁλοφάνερη ἡ ἐξαιρετικὴ συμφωνία τους. Διότι, ἐὰν ὅλοι τὰ ἀνέφεραν ὅλα, δὲν θὰ τοὺς προσέχαμε ὅλους μὲ ζῆλο, ἀφοῦ θὰ ἀρκοῦσε ὁ ἕνας νὰ τὰ διδάξῃ ὅλα· καὶ ἐὰν ὅλοι τὰ ἔλεγαν ὅλα διαφορετικά, δὲν θὰ φαινόταν ἡ ἐξαίρετη συμφωνία. Γι' αὐτὸ καὶ ὅλοι πολλὰ ἀπὸ κοινοῦ ἔγραψαν, καὶ χωριστὰ ὁ καθένας διέσωσε πολλά. Αὐτὸ λοιπὸν ποὺ διδάσκει ὁ Χριστὸς μὲ τὴν παραβολὴ αὐτὴ εἶναι τὸ ἑξῆς.

Ἦταν, λέγει, ἕνας ἄνθρωπος πλούσιος, ποὺ ζοῦσε πολὺ ἁμαρτωλά, δὲν εἶχε γνωρίσει καμμιὰ συμφορά, ἀλλ' ὅλα ἔτρεχαν γι' αὐτὸν ὅπως τὸ νερὸ ἀπο τὶς πηγές. Τὸ ὅτι πράγματι καμμιὰ συμφορὰ δὲν τοῦ συνέβαινε, οὔτε ἀφορμὴ γιὰ στενοχώρια, οὔτε καμμιὰ ἀνωμαλία βιωτική, τὸ ἀνέφερε μ' αὐτὸ ποὺ εἶπε, ὅτι «εὐφραινόταν καθημερινά». Καὶ ὅτι ζοῦσε μὲ κακία, γίνεται φανερὸ καὶ ἀπὸ τὸ τέλος ποὺ εἶχε καὶ πρὶν ἀπὸ τὸ τέλος του ἀπὸ τὴν περιφρόνησι ποὺ ἔδειξε στὸν φτωχό. Καὶ τὸ ὅτι δὲν ἐλεοῦσε ὄχι μόνο ἐκεῖνον ποὺ

οὐ μόνον ἐκεῖνον τὸν ἐν τῷ πυλῶνι, ἀλλ' οὐδ' ἄλλον τινὰ ἠλέει, αὐτὸς ἐκεῖνος τοῦτο ἔδειξεν. Εἰ γὰρ τὸν ἐν τῷ πυλῶνι διηνεκῶς ἐρριμένον καὶ πρὸ τῶν ὀφθαλμῶν κείμενον, ὃν καθ' ἑκάστην ἡμέραν, καὶ ἅπαξ καὶ δὶς καὶ πλεονάκις ὁρᾶν ἠναγκάζετο εἰσιὼν καὶ ἐξιὼν
5 *(οὐ γὰρ ἐν ἀμφόδῳ, οὐδ' ἐν κρυπτῷ καὶ στενωπῷ κατέκειτο τόπῳ, ἀλλ' ἔνθα συνεχεῖς τὰς εἰσόδους καὶ τὰς ἐξόδους ποιούμενος ὁ πλούσιος, ἄκων αὐτὸν ὁρᾶν ἠναγκάζετο), εἰ τοίνυν τοῦτον οὐκ ἠλέησε, τὸν ἐν τοσούτῳ χαλεπῷ πάθει κατακείμενον καὶ ἀπορίᾳ τοσαύτῃ συζῶντα, μᾶλλον δὲ διὰ παντὸς τοῦ βίου ἀρρωστίᾳ ταλαι-*
10 *πωροῦντα, καὶ ἀρρωστίᾳ χαλεπώτατῃ, πρὸς τίνα ἂν τῶν ἐντυγχανόντων ἐπεκάμφθη ποτέ; Καὶ γάρ, εἰ τὴν προτέραν ἡμέραν παρέδραμε, τὴν δευτέραν εἰκὸς ἦν τι παθεῖν· εἰ δὲ καὶ ἐν ταύτῃ παρεῖδεν, ἀλλὰ τὴν τρίτην ἢ τὴν τετάρτην ἢ τὴν μετ' ἐκείνην πάντως αὐτὸν ἐπικαμφθῆναι ἔδει καὶ εἰ τῶν θηρίων ἀγριώτερος ἦν.*

15 *Ἀλλ' οὐδὲν ἔπαθε τοιοῦτον· ἀλλὰ καὶ ἐκείνου τοῦ δικαστοῦ, τοῦ μήτε τὸν Θεὸν φοβουμένου, μήτε ἀνθρώπους αἰδουμένου καὶ ἰταμώτερος καὶ ἀπηνέστερος γέγονεν. Ἐκεῖνον μὲν γὰρ ἡ τῆς χήρας συνέχεια, καὶ ταῦτα ὠμὸν ὄντα καὶ ἄγριον, δοῦναι τὴν χάριν ἔπεισε, καὶ πρὸς τὴν ἱκετηρίαν ἐπέκαμψε· τοῦτον δὲ οὐδὲ τοῦτο ἴσχυσεν*
20 *ἐπικάμψαι πρὸς τὴν τοῦ πένητος ἀντίληψιν· καίτοι γε οὐκ ἴση ἦν ἡ αἴτησις, ἀλλ' αὕτη πολλῷ εὐκολωτέρα καὶ δικαιοτέρα. Ἡ μὲν γὰρ κατὰ τῶν ἐχθρῶν αὐτὸν παρεκάλει, οὗτος δὲ ἠξίου λῦσαι λιμὸν καὶ μὴ περιιδεῖν ἀπολλύμενον· κἀκείνη μὲν ἠνώχλει παρακαλοῦσα, οὗτος δὲ πολλάκις τῆς ἡμέρας ἐφαίνετο τῷ πλουσίῳ σιγῇ κείμενος·*
25 *πολὺ δὲ τοῦτο ἱκανὸν μαλάξαι μᾶλλον καὶ λιθίνην διάνοιαν. Ἐνοχλούμενοι γὰρ πολλάκις καὶ παροξυνόμεθα· ὅταν δὲ τοὺς δεομένους βοηθείας ἴδωμεν σιγῇ πολλῇ παρεστῶτας καὶ μηδὲν φθεγγομένους, ἀλλ' ἀποτυγχάνοντας μὲν ἀεί, μὴ δυσχεραίνοντας δέ, ἀλλὰ σιγῇ φαινομένους μόνον ἡμῖν, κἂν αὐτῶν τῶν λίθων ὦμεν*
30 *ἀναισθητότεροι, τὴν ὑπερβολὴν τῆς ἐπιεικείας αἰδεσθέντες κατακαμπτόμεθα. Καὶ ἕτερον δέ τι πρὸς τούτοις τούτων οὐκ ἔλαττον ἦν, τὸ καὶ τὴν ὄψιν αὐτὴν ἐλεεινὴν εἶναι τοῦ πένητος, λιμῷ καὶ ἀρ-*

στεκόταν στὴν πόρτα του, ἀλλ' οὔτε καὶ κανέναν ἄλλον, αὐτὸς ὁ ἴδιος τὸ ἔδειξε. Διότι, ἐὰν αὐτὸν ποὺ ἦταν διαρκῶς ριγμένος μπροστὰ στὴν πόρτα του καὶ βρισκόταν μπροστὰ στὰ μάτια του κάθε ἡμέρα, καὶ ἀναγκαζόταν μιὰ καὶ δυὸ καὶ πολλὲς φορὲς νὰ τὸν βλέπῃ εἰσερχόμενος καὶ ἐξερχόμενος (καθόσον δὲν τὸν συναντοῦσε σὲ καμμιὰ συνοικία, οὔτε βρισκόταν σὲ κρυφὸ καὶ ἀπόμερο τόπο, ἀλλὰ ἐκεῖ ἀπὸ ὅπου συνεχῶς ἔμπαινε καὶ ἔβγαινε ὁ πλούσιος καὶ ἀναγκαζόταν ἔτσι καὶ χωρὶς νὰ τὸ θέλῃ νὰ τὸν βλέπῃ), ἐὰν λοιπὸν αὐτὸν δὲν ἐλέησε, ποὺ βρισκόταν σὲ τόσο φοβερὸ πάθος καὶ ζοῦσε μέσα σὲ τόση δυστυχία, ἢ καλύτερα ποὺ σὲ ὅλη τὴ ζωή του βασανιζόταν ἀπὸ ἀρρώστια, καὶ μάλιστα ἀπὸ πολὺ φοβερὴ ἀρρώστια, γιὰ ποιόν ποὺ θὰ τύχαινε νὰ τὸν συναντήσῃ τυχαῖα θὰ συγκινοῦνταν ποτέ; Ἐὰν δηλαδὴ τὴν πρώτη ἡμέρα τὸν προσπέρασε, τὴν δεύτερη ἦταν φυσικὸ νὰ αἰσθανθῇ κάτι· ἀλλὰ ἐὰν καὶ κατ' αὐτὴν ἀδιαφόρησε, ἔπρεπε τὴν τρίτη, ἢ τὴν τέταρτη, ἢ τὴν ἑπόμενη ὁπωσδήποτε νὰ συγκινηθῇ, κι' ἂν ἀκόμα ἦταν ἀγριώτερος ἀπὸ τὰ θηρία.

Ὅμως δὲν ἔπαθε κάτι τέτοιο· ἀλλὰ καὶ ἀπὸ ἐκεῖνον τὸν δικαστὴ ποὺ οὔτε τὸν Θεὸ φοβῶταν, οὔτε τοὺς ἀνθρώπους ντρεπόταν, πιὸ θρασὺς καὶ πιὸ σκληρὸς φάνηκε. Διότι ἐκεῖνον τὸν ἔπεισε ἡ ἐπιμονὴ τῆς χήρας καί, ἂν καὶ ἦταν σκληρὸς καὶ ἄγριος, ἔδωσε τὴ χάρι καὶ κάμφθηκε ἀπὸ τὴν παράκλησί της· ἐνῶ αὐτὸν οὔτε αὐτὸ μπόρεσε νὰ τὸν συγκινήσῃ, γιὰ νὰ βοηθήσῃ τὸν φτωχό· ἂν καὶ βέβαια δὲν ἦταν ἴση ἡ παράκλησις, ἀλλὰ αὐτὴ ἦταν πολὺ πιὸ εὐκολώτερη καὶ δικαιότερη. Διότι ἐκείνη τὸν παρακαλοῦσε ἐναντίον τῶν ἐχθρῶν, ἐνῶ αὐτὸς παρακαλοῦσε νὰ τὸν γλυτώσῃ ἀπὸ τὴν πεῖνα καὶ νὰ μὴν ἀδιαφορήσῃ γιὰ τὸν χαμό του· καὶ ἐκείνη τὸν ἐνοχλοῦσε μὲ τὶς παρακλήσεις της, ἐνῶ αὐτὸν πολλὲς φορὲς τὴν ἡμέρα τὸν ἔβλεπε ὁ πλούσιος νὰ εἶναι ἐκεῖ κατάκοιτος καὶ σιωπηλός· καὶ αὐτὸ ἦταν πολὺ ἱκανὸ νὰ μαλακώσῃ μᾶλλον καὶ πέτρινη καρδιά. Διότι πολλὲς φορές, ὅταν μᾶς ἐνοχλοῦν, θυμώνουμε, ὅταν ὅμως δοῦμε αὐτοὺς ποὺ χρειάζονται τὴ βοήθειά μας νὰ στέκωνται σιωπηλοὶ καὶ νὰ μὴν λένε τίποτα, ἂν καὶ δὲν πετυχαίνουν πάντοτε, ἐπειδὴ ὅμως δὲν μᾶς δυσαρεστοῦν, ἀλλὰ στέκονται μόνο σιωπηλοὶ μπροστά μας, κι' ἂν ἀκόμα εἴμαστε πιὸ ἀναίσθητοι κι' ἀπὸ τὶς πέτρες, κατασυγκινούμαστε, ντρεπόμενοι τὴ μεγάλη τους ἐπιείκεια. Ἀλλὰ καὶ κάτι ἄλλο ἀκόμα ὄχι μικρότερο ἀπὸ αὐτὰ ἦταν, τὸ ὅτι καὶ ἡ ὄψις τοῦ

ρωστίᾳ μακρᾷ κατεργασθεῖσαν. Ἀλλ' ὅμως οὐδὲν τούτων τὸν ἀνήμερον ἐκεῖνον ἐμάλαξε.

ζ'. Πρώτη μὲν οὖν κακία αὕτη ὠμότητος καὶ ἀπανθρωπία ὑπερβολὴν οὐκ ἔχουσα. Οὐ γάρ ἐστιν ἴσον ἐν πενίᾳ ζῶντα μὴ βοη-
5 *θεῖν τοῖς δεομένοις, καὶ τοσαύτης ἀπολαύοντα τρυφῆς, λιμῷ τηκομένους ἑτέρους περιορᾶν. Πάλιν οὐκ ἔστιν ἴσον ἅπαξ ἢ δεύτερον ἰδόντα πτωχόν, παραδραμεῖν, καὶ καθ' ἑκάστην ἡμέραν βλέποντα μηδὲ ὑπὸ τῆς κατὰ τὴν ὄψιν συνεχείας πρὸς τὸν ἔλεον καὶ τὴν φιλανθρωπίαν διαναστῆναι ταύτην. Πάλιν οὐκ ἔστιν ἴσον ἐν συμφο-*
10 *ραῖς ὄντα καὶ ἀθυμίαις καὶ κακῶς τὴν ψυχὴν διακείμενον μὴ βοηθεῖν τοῖς πλησίον, καὶ τοσαύτης ἀπολαύοντα εὐφροσύνης καὶ διηνεκοῦς εὐπραγίας, λιμῷ τηκομένους ἑτέρους περιορᾶν καὶ ἀποκλεῖσαι τὰ σπλάγχνα, καὶ μηδὲ ὑπὸ τῆς χαρᾶς αὐτῆς γενέσθαι φιλανθρωπότερον. Ἴστε γὰρ δήπου τοῦτο, ὅτι, κἂν ἁπάντων ὦμεν*
15 *ἀγριώτεροι, ταῖς εὐπραγίαις ἡμερώτεροι καὶ χρηστότεροι πεφύκαμεν γίνεσθαι. Ἀλλ' ἐκεῖνος οὐδὲ ὑπὸ τῆς εὐημερίας βελτίων ἐγένετο, ἀλλ' ἔμενεν ἐκτεθηριωμένος, μᾶλλον δὲ καὶ θηρίου παντὸς ὠμότητα καὶ ἀπανθρωπίαν τοῖς τρόποις ἀπέκρυψεν. Ἀλλ' ὅμως ὁ μὲν ἐν πονηρίᾳ ζῶν καὶ ἀπανθρωπίᾳ πάσης ἀπήλαυεν εὐπραγίας, ὁ*
20 *δὲ δίκαιος καὶ ἀρετῆς ἐπιμελούμενος ἐν ἐσχάτοις ἦν κακοῖς.*

Ὅτι γὰρ δίκαιος ὁ Λάζαρος ἦν, πάλιν καὶ ἐνταῦθα τὸ τέλος ἀπέδειξε, καὶ πρὸ τοῦ τέλους αὐτὴ ἡ κατὰ τὴν πενίαν ὑπομονή. Ἆρα οὐ δοκεῖτε αὐτὰ παρόντα τὰ πράγματα ὁρᾶν; Πλήρης τῷ πλουσίῳ ἡ ναῦς τῆς ἐμπορίας ἦν καὶ ἐξ οὐρίας ἔπλει. Ἀλλὰ μὴ
25 *θαυμάσητε· εἰς ναυάγιον γὰρ ἠπείγετο, ἐπειδὴ τὸν φόρτον οὐκ ἠθέλησε διαθέσθαι μετ' εὐλαβείας. Βούλει σοι καὶ ἑτέραν εἴπω κακίαν αὐτοῦ; Τὸ καθ' ἑκάστην ἡμέραν τρυφᾶν ἀδεῶς. Καὶ γὰρ καὶ τοῦτο κακία ἐσχάτη, οὐχὶ νῦν, ὅτε τοσαύτην ἀπαιτούμεθα φιλοσοφίαν, ἀλλὰ καὶ ἐν ἀρχῇ ἐπὶ τῆς Παλαιᾶς, ὅτε οὐ τοσαύτης φιλοσο-*
30 *φίας ἐπίδειξις ἦν. Ἄκουσον γοῦν τί φησιν ὁ προφήτης· «οὐαὶ οἱ ἐρ-*

φτωχοῦ ἦταν ἐλεεινή, ἐξ αἰτίας τῆς πείνας καὶ τῆς μακροχρόνιας ἀρρώστιας. Καὶ ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν μαλάκωσε ἐκεῖνον τὸν ἀνήμερο.

7. Πρώτη λοιπὸν κακία εἶναι αὐτή, ἡ σκληρότητα καὶ ἀπανθρωπιὰ ποὺ δὲν ὑπάρχει μεγαλύτερη. Διότι δὲν εἶναι τὸ ἴδιο, τὸ νὰ μὴν βοηθᾶς αὐτοὺς ποὺ ἔχουν ἀνάγκη ἐπειδὴ εἶσαι φτωχός, καὶ τὸ νὰ ἀδιαφορῆς γιὰ τοὺς ἄλλους ποὺ λειώνουν ἐξ αἰτίας τῆς πείνας, τὴ στιγμὴ ποὺ ἀπολαμβάνεις τόση πολυτέλεια. Πάλι δὲν εἶναι τὸ ἴδιο τὸ νὰ προσπεράσῃς τὸν φτωχὸ ποὺ τὸν εἶδες μιὰ ἢ δυὸ φορές, μὲ τὸ νὰ τὸν βλέπῃς κάθε ἡμέρα καὶ νὰ μὴν σὲ διεγείρῃ σὲ συμπάθεια καὶ φιλανθρωπία τὸ ἀδιάκοπο αὐτὸ θέαμα. Πάλι δὲν εἶναι τὸ ἴδιο τὸ νὰ μὴν βοηθᾶς τοὺς πλησίον, ὅταν ἐσὺ βρίσκεσαι μέσα στὶς συμφορὲς καὶ στὶς θλίψεις καὶ αἰσθάνεσαι ἄσχημα στὴν ψυχή σου, μὲ τὸ νὰ προσπερνᾶς τοὺς ἄλλους ποὺ λειώνουν ἀπὸ τὴν πεῖνα, τὴ στιγμὴ ποὺ ἀπολαμβάνεις τόση εὐφροσύνη καὶ ἀδιάκοπη εὐτυχία, καὶ νὰ κλείνῃς τὰ σπλάχνα σου καὶ νὰ μὴ γίνεσαι φιλανθρωπότερος οὔτε ἐξ αἰτίας αὐτῆς τῆς εὐφροσύνης. Διότι ἀσφαλῶς τὸ γνωρίζετε αὐτό, ὅτι, κι' ἂν ἀκόμη εἴμαστε ἀγριώτεροι ἀπὸ ὅλους, εἶναι φυσικὸ μὲ τὶς εὐτυχίες νὰ γινώμαστε ἡμερώτεροι καὶ ἀγαθότεροι. Ἀλλ' ἐκεῖνος οὔτε ἐξ αἰτίας τῆς εὐτυχίας ἔγινε καλύτερος, ἀλλ' ἔμεινε ἄγριος σὰν θηρίο, ἢ καλύτερα μὲ τοὺς τρόπους του ξεπέρασε τὴ σκληρότητα καὶ ἀπανθρωπιὰ κάθε θηρίου. Καὶ ὅμως, αὐτὸς ποὺ ζοῦσε μὲ κακία καὶ ἀπανθρωπιὰ ἀπήλαυσε κάθε εὐτυχία, ἐνῶ ὁ δίκαιος, ἂν καὶ φρόντιζε γιὰ τὴν ἀρετή, ζοῦσε μέσα στὰ πιὸ φοβερὰ βάσανα.

Τὸ ὅτι πράγματι ὁ Λάζαρος ἦταν δίκαιος, τὸ ἔδειξε κι' ἐδῶ πάλι τὸ τέλος του, καὶ πρὶν ἀπὸ τὸ τέλος ἡ ὑπομονὴ μὲ τὴν ὁποία ἀντιμετώπισε τὴν φτώχεια του. Δὲν νομίζετε ἀλήθεια ὅτι τὰ βλέπετε μπροστά σας αὐτὰ τὰ πράγματα; Τὸ πλοῖο γιὰ τὸν πλούσιο ἦταν γεμᾶτο ἀπὸ ἐμπόρευμα καὶ ἔπλεε μ' εὐνοϊκὸ ἄνεμο. Ἀλλὰ μὴν θαυμάσετε· διότι βιαζόταν νὰ ναυαγήσῃ, ἐπειδὴ δὲν θέλησε νὰ διαθέσῃ τὸ ἐμπόρευμα μὲ σύνεσι. Θέλεις νὰ σοῦ πῶ κι' ἄλλη κακία του; Τὸ ὅτι κάθε ἡμέρα διασκέδαζε ἀδιάντροπα. Διότι κι' αὐτὸ εἶναι μεγάλη κακία, ὄχι τώρα ποὺ μᾶς ζητεῖται τόση ἄσκησι ἀρετῆς, ἀλλὰ καὶ στὴν ἀρχή, τὴν ἐποχὴ τῆς Παλαιᾶς Διαθήκης, τότε ποὺ δὲν ὑπῆρχε ἐπίδειξις τόσης μεγάλης ἀρετῆς. Ἄκουσε λοιπὸν τί λέγει ὁ προφήτης· «ἀλλοίμονο σ' ἐκείνους ποὺ βαδίζουν πρὸς τὴ φοβερὴ ἡμέρα

χόμενοι εἰς ἡμέραν κακήν, οἱ ἐγγίζοντες καὶ ἁπτόμενοι σαββάτων ψευδῶν». Τί ἐστιν, «οἱ ἁπτόμενοι σαββάτων ψευδῶν»;

Οἱ Ἰουδαῖοι νομίζουσιν, ὅτι δι' ἀργίαν αὐτοῖς τὸ σάββατον δέδοται. Οὐκ ἔστι δὲ αὕτη ἡ αἰτία, ἀλλ' ἵνα τῶν βιωτικῶν ἑαυτοὺς 5 ἀπαγαγόντες, τὴν σχολὴν ἅπασαν εἰς τὰ πνευματικὰ ἀναλίσκωσιν. Ὅτι γὰρ οὐκ ἀργίας ἐστὶ τὸ σάββατον, ἀλλ' ἐργασίας ἐστὶ πνευματικῆς ὑπόθεσις, ὑπ' αὐτῶν τῶν πραγμάτων δῆλον. Ὁ γοῦν ἱερεὺς διπλοῦν ἔργον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ποιεῖ καὶ καθ' ἑκάστην ἡμέραν ἁπλῆς ἀναφερομένης θυσίας, διπλῆς ἀναφέρειν κελεύεται τότε. Εἰ 10 δὲ καθάπαξ ἀργίας ἦν τὸ σάββατον, πρὸ τῶν ἄλλων τὸν ἱερέα ἀργεῖν ἐχρῆν. Ἐπεὶ οὖν οἱ Ἰουδαῖοι τῶν βιωτικῶν ἀπαλλαγέντες πραγμάτων, τοῖς πνευματικοῖς οὐ προσεῖχον, σωφροσύνῃ καὶ ἐπιεικείᾳ καὶ ἀκροάσει θείων λογίων, ἀλλὰ τοὐναντίον ἐποίουν, γαστριζόμενοι, μεθύοντες, διαρρηγνύμενοι, τρυφῶντες, διὰ τοῦτο 15 κατηγόρησεν αὐτῶν ὁ προφήτης. Εἰπὼν γάρ, «οὐαὶ οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν», καὶ ἐπαγαγών, «οἱ ἐφαπτόμενοι σαββάτων ψευδῶν», ἔδειξε διὰ τῆς ἐπαγωγῆς, πῶς ἦν αὐτοῖς τὰ σάββατα ψευδῆ. Πῶς οὖν αὐτὰ ἐποίουν ψευδῆ; Τῷ κακίαν ἐργάζεσθαι, τρυφῶντες, μεθύοντες, καὶ τὰ μυρία αἴσχιστα καὶ χαλεπὰ πράσσοντες.

20 Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τῶν ἑξῆς. Δείκνυσι γὰρ ὃ λέγω δι' ὧν εὐθὺς ἐπάγει καὶ λέγει· «οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ τῶν στρωμνῶν αὐτῶν, οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων και μοσχάρια ἐκ βουκολίων γαλαθηνά, οἱ πίνοντες τὸν διϋλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμε-25 νοι». Ἔλαβες τὸ σάββατον, ἵνα τῆς πονηρίας ἀπαλλάξῃς τὴν ψυχήν· σὺ δὲ αὐτὴν κατεργάζῃ πλέον. Τί γὰρ ἂν γένοιτο τῆς βλακείας ταύτης χεῖρον, ἢ τὸ ἐπὶ κλινῶν ἐλεφαντίνων καθεύδειν; Αἱ ἄλλαι ἁμαρτίαι κἂν μικράν τινα ἡδονὴν ἔχωσιν, οἷον ἡ μέθη, ἡ πλεονεξία καὶ ἀσωτία· τὸ δὲ ἐπὶ κλινῶν ἐλεφαντίνων καθευδῆσαι ποίαν ἡδο-30 νὴν ἔχει; ποίαν παραμυθίαν; Μη γὰρ ἡδίω καὶ γλυκύτερον ἡμῖν τὸν ὕπνον ἐργάζεται τῆς κλίνης τὸ κάλλος; Φορτικώτατον μᾶλλον μὲν οὖν καὶ ἐπαχθέστατον τοῦτο, ἐὰν νοῦν ἔχωμεν. Ὅταν γὰρ ἐν-

18. Ἀμὼς 6,3.
19. Ἀμὼς 6,46.

τοῦ Κυρίου, σ' ἐκείνους ποὺ ἐγγίζουν καὶ ἀσχολοῦνται μὲ ψεύτικα σάββατα»[18]. Τί σημαίνει «ποὺ ἀσχολοῦνται μὲ ψεύτικα σάββατα»;

Οἱ Ἰουδαῖοι νομίζουν ὅτι τὸ σάββατο τοὺς ἔχει δοθῆ γιὰ νὰ μένουν ἀργοί. Δὲν εἶναι ὅμως αὐτὴ ἡ αἰτία, ἀλλὰ γιὰ νὰ ἀπομακρύνουν τοὺς ἑαυτούς τους ἀπὸ τὰ βιωτικὰ καὶ νὰ διαθέσουν ὅλο τὸν καιρό τους στὰ πνευματικά. Ὅτι πράγματι τὸ σάββατο δὲν εἶναι ἡμέρα ἀργίας ἀλλ' ἐργασίας πνευματικῆς, γίνεται φανερὸ ἀπὸ αὐτὰ τὰ πράγματα. Ὁ ἱερεὺς δηλαδὴ ἐπιτελεῖ διπλὸ ἔργο κατὰ τὴν ἡμέρα ἐκείνη, καὶ ἐνῶ κάθε ἡμέρα προσφέρει ἁπλῆ θυσία, τότε προστάζεται νὰ προσφέρη διπλῆ. Ἂν ὅμως τὸ σάββατο ἦταν ὁπωσδήποτε ἡμέρα ἀπραξίας, πρὶν ἀπὸ τοὺς ἄλλους ἔπρεπε ὁ ἱερεὺς νὰ μένη ἀργός. Ἐπειδὴ λοιπὸν οἱ Ἰουδαῖοι, ἂν καὶ ἀπαλλάσσονταν τὸ σάββατο ἀπὸ τὰ βιωτικὰ πράγματα, δὲν ἔδιναν προσοχὴ στὰ πνευματικά, στὴ σύνεσι καὶ τὴν ἐπιείκεια καὶ τὴν ἀκρόασι τῶν θείων λόγων, ἀλλ' ἔκαναν τὰ ἀντίθετα, ἔτρωγαν λαίμαργα, μεθοῦσαν, παραχόρταιναν, ἀσώτευαν, γι' αὐτὸ τοὺς κατηγόρησε ὁ προφήτης. Διότι λέγοντας, «ἀλλοίμονο σ' ἐκείνους ποὺ βαδίζουν πρὸς τὴ φοβερὴ ἡμέρα», καὶ συμπληρώνοντας «ποὺ ἀσχολοῦνται μὲ ψεύτικα σάββατα», ἔδειξε μὲ τὴ συμπλήρωσι, πῶς ἦταν τὰ σάββατά τους ψεύτικα. Πῶς λοιπὸν τὰ ἔκαναν ψεύτικα; Μὲ τὸ νὰ διαπράττουν τὴν κακία, νὰ μεθοῦν, καὶ νὰ κάμνουν τὰ μύρια ἀδιάντροπα καὶ φοβερὰ πράγματα.

Καὶ ὅτι εἶναι ἀληθινὸ αὐτό, ἄκουσε τὰ ἑξῆς. Διότι ἀποδεικνύεται αὐτὸ ποὺ λέγω μ' αὐτὰ ποὺ ἀμέσως προσθέτει καὶ λέγει· «αὐτοὶ ποὺ κοιμοῦνται ἐπάνω σὲ ἐλεφάντινες κλίνες καὶ σπαταλοῦν χρήματα γιὰ τὴν ἀγορὰ κλινοσκεπασμάτων, αὐτοὶ ποὺ τρῶνε ἐρίφια ἀπὸ τὰ ποίμνια καὶ μοσχάρια ποὺ θηλάζουν ἀπὸ τὴν ἀγέλη, ποὺ πίνουν τὸ φιλτραρισμένο κρασὶ καὶ ἀλείφονται μὲ τὰ καλύτερεα μύρα»[19]. Ἔλαβες τὸ σάββατο γιὰ ν' ἀπαλλάξης τὴν ψυχή σου ἀπὸ τὴν κακία, ἐσὺ ὅμως τὴν βασανίζεις περισσότερο. Διότι τί φοβερώτερο θὰ μποροῦσε νὰ ὑπάρξη ἀπὸ τὴ βλακεία αὐτή, τὸ νὰ κοιμᾶται δηλαδὴ κανεὶς ἐπάνω σὲ ἐλεφάντινες κλίνες; Οἱ ἄλλες ἁμαρτίες προσφέρουν ἔστω κάποια μικρὴ ἡδονή, ὅπως ἡ μέθη, ἡ πλεονεξία καὶ ἡ ἀσωτία· τὸ νὰ κοιμᾶσαι ὅμως ἐπάνω σ' ἐλεφάντινες κλίνες, ποιά ἡδονὴ ἔχει; ποιά παρηγοριά; Μήπως μᾶς κάνει πιὸ εὐχάριστο τὸν ὕπνο καὶ πιὸ γλυκὺ ἡ ὀμορφιὰ τῆς κλίνης; Μᾶλλον πιὸ δύσκολο καὶ πιὸ βαρὺ τὸν κάνει, ἐὰν ἔχουμε μυαλό. Διότι, ὅταν σκεφθῆς ὅτι,

νοήσης ὅτι, σοῦ καθεύδοντος ἐπὶ κλίνης ἐλεφαντίνης, ἕτερος οὐδ' ἄρτου μετὰ ἀδείας ἀπολαύειν ἔχει, οὐ καταγνώσεταί σου τὸ συνειδὸς καὶ ἐπαναστήσεται, κατηγοροῦν τῆς ἀνωμαλίας ταύτης;

Εἰ δὲ τὸ ἐπὶ ἐλεφαντίνων κλινῶν καθεύδειν ἔγκλημα, ὅταν 5 *καὶ ἀργύρῳ περιβεβλημέναι πάντοθεν ὦσι, ποίαν ἕξομεν ἀπολογίαν; Βούλει κάλλος κλίνης ἰδεῖν; Ἐγώ σοι δείκνυμι νῦν, οὐκ ἰδιωτικῆς, οὐδὲ στρατιωτικῆς, ἀλλὰ βασιλικῆς κλίνης εὐπρέπειαν. Κἂν γὰρ φιλοτιμότατος ᾖς πάντων, εὖ οἶδα ὅτι τῆς βασιλέως κλίνης οὐκ ἐθελήσεις ἔχειν εὐπρεπεστέραν· καὶ τὸ δὴ μεῖζον, οὐ τοῦ τυχόντος* 10 *βασιλέως, ἀλλὰ τοῦ πρώτου, καὶ τοῦ πάντων βασιλέων βασιλικωτέρου καὶ μέχρι νῦν ᾀδομένου πανταχοῦ τῆς οἰκουμένης· δείκνυμί σοι κλίνην τὴν τοῦ μακαρίου Δαυΐδ. Ποταπὴ τοίνυν ἦν ἐκείνη; Οὐκ ἀργύρῳ καὶ χρυσῷ, ἀλλὰ δάκρυσι καὶ ἐξομολογήσεσι πάντοθεν ἦν κεκαλλωπισμένη. Καὶ ταῦτα αὐτός φησιν οὕτω λέγων· «λούσω* 15 *καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω». Ὥσπερ γὰρ μαργαρῖται τὰ δάκρυα αὐτῇ ἐπεπήγει πάντοθεν.*

η'. Καὶ σκόπει μοι φιλόθεον ψυχήν· ἐπειδὴ γὰρ ἐν ἡμέρᾳ πολλαὶ αἱ φροντίδες ἀρχόντων, ταξιαρχῶν, ἐθνῶν, δήμων, στρατιωτῶν, 20 *πολέμων, εἰρήνης, τῶν πολιτικῶν πραγμάτων, τῶν κατὰ τὴν οἰκιαν, τῶν πόρρωθεν, τῶν πλησίον, περιεῖλκον αὐτὸν καὶ ἀπῆγον, τὴν σχολήν, ἣν πάντες εἰς τὸ καθεύδειν ἀναλίσκομεν, εἰς ἐξομολόγησιν καὶ εὐχὰς καὶ δάκρυα ἀνήλισκεν ἐκεῖνος. Καὶ οὐχὶ μίαν τοῦτο ἐποίησε νύκτα, τὴν δὲ δευτέραν ἐπαύσατο, οὐδὲ δύο καὶ τρεῖς, τὰς* 25 *δὲ μεταξὺ διέλιπεν, ἀλλὰ καθ' ἑκάστην νύκτα τοῦτο ἔπραττε. «Λούσω» γὰρ «καθ' ἑκάστην νύκτα», φησί, «τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω», τὴν δαψίλειαν τῶν δακρύων καὶ τὴν συνέχειαν ἐμφαίνων. Πάντων γὰρ ἡσυχαζόντων καὶ ἐν ἠρεμίᾳ ὄντων, μόνος τῷ Θεῷ τότε ἐνετύγχανε, καὶ παρῆν ὁ* 30 *ἀκοίμητος ὀφθαλμὸς ὀδυρομένῳ καὶ θρηνοῦντι καὶ τὰ οἰκεῖα ἐξαγγέλλοντι κακά. Τοιαύτην καὶ σὺ κατασκεύασον κλίνην. Ὁ μὲν γὰρ ἄργυρος περικείμενος καὶ φθόνον παρὰ ἀνθρώπων ἐγείρει καὶ ὀρ-*

20. Ψαλμ. 6,7.

ἐνῶ ἐσὺ κοιμᾶσαι ἐπάνω σὲ ἐλεφάντινη κλίνη, ἄλλος δὲν μπορεῖ οὔτε ψωμὶ ν' ἀπολαύση μὲ ἀσφάλεια, δὲν θὰ σὲ καταδικάση ἡ συνείδησις καὶ δὲν θὰ ἐπαναστατήση κατηγορώντας αὐτὴν τὴν ἀδικία;

Καὶ ἐὰν εἶναι ἔγκλημα τὸ νὰ κοιμᾶσαι ἐπάνω σὲ ἐλεφάντινα κρεββάτια, ὅταν μάλιστα καὶ ἀπὸ παντοῦ περιβάλλωνται μὲ ἀσήμι, ποιά ἀπολογία θὰ ἔχουμε; Θέλεις νὰ δῆς ὀμορφιὰ κλίνης; Ἐγὼ σοῦ δείχνω τώρα ὡραιότητα, ὄχι ἰδιωτικῆς, οὔτε στρατιωτικῆς, ἀλλὰ βασιλικῆς κλίνης. Διότι, κι' ἂν ἀκόμη εἶσαι πιὸ φιλόδοξος ἀπὸ ὅλους, γνωρίζω καλὰ ὅτι δὲν θὰ θελήσης νὰ ἔχης μεγαλοπρεπέστερη ἀπὸ τὴ βασιλικὴ κλίνη· καὶ τὸ σπουδαιότερο, ὄχι τοῦ ὁποιουδήποτε βασιλιᾶ, ἀλλὰ τοῦ πρώτου καὶ τοῦ βασιλικώτερου ὅλων τῶν βασιλέων, ὁ ὁποῖος μέχρι τώρα ὑμνεῖται σ' ὁλόκληρη τὴν οἰκουμένη· σοῦ δείχνω τὴν κλίνη τοῦ μακαρίου Δαυΐδ. Τί εἴδους λοιπὸν ἦταν ἐκείνη; Δὲν ἦταν μὲ χρυσὸ καὶ ἄργυρο, ἀλλ' ἦταν στολισμένη ἀπὸ παντοῦ μὲ δάκρυα καὶ ἐξομολογήσεις. Καὶ αὐτὰ ὁ ἴδιος τὰ ὁμολογεῖ λέγοντας· «θὰ λούσω κάθε νύχτα τὴν κλίνη μου· μὲ τὰ δάκρυά μου θὰ βρέξω τὸ στρῶμα μου»[20]. Διότι σὰν μαργαριτάρια κοσμοῦσαν τὰ δάκρυα ἀπὸ παντοῦ τὴν κλίνη του.

8. Καὶ πρόσεχε, σὲ παρακαλῶ, τὴν φιλόθεη ψυχή· ἐπειδὴ τὴν ἡμέρα οἱ πολλὲς φροντίδες τῶν ἀρχόντων, ταξιαρχῶν, ἐθνῶν, δήμων, στρατιωτῶν, πολέμων, εἰρήνης, τῶν πολιτικῶν πραγμάτων, τῶν οἰκογενειακῶν ὑποθέσεων, ἐκείνων ποὺ βρίσκονταν μακριά, κι' αὐτῶν ποὺ ἦταν κοντά, τὸν ἀποσποῦσαν καὶ τὸν ἀπομάκρυναν, τὸν χρόνο ποὺ ὅλοι ξοδεύουμε γιὰ τὴν ἀνάπαυσί μας, ἐκεῖνος τὸν διέθετε στὴν ἐξομολόγησι, στὶς προσευχὲς καὶ στὰ δάκρυα. Καὶ αὐτὸ δὲν τὸ ἔκανε μόνο μία νύχτα, καὶ τὴν δεύτερη σταμάτησε, οὔτε δύο καὶ τρεῖς, καὶ σταματοῦσε κατόπιν, ἀλλὰ κάθε νύχτα τὸ ἔκαμνε αὐτό. «Θὰ λούσω κάθε νύχτα», λέγει, «τὴν κλίνη μου· μὲ τὰ δάκρυά μου θὰ βρέξω τὸ στρῶμα μου», δείχνοντας τὴν ἀφθονία τῶν δακρύων καὶ τὴ συνέχειά τους. Ἐνῶ δηλαδὴ ὅλοι ἡσύχαζαν καὶ ἠρεμοῦσαν, μόνος τότε πλησίαζε ἱκετευτικὰ τὸν Θεό, καὶ τὸν ἔβλεπε ὁ ἀκοίμητος ὀφθαλμὸς νὰ ὀδύρεται καὶ νὰ θρηνῆ καὶ νὰ ὁμολογῆ τὰ λάθη του. Τέτοια κλίνη κι' ἐσὺ κατασκεύασε. Διότι ὁ ἄργυρος ποὺ τὴν περιβάλλει διεγείρει καὶ τὸν φθόνο τῶν ἀνθρώπων καὶ ἀνάβει

γὴν ἐκκαίει τὴν ἄνωθεν, τὰ δὲ τοιαῦτα δάκρυα, οἷα τὰ τοῦ Δαυίδ, καὶ αὐτὸ τὸ τῆς γεέννης οἶδε κατασβέσαι πῦρ.

Βούλει σοι καὶ ἑτέραν δείξω κλίνην; τὴν τοῦ Ἰακὼβ λέγω. Ἔδαφος εἶχεν ὑποκείμενον καὶ λίθον ὑπὸ τὴν κεφαλὴν αὐτοῦ· διὰ 5 *τοῦτο καὶ τὸν νοητὸν εἶδε λίθον καὶ τὴν κλίμακα ἐκείνην, δι' ἧς ἀνέβαινον καὶ κατέβαινον ἄγγελοι. Τοιαύτας ἐπινοῶμεν κλίνας καὶ ἡμεῖς, ἵνα καὶ τοιαῦτα βλέπωμεν ὀνείρατα. Ἂν δὲ ἐπὶ τῆς ἀργυρᾶς ὦμεν κατακείμενοι, οὐ μόνον οὐδεμίαν ἡδονὴν καρπωσόμεθα, ἀλλὰ καὶ ἀθυμίαν ὑπομενοῦμεν. Ὅταν γὰρ ἐννοήσῃς, ὅτι ἐν κρυμῷ* 10 *ἐσχάτῳ, ἐν νυκτὶ μέσῃ, σοῦ καθεύδοντος ἐπὶ κλίνης, ὁ πένης ἐπὶ στιβάδος ἔρριπται ἐν τοῖς τῶν βαλανείων προπυλαίοις, καλάμην περιβεβλημένος, τρέμων, πηγνύμενος τῷ κρύει, ἀγχόμενος τῷ λιμῷ, κἂν ἁπάντων μᾶλλον λίθινος ᾖς, εὖ οἶδα ὅτι καταγνώσῃ σαυτοῦ, σὺ μὲν ὑπὲρ τὴν χρείαν τρυφῶν, ἐκεῖνον δὲ μηδὲ τῶν κατὰ* 15 *χρείαν ἀπολαύειν ἀφείς. «Οὐδεὶς στρατευόμενος», φησίν, «ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις». Στρατιώτης εἶ πνευματικός· στρατιώτης δὲ τοιοῦτος οὐ καθεύδει ἐπὶ κλίνης ἐλεφαντίνης, ἀλλὰ ἐπὶ ἐδάφους· οὐ χρίεται μύροις· τῶν γὰρ ἡταιρηκότων καὶ διεφθαρμένων ἡ τοιαύτη σπουδή, τῶν ἐπὶ τῆς σκηνῆς, τῶν ἐν ἀμελείᾳ* 20 *ζώντων· σὲ δὲ οὐχὶ μύρων, ἀλλ' ἀρετῆς ἀποπνεῖν δεῖ.*

Οὐδὲν ψυχῆς ἀκαθαρτότερον, ὅταν τὸ σῶμα τοιαύτην ἔχῃ τὴν εὐωδίαν. Τῆς γὰρ δυσωδίας τῆς ἔνδον καὶ τῆς ἀκαθαρσίας δεῖγμα ἡ τοῦ σώματος καὶ τῶν ἱματίων εὐωδία γένοιτ' ἄν. Ὅταν γὰρ ἐπελθὼν ὁ διάβολος διαθρύψῃ τὴν ψυχὴν καὶ βλακείας ἐμ- 25 *πλήσῃ πολλῆς, τότε καὶ εἰς τὸ σῶμα τῆς οἰκείας διαφθορᾶς τὴν κηλῖδα ἐναπομάσσεται διὰ τῶν μύρων. Καὶ καθάπερ οἱ κορύζῃ τινὶ καὶ κατάρρῳ διηνεκῶς ἁλισκόμενοι καὶ τὰ ἱμάτια καὶ τὰς χεῖρας καὶ τὴν ὄψιν μολύνουσι, τὸ διὰ τῶν ῥινῶν ῥέον συνεχῶς ἐναπομασσόμενοι, οὕτω δὴ καὶ ἡ ψυχὴ τοῦ πονηροῦ τούτου ῥεύματος τὴν* 30 *κακίαν εἰς τὸ σῶμα ἐναπομάσσεται. Τίς γὰρ γενναῖόν τι καὶ χρηστὸν ὑπολήψεται περὶ τῶν μύρων ὄζοντος καὶ γυναικιζομένου, μᾶλλον δὲ ἑταιριζομένου, καὶ ὀρχηστικὸν ἀναιρουμένου βίον; Πνείτω σου πνευματικῆς εὐωδίας ἡ ψυχή, ἵνα καὶ σαυτὸν καὶ τοὺς συγ-*

21. Γεν. κεφ. 28.

τὴν ὀργὴ ἐπάνω στὸν οὐρανό. Καὶ αὐτοῦ τοῦ εἴδους τὰ δάκρυα, ὅπως τοῦ Δαυΐδ, ξέρουν νὰ σβήσουν κι' αὐτὸ τὸ πῦρ τῆς κολάσεως.

Θέλεις νὰ σοῦ δείξω κι' ἄλλη κλίνη; Τὴν κλίνη τοῦ Ἰακὼβ ἐννοῶ. Εἶχε τὸ ἔδαφος γιὰ κλίνη καὶ πέτρα κάτω ἀπὸ τὸ κεφάλι του· γι' αὐτὸ καὶ εἶδε τὸν νοητὸ λίθο καὶ τὴν σκάλα ἐκείνη ἀπὸ τὴν ὁποία ἀνέβαιναν καὶ κατέβαιναν ἄγγελοι[21]. Τέτοιες κλίνες καὶ ἐμεῖς ἂς ἐπινοοῦμε, γιὰ νὰ βλέπουμε καὶ τέτοιο ὄνειρο. Ἂν ὅμως εἴμαστε ξαπλωμένοι ἐπάνω σὲ ἀσημένια κλίνη, ὄχι μόνο δὲν θ' ἀπολαύσουμε καμμιὰ ἡδονή, ἀλλὰ καὶ λύπη θὰ ὑπομείνουμε. Διότι, ἐὰν σκεφθῆς, ὅτι στὴ χειρότερη παγωνιά, τὰ μεσάνυχτα, ἐνῶ ἐσὺ κοιμᾶσαι πάνω σὲ κρεββάτι, ὁ φτωχὸς εἶναι πεταγμένος ἐπάνω στ' ἄχυρα, μπροστὰ στὶς πόρτες τῶν λουτρῶν, καὶ τυλιγμένος μὲ τὰ ἄχυρα, τρέμει, εἶναι παγωμένος ἀπὸ τὸ κρύο καὶ πνίγεται ἀπὸ τὴν πεῖνα, κι' ἂν ἀκόμα εἶσαι πέτρινος περισσότερο ἀπὸ ὅλους, γνωρίζω καλὰ ὅτι θὰ κατακρίνης τὸν ἑαυτό σου, ἐπειδὴ ἐσὺ ζῆς μὲ πολυτέλεια περισσότερο ἀπ' ὅ,τι χρειάζεται, ἐνῶ ἐκεῖνον δὲν τὸν ἀφήνεις ν' ἀπολαύση οὔτε τὰ ἀπαραίτητα. «Κανεὶς στρατιώτης», λέγει, «δὲν περιπλέκεται σὲ βιωτικὰ ζητήματα». Εἶσαι στρατιώτης πνευματικός· καὶ ὁ τέτοιος στρατιώτης δὲν κοιμᾶται σ' ἐλεφάντινη κλίνη, ἀλλὰ ἐπάνω στὸ ἔδαφος· δὲν ἀλείφεται μὲ μύρα· διότι αὐτὴ ἡ φροντίδα ταιριάζει στοὺς θηλυπρεπεῖς καὶ διεφθαρμένους, στοὺς ἠθοποιούς, στοὺς ἀδιάφορους· ἐνῶ ἐσὺ πρέπει νὰ ἐκπέμπης ὄχι μύρα ἀλλὰ ἀρετή.

Τίποτε δὲν εἶναι πιὸ ἀκάθαρτο ἀπὸ τὴν ψυχή, ὅταν τὸ σῶμα ἔχη τέτοια τὴν εὐωδία. Διότι τῆς ἐσωτερικῆς δυσωδίας καὶ τῆς ἀκαθαρσίας δεῖγμα θὰ ἦταν ἡ εὐωδία τοῦ σώματος καὶ τῶν ἐνδυμάτων. Ὅταν δηλαδὴ ἔλθη ὁ διάβολος καὶ ἀποχαυνώση τὴν ψυχὴ καὶ τὴν γεμίση μὲ βλακεία πολλή, τότε καὶ στὸ σῶμα τῆς δικῆς του διαφθορᾶς θ' ἁπλώση τὴν κηλίδα μὲ τὰ μύρα. Καὶ ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ὑποφέρουν διαρκῶς ἀπὸ συνάχι καὶ καταρροὴ μολύνουν καὶ τὰ ἐνδύματα καὶ τὰ χέρια καὶ τὸ πρόσωπο, καθὼς σκουπίζουν διαρκῶς τὸ συνάχι ἀπὸ τὴν μύτη, ἔτσι λοιπὸν καὶ ἡ ψυχὴ ἁπλώνει ἐπάνω στὸ σῶμα τὴν κακία τοῦ πονηροῦ αὐτοῦ ρεύματος. Ποιός πραγματικὰ θὰ ὑποπτευθῆ κάτι γενναῖο καὶ καλὸ γι' αὐτὸν ποὺ μυρίζει ἀρώματα καὶ γυναικοφέρνει, ἢ καλύτερα ποὺ πορνεύεται καὶ προτιμᾶ νὰ ζῆ σὰν χορευτής; Ἂς ἀποπνέῃ ἡ ψυχή σου πνευματικὴ εὐωδία, γιὰ νὰ ὠφελῆς πάρα πολὺ καὶ τὸν ἑαυτό σου καὶ αὐτοὺς ποὺ σὲ πλησιά-

γινομένους σοι ὠφελῇς τὰ μέγιστα. Οὐδὲν γάρ, οὐδὲν τρυφῆς χαλεπώτερον. Ἄκουσον τί περὶ αὐτῆς φησι πάλιν ὁ Μωϋσῆς· «ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος». Καὶ οὐκ εἶπεν, ὅτι 'ἀπέστη', ἀλλ', «ἀπελάκτισεν ὁ ἠγαπημένος», τὸ 5 γαῦρον καὶ δυσήνιον αὐτοῦ παρεμφαίνων ἡμῖν. Καὶ πάλιν ἀλλαχοῦ· «φαγὼν καὶ πιὼν πρόσεχε σεαυτῷ, μήποτε ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου». Οὕτως ἡ τρυφὴ πρὸς λήθην ἐξάγειν εἴωθε.

Καὶ σὺ τοίνυν, ἀγαπητέ, ἐὰν καθίσῃς ἐπὶ τῆς τραπέζης, ἀναμνήσθητι ὅτι μετὰ τὴν τράπεζαν εὔχεσθαί σε δεῖ· καὶ οὕτω συμμέ-10 τρως ἔμπλησον τὴν γαστέρα, ἵνα μὴ βαρυνόμενος ἀδυνατήσῃς γόνυ κλῖναι καὶ τὸν Θεὸν παρακαλέσαι. Οὐχ ὁρᾶτε τὰ ὑποζύγια, ὅτι μετὰ τὴν φάτνην ὁδοιπορίας ἅπτεται καὶ ἀχθοφορεῖ καὶ τὴν οἰκείαν διακονίαν ἀποπληροῖ; Σὺ δὲ μετὰ τὴν τράπεζαν ἄχρηστος πρὸς πᾶν ἔργον καὶ ἀνεπιτήδειος γίνῃ. Καὶ πῶς οὐκ ἔσῃ καὶ τῶν ὄνων αὐ-15 τῶν ἀτιμότερος; Τίνος ἕνεκεν; Ὅτι τότε μάλιστα νήφειν χρὴ καὶ ἐγρηγορέναι. Ὁ γὰρ μετὰ τὴν τράπεζαν καιρὸς εὐχαριστίας ἐστὶ καιρός· τὸν δὲ εὐχαριστοῦντα οὐχὶ μεθύειν, ἀλλὰ νήφειν δεῖ καὶ ἐγρηγορέναι. Ἀπὸ τραπέζης μὴ ἐπὶ κλίνην, ἀλλ' ἐπ' εὐχὴν τρεπώμεθα, ἵνα μὴ τῶν ἀλόγων ἀλογώτεροι γινώμεθα.

20 *θ'. Οἶδα ὅτι πολλοὶ καταγνώσονται τῶν λεγομένων, ὡς καινήν τινα καὶ παράδοξον συνήθειαν εἰσαγόντων τῷ βίῳ· ἀλλ' ἐγὼ μειζόνως τῆς πονηρᾶς καταγνώσομαι συνηθείας τῆς νῦν κατεχούσης ἡμᾶς. Ὅτι γὰρ μετὰ τροφὴν καὶ τράπεζαν οὐχ ὕπνον οὐδὲ εὐνήν, ἀλλ' εὐχὰς καὶ θείων Γραφῶν ἀνάγνωσιν διαδέχεσθαι χρή, τοῦτο 25 σαφέστερον ἐδήλωσεν ὁ Χριστός. Τὰ γοῦν ἄπειρα πλήθη τότε ἑστιάσας ἐπὶ τῆς ἐρήμου, οὐκ ἐπὶ κλίνην καὶ ὕπνον αὐτοὺς ἔπεμψεν, ἀλλ' ἐπὶ θείων ἀκρόασιν ἐκάλεσε λογίων. Οὐ γὰρ διέρρηξεν αὐτῶν τὰς γαστέρας, οὐδὲ εἰς μέθην ἐξέβαλεν, ἀλλὰ πληρώσας αὐτῶν τὴν χρείαν, πρὸς τὴν πνευματικὴν ἦγε τροφήν. Οὕτω καὶ ἡμεῖς 30 ποιῶμεν, καὶ τοσοῦτον ἐθίσωμεν ἑαυτοὺς ἐσθίειν, ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπᾶσθαι καὶ βαρύνεσθαι. Οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν, ἀλλὰ διὰ τοῦτο*

22. Δευτ. 32,15.
23. Δευτ. 8,10–11.

ζουν. Διότι τίποτε, τίποτε δὲν εἶναι φοβερώτερο ἀπὸ τὴν τρυφιλὴ ζωή. Ἄκουσε τί λέγει πάλι γι' αὐτὴν ὁ Μωϋσῆς· «ἀλείφθηκε μὲ λάδι, παχύνθηκε, ἔγινε πλατὺς καὶ κλώτσησε ὁ ἀγαπημένος»[22]. Καὶ δὲν εἶπε, 'ὅτι ἀπομακρύνθηκε', ἀλλὰ «κλώτσησε ὁ ἀγαπημένος», γιὰ νὰ μᾶς δείξη τὸ ὑπερήφανο καὶ τὸ ἀτίθασό του. Καὶ ἀλλοῦ πάλιν· «τρώγοντας καὶ πίνοντας πρόσεχε τὸν ἑαυτό σου, μήπως ξεχάσης τὸν Κύριο, τὸν Θεό σου»[23]. Ἔτσι ἡ ἄσωτη ζωὴ συνήθως ὁδηγεῖ στὴ λήθη.

Καὶ σύ, λοιπόν, ἀγαπητέ, ὅταν καθίσης στὸ τραπέζι, θυμήσου ὅτι μετὰ τὸ φαγητὸ πρέπει νὰ κάνης προσευχή· καὶ ἔτσι μὲ μέτρο νὰ γεμίσης τὸ στομάχι σου, ὥστε νὰ μὴ τὸ βαραίνης καὶ δὲν μπορέσης νὰ γονατίσης γιὰ νὰ παρακαλέσης τὸν Θεό. Δὲν βλέπετε τὰ ὑποζύγια, ὅτι μετὰ τὴ φάτνη ἀρχίζουν ὁδοιπορία, σηκώνοντας βάρη καὶ ἐκτελώντας τὴν ὑπηρεσία τους; Ἐσὺ ὅμως μετὰ τὸ φαγητὸ γίνεσαι ἄχρηστος καὶ ἀκατάλληλος γιὰ κάθε ἔργο. Καὶ πῶς δὲν θὰ εἶσαι πιὸ ἀνάξιος καὶ ἀπὸ τοὺς ἴδιους τοὺς ὄνους; Γιὰ ποιό λόγο; Διότι τότε πρὸ πάντων πρέπει ν' ἀγρυπνῆς καὶ νὰ εἶσαι σὲ ἐγρήγορσι. Καθόσον ἡ ὥρα μετὰ τὸ φαγητὸ εἶναι ὥρα εὐχαριστίας· κι' ἐκεῖνος ποὺ εὐχαριστεῖ δὲν πρέπει νὰ μεθᾶ, ἀλλὰ ν' ἀγρυπνῆ καὶ νὰ εἶναι ἕτοιμος. Ἀπὸ τὸ τραπέζι δὲν πᾶμε στὸ κρεββάτι, ἀλλὰ στὴν προσευχή, γιὰ νὰ μὴν γίνουμε πιὸ ἄλογοι κι' ἀπὸ τὰ ἄλογα ζῶα.

9. Γνωρίζω ὅτι πολλοὶ θὰ κατηγορήσουν τὰ ὅσα λέμε, ὅτι εἰσάγουν κάποια καινούργια καὶ παράξενη συνήθεια στὴ ζωή· ὅμως ἐγὼ περισσότερο θὰ κατηγορήσω τὴν κακὴ συνήθεια ποὺ μᾶς ἔχει τώρα κυριευμένους. Ὅτι πράγματι μετὰ τὸ φαγητὸ καὶ τὸ τραπέζι δὲν πρέπει ν' ἀκολουθῆ ὕπνος οὔτε ξάπλωμα στὸ κρεββάτι, ἀλλὰ προσευχὲς καὶ ἀνάγνωσις τῶν θείων Γραφῶν, αὐτὸ σαφέστερα τὸ φανέρωσε ὁ Χριστός. Ὅταν δηλαδὴ τότε στὴν ἔρημο ἐχόρτασε τὰ ἄπειρα πλήθη, δὲν τοὺς ἔστειλε στὸ κρεββάτι καὶ τὸν ὕπνο, ἀλλὰ τοὺς κάλεσε στὴν ἀκρόασι τῶν θείων λόγων. Διότι δὲν παραφόρτωσε τὰ στομάχια τους, οὔτε τοὺς ὡδήγησε στὴ μέθη, ἀλλά, ἀφοῦ κάλυψε τὴν ἀνάγκη τους, τοὺς ὡδήγησε στὴν πνευματικὴ τροφή. Ἔτσι κι' ἐμεῖς ἃς κάνουμε, καὶ τόσο μόνο ἃς συνηθίσουμε νὰ τρῶμε, ὅσο χρειάζεται γιὰ νὰ ζοῦμε, ὄχι μέχρι νὰ παραλύσουμε καὶ νὰ βαρύνουμε. Διότι δὲν δημιουργηθήκαμε γι' αὐτό, γιὰ νὰ τρῶμε καὶ νὰ πίνουμε· ἀλλὰ γι' αὐτὸ τρῶμε, γιὰ νὰ ζοῦμε. Δὲν ἔγινε ἡ ζωὴ

ἐσθίωμεν, ἵνα ζῶμεν. Οὐ τὸ ζῆν διὰ τὸ φαγεῖν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς. Ἡμεῖς δὲ ὡς διὰ τοῦτο ἐλθόντες εἰς τὸν κόσμον, οὕτως ἅπαντα εἰς τοῦτο καταναλίσκομεν.

Ἀλλ' ἵνα σφοδροτέρα γένηται τῆς τρυφῆς ἡ κατηγορία, καὶ 5 *μάλα καθίκηται τῶν ἐν αὐτῇ ζώντων, φέρε, πάλιν ἐπὶ τὸν Λάζαρον τὸν λόγον ἀγάγωμεν. Οὕτω γὰρ ἡμῖν ἀληθεστέρα τε καὶ ἐναργεστέρα ἡ παραίνεσις ἔσται καὶ ἡ συμβουλή, ὅταν μὴ διὰ ρημάτων, ἀλλὰ διὰ πραγμάτων ἴδητε παιδευομένους καὶ κολαζομένους τοὺς ἀδηφαγίᾳ προσέχοντας. Ὁ μὲν οὖν πλούσιος τοσαύτῃ πονηρίᾳ συνέζη,* 10 *καὶ καθ' ἑκάστην ἐνετρύφα τὴν ἡμέραν, καὶ ἐνεδιδύσκετο λαμπρῶς, χαλεπωτέραν ἑαυτῷ ἀνάπτων τὴν κόλασιν καὶ μεῖζον τὸ πῦρ ἐργαζόμενος καὶ ἀπαραμύθητον ἑαυτῷ ποιῶν τὴν δίκην καὶ ἀσύγγνωστον τὴν τιμωρίαν.*

Ὁ δὲ πένης ἔρριπτο παρὰ τὸν πυλῶνα αὐτοῦ, καὶ οὔτ' ἀπεδυ- 15 *σπέτησεν, οὔτ' ἐβλασφήμησεν, οὔτ' ἠγανάκτησεν· οὐκ εἶπε πρὸς ἑαυτόν, ὃ πολλοὶ λέγουσι· 'Τί ποτε τοῦτό ἐστιν; οὗτος μὲν πονηρίᾳ συζῶν καὶ ὠμότητι καὶ ἀπανθρωπίᾳ, καὶ τῶν ὑπὲρ τὴν χρείαν ἀπολαύει πάντων, καὶ οὐδ' ἀθυμίαν ὑπομένει, οὐδ' ἄλλο τι τῶν ἀδοκήτων, οἷα πολλὰ τὰ παρὰ ἀνθρώποις ἐστίν, ἀλλὰ καὶ καθαρὰν* 20 *καρποῦται τὴν ἡδονήν· ἐγὼ δὲ οὐδὲ τῆς ἀναγκαίας ἔχω τροφῆς μετασχεῖν. Ἀλλὰ τούτῳ μὲν εἰς παρασίτους καὶ κόλακας καὶ μέθην τὰ ὄντα ἅπαντα δαπανῶντι, ὥσπερ ἐκ πηγῶν ἅπαντα ἐπιρρεῖ· ἐγὼ δὲ παράδειγμα τοῖς ὁρῶσι κεῖμαι καὶ αἰσχύνη καὶ γέλως, λιμῷ τηκόμενος. Ἆρα ταῦτα προνοίας; ἆρα ἀφορᾷ δίκη τις τὰ ἀνθρώπι-* 25 *να πράγματα;' Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησε. Πόθεν τοῦτο δῆλον; Ἐξ ὧν ἀπήγαγον αὐτὸν οἱ ἄγγελοι δορυφοροῦντες, καὶ εἰς τὸν κόλπον τοῦ Ἀβραὰμ ἀποκατέστησαν· οὐκ ἂν δέ, εἰ βλάσφημος ἦν, τοσαύτης ἀπήλαυσε τιμῆς. Οὕτω μὲν οὖν οἱ πολλοὶ διὰ τοῦτο θαυμάζουσι τὸν ἄνθρωπον μόνον, ὅτι ἐν πενίᾳ ἦν· ἐγὼ δὲ* 30 *δείκνυμι τιμωρίας ἐννέα τὸν ἀριθμὸν αὐτὸν ὑπομείναντα, οὐχ ἵνα κολάζηται, ἀλλ' ἵνα λαμπρότερος γίνηται· ὅπερ οὖν καὶ ἐγένετο.*

Δεινὸν μὲν γὰρ ὄντως καὶ ἡ πενία, καὶ ἴσασιν ὅσοι πεῖραν ταύτης εἰλήφασι· λόγος γὰρ οὐδεὶς παραστῆσαι δυνήσεται τὴν ὀδύνην, ὅσην ὑπομένουσιν οἱ πτωχείᾳ συζῶντες καὶ φιλοσοφεῖν οὐκ

γιὰ τὸ φαγητό, ἀλλ' ἔγινε ἀπὸ τὴν ἀρχὴ τὸ φαγητὸ γιὰ τὴ ζωή. Ἐνῶ ἐμεῖς σὰν νὰ ἤρθαμε γι' αὐτὸ στὸν κόσμο, τόσο πολὺ ὅλα τὰ ξοδεύουμε σ' αὐτό.

Ἀλλὰ γιὰ νὰ γίνη σφοδρότερη ἡ κατηγορία τῆς ἄσωτης ζωῆς καὶ νὰ θίξη περισσότερο αὐτοὺς ποὺ ζοῦν σ' αὐτήν, ἐμπρὸς πάλι ἂς φέρουμε τὸν λόγο στὸν Λάζαρο. Διότι ἔτσι θὰ γίνη ἡ προτροπὴ καὶ ἡ συμβουλή μας πιὸ ἀληθινὴ καὶ πιὸ φανερή, ὅταν δῆτε ὄχι μὲ λόγια, ἀλλὰ μὲ πράξεις νὰ παιδεύωνται καὶ νὰ τιμωροῦνται ὅσοι ἀφοσιώνονται στὴν πολυφαγία. Ὁ πλούσιος λοιπὸν ζοῦσε μέσα σὲ τόση κακία καὶ κάθε ἡμέρα διασκέδαζε καὶ ντυνόταν μὲ λαμπρὰ ἐνδύματα, ἀνάβοντας φοβερώτερη κόλασι γιὰ τὸν ἑαυτό του καὶ κάνοντας μεγαλύτερη τὴ φωτιὰ καὶ ἀπαρηγόρητη τὴν καταδίκη καὶ ἀσυγχώρητη τὴν τιμωρία.

Ἀντίθετα ὁ φτωχὸς ἦταν ριγμένος μπροστὰ στὴν πόρτα του καὶ οὔτε ἀπελπίστηκε, οὔτε βλασφήμησε, οὔτε ἀγανάκτησε· δὲν εἶπε στὸν ἑαυτό του, αὐτὸ ποὺ λένε πολλοί· 'Τί ἄραγε σημαίνει αὐτό; Αὐτὸς ποὺ ζῆ μὲ τὴν κακία καὶ τὴ σκληρότητα καὶ τὴν ἀπανθρωπιὰ τὰ ἀπολαμβάνει ὅλα περισσότερο ἀπ' ὅ,τι πρέπει, καὶ οὔτε λύπη ὑπομένει οὔτε κανένα ἄλλο ξαφνικὸ κακὸ ἀπὸ τὰ πολλὰ ποὺ συμβαίνουν στοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὴν ἡδονὴ καθαρὴ τὴν ἀπολαμβάνει· ἐνῶ ἐγὼ δὲν μπορῶ ν' ἀπολαύσω οὔτε τὴν ἀπαραίτητη τροφή. Σ' αὐτόν, ἐνῶ δαπανᾶ ὅλα τὰ ὑπάρχοντά του σὲ παρασίτους καὶ σὲ κόλακες καὶ στὴ μέθη, τρέχουν ὅλα σὰν ἀπὸ πηγές, ἐνῶ ἐγὼ γίνομαι παράδειγμα σὲ ὅσους μὲ βλέπουν καὶ ντροπὴ καὶ περίγελως καὶ λειώνω ἀπὸ τὴν πεῖνα. Ἄραγε αὐτὰ εἶναι ἔργα πρόνοιας; ἄραγε ἐπιβλέπει κάποια δικαιοσύνη τὰ ἀνθρώπινα πράγματα;' Τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε, οὔτε σκέφθηκε. Ἀπὸ ποῦ φαίνεται αὐτό; Ἀπὸ τὸ ὅτι οἱ ἄγγελοι τὸν περέλαβαν σὰν δορυφόροι καὶ τὸν ἀποκατέστησαν στὴν ἀγκαλιὰ τοῦ Ἀβραάμ· ἂν ὅμως ἦταν βλάσφημος δὲν θὰ ἀπολάμβανε τόση τιμή. Καὶ οἱ πολλοὶ βέβαια γι' αὐτὸ μόνο θαυμάζουν τὸν ἄνθρωπο, διότι ἦταν φτωχός· ἐγὼ ὅμως σᾶς δείχνω ὅτι ὑπέμεινε ἐννέα δοκιμασίες, ὄχι γιὰ νὰ τιμωρῆται, ἀλλὰ γιὰ νὰ γίνεται λαμπρότερος, πρᾶγμα βέβαια ποὺ καὶ ἔγινε.

Πραγματικὰ εἶναι φοβερὸ πρᾶγμα καὶ ἡ φτώχεια, καὶ τὸ γνωρίζουν ὅσοι τὴν ἔχουν δοκιμάσει· διότι κανένας λόγος δὲν θὰ μπορέση νὰ παραστήση τὸν πόνο ποὺ ὑπομένουν αὐτοὶ ποὺ ζοῦν

εἰδότες. Ἐπὶ δὲ τοῦ Λαζάρου οὐ τοῦτο μόνον ἦν τὸ δεινόν, ἀλλὰ καὶ ἀρρωστία αὐτῷ συνέζευκτο, καὶ αὕτη μεθ' ὑπερβολῆς. Καὶ ὅρα πῶς ἑκατέρας τὰς συμφορὰς δείκνυσιν εἰς ἄκρον ἐλθούσας. Ὅτι μὲν γὰρ πᾶσαν πενίαν ἡ τοῦ Λαζάρου πενία τότε ἐνίκησεν, ἔδειξεν
5 *εἰπών, ὅτι «οὐδὲ τῶν ψυχίων ἀπήλαυε τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου»· ὅτι δὲ καὶ ἡ ἀρρωστία πρὸς τὸ αὐτὸ μέτρον ἐφθάκει τῇ πενίᾳ, μεθ' ὃ λοιπὸν ἐκταθῆναι οὐκ ἦν, καὶ τοῦτο αὐτὸ πάλιν ἐδήλωσεν, εἰπὼν ὅτι «οἱ κύνες ἀπέλειχον τὰ ἕλκη αὐτοῦ». Οὕτως ἦν ἐξησθενηκώς, ὡς μηδὲ τοὺς κύνας ἀποσοβῆσαι*
10 *δύνασθαι, ἀλλὰ νεκρὸς ἔμψυχος ἔκειτο, ἐπιόντας μὲν αὐτοὺς θεωρῶν, ἀμύνασθαι δὲ οὐκ ἰσχύων. Οὕτως αὐτῷ τὰ μέλη παρεῖτο, οὕτω τεταρίχευτο τῇ ἀρρωστίᾳ, οὕτω δεδαπάνητο τῷ πειρασμῷ. Εἶδες μετ' ἄκρας ὑπερβολῆς καὶ τὴν πενίαν καὶ τὴν ἀρρωστίαν πολιορκοῦσαν αὐτοῦ τὸ σῶμα; Εἰ δὲ καθ' ἑαυτὸ τούτων ἕκαστον*
15 *ἀφόρητον καὶ δεινόν, ὅταν ὁμοῦ συμπεπλεγμένα ᾖ, πῶς οὐκ ἀδάμας τις ἦν ὁ ταῦτα ὑπομένων;*

Πολλοὶ πολλάκις ἀρρωστοῦσιν, ἀλλὰ τῆς ἀναγκαίας οὐκ ἀποροῦσι τροφῆς· ἄλλοι πενίᾳ μὲν συζῶσιν ἐσχάτῃ, ἀλλ' ὑγιείας ἀπολαύουσι, καὶ θάτερον θατέρου παραμυθία γίνεται· ἐνταῦθα δὲ
20 *ἀμφότερα ταῦτα συνεδεδραμήκει. Ἀλλ' ἔχεις μοί τινα εἰπεῖν καὶ ἐν ἀρρωστίᾳ ὄντα καὶ ἐν πενίᾳ. Ἀλλ' οὐκ ἐν ἐρημίᾳ τοσαύτῃ. Εἰ γὰρ καὶ μὴ παρ' ἑαυτοῦ μηδὲ οἴκοθεν, ἀλλ' ὑπὸ τῶν ὁρώντων ἐλεεῖσθαι δύναιτο ἂν εἰς τὸ μέσον προκείμενος· τούτῳ δὲ τὰ προειρημένα δεινὰ χαλεπώτερα ἐποίει γίνεσθαι τῶν προστησομένων ἡ ἐρη-*
25 *μία· καὶ αὐτὴν ταύτην πάλιν χαλεπωτέρα ἐποίει φαίνεσθαι τὸ ἐν πυλῶνι κεῖσθαι τοῦ πλουσίου. Εἰ μὲν γὰρ ἐπὶ τῆς ἐρήμου καὶ τῆς ἀοικήτου κείμενος, ταῦτ' ἔπασχε καὶ παρεωρᾶτο, οὐκ ἂν οὕτως ἤλγησε· τὸ γὰρ μηδένα παρεῖναι καὶ ἄκοντα φέρειν ἔπειθε τὰ συμβαίνοντα· τὸ δὲ ἐν μέσῳ τοσούτων κείμενον μεθυόντων, εὐημε-*
30 *ρούντων, παρὰ μηδενὸς μηδὲ τῆς τυχούσης ἐπιμελείας τυγχάνειν, δριμυτέραν ἐποίει τῶν ὀδυνῶν γίνεσθαι τὴν αἴσθησιν καὶ τὴν ἀθυ-*

24. Λουκᾶ 16,21.

στὴ φτώχεια καὶ δὲν γνωρίζουν ν' ἀντιμετωπίζουν τὸ πρᾶγμα μὲ φιλοσοφικότητα. Στὴν περίπτωσι ὅμως τοῦ Λαζάρου δὲν ἦταν αὐτὸ μόνον τὸ φοβερό, ἀλλὰ καὶ τὴν ἀρρώστια εἶχε ἀναπόσπαστο σύντροφο καὶ μάλιστα σὲ μεγάλο βαθμό. Καὶ πρόσεχε πῶς δείχνει ὅτι κάθε μία ἀπὸ τὶς συμφορὲς εἶχε φθάσει στὸ ἔπακρο. Καὶ τὸ ὅτι ἡ φτώχεια τοῦ Λαζάρου ξεπέρασε κάθε φτώχεια, τὸ ἔδειξε λέγοντας, ὅτι δὲν ἀπολάμβανε οὔτε τὰ ψίχουλα ποὺ ἔπεφταν ἀπὸ τὸ τραπέζι τοῦ πλουσίου[24], τὸ ὅτι ὅμως καὶ ἡ ἀρρώστια εἶχε φθάσει στὸ ἴδιο μέτρο μὲ τὴν φτώχεια, πέρα ἀπὸ τὸ ὁποῖο δὲν ἦταν δυνατὸ νὰ ἐπεκταθῆ, καὶ αὐτὸ πάλι τὸ φανέρωσε, λέγοντας ὅτι τὰ σκυλιὰ ἔγλυφαν τὶς πληγές του. Τόσο πολὺ ἐξασθενημένος ἦταν, ὥστε νὰ μὴ μπορῆ οὔτε τὰ σκυλιὰ ν' ἀπομακρύνη, ἀλλ' ἦταν ξαπλωμένος, ζωντανὸς νεκρός, καὶ ἐνῶ τὰ ἔβλεπε νὰ ἔρχωνται ἐναντίον του, ὅμως δὲν εἶχε τὴ δύναμι ν' ἀμυνθῆ. Σὲ τέτοια ἀδυναμία βρίσκονταν τὰ μέλη του, τόσο πολὺ εἶχε φθαρῆ ἀπὸ τὴν ἀρρώστια, τόσο εἶχε δαπανηθῆ ἀπὸ τὴ δοκιμασία. Εἶδες πόσο πολὺ τοῦ πολιορκοῦσαν τὸ σῶμα καὶ ἡ φτώχεια καὶ ἡ ἀρρώστια; Ἀλλὰ ἐὰν τὸ καθένα ἀπ' αὐτὰ καὶ μόνο του εἶναι φοβερὸ καὶ ἀβάσταχτο, ὅταν εἶναι μαζὶ ἑνωμένα, πῶς δὲν ἦταν κάποιο διαμάντι, αὐτὸς ποὺ τὰ ὑπέμενε;

Πολλοὶ πολλὲς φορὲς ἀσθενοῦν, ἀλλὰ δὲν στεροῦνται τὴν ἀναγκαία τροφή· ἄλλοι ζοῦν βέβαια στὴ χειρώτερη φτώχεια, ἀλλ' εἶναι ὑγιεῖς, καὶ τὸ ἕνα γίνεται παρηγοριὰ τοῦ ἄλλου· ἐνῶ ἐδῶ καὶ τὰ δύο αὐτὰ εἶχαν συντρέξει. Ἀλλ' ἴσως ἔχεις νὰ μοῦ ἀναφέρης κάποιον ποὺ βρίσκεται μέσα στὴ φτώχεια καὶ στὴν ἀρρώστια. Ὅμως ὄχι σὲ τόση μεγάλη ἐρημιά. Διότι, καὶ ἐὰν ἀκόμη δὲν μπορῆ νὰ βοηθηθῆ οὔτε ἀπὸ τὸν ἑαυτό του, οὔτε ἀπὸ τοὺς δικούς του, ὅμως μπορεῖ νὰ ἐλεηθῆ ἀπ' αὐτοὺς ποὺ τὸν βλέπουν μὲ τὸ νὰ βρίσκεται ἀνάμεσά τους· ἀλλὰ σ' αὐτὸν τὰ δεινὰ ποὺ προαναφέραμε τὰ ἔκανε νὰ γίνωνται βαρύτερα ἡ ἀδιαφορία ἐκείνων ποὺ τὸν ἔβλεπαν· καὶ αὐτὴν πάλι τὴν ἔκανε νὰ φαίνεται βαρύτερη τὸ ὅτι βρισκόταν μπροστὰ στὴν πόρτα τοῦ πλουσίου. Ἐὰν δηλαδὴ αὐτὰ τὰ πάθαινε βρισκόμενος στὴν ἔρημο καὶ σὲ ἀκατοίκητο τόπο καὶ δὲν τὸν πρόσεχε κανείς, δὲν θὰ πονοῦσε τόσο· διότι τὸ νὰ μὴν ὑπάρχη κανείς, θὰ τὸν ἔπειθε νὰ ὑπομένη καὶ χωρὶς τὴ θέλησί του αὐτὰ ποὺ τοῦ συνέβαιναν· τὸ νὰ βρίσκεται ὅμως ἀνάμεσα σὲ τόσους ποὺ μεθοῦσαν, ποὺ εὐημεροῦσαν, καὶ νὰ μὴν βρίσκη ἀπὸ κανέναν οὔτε τὴν παραμικρὴ

μίαν ἐξέκαιε μᾶλλον. Οὐ γὰρ οὕτως ἀπόντων τῶν βοηθούντων, ὡς παρόντων μέν, οὐκ ἐθελόντων δὲ ὀρέξαι χεῖρα, δάκνεσθαι πεφύκαμεν ἐν ταῖς συμφοραῖς· ὅπερ οὖν κἀκεῖνος τότε ἔπασχεν. Οὐδεὶς γὰρ ἦν, οὐχ ὁ λόγῳ παρακαλῶν, οὐχ ὁ ἔργῳ παραμυθούμενος, οὐ 5 φίλος, οὐ γείτων, οὐ συγγενής, οὐ τῶν ὁρώντων οὐδείς, πάσης τῆς τοῦ πλουσίου διεφθαρμένης οἰκίας.

ι΄. Ἔτι πρὸς τούτοις ἑτέραν αὐτῷ προσθήκην ὀδύνης ἐνεποίει τὸ καὶ ἕτερον εὐπραγοῦντα ὁρᾶν· οὐκ ἐπειδὴ βάσκανος ἦν καὶ πονηρός, ἀλλ' ἐπειδὴ πεφύκαμεν ἅπαντες ἐν ταῖς ἑτέρων εὐημερίαις 10 ἀκριβέστερον τὰς οἰκείας καταμανθάνειν συμφοράς. Ἐπὶ δὲ τοῦ πλουσίου καὶ μεῖζον προσῆν αὐτῷ ἕτερον τὸ δυνάμενον αὐτὸν δακεῖν. Οὐ γὰρ δὴ μόνον ταῖς εὐημερίαις ταῖς ἐκείνου συγκρίνων τὴν ἑαυτοῦ δυσπραγίαν, μείζονα τὴν αἴσθησιν ἐλάμβανε τῶν οἰκείων κακῶν, ἀλλὰ καὶ λογιζόμενος, ὅτι ὁ μὲν μετ' ὠμότητος καὶ ἀπαν- 15 θρωπίας ζῶν, ἐν ἅπασιν εὐοδοῦται, οὗτος δὲ μετὰ ἀρετῆς καὶ ἐπιεικείας τὰ ἔσχατα πάσχει δεινά· καὶ ἔνθεν ἀπαραμύθητον τὴν ἀθυμίαν πάλιν ὑπέμενεν. Εἰ γὰρ δίκαιος ἦν, εἰ γὰρ ἐπιεικής, εἰ γὰρ θαυμαστὸς ὁ ἀνήρ, εἰ γὰρ πάσης γέμων ἀρετῆς, οὐκ ἂν αὐτὸν ἐλύπησε· νυνὶ δὲ καὶ πονηρίᾳ συζῶν, καὶ πρὸς ἔσχατον κακίας ἐληλα- 20 κώς, καὶ τοσαύτην ἀπανθρωπίαν ἐπιδεικνύμενος, καὶ τὰ τῶν ἐχθρῶν αὐτῶν διατιθείς, καὶ ὥσπερ λίθον αὐτὸν παρατρέχων ἀναισχύντως καὶ ἀνιλεῶς, καὶ μετὰ ταῦτα πάντα τοσαύτης ἀπολαύων εὐπορίας· ἐννόησον πῶς εἰκὸς ἦν, ὥσπερ ἐπαλλήλοις κύμασι βαπτίζειν αὐτὸν τοῦ πένητος τὴν ψυχήν· ἐννόησον τὸν Λάζαρον, 25 οἷον εἰκὸς ἦν εἶναι, ὁρῶντα παρασίτους, κόλακας, οἰκέτας ἀναβαίνοντας, καταβαίνοντας, ἐξιόντας, εἰσιόντας, κατατρέχοντας, θορυβοῦντας, μεθύοντας, πηδῶντας, καὶ πᾶσαν ἄλλην ἀσέλγειαν ἐπιδεικνυμένους. Ὥσπερ γὰρ δι' αὐτὸ τοῦτο ἐλθών, ἵνα μάρτυς ᾖ τῶν ἀλλοτρίων ἀγαθῶν, οὕτως εἰς τὸν πυλῶνα ἔρριπτο, τοσοῦτον ζῶν,

φροντίδα, αὐτὸ τὸν ἔκανε νὰ αἰσθάνεται πιὸ δυνατοὺς τοὺς πόνους, καὶ τοῦ ἄναβε περισσότερο τὴ στενοχώρια. Διότι ἐκ φύσεως μᾶς πληγώνουν οἱ συμφορές, ὄχι τόσο ὅταν δὲν ὑπάρχουν ἐκεῖνοι ποὺ θὰ μᾶς βοηθήσουν, ὅσο ὅταν ὑπάρχουν, ἀλλὰ δὲν θέλουν ν' ἀπλώσουν τὸ χέρι τους, πρᾶγμα βέβαια ποὺ καὶ ἐκεῖνος τότε πάθαινε. Πράγματι κανεὶς δὲν ὑπῆρχε νὰ τὸν παρηγορήση μὲ λόγια, νὰ τὸν βοηθήση μὲ ἔργα, οὔτε φίλος, οὔτε γείτονας, οὔτε συγγενής, οὔτε κανεὶς ἀπὸ ὅσους τὸν ἔβλεπαν μέσα ἀπὸ ὅλο τὸ διεφθαρμένο σπίτι τοῦ πλουσίου.

10. Ἐπὶ πλέον κοντὰ σ' αὐτὰ τοῦ προξενοῦσε κι' ἄλλη ὀδύνη καὶ τὸ ὅτι ἔβλεπε ἄλλον νὰ εὐτυχῆ· ὄχι διότι ἦταν ζηλιάρης καὶ κακός, ἀλλ' ἐπειδὴ ἐκ φύσεως ὅλοι μας, ὅταν οἱ ἄλλοι εὐημεροῦν, αἰσθανόμαστε περισσότερο τὶς δικές μας συμφορές. Ἐπὶ πλέον στὴν περίπτωσι τοῦ πλουσίου ὑπῆρχε καὶ κάτι ἄλλο, ποὺ μποροῦσε νὰ τὸν πληγώνη. Διότι ὄχι μόνο, συγκρίνοντας τὴ δυστυχία του μὲ τὶς δικές του εὐτυχίες, αἰσθανόταν μεγαλύτερες τὶς δικές του συμφορές, ἀλλὰ κι' ὅταν σκεφτόταν, ὅτι ὁ πλούσιος, ἂν καὶ ζῆ μὲ σκληρότητα καὶ ἀπανθρωπιά, ὅλα τοῦ ἔρχονται εὐνοϊκά, ἐνῶ αὐτός, ἂν καὶ ζῆ μὲ ἀρετὴ καὶ καλωσύνη, ὑποφέρει τὰ πάνδεινα· καὶ ἐξ αἰτίας αὐτοῦ πάλι ὑπέμεινε ἀπαρηγόρητα τὴ λύπη. Διότι, ἐὰν ἦταν δίκαιος, ἂν ἦταν ἐπιεικής, ἂν ἦταν ἀξιοθαύμαστος ὁ πλούσιος ἄνθρωπος, ἐὰν ἦταν γεμᾶτος ἀπὸ κάθε ἀρετή, δὲν θὰ τὸν λυποῦσε· τώρα ὅμως καὶ στὴν κακία ζοῦσε, καὶ εἶχε φθάσει στὸν ὕψιστο βαθμὸ τῆς κακίας, καὶ τόση μεγάλη ἀπανθρωπιὰ ἔδειχνε καὶ ἔκανε ὅ,τι κάνουν οἱ ἴδιοι οἱ ἐχθροί, καὶ σὰν νὰ ἦταν πέτρα, μὲ ἀδιαντροπιὰ καὶ ἀσπλαχνία τὸν προσπερνοῦσε, καὶ μετὰ ἀπ' ὅλα αὐτὰ ἀπολάμβανε τόση μεγάλη εὐημερία. Σκέψου πῶς φυσικὸ ἦταν αὐτὸς ὁ ἄνθρωπος νὰ πνίγη τὴν ψυχὴ τοῦ φτωχοῦ σὰν μέσα σὲ ἀλλεπάλληλα κύματα· σκέψου τὸν Λάζαρο, ποιός φυσικὸ ἦταν νὰ εἶναι, βλέποντας τοὺς παρασίτους, τοὺς κόλακες καὶ τοὺς ὑπηρέτες νὰ ἀνεβαίνουν, νὰ κατεβαίνουν, νὰ βγαίνουν, νὰ μπαίνουν, νὰ τρέχουν βιαστικά, νὰ θορυβοῦν, νὰ μεθοῦν, νὰ πηδοῦν καὶ νὰ παρουσιάζουν κάθε ἄλλη ἀσέλγεια. Σὰν νὰ ἦλθε δηλαδὴ γι' αὐτὸ στὸν κόσμο, γιὰ νὰ βλέπη τὰ ξένα ἀγαθά, ἔτσι ἦταν ριγμένος στὴν ἐξώπορτα, ζώντας τόσο, ὅσο γιὰ νὰ αἰσθάνεται μόνο τὶς συμφορές του, γιὰ νὰ ὑπομένη τὸ ναυάγιο μέσα

ὅσον αἰσθάνεσθαι εἶχε τῶν οἰκείων κακῶν μόνον, ἐν λιμένι ναυάγιον ὑπομένων, πλησίον πηγῆς δίψῃ χαλεπωτάτῃ τὴν ψυχὴν ἀγχόμενος.

Εἴπω τι καὶ ἕτερον πρὸς τούτοις κακόν; Οὐκ εἶχεν εἰς ἕτερον 5 *Λάζαρον ἰδεῖν. Ἡμεῖς μὲν γὰρ κἂν μυρία πάθωμεν κακά, ἀλλ' ἔχομεν εἰς ἐκεῖνον ἰδόντες, ἱκανὴν δέχεσθαι παράκλησιν καὶ πολλῆς ἀπολαῦσαι τῆς παραμυθίας. Τὸ γὰρ κοινωνοὺς εὑρίσκειν τῶν οἰκείων κακῶν ἢ ἐν πράγμασιν ἢ ἐν διηγήμασι, πολλὴν φέρει τοῖς ὀδυνωμένοις παράκλησιν. Ἐκεῖνος δὲ οὐδένα ἕτερον εἶχεν ἰδεῖν τὸν* 10 *τὰ αὐτὰ αὐτῷ πεπονθότα· μᾶλλον δὲ οὐδ' ἀκοῦσαί τινος ἐπὶ τῶν προγόνων τῶν ἑαυτοῦ τοσαῦτα ὑπομείνατος. Ἱκανὸν δὲ τοῦτο σκοτῶσαι ψυχήν. Ἔστι καὶ ἕτερον πρὸς τούτοις εἰπεῖν, ὅτι οὐδέν τι περὶ ἀναστάσεως φιλοσοεῖν ἠδύνατο, ἀλλὰ μέχρι τοῦ παρόντος βίου τὰ παρόντα ἐνόμιζε συγκεκλεῖσθαι πράγματα· τῶν γὰρ πρὸ* 15 *τῆς χάριτος ἦν. Εἰ δὲ νῦν ἐφ' ἡμῶν μετὰ τοσαύτην θεογνωσίαν, καὶ τὰς χρηστὰς τῆς ἀναστάσεως ἐλπίδας, καὶ τὰς κειμένας τοῖς ἁμαρτάνουσι τιμωρίας ἐκεῖ, καὶ τὰ ἡτοιμασμένα τοῖς κατορθοῦσιν ἀγαθά, οὕτω μικροψύχως τινὲς καὶ ταλαιπώρως διάκεινται, ὡς μηδὲ ταύταις διορθοῦσθαι ταῖς προσδοκίαις, τί πάσχειν εἰκὸς ἦν ἐκεῖνον* 20 *καὶ ταύτης ἀπεστερημένον τῆς ἀγκύρας; Ἐκεῖνος γὰρ οὐδὲν οὐδέπω τὸν καιρὸν τούτων ἀφῖχθαι τῶν διδαγμάτων. Ἦν τι καὶ πρὸς τούτοις ἄλλο, τὸ καὶ τὴν δόξαν αὐτοῦ διαβεβλῆσθαι παρὰ τοῖς ἀνοήτοις τῶν ἀνθρώπων.*

Καὶ γὰρ εἰώθασιν οἱ πολλοί, ἐπειδὰν ἴδωσί τινας ἐν λιμῷ καὶ 25 *νόσῳ διηνεκεῖ καὶ τοῖς ἐσχάτοις ὄντας κακοῖς, μηδὲ χρηστὴν περὶ αὐτῶν δόξαν ἔχειν, ἀλλ' ἀπὸ τῆς συμφορᾶς τὰ κατὰ τὸν βίον κρίνειν, καὶ διὰ πονηρίαν νομίζειν πάντως αὐτοὺς οὕτω ταλαιπωρεῖσθαι· καὶ πολλὰ ἄλλα τοιαῦτα πρὸς ἀλλήλους λέγουσιν, ἀνοήτως μέν, λέγουσι δὲ ὅμως· ὅτι οὗτος, 'εἰ τῷ Θεῷ φίλος ἦν, οὐκ ἂν εἴα-* 30 *σεν αὐτὸν ἐν πενίᾳ καὶ τοῖς ἄλλοις κακοῖς ταλαιπωρεῖσθαι'. Οὕτω γοῦν καὶ ἐπὶ τοῦ Ἰὼβ καὶ ἐπὶ τοῦ Παύλου συνέβη. Καὶ γὰρ ἐκείνῳ ἔλεγον· «μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ, ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει; Εἰ γὰρ σὺ ἐνουθέτησας πολλοὺς καὶ χεῖρας ἀσθε-*

σὲ λιμάνι, καὶ νὰ ὑποφέρη ἡ ψυχή του ἀπὸ φοβερώτατη δίψα δίπλα στὴν πηγή.

Ν' ἀναφέρω μαζὶ μ' αὐτὰ καὶ ἕνα ἄλλο κακό; Δὲν εἶχε νὰ δῆ ἕναν ἄλλο Λάζαρο. Ἐμεῖς δηλαδη, κι' ἂν ἀκόμη πάθουμε μύρια κακά, ὅμως μποροῦμε βλέποντας ἐκεῖνον νὰ πάρουμε ἀρκετὴ παρηγοριὰ καὶ νὰ νοιώσουμε μεγάλη ἀνακούφισι. Διότι τὸ νὰ βρίσκης μετόχους στὶς συμφορές σου ἢ στὰ ζητήματα σου ἢ στὶς διηγήσεις σου, αὐτὸ δίνει πολλὴ παρηγοριὰ σ' ὅσους πονοῦν. Ἐνῶ ἐκεῖνος δὲν εἶχε νὰ δῆ κανέναν ἄλλον ποὺ νὰ ὑπέφερε τὰ ἴδια μ' αὐτόν· ἢ καλύτερα οὔτε εἶχε ἀκούσει ὅτι κάποιος ἀπὸ τοὺς προγόνους του εἶχε τόσα πολλὰ ὑποφέρει. Καὶ αὐτὸ ἦταν ἱκανὸ νὰ τοῦ σκοτώση τὴν ψυχή. Μπορῶ μαζὶ μ' αὐτὰ καὶ κάτι ἄλλο νὰ πῶ, ὅτι δὲν μποροῦσε νὰ ἔχη καμμία πίστι γιὰ τὴν ἀνάστασι, ἀλλὰ νόμιζε ὅτι τὰ παρόντα πράγματα περιορίζονται μόνο σ' αὐτὴ τὴ ζωή· διότι ζοῦσε πρὶν ἀπὸ τὴ χάρι. Ἐὰν τώρα σ' ἐμᾶς, μετὰ ἀπὸ τόση γνῶσι τοῦ Θεοῦ, τὶς ἀγαθὲς ἐλπίδες τῆς ἀναστάσεως, τὶς τιμωρίες ποὺ μεριμένουν ἐκεῖ τοὺς ἁμαρτωλοὺς καὶ τὰ ἀγαθὰ ποὺ ἔχουν ἑτοιμασθῆ γιὰ ὅσους πράττουν τὸ καλό, ὑπάρχουν μερικοὶ ποὺ δείχνουν τόση μικροψυχία καὶ ζοῦν τόσο ἄθλια, ὥστε οὔτε μ' αὐτὲς τὶς προσδοκίες νὰ μὴν γίνωνται καλύτεροι, τί φυσικὸ ἦταν νὰ πάθη ἐκεῖνος, ποὺ ἦταν στερημένος καὶ αὐτὴν τὴν ἄγκυρα; Διότι ἐκεῖνος καμμία τέτοια πίστη δὲν μποροῦσε νὰ ἔχη τότε, ἀφοῦ δὲν ὑπῆρχαν ἀκόμη αὐτὰ τὰ διδάγματα. Καὶ μαζὶ μ' αὐτὰ ὑπῆρχε καὶ κάτι ἄλλο, τὸ ὅτι καὶ ἡ ὑπόληψίς του εἶχε προσβληθῆ ἀπὸ τοὺς ἀνόητους ἀνθρώπους.

Πράγματι συνηθίζουν οἱ πολλοί, ὅταν δοῦν κάποιους νὰ ζοῦν μέσα στὴν πεῖνα καὶ σὲ συνεχῆ ἀρρώστια καὶ στὰ χειρότερα κακά, νὰ μὴν ἔχουν καλὴ γνώμη γι' αὐτούς, ἀλλὰ ἀπὸ τὴ συμφορὰ νὰ κρίνουν καὶ γιὰ τὴ ζωή τους, καὶ νὰ πιστεύουν ὅτι ἐξ αἰτίας τῆς κακίας τους ταλαιπωροῦνται ἔτσι· καὶ πολλὰ ἄλλα τέτοια λένε μεταξύ τους, ἀνόητα βέβαια, ὅμως τὰ λένε· ὅτι δηλαδὴ 'αὐτός, ἐὰν ἦταν φίλος τοῦ Θεοῦ, δὲν θὰ τὸν ἄφηνε νὰ ταλαιπωρῆται στὴ φτώχεια καὶ στὶς ἄλλες συμφορές'. Τὸ ἴδιο συνέβηκε τότε καὶ στὴν περίπτωσι τοῦ Ἰὼβ καὶ τοῦ Παύλου. Διότι καὶ σ' ἐκεῖνον ἔλεγαν· «μήπως σοῦ ἔχουν μιλήσει πολλὲς φορὲς ἐνοχλητικά, καὶ τὴν δύναμι τῶν λόγων σου ποιός θὰ τὴν ἀντέξη; Μήπως δηλαδὴ ἐσὺ νουθέτησες πολλοὺς καὶ ἐνδυνάμωσες τὰ ἀδύναμα χέρια, μήπως στήριξες τοὺς ἀσθενεῖς

νεῖς παρεκάλεσας, ἀσθενοῦντας δὲ ἐξανέστησας ρήμασι, γόνασι δὲ ἀδυνατοῦσι περιέθηκας θάρσος· νυνὶ δὲ ἥκει ἐπὶ σὲ πόνος, σὺ δὲ ἐσπούδακας. Πότερον οὐχ ὁ φόβος σού ἐστιν ἐν ἀφροσύνη;». Ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν· Εἴ τί σοι, φησίν, ἀγαθὸν ἦν πεπραγμένον, οὐκ 5 *ἂν ταῦτα ἔπαθες ἅπερ ἔπαθες· ἀλλ' ἁμαρτημάτων τίνεις δίκας καὶ παρανομίας. Καὶ τοῦτο ἦν ὃ μάλιστα ἔδακνε τὸν μακάριον Ἰώβ.*

Καὶ περὶ τοῦ Παύλου δὲ οἱ βάρβαροι τοῦτο ἔλαγον· ἐπειδὴ γὰρ εἶδον τὴν ἔχιν ἐκκρεμαμένην αὐτοῦ τῆς χειρός, οὐδὲν χρηστὸν περὶ αὐτοῦ ὑπενόησαν, ἀλλὰ τῶν τὰ ἔσχατα κακὰ τετιμηκότων αὐ- 10 *τὸν εἶναι ἐνόμιζον· καὶ δῆλον ἐξ ὧν ἔλεγον. «Τοιοῦτον» γάρ, φασίν, «ἐκ τῆς θαλάσσης σωθέντα ἡ δίκη ζῆν οὐκ εἴασεν». Οὐχ ὡς ἔτυχε δὲ καὶ τοῦτο ἡμᾶς εἴωθε θορυβεῖν. Ἀλλ' ὅμως τοσούτων ὄντων τῶν κυμάτων καὶ ἐπαλλήλων φερομένων, οὐ κατεποντίσθη τὸ σκάφος· ἀλλ' ὡς ἐν καμίνῳ κείμενος, καθάπερ δρόσου διηνεκοῦς* 15 *ἀπολαύων, οὕτως ἐφιλοσόφει.*

ια'. *Οὐ γὰρ εἶπε πρὸς ἑαυτὸν οὐδὲν τοιοῦτον, οἷον πολλοὺς λέγειν εἰκός, ὅτι 'οὗτος ὁ πλούσιος, ἂν μὲν ἀπελθὼν ἐκεῖ κολασθῇ καὶ δῷ τιμωρίᾳ, ἓν ἓν γέγονεν· ἂν δὲ κἀκεῖ τῶν αὐτῶν ἀπολαύσῃ τιμῶν, δύο γέγονεν οὐδέν'. Ἢ οὐ ταῦτα περιφέρετε ἐν ταῖς ἀγοραῖς* 20 *ὑμεῖς οἱ πολλοί, τὰ ἀπὸ τῆς ἱπποδρομίας καὶ τῶν ἔξω θεάτρων εἰς τὴν ἐκκλησίαν εἰσάγοντες; Αἰσχύνομαι γὰρ οὖν εἰς μέσον ταῦτα προτιθεὶς τὰ ρήματα καὶ ἐρυθριῶ, πλὴν ἀλλ' ἀνάγκη ταῦτα εἰπεῖν, ἵνα ὑμεῖς ἀπαλλαγῆτε τοῦ ἀτάκτου γέλωτος καὶ τῆς αἰσχύνης καὶ τῆς βλάβης τῆς ἀπὸ τῶν ρημάτων τούτων. Ταῦτα πολλοὶ πολλάκις* 25 *γελῶντες λέγουσιν· ἀλλὰ καὶ τοῦτο διαβολικῆς κακουργίας ἐστίν, ἐν τάξει ρημάτων ἀστείων διεφθαρμένων εἰσάγειν εἰς τὸν βίον ἡμῶν δόγματα. Ταῦτα γὰρ συνεχῶς, καὶ ἐν ἐργαστηρίοις, καὶ ἐπὶ τῆς ἀγορᾶς, καὶ ἐν ταῖς οἰκίαις πολλοὶ περιφέρουσιν· ὅπερ ἐσχάτης ἀπιστίας ἐστὶ καὶ παρανοίας καὶ γέλωτος ὄντως καὶ παιδικῆς δια-* 30 *νοίας. Τὸ μὲν γὰρ λέγει, ὅτι ἐὰν ἀπελθόντες οἱ πονηροὶ κολασθῶσι καὶ μὴ σφόδρα πεπεικέναι ἑαυτούς, ὅτι κολασθήσονται πάντως, ἀπιστούντων ἐστὶ καὶ διαμφισβητούντων· τὸ δέ, εἰ καὶ τοῦτο συμ-*

25. Ἰὼβ 4,2–6. 26. Πράξ. 28,4.

μὲ τὰ λόγια σου καὶ δυνάμωσες μὲ θάρρος τὰ γόνατα τῶν ἀπελπισμένων; τώρα ποὺ ἡ συμφορὰ ἔχει ἔρθει σὲ σένα, ἐσὺ ταράχθηκες καὶ θέλεις νὰ μάθης τὴν αἰτία. Μήπως ὁ ἄλλοτε φόβος σου πρὸς τὸν Θεὸ ἔκρυβε ἀσέβεια;»[25]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐὰν εἶχες κάνει κάποιο καλό, λέγει, δὲν θὰ πάθαινες αὐτὰ ποὺ ἔπαθες· ἀλλὰ πληρώνεις ἁμαρτίες καὶ παρανομίες. Καὶ αὐτὸ ἦταν ἐκεῖνο ποὺ περισσότερο ἀπὸ ὅλα πλήγωνε τὸν μακάριο Ἰώβ.

Ἀλλὰ καὶ γιὰ τὸν Παῦλο τὸ ἔλεγαν αὐτὸ οἱ βάρβαροι. Ὅταν δηλαδὴ εἶδαν τὴν ὀχιὰ νὰ εἶναι κρεμασμένη στὸ χέρι του, δὲν σκέφθηκαν τίποτε καλὸ γι' αὐτόν, ἀλλὰ πίστεψαν ὅτι εἶναι ἄξιος θανάτου γιὰ τὰ φοβερώτατα παραπτώματά του· καὶ γίνεται φανερὸ ἀπ' ὅσα ἔλεγαν. Διότι ἔλεγαν, «αὐτὸν πράγματι, ἂν καὶ σώθηκε ἀπὸ τὴν θάλασσα, ἡ δικαιοσύνη τοῦ Θεοῦ δὲν τὸν ἄφησε νὰ ζήση»[26]. Καὶ αὐτὸ συνήθως δὲν μᾶς θορυβεῖ καὶ λίγο. Κι ὅμως, ἂν καὶ ἦταν τόσο μεγάλα τὰ κύματα καὶ χτυποῦσαν τὸ ἕνα μετὰ τὸ ἄλλο, δὲν βυθίσθηκε τὸ σκάφος· καὶ ἐνῶ βρισκόταν μέσα σὲ καμίνι, σὰν ν' ἀπολάμβανε δροσιὰ ἀτέλειωτη, ἔτσι τὰ ἀντιμετώπιζε μὲ φιλοσοφικότητα.

11. Δὲν εἶπε δηλαδὴ στὸν ἑαυτό του τίποτε τέτοιο, ποὺ συνήθως λένε πολλοί, 'ὅτι αὐτὸς ὁ πλούσιος, ἂν κατακριθῆ καὶ τιμωρηθῆ, ὅταν πεθάνη, θὰ εἶναι ἴσα κι' ἴσα· ἂν ὅμως καὶ ἐκεῖ ἀπολαύση τὶς ἴδιες τιμές, τότε καὶ τὶς δύο φορὲς δὲν θὰ πάθη τίποτε. Ἢ μήπως αὐτὰ δὲν τὰ λέτε στὶς ἀγορὲς σεῖς οἱ πολλοί, φέρνοντας αὐτὰ καὶ στὴν ἐκκλησία ἀπὸ τὰ ἱπποδρόμια καὶ τὰ θέατρα; Πράγματι ντρέπομαι αὐτὰ τὰ λόγια νὰ τὰ λέγω ἐδῶ μέσα καὶ κοκκινίζω, ἀλλ' ὅμως εἶναι ἀνάγκη νὰ τὰ πῶ, γιὰ νὰ ἀπαλλαγῆτε ἐσεῖς ἀπὸ τὸ ἄτακτο γέλιο, τὴν ντροπὴ καὶ τὴν βλάβη ποὺ προξενοῦν αὐτὰ τὰ λόγια. Αὐτὰ πολλοὶ τὰ λένε πολλὲς φορὲς γελώντας· ἀλλὰ καὶ αὐτὸ εἶναι ἔργο τῆς κακίας τοῦ διαβόλου, μὲ τὴ μορφὴ ἀστείων λόγων νὰ εἰσάγη στὴ ζωή μας διεφθαρμένες διδασκαλίες. Πραγματικὰ αὐτὰ συνεχῶς πολλοὶ συζητοῦν καὶ στὰ ἐργαστήρια καὶ στὴν ἀγορὰ καὶ στὰ σπίτια, πρᾶγμα ποὺ εἶναι δεῖγμα τῆς πιὸ χειρότερης ἀπιστίας καὶ παραφροσύνης, καὶ πραγματικὰ γιὰ γέλιο καὶ λόγια παιδικῆς σκέψεως. Διότι τὸ νὰ λένε ὅτι 'ἐὰν πεθάνουν οἱ κακοὶ θὰ τιμωρηθοῦν', χωρὶς νὰ εἶναι πεπεισμένοι, ὅτι ὁπωσδήποτε θὰ τιμωρηθοῦν, εἶναι δεῖγμα ἀνθρώπων ποὺ δὲν πιστεύουν καὶ ἀμφιβάλλουν· ἀλλά, καὶ ἂν αὐτὸ συμβῆ, πρᾶγμα βέβαια ποὺ θὰ συμβῆ, τὸ νὰ νομίζουν ὅτι θ' ἀπολαύ-

βαίη, ὅπερ οὖν καὶ συμβήσεται, νομίζειν τῆς ἴσης αὐτοὺς τοῖς δικαίοις ἀνταποδόσεως ἀπολελαυκέναι, τοῦτο ἐσχάτης ἀνοίας.

Τί λέγεις, εἰπέ μοι; ἐὰν ἀπελθὼν ὁ πλούσιος ἐκεῖ κολάζηται, ἓν ἓν γένονε; καὶ πῶς ἂν ἔχοι λόγον; Πόσα γὰρ αὐτὸν ἐνταῦθα βούλει θεῖναι ἀπολελαυκέναι τῶν χρημάτων ἔτη; βούλει θῶμεν ἑκατόν; Ἐγὼ δὲ καὶ διακόσια τίθημι, καὶ τριακόσια καὶ δὶς τοσαῦτα καί, εἰ βούλει, καὶ χίλια, ὅπερ ἀδύνατον· «αἱ ἡμέραι», γάρ φησι, «τῶν ἐτῶν ἡμῶν, ὀγδοήκοντα ἔτη»· πλὴν ἀλλὰ κείσθω καὶ χίλια. Μὴ ζωὴν ἔχεις, εἰπέ μοι, ἐνταῦθα δεῖξαι τέλος οὐκ ἔχουσαν, οὐδὲ πέρας ἐπισταμένην, οἵαπερ ἐστὶν ἡ τῶν δικαίων ἐκεῖ; Εἴ τις οὖν, εἰπέ μοι, ἐν ἔτεσιν ἑκατὸν μίαν νύκτα ὄναρ ἰδὼν χρηστὸν καὶ πολῆς καθ' ὕπνους ἀπολαύσας τρυφῆς, τὰ ἑκατὸν ἔτη κολάζοιτο, ἆρα δυνήσῃ λέγειν ἐπὶ τούτῳ, ἓν καὶ ἕνα, καὶ τὴν μίαν νύκτα τῶν ὀνειράτων ἐκείνων τοῖς ἑκατὸν ἔτεσιν ἀντίρροπον ποιεῖσθαι; Οὐκ ἔστιν εἰπεῖν.

Τοῦτο δὴ καὶ περὶ τῆς μελλούσης ζωῆς λογίζου. Ὅπερ γάρ ἐστιν ὄναρ ἓν πρὸς ἑκατὸν ἔτη, τοῦτό ἐστιν ὁ παρὼν βίος πρὸς τὴν μέλλουσαν ζωήν· μᾶλλον δὲ καὶ πολλῷ πλέον· ὅσον ἐστὶ σταγὼν μικρὰ πρὸς πέλαγος ἄπειρον, τοσοῦτόν ἐστι χίλια ἔτη πρὸς τὴν μέλλουσαν δόξαν ἐκείνην καὶ ἀπόλαυσιν. Καὶ τί γὰρ ἂν ἔχοι τις πλέον εἰπεῖν, ἢ ὅτι πέρας οὐκ ἔχει καὶ τέλος οὐκ οἶδε, καὶ ὅσον ἐστὶ τὸ μέσον ὀνείρων καὶ τῆς τῶν πραγμάτων ἀληθείας, τοσοῦτόν ἐστι τῆς καταστάσεως ταύτης καὶ τῆς ἐκεῖ τὸ διάφορον;

Ἄλλως δὲ καὶ πρὸ τῆς ἐκεῖ κολάσεως, ἐντεῦθεν οἱ πονηρευόμενοι καὶ ἐν ἁμαρτίαις ζῶντες κολάζονται. Μὴ γάρ μοι τὸν τραπέζης ἀπολαύοντα πολυτελοῦς ἁπλῶς εἴπῃς, καὶ τὸν ἱμάτια περιβεβλημένον σηρικά, καὶ ἀνδραπόδων ἀγέλας περιφέροντα, καὶ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς· ἀλλ' ἀνάπτυξόν μοι τούτου τὸ συνειδός, καὶ ὄψει πολὺν ἔνδοθεν θόρυβον τῶν ἁμαρτημάτων, φόβον διηνεκῆ, χειμῶνα, ταραχὴν καθάπερ ἐν δικαστηρίῳ τὸν νοῦν ἐπὶ τὸν θρόνον ἀναβάντα τὸν βασιλικὸν τοῦ συνειδότος, καὶ ὥσπερ τινὰ δικαστὴν καθήμενον, καὶ τοὺς λογισμοὺς παριστῶντα, καθάπερ δημίους, καὶ ἀναρτῶντα τὴν διάνοιαν, καὶ καταξαίνοντα ὑπὲρ τῶν ἡμαρτημένων

27. Ψαλμ. 89,10.

σουν τὴν ἴδια ἀνταπόδοσι αὐτοὶ μὲ τοὺς δικαίους, αὐτο εἶναι δεῖγμα τῆς πιὸ χειρότερης ἀνοησίας.

Πές μου, τί λές; Ἐὰν τιμωρῆται ὁ πλούσιος ἐκεῖ, ὅταν πεθάνη, θὰ εἶναι ἴσα κι' ἴσα; Καὶ πῶς θὰ μποροῦσε αὐτὸ νὰ δικαιολογηθῆ; Διότι πόσα χρόνια θέλεις νὰ ὑπολογίσουμε, ὅτι θ' ἀπολαμβάνη τὰ πλούτη του ἐδῶ; Θέλεις νὰ ποῦμε ἑκατό; Ἐγὼ ὅμως λέγω καὶ διακόσια καὶ τριακόσια καὶ δυὸ φορὲς τόσα καί, ἐὰν θέλης, καὶ χίλια, πρᾶγμα ἀδύνατο· διότι λέγει, «οἱ ἡμέρες τῆς ζωῆς μας εἶναι ὀγδόντα χρόνια»[27]. Πλὴν ὅμως ἂς ὑποθέσουμε καὶ χίλια. Μήπως ἔχεις, πές μου, νὰ μοῦ δείξης ἐδῶ ζωὴ χωρὶς τέλος καὶ χωρὶς τέρμα, ὅπως εἶναι ἡ ζωὴ τῶν δικαίων ἐκεῖ; Ἐὰν λοιπὸν κάποιος, πές μου, σὲ διάστημα ἑκατὸ ἐτῶν, εἶδε μιὰ νύχτα ἕνα ὄνειρο εὐχάριστο κι' ἔνοιωσε μεγάλη ἡδονὴ στὸν ὕπνο του, ἐὰν βασανιζόταν ἑκατὸ χρόνια, θὰ μποροῦσε νὰ πῆ ἄραγε γι' αὐτό, ὅτι εἶναι ἴσα κι' ἴσα καὶ νὰ θεωρήση ἰσάξια τὴν μιὰ ἐκείνη νύχτα τῶν ὀνείρων μὲ τὰ ἑκατὸ ἔτη; Δὲν μπορεῖ νὰ τὸ πῆ.

Αὐτὸ λοιπὸν νὰ σκέπτεσαι καὶ γιὰ τὴ μέλλουσα ζωή. Διότι, αὐτὸ ποὺ εἶναι τὸ ἕνα ὄνειρο μπροστὰ στὰ ἑκατὸ ἔτη, αὐτὸ εἶναι ἡ παροῦσα ζωὴ μπροστὰ στὴ μέλλουσα ζωή· ἢ καλύτερα καὶ πολὺ περισσότερο· ὅσο εἶναι μία μικρὴ σταγόνα μπροστὰ στὸ ἄπειρο πέλαγος, τόσο εἶναι τὰ χίλια ἔτη μπροστὰ σ' ἐκείνη τὴ μέλλουσα δόξα καὶ ἀπόλαυσι. Καὶ τί περισσότερο δηλαδὴ θὰ μποροῦσε νὰ πῆ κανείς, ἀπὸ τὸ ὅτι δὲν ἔχει τέρμα καὶ δὲν γνωρίζει τέλος καὶ ὅσο ἀπέχουν τὰ ὄνειρα ἀπὸ τὴν ἀλήθεια τῶν πραγμάτων, τόση εἶναι ἡ διαφορὰ τῆς καταστάσεως αὐτοῦ τοῦ κόσμου καὶ τοῦ ἄλλου;

Ἐξ ἄλλου καὶ πρὶν ἀπὸ τὴν ἐκεῖ τιμωρία, ὅσοι ζοῦν μὲ κακία καὶ μέσα στὴν ἁμαρτία, τιμωροῦνται ἐδῶ. Μὴ μοῦ πῆς δηλαδὴ ἁπλῶς αὐτὸν ποὺ ἀπολαμβάνει τὸ πλούσιο τραπέζι, καὶ ντύνεται μὲ μεταξωτὰ ἐνδύματα, καὶ φέρνει μαζί του κοπάδια δούλων, καὶ βαδίζει μὲ ὑπερηφάνεια στὴν ἀγορά· ἀλλὰ παρουσίασέ μου τὴ συνείδησί του καὶ θὰ δῆς μέσα του μεγάλη ταραχὴ ἐξ αἰτίας τῶν ἁμαρτιῶν του, διαρκῆ φόβο, χειμῶνα, τρικυμία, σὰν νὰ βρίσκεται σὲ δικαστήριο καὶ ὁ νοῦς ἀνέβηκε στὸν βασιλικὸ θρόνο τῆς συνειδήσεως, καὶ σὰν νὰ εἶναι κάποιος δικαστὴς κάθεται καὶ παρουσιάζει τοὺς λογισμοὺς ὡς δημίους, καὶ κρεμώντας τὴ διάνοια καὶ ξεσχίζοντάς την

καὶ ἐμβοῶντα μεγάλα, μηδενὸς εἰδότος, ἀλλ' ἢ τοῦ ταῦτα ἐπισταμένου βλέπειν Θεοῦ μόνου.

Καὶ γὰρ ὁ μοιχεύων, κἂν μυριάκις ᾖ πλούσιος, κἂν μηδένα κατηγοροῦντα ἔχῃ, οὐ παύεται ἑαυτοῦ κατηγορῶν ἔνδον· καὶ ἡ μὲν 5 ἡδονὴ πρόσκαιρος, ἡ δὲ ὀδύνη διηνεκής· φόβος πανταχόθεν καὶ τρόμος, ὑποψία καὶ ἀγωνία· τοὺς στενωποὺς δέδοικε, τὰς σκιὰς αὐτὰς τρέμει, τοὺς οἰκέτας τοὺς ἑαυτοῦ, τοὺς συνειδότας, τοὺς ἀγνοοῦντας, τὴν ἠδικημένην αὐτήν, τὸν ὑβρισμένον ἄνδρα· περιέρχεται πικρὸν κατήγορον περιφέρων τὸ συνειδός, αὐτοκατάκριτος 10 ὤν, καὶ οὐδὲ μικρὸν ἀναπνεῦσαι δυνάμενος. Καὶ γὰρ καὶ ἐπὶ κλίνης, καὶ ἐν τραπέζῃ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν νυκτί, καὶ ἐν αὐτοῖς τοῖς ὀνείρασι πολλάκις τὰ τῆς ἁμαρτίας εἴδωλα βλέπει, καὶ τὸν τοῦ Κάϊν ζῇ βίον, στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ μηδενὸς εἰδότος, ἔνδον ἔχει τὸ πῦρ συνειλεγμένον ἀεί. 15 Τοῦτο καὶ οἱ ἁρπάζοντες, καὶ οἱ πλεονεκτοῦντες πάσχουσι· τοῦτο καὶ οἱ μεθύοντες, καὶ ἕκαστος δὲ ἁπλῶς τῶν ἐν ἁμαρτίαις ζώντων· ἀμήχανον γὰρ ἐκεῖνο διαφθαρῆναι τὸ δικαστήριον· ἀλλὰ κἂν μὴ μετίωμεν τὴν ἀρετήν, ὅμως ὀδυνώμεθα, ἐπειδὴ μὴ μετερχόμεθα, κἂν μετίωμεν τὴν κακίαν, ὅμως παυσάμενοι τῆς ἡδονῆς τῆς κατὰ τὴν 20 ἁμαρτίαν, αἰσθανόμεθα τῆς ὀδύνης.

Μὴ τοίνυν λέγωμεν ἐπὶ τῶν πλουτούντων ἐνταῦθα καὶ πονηρευομένων καὶ τῶν δικαίων τῶν ἀπολαυόντων ἐκεῖ, ὅτι ἓν ἔν, ἀλλ' ὅτι δύο οὐδέν. Τοῖς μὲν γὰρ δικαίοις καὶ τὰ ἐκεῖ καὶ τὰ ἐνταῦθα πολλὴν παρέχει τὴν ἡδονήν· οἱ δὲ ἐν πονηρίαις καὶ ἐν πλεονεξίαις, 25 καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται. Καὶ γὰρ καὶ ἐνταῦθα κολάζονται τῇ προσδοκίᾳ τῆς ἐκεῖ τιμωρίας, καὶ τῇ πονηρᾷ παρὰ πάντων ὑποψίᾳ, καὶ αὐτῷ τῷ ἁμαρτάνειν καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν διαφθείρειν· καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἀφορήτους ὑπομένουσι τιμωρίας. Πάλιν οἱ δίκαιοι, κἂν μυρία πάσχωσιν ἐνταῦθα δεινά, 30 χρηταῖς συντρέφονται ταῖς ἐλπίσιν, ἡδονὴν ἔχοντες καθαράν, βεβαίαν, ἀκίνητον· καὶ μετὰ ταῦτα τὰ μυρία αὐτοὺς διαδέξεται ἀγαθά, καθάπερ οὖν καὶ τὸν Λάζαρον. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ἡλκωτο, ἀλλὰ τοῦτο σκόπει, ὅτι χρυσοῦ παντὸς τιμιωτέραν ἔνδον εἶχε τὴν ψυχήν· μᾶλλον δὲ οὐ τὴν ψυχὴν μόνον, ἀλλὰ καὶ τὸ σῶμα

γιὰ τὶς ἁμαρτίες, φωνάζει δυνατά, χωρὶς νὰ τὸ γνωρίζη κανείς, παρὰ μόνο ὁ Θεὸς ποὺ τὰ γνωρίζει καλὰ ὅλα.

Καὶ ὁ μοιχὸς ἐπίσης, κι' ἂν ἀκόμη εἶναι μύριες φορὲς πλούσιος, κι' ἂν ἀκόμη δὲν ἔχη κανένα νὰ τὸν κατηγορῆ, δὲν παύει ἐνδόμυχα νὰ κατηγορῆ τὸν ἑαυτό του. Καὶ ἡ ἡδονὴ βέβαια εἶναι πρόσκαιρη, ἡ ὀδύνη ὅμως διαρκής. Ἀπὸ παντοῦ φόβος καὶ τρόμος, ὑποψία καὶ ἀγωνία· φοβᾶται τὰ στενά, τρέμει τὶς ἴδιες τὶς σκιές, τοὺς ὑπηρέτες του, ἐκείνους ποὺ τὸν ξέρουν, ἐκείνους ποὺ δὲν τὸν ξέρουν, τὴν ἴδια τὴν ἀδικημένη, τὸν ἄνδρα ποὺ ἔχει προσβάλει· περιφέρεται φέροντας μαζί του σὰν πικρὸ κατήγορο τὴν συνείδησί του, καταδικάζοντας ὁ ἴδιος τὸν ἑαυτό του, καὶ μὴ μπορώντας οὔτε γιὰ λίγο ν' ἀναπνεύση. Διότι καὶ στὸ κρεββάτι καὶ στὸ τραπέζι καὶ στὴν ἀγορὰ καὶ στὸ σπίτι καὶ τὴν ἡμέρα καὶ τὴν νύχτα καὶ σ' αὐτὰ τὰ ὄνειρά του πολλὲς φορὲς βλέπει τὰ εἴδωλα τῆς ἁμαρτίας καὶ ζῆ τὴ ζωὴ τοῦ Κάϊν, στενάζει καὶ τρέμει ἐπάνω στὴ γῆ, καὶ χωρὶς νὰ τὸ γνωρίζη κανεὶς[28], ἔχει συγκεντρωμένη μέσα του τὴ φωτιὰ γιὰ πάντα. Αὐτὸ παθαίνουν καὶ οἱ ἅρπαγες καὶ οἱ πλεονέκτες, αὐτὸ καὶ οἱ μέθυσοι καὶ γενικὰ καὶ ὁ καθένας ἀπ' αὐτοὺς ποὺ ζοῦν μέσα στὶς ἁμαρτίες· διότι εἶναι ἀδύνατο ἐκεῖνο τὸ δικαστήριο νὰ διαφθαρῆ· ἀλλὰ κι' ἂν ἀκόμη δὲν ἀσκοῦμε τὴν ἀρετή, ὅμως ὑποφέρουμε, ἐπειδὴ δὲν τὴν ἀσκοῦμε, κι' ἂν πράττουμε τὸ κακό, ὅμως ὅταν σταματήση ἡ ἡδονὴ τῆς ἁμαρτίας, αἰσθανόμαστε τὸν πόνο.

Ἂς μὴ λέμε λοιπὸν ὅτι εἶναι ἴσα αὐτὰ ποὺ ἀπολαμβάνουν οἱ πλούσιοι καὶ κακοὶ ἐδῶ, μ' ἐκεῖνα ποὺ ἀπολαμβάνουν οἱ δίκαιοι ἐκεῖ, ἀλλ' ὅτι εἶναι δύο τελείως διαφορετικὰ πράγματα. Διότι στοὺς δικαίους καὶ τὰ ἐδῶ καὶ τὰ ἐκεῖ προσφέρουν μεγάλη εὐχαρίστησι· ἐνῶ οἱ κακοὶ καὶ πλεονέκτες καὶ ἐδῶ καὶ ἐκεῖ τιμωροῦνται. Διότι καὶ ἐδῶ τιμωροῦνται μὲ τὴν ἀναμονὴ τῆς ἐκεῖ τιμωρίας καὶ μὲ τὴν πονηρὴ ὑποψία ὅλων, καὶ ἐξ αἰτίας τῆς ἴδιας τῆς ἁμαρτίας καὶ τῆς διαφθορᾶς τῆς ψυχῆς τους· καὶ μετὰ τὴν ἀποδημία τους ἀπὸ ἐδῶ θὰ ὑπομείνουν ἀφόρητες τιμωρίες. Οἱ δίκαιοι πάλι, κι' ἂν ἀκόμη ἐδῶ ὑποφέρουν μύρια δεινά, ὅμως τρέφονται μὲ καλὲς ἐλπίδες, ἔχοντας ἡδονὴ καθαρή, σίγουρη καὶ σταθερή, καὶ ὕστερα ἀπὸ αὐτὰ θὰ τοὺς ἔλθουν τὰ μύρια ἀγαθά, ὅπως ἀκριβῶς καὶ στὸν Λάζαρο. Μὴ μοῦ πῆς δηλαδὴ αὐτό, ὅτι ἦταν γεμᾶτος πληγές, ἀλλὰ αὐτὸ πρόσεχε, ὅτι εἶχε μέσα του ψυχὴ πολυτιμότερη ἀπὸ κάθε χρυσάφι· ἢ καλύτερα

28. Γεν. κεφ. 4.

αὐτοῦ· ἀρετὴ γὰρ σώματος οὐ πολυσαρκία καὶ εὐεξία, ἀλλὰ τοσαύτας καὶ τοιαύτας φέρειν βασάνους. Οὐ γάρ, εἴ τις ἐπὶ τοῦ σώματος τραύματα ἔχοι τοιαῦτα, βδελυκτὸς ὁ τοιοῦτος· ἀλλ' εἴ τις ἐπὶ τῆς ψυχῆς ἕλκη μυρία ἔχων, μηδεμίαν αὐτῶν ἐπιμέλειαν ποιοῖτο· οἷος 5 ἦν ἐκεῖνος ὁ πλούσιος, ἔνδοθεν ἡλκώμενος ἅπας. Καὶ καθάπερ οἱ κύνες τούτου περιέλειχον τὰ τραύματα, οὕτως ἐκείνου δαίμονες τὰ ἁμαρτήματα· καὶ καθάπερ οὗτος ἐν λιμῷ τροφῆς, οὕτως ἐκεῖνος ἐν λιμῷ πάσης ἀρετῆς ἔζη.

ιβ'. Ταῦτ' οὖν εἰδότες ἅπαντα φιλοσοφῶμεν καὶ μὴ λέγωμεν, ὅτι 10 'εἰ τὸν δεῖνα ἐφίλει ὁ Θεός, οὐκ ἂν αὐτὸν ἀφῆκε γενέσθαι πένητα'. Αὐτὸ μὲν οὖν τοῦτο μέγιστον ἀγάπης τεκμήριόν ἐστιν· «ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται». Καὶ πάλιν, «τέκνον, ἐὰν προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρη- 15 σον». Ἐκβάλωμεν οὖν, ἀγαπητοί, τὰς περιττὰς προλήψεις ἀφ' ἑαυτῶν καὶ τὰ δημώδη ταῦτα ῥήματα. «Αἰσχρότης», γάρ φησι, «καὶ μωρολογία, καὶ εὐτραπελία μὴ ἐκπορευέσθω ἐκ τοῦ στόματος ὑμῶν». Μήτε οὖν αὐτοὶ ταῦτα λέγωμεν, ἀλλὰ κἂν ἑτέρους ἴδωμεν ταῦτα λέγοντας, ἐπιστομίσωμεν, κατεξαναστῶμεν σφοδρῶς, ἐπί- 20 σχωμεν τὴν ἀναίσχυντον αὐτῶν γλῶτταν.

Εἴ τινα, ἴδῃς, εἰπέ μοι, λῄσταρχον κατατρέχοντα τὰς ὁδούς, τοῖς παριοῦσιν ἐφεδρεύοντα, τὰ ἐκ τῶν ἀγρῶν ἁρπάζοντα, εἰς σπήλαια καὶ καταδύσεις χρυσίον καὶ ἀργύριον κατορύττοντα, καὶ ἀγέλας ἀποκλείοντα πολλὰς ἐκεῖ, καὶ ἱμάτια καὶ ἀνδράποδα πολλὰ 25 κεκτημένον ἐκ τῆς καταδρομῆς ἐκείνης, ἆρα αὐτόν, εἰπέ μοι, μακαρίζεις διὰ τὸν πλοῦτον ἐκεῖνον, ἢ ταλανίζεις διὰ τὴν μέλλουσαν αὐτὸν διαδέχεσθαι δίκην; Καίτοι οὔπω συνείληπται, οὐδὲ εἰς χεῖρας τοῦ δικαστοῦ παραδέδοται, οὐδὲ εἰς δεσμωτήριον ἐνέπεσεν, οὐδὲ κατήγορον ἔσχεν, οὐδὲ ὑπὸ ψῆφον ἐγένετο, ἀλλὰ τρυφᾷ, μεθύει, εὐ- 30 πορίας ἀπολαύει πολλῆς· ἀλλ' ὅμως οὐ διὰ τὰ παρόντα καὶ τὰ ὁρώμενα αὐτὸν μακαρίζομεν, ἀλλὰ διὰ τὰ μέλλοντα καὶ προσδοκώμενα ταλανίζομεν. Τοῦτο καὶ ἐπὶ τῶν πλουτούντων καὶ πλεονεκτούντων λόγισαι. Λῃσταί τινές εἰσιν ὁδοῖς ἐφεδρεύοντες, τὰ τῶν

29. Ἑβρ. 12,6.
30. Ἐκκλ. 2,1.
31. Ἐφ. 5,4.

ὄχι μόνο τὴν ψυχή, ἀλλὰ καὶ τὸ σῶμα του· διότι ἀρετὴ τοῦ σώματος δὲν εἶναι ἡ πολυσαρκία καὶ ἡ εὐρωστία, ἀλλὰ τὸ νὰ ἀντέχη τόσα πολλὰ καὶ τέτοιου εἴδους βάσανα. Καθόσον δὲν εἶναι ἀποκρουστικὸς ἐκεῖνος ποὺ ἔχει τέτοια τραύματα στὸ σῶμα, ἀλλ' ἐκεῖνος πού, ἐνῶ ἔχει πάρα πολλὲς πληγὲς στὴν ψυχή του, δὲν ἐνδιαφέρεται καθόλου γι' αὐτές, ὅπως ἦταν ἐκεῖνος ὁ πλούσιος, ποὺ τὸ ἐσωτερικό του ἦταν γεμᾶτο πληγές. Καὶ ὅπως τὰ σκυλιὰ τοῦ ἔγλυφαν τὰ τραύματα, ἔτσι οἱ δαίμονες ἐκείνου τὰ ἁμαρτήματα· καὶ ὅπως αὐτὸς ζοῦσε στερημένος ἀπὸ τροφή, ἔτσι ἐκεῖνος ζοῦσε στερημένος ἀπὸ κάθε ἀρετή.

12. Γνωρίζοντας λοιπὸν ὅλα αὐτά, ἂς τὰ ἀντιμετωπίζουμε μὲ φιλοσοφικότητα, κι' ἂς μὴν λέμε, ὅτι 'ἐὰν τὸν τάδε τὸν ἀγαποῦσε ὁ Θεός, δὲν θὰ τὸν ἄφηνε νὰ γίνη φτωχός'. Καθόσον αὐτὸ ἀκριβῶς εἶναι ἀπόδειξις μεγάλης ἀγάπης· διότι «ὅποιον ἀγαπᾶ ὁ Κύριος τὸν παιδεύει, καὶ μαστιγώνει κάθε παιδὶ ποὺ τὸ ἀποδέχεται»[29]. Καὶ πάλι· «παιδί μου, ἐὰν προσέρχεσαι νὰ ὑπηρετήσης τὸν Κύριο, ἑτοίμασε τὴν ψυχή σου γιὰ δοκιμασία, κάνε εὐθεῖα τὴν καρδιά σου, καὶ δεῖξε ὑπομονή»[30]. Ἂς διώξουμε λοιπόν, ἀγαπητοί, τὶς περιττὲς προλήψεις ἀπὸ τοὺς ἑαυτούς μας καὶ τὰ λόγια αὐτὰ τοῦ λαοῦ. Διότι λέγει, «ἀσχρὰ καὶ ἀνόητα λόγια καὶ ἄσεμνα ἀστεῖα ἂς μὴν βγαίνουν ἀπὸ τὸ στόμα σας»[31]. Οὔτε λοιπὸν ἐμεῖς οἱ ἴδιοι νὰ τὰ λέμε, ἀλλὰ κι' ἂν δοῦμε ἄλλους νὰ τὰ λένε, νὰ τοὺς ἀποστομώσουμε, νὰ ἐναντιωθοῦμε πάρα πολύ, νὰ ἐμποδίσουμε τὴν ἀδιάντροπη γλῶσσα τους.

Πές μου, ἐὰν δῆς κάποιον λήσταρχο νὰ τρέχη στοὺς δρόμους, νὰ στήνη ἐνέδρα στοὺς περαστικούς, ν' ἁρπάζη ὅ,τι βρίσκει στὰ χωράφια, νὰ κρύβη μέσα σὲ σπηλιὲς καὶ κρυψῶνες χρυσὸ καὶ ἄργυρο, καὶ νὰ συγκεντρώνη ἐκεῖ πολλὰ κοπάδια καὶ ἐνδύματα, καὶ νὰ ἔχη ἀποκτήσει καὶ δούλους πολλοὺς ἀπὸ τὴν ἐπιδρομὴ ἐκείνη, ἄραγε, πές μου, τὸν μακαρίζεις αὐτὸν γιὰ τὸν πλοῦτο του ἐκεῖνον, ἢ τὸν λυπᾶσαι γιὰ τὴν τιμωρία ποὺ πρόκειται νὰ λάβη; Ἂν καὶ βέβαια δὲν ἔχει ἀκόμα συλληφθῆ, οὔτε ἔχει παραδοθῆ στὰ χέρια τοῦ δικαστοῦ, οὔτε κλείσθηκε στὴ φυλακή, οὔτε κατηγορήθηκε, οὔτε βγῆκε ἡ ἀπόφασις ἡ καταδικαστική, ἀλλὰ διασκεδάζει, μεθᾶ, ἀπολαμβάνει πολλὴ εὐημερία· ἀλλ' ὅμως, δὲν τὸν μακαρίζουμε γιὰ τὰ παρόντα καὶ γιὰ ὅσα βλέπουμε, ἀλλὰ τὸν ταλανίζουμε γι' αὐτὰ ποὺ περιμένουμε νὰ συμβοῦν στὸ μέλλον. Αὐτὸ σκέψου καὶ γιὰ τοὺς πλου-

παριόντων ἁρπάζοντες, ὥσπερ ἐν σπηλαίοις καὶ καταδύσεσι, τοῖς ἑαυτῶν θαλάμοις κατορύττοντες τὰς ἑτέρων περιουσίας.

Μὴ τοίνυν μακαρίζωμεν αὐτοὺς διὰ τὰ παρόντα, ἀλλὰ ταλανίζωμεν διὰ τὰ μέλλοντα, διὰ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον, διὰ
5 *τας ἀπαραιτήτους εὐθύνας, διὰ τὸ σκότος τὸ ἐξώτερον, ὃ μέλλει αὐτοὺς ὑποδέχεσθαι. Καίτοι οἱ μὲν λῃσταὶ πολλάκις ἐξέφυγον ἀνθρώπων χεῖρας· ἀλλ' ὅμως καὶ τοῦτο εἰδότες, καὶ ἑαυτοῖς καὶ ἐχθροῖς ἀπευξάμεθα ἂν τὸν ἐκείνων βίον καὶ τὴν εὐπορίαν τὴν ἐπάρατον. Ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστι τοῦτο εἰπεῖν· οὐδεὶς γὰρ αὐτοῦ*
10 *διαφεύξεται τὴν ψῆφον, ἀλλὰ πάντες πάντως οἱ ἐν πλεονεξίαις καὶ ἁρπαγαῖς ζῶντες τὴν παρ' αὐτοῦ δίκην ἐπισπάσονται τὴν ἀθάνατον ἐκείνην καὶ τέλος οὐκ ἔχουσαν, καθάπερ οὖν καὶ ὁ πλούσιος ἐκεῖνος.*

Ἅπερ οὖν ἅπαντα παρ' ἑαυτοῖς συλλέγοντες, ἀγαπητοί, μὴ
15 *τοὺς ἐν πλούτῳ, ἀλλὰ τοὺς ἐν ἀρετῇ ζῶντας μακαρίζωμεν· μὴ τοὺς ἐν πενίᾳ, ἀλλὰ τοὺς ἐν κακίᾳ ταλανίζωμεν· μὴ τὰ παρόντα βλέπωμεν, ἀλλὰ τὰ μέλλοντα σκοπῶμεν· μὴ τὴν ἔξωθεν περιβολήν, ἀλλὰ τὸ ἑκάστου συνειδὸς ἐξετάζωμεν, καὶ τὴν ἐκ τῶν κατορθωμάτων ἀρετὴν καὶ χαρὰν διώκοντες, ζηλώσωμεν τὸν Λάζαρον καὶ πλού-*
20 *σιοι καὶ πένητες. Οὐ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς μόνον οὗτος, ἀλλὰ πλείστους ἄθλους ἀρετῆς ὑπέμενε, τὴν πενίαν λέγω, τὴν ἀρρωστίαν, τὴν ἐρημίαν τῶν προστησομένων, τὸ ἐν οἰκίᾳ δυναμένῃ τὰ τοιαῦτα σβέσαι κακὰ ἅπαντα ὑπομεῖναι ἐκεῖνα, καὶ μηδενὸς εἰς παραμυθίας λόγον ἀξιοῦσθαι, τὸ τρυφῆς τοσαύτης ἀπολαύοντα τὸν*
25 *ὑπερορῶντα ὁρᾶν, καὶ οὐ τρυφῆς ἀπολαύοντα μόνον, ἀλλὰ καὶ ἐν πονηρίᾳ ζῶντα, καὶ μηδὲν πάσχοντα δεινόν· τὸ καὶ μὴ πρὸς Λάζαρον ἕτερον ἔχειν ἰδεῖν, τὸ μηδὲν περὶ ἀναστάσεως δύνασθαι φιλοσοφεῖν, τὸ μετὰ τῶν εἰρημένων κακῶν καὶ πονηρὰν παρὰ τοῖς πολλοῖς ἀπὸ τῶν συμφορῶν ἐκείνων λαμβάνειν ὑπόληψιν, τὸ μὴ*

σίους καὶ γιὰ τοὺς πλεονέκτες. Εἶναι σὰν κάποιοι ληστές, ποὺ στήνουν ἐνέδρες στοὺς δρόμους, ληστεύουν τοὺς περαστικούς, καὶ κρύβουν βαθιὰ μέσα στὰ σπίτια τους, σὰν σὲ σπήλαια καὶ κρυψῶνες, τὶς περιουσίες τῶν ἄλλων.

Ἂς μὴν τοὺς μακαρίζουμε λοιπὸν για τὰ παρόντα, ἀλλὰ ἂς τοὺς ταλανίζουμε γιὰ τὰ μέλλοντα, γιὰ τὸ φοβερὸ ἐκεῖνο δικαστήριο, γιὰ τὶς ἀναπόφευκτες εὐθύνες, γιὰ τὸ σκότος τὸ ἐξώτερο, ποὺ πρόκειτια νὰ τοὺς δεχθῆ. Ἂν καὶ βέβαια οἱ ληστὲς πολλὲς φορὲς ξέφυγαν τὰ ἀνθρώπινα χέρια· ἀλλ' ὅμως, ἔχοντάς το κι' αὐτὸ ὑπ' ὄψιν μας, καὶ γιὰ τοὺς ἑαυτούς μας καὶ γιὰ τοὺς ἄλλους ἂς μὴν εὐχώμαστε τὴ ζωὴ ἐκείνων καὶ τὸν καταραμένο πλοῦτο τους. Στὴν περίπτωσι ὅμως τοῦ Θεοῦ δὲν εἶναι δυνατὸ νὰ τὸ πῆ κανεὶς αὐτό, διότι κανεὶς δὲν θὰ διαφύγη τὴν ἀπόφασι του, ἀλλ' ὁπωσδήποτε ὅλοι ὅσοι ζοῦν μὲ πλεονεξίες καὶ ἁρπαγὲς θὰ ἐπισύρουν τὴν τιμωρία του, ἐκείνην τὴν ἀθάνατη καὶ ποὺ δὲν ἔχει τέλος, ὅπως ἀκριβῶς καὶ ἐκεῖνος ὁ πλούσιος.

Ὅλα αὐτὰ λοιπὸν συλλέγοντάς τα ἐνώπιόν μας, ἀγαπητοί, ἂς μὴν μακαρίζουμε τοὺς πλουσίους, ἀλλ' ἐκείνους ποὺ ζοῦν ἐνάρετα· ἂς μὴν ταλανίζουμε τοὺς φτωχούς, ἀλλ' ἐκείνους ποὺ ζοῦν μέσα στὴν κακία· ἂς μὴν προσέχουμε τὰ παρόντα, ἀλλ' ἂς ἔχουμε στραμμένο τὸ βλέμμα μας στὰ μέλλοντα· ἂς μὴν ἐξετάζουμε τὴν ἐξωτερικὴ ἐνδυμασία, ἀλλά, ἐξετάζοντας τοῦ καθενὸς τὴ συνείδησι καὶ ἐπιδιώκοντας τὴ χαρὰ καὶ τὴν ἀρετὴ ποὺ προέρχονται ἀπὸ τὰ κατορθώματα, ἂς μιμηθοῦμε τὸν Λάζαρο καὶ πλούσιοι καὶ φτωχοί. Διότι δὲν ὑπέμεινε αὐτὸς ἕναν καὶ δύο καὶ τρεῖς μόνο ἄθλους ἀρετῆς, ἀλλὰ πολὺ περισσοτέρους, ἐννοῶ τὴ φτώχεια, τὴν ἀρρώστια, τὴν ἀδιαφορία ἐκείνων ποὺ τὸν ἔβλεπαν, τὸ ὅτι ὑπέμεινε ὅλα ἐκεῖνα τὰ κακὰ ἔξω ἀπὸ τὸ σπίτι ἐκεῖνο ποὺ μποροῦσε ὅλα αὐτὰ νὰ τοῦ τὰ σβήση, χωρὶς νὰ περιμένη λόγο παρηγοριᾶς ἀπὸ κανέναν, τὸ ὅτι ἔβλεπε τὸν ὑπερήφανο ἐκεῖνον πλούσιο νὰ ἀπολαμβάνη τόση τρυφή, καὶ ὄχι μόνο νὰ ἀπολαμβάνη τὴν τρυφή, ἀλλὰ καὶ νὰ ζῆ μέσα στὴν κακία καὶ νὰ μὴν παθαίνη κανένα κακό· τὸ ὅτι δὲν εἶχε νὰ προσβλέψη σὲ κανέναν ἄλλον Λάζαρο, τὸ ὅτι δὲν μποροῦσε νὰ ἔχη καμμία πίστι σὲ ἀνάστασι, τὸ ὅτι εἶχε μαζὶ μὲ τὰ κακὰ ποὺ ἔχουμε ἀναφέρει καὶ κακὴ ὑπόληψι ἀπὸ τοὺς πολλοὺς ἐξ αἰτίας τῶν συμφορῶν ἐκείνων, τὸ ὅτι ὄχι μέχρι δύο καὶ τρεῖς ἡμέρες ἔβλεπε

μέχρι δύο καὶ τριῶν ἡμερῶν, ἀλλὰ διὰ παντὸς τοῦ βίου, καὶ ἑαυτὸν ἐν τούτοις, καὶ τὸν πλούσιον ἐν τοῖς ἐναντίοις ὁρᾶν.

Τίνα οὖν ἕξομεν ἀπολογίαν εἰ τούτου πάντα ὁμοῦ τὰ δεινὰ μετὰ τοσαύτης φέροντος ἀνδρείας, ἡμεῖς μηδὲ τὰ ἡμίση τούτων οἴ- 5 *σομεν; Οὐ γὰρ ἔχεις, οὐκ ἔχεις δεῖξαι, οὐδὲ εἰπεῖν ἄλλον τινὰ τοσαῦτα καὶ τοιαῦτα πεπονθότα κακά. Διὰ γὰρ τοῦτο αὐτὸν καὶ εἰς μέσον προὔθηκεν ὁ Χριστός, ἵνα ὅπουπερ ἂν ἐμπέσωμεν τῶν δεινῶν, ὁρῶντες παρὰ τούτῳ τὴν ὑπερβολὴν οὖσαν τῶν θλίψεων, ἱκανὴν ἐκ τῆς ἐκείνου φιλοσοφίας καὶ ὑπομονῆς ἀναλάβωμεν πα-* 10 *ράκλησιν καὶ παραμυθίαν· κοινὸς γὰρ τῆς οἰκουμένης διδάσκαλος πρόκειται τοῖς ὁτιοῦν πάσχουσι δεινόν, πρὸς αὐτὸν παρέχων πᾶσιν ὁρᾶν, καὶ πάντας αὐτοὺς νικῶν τῇ τῶν οἰκείων κακῶν ὑπερβολῇ.*

Ὑπὲρ δὴ τούτων ἁπάντων, εὐχαριστήσαντες τῷ φιλανθρώπῳ Θεῷ, καρπωσώμεθα τὴν ἐκ τοῦ διηγήματος ὠφέλειαν, 15 *συνεχῶς αὐτὸν καὶ ἐν συνεδρίοις, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ πανταχοῦ περιφέροντες, καὶ μετὰ ἀκριβείας ἅπαντα τὸν ἐκ τῆς παραβολῆς ταύτης καταμανθάνοντες πλοῦτον, ἵνα καὶ τὰ παρόντα ἀλύπως παραδράμωμεν δεινά, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρω-* 20 *πίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμή, προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

τὸν ἑαυτό του σ' αὐτὰ τὰ δεινά, ἀλλὰ σ' ὅλη του τὴ ζωή, καὶ τὸν πλούσιο στ' ἀντίθετα αὐτῶν.

Ποιά λοιπὸν ἀπολογία θὰ ἔχουμε, ἐὰν αὐτὸς μὲ τόση ἀνδρεία ὑπέμεινε ὅλα μαζὶ τὰ δεινά, καὶ ἐμεῖς δὲν ὑπομείνουμε οὔτε τὰ μισὰ ἀπὸ αὐτά; Διότι δὲν ἔχεις, δὲν ἔχεις νὰ δείξης οὔτε νὰ ἀναφέρης κάποιον ἄλλον ποὺ ἔχει ὑποστῆ τόσα πολλὰ καὶ τέτοια κακά. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Χριστὸς τὸν τοποθέτησε ἀνάμεσά μας, ὥστε σὲ ὁποιαδήποτε δεινὰ κι' ἂν πέσουμε, βλέποντας σ' αὐτὸν τὸ τόσο ὑπερβολικὸ μέγεθος τῶν θλίψεων, νὰ λάβουμε, ἀπὸ τὴ δική του ἀρετὴ καὶ ὑπομονή, ἀρκετὴ παρηγοριὰ καὶ θάρρος· διότι προβάλλει σὰν κοινὸς διδάσκαλος ὁλόκληρης τῆς οἰκουμένης σ' αὐτοὺς ποὺ ὑποφέρουν ἀπὸ ὁποιοδήποτε κακό, δίνοντάς τους τὴ δυνατότητα νὰ προσβλέπουν πρὸς αὐτὸν καὶ νικώντας τους ὅλους μὲ τὸ ὑπερβολικὸ μέγεθος τῶν δικῶν του συμφορῶν.

Γιὰ ὅλα αὐτὰ λοιπόν, ἀφοῦ εὐχαριστήσουμε τὸν φιλάνθρωπο Θεό, ἂς λάβουμε σὰν ἀμοιβὴ τὴν ὠφέλεια ἀπὸ τὴ διήγησι, περιφέροντας μαζί μας αὐτὸν διαρκῶς καὶ στὰ συνέδρια, καὶ στὸ σπίτι, καὶ στὴν ἀγορά, καὶ παντοῦ, καὶ μὲ προσοχὴ ἂς ἀνακαλύψουμε ὅλο τὸν πλοῦτο ποὺ ὑπάρχει σ' αὐτὴν τὴν παραβολή, γιὰ νὰ ξεπεράσουμε τὰ παρόντα δεινὰ χωρὶς λύπη, καὶ νὰ κερδίσουμε τὰ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἀξιωθοῦμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ προσκύνησις, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΚΑΙ ΟΤΙ ΑΙ ΨΥΧΑΙ ΤΩΝ ΒΙΟΘΑΝΑΤΩΝ ΟΥ ΓΙΝΟΝΤΑΙ ΔΑΙΜΟΝΕΣ

Καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης

α΄. Ἐθαύμασα τὴν ἀγάπην ὑμῶν, ὅτε τὸν περὶ τοῦ Λαζάρου πρώην ἐκίνησα λόγον, ὅτι καὶ τὴν ὑπομονὴν τοῦ πένητος ἀπεδέξασθε, καὶ τὴν ὠμότητα καὶ ἀπανθρωπίαν τοῦ πλουτοῦντος ἀπεστράφητε· οὐ μικρὰ δὲ ταῦτα καλοκαγαθίας δείγματα. Κἂν γὰρ μὴ
5 μετίωμεν ἀρετήν, ἐπαινῶμεν δὲ ἀρετήν, δυνησόμεθα πάντως αὐτὴν μετελθεῖν· κἂν μὴ φεύγωμεν κακίαν, ἀλλὰ ψέγωμεν κακίαν, δυνησόμεθα πάντως αὐτὴν ἐκφυγεῖν. Ἐπεὶ οὖν μετὰ πολλῆς εὐνοίας ἐκείνους ὑποδέξασθαι τοὺς λόγους, φέρε, καὶ τὰ λειπόμενα ὑμῖν ἀποδώσωμεν.

10 Εἴδετε αὐτὸν ἐν τῷ πυλῶνι τοῦ πλουσίου τότε, βλέπετε αὐτὸν σήμερον ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ· εἴδετε αὐτὸν ὑπὸ κυνῶν περιλειχόμενον· βλέπετε αὐτὸν ὑπὸ τῶν ἀγγέλων δορυφορούμενον· εἴδετε αὐτὸν ἐν πενίᾳ τότε, βλέπετε ἐν τρυφῇ νῦν· εἴδετε ἐν λιμῷ, βλέπετε ἐν ἀφθονίᾳ πολλῇ· εἴδετε ἀγωνιζόμενον, βλέπετε στεφα-
15 νούμενον· εἴδετε τοὺς πόνους, βλέπετε τὰς ἀμοιβὰς καὶ πλούσιοι καὶ πένητες· πλούσιοι μέν, ἵνα μὴ μέγα εἶναι νομίζητε τὸν πλοῦτον χωρὶς ἀρετῆς, πένητες δέ, ἵνα μηδὲν κακὸν νομίζητε εἶναι τὴν πενίαν· ἑκατέροις δὲ διδάσκαλος οὗτος ἕστηκεν. Εἰ γὰρ ἐν πενίᾳ ἐκεῖνος ὢν οὐκ ἀπεδυσπέτησε, τίνα ἕξουσι συγγνώμην οἱ ἐν πλούτῳ
20 τοῦτο ποιοῦντες; Εἰ ἐν λιμῷ καὶ τοσούτοις κακοῖς ὢν εὐχαρίστησε,

ΣΤΟΝ ΦΤΩΧΟ ΛΑΖΑΡΟ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΚΑΙ ΟΤΙ ΟΙ ΨΥΧΕΣ ΕΚΕΙΝΩΝ ΠΟΥ ΠΕΘΑΙΝΟΥΝ ΒΙΑΙΑ ΔΕΝ ΓΙΝΟΝΤΑΙ ΔΑΙΜΟΝΕΣ

Καὶ περὶ κρίσεως καὶ ἐλεημοσύνης.

1. Ἐθαύμασα τὴν ἀγάπη σας, ὅταν ἄρχισα πρὸ ἡμερῶν τὴν ὁμιλία γιὰ τὸν Λάζαρο, διότι καὶ τὴν ὑπομονὴ τοῦ φτωχοῦ ἀποδεχθήκατε καὶ τὴ σκληρότητα καὶ τὴν ἀπανθρωπιὰ τοῦ πλουσίου ἀποστραφήκατε· καὶ αὐτὰ δὲν εἶναι μικρὰ δείγματα τοῦ καλοῦ σας χαρακτῆρα. Διότι, κι' ἂν δὲν ἀσκοῦμε τὴν ἀρετή, μὲ τὸ νὰ τὴν ἐπαινοῦμε ὅμως, θὰ μπορέσουμε ὁπωσδήποτε νὰ τὴν ἀσκήσουμε· κι' ὅταν δὲν ἀποφεύγουμε τὴν κακία, ἀλλὰ τὴν κατηγοροῦμε, θὰ μπορέσουμε ὁπωσδήποτε νὰ τὴν ἀποφύγουμε. Ἐπειδὴ λοιπὸν μὲ πολλὴ εὐχαρίστηση ὑποδεχθήκατε ἐκεῖνα τὰ λόγια, ἐμπρὸς νὰ σᾶς ἀποδώσω καὶ τὰ ὑπόλοιπα.

Εἴδατε τὸν Λάζαρο τότε μπροστὰ στὴν ἐξωτερικὴ εἴσοδο τοῦ πλουσίου, σήμερα τὸν βλέπετε στὴν ἀγκαλιὰ τοῦ Ἀβραάμ· τὸν εἴδατε νὰ τὸν γλύφουν τὰ σκυλιά· τὸν βλέπετε νὰ περιβάλλετε ἀπὸ ἀγγέλους· τὸν εἴδατε μέσα στὴ φτώχεια τότε, τὸν βλέπετε τώρα μέσα στὴν τρυφή· τὸν εἴδατε στὴν πεῖνα, τὸν βλέπετε σὲ μεγάλη ἀφθονία· τὸν εἴδατε ν' ἀγωνίζεται, τὸν βλέπετε νὰ στεφανώνεται· εἴδατε τοὺς πόνους, βλέπετε τὶς ἀμοιβὲς καὶ πλούσιοι καὶ φτωχοί· οἱ πλούσιοι, γιὰ νὰ μὴ νομίζετε ὅτι εἶναι κάτι μεγάλο ὁ πλοῦτος χωρὶς τὴν ἀρετή, καὶ οἱ φτωχοί, γιὰ νὰ μὴ νομίζετε ὅτι εἶναι κάτι κακὸ ἡ φτώχεια· καὶ στὸν καθένα χωριστὰ αὐτὸς ἔγινε διδάσκαλος. Διότι, ἐὰν ἐκεῖνος δὲν ἀπογοητεύθηκε στὴ φτώχεια του, ποιᾶς συγγνώμης θὰ τύχουν ἐκεῖνοι ποὺ τὸ κάνουν αὐτὸ μέσα στὸν πλοῦτο· ἐὰν ἐκεῖνος βρισκόμενος μέσα στὴν πεῖνα καὶ σὲ τόσα κακὰ εὐχα-

ποίαν ἕξουσιν ἀπολογίαν οἱ μετ' ἀφθονίας μὴ βουλόμενοι πρὸς τὴν αὐτὴν ἐλθεῖν ἀρετήν; Πάλιν οἱ πένητες οἱ διὰ τὴν πτωχείαν ἀγανακτοῦντες καὶ δυσχεραίνοντες, τίνα ἕξουσι συγγνώμην, ὅταν οὗτος ἐν λιμῷ καὶ πενίᾳ καὶ ἐρημίᾳ καὶ ἀρρωστίᾳ διηνεκεῖ ζῶν ἐν οἰκίᾳ
5 *πλουτοῦντος, καὶ παρὰ πάντων ὑπερορώμενος, καὶ πρὸς ἕτερον τὰ αὐτὰ αὐτῷ πεπονθόντα ἰδεῖν οὐκ ἔχων, οὕτω φαίνηται φιλοσοφῶν;*

Ἀπὸ τούτου μάθωμεν, μὴ τοὺς πλουτοῦντας μακαρίζειν, μηδὲ τοὺς πενομένους ταλανίζειν. Μᾶλλον δέ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, οὐδὲ πλούσιός ἐστιν ἐκεῖνος ὁ πολλὰ περιβεβλημένος, ἀλλ' ὁ
10 *μὴ πολλῶν δεόμενος· οὐδὲ πένης ἐστὶν ἐκεῖνος ὁ μηδὲν κεκτημένος, ἀλλ' ὁ πολλῶν ἐφιέμενος· καὶ τοῦτο ὅρον πενίας καὶ πλούτου δεῖ νομίζειν εἶναι. Ἂν τοίνυν ἴδῃς τινὰ πολλῶν ἐφιέμενον, πάντων αὐτὸν πενέστερον εἶναι νόμιζε, κἂν τὰ πάντων ᾖ κεκτημένος χρήματα· ἂν δὲ πάλιν ἴδῃς τινὰ μὴ πολλῶν δεόμενον, πάντων αὐ-*
15 *τὸν εὐπορώτερον εἶναι ψηφίζου, κἂν μηδὲν κεκτημένος ᾖ. Τῇ γὰρ διαθέσει τῆς γνώμης, οὐ τῷ μέτρῳ τῆς οὐσίας, τὰς πενίας καὶ εὐπορίας κρίνειν εἰώθαμεν. Ὥσπερ οὖν τὸν διηνεκῶς διψῶντα οὐκ ἂν εἴποιμεν ὑγιαίνειν, κἂν ἀφθονίας ἀπολαύῃ, κἂν παρὰ ποταμοὺς καὶ πηγὰς κατακέηται (τί γὰρ ὄφελος τῆς τῶν ὑδάτων δαψιλείας*
20 *ἐκείνης, ὅταν τὸ πάθος ἄσβεστον μένῃ;), οὕτω δὴ καὶ ἐπὶ τῶν πλουτούντων ποιῶμεν· τοὺς ἐπιθυμοῦντας ἀεὶ καὶ διψῶντας τῶν ἀλλοτρίων μηδέποτε νομίζωμεν ὑγιαίνειν, μηδὲ ἀφθονίας ἀπολαύειν τινός. Ὁ γὰρ τὴν ἑαυτοῦ στῆσαι μὴ δυνάμενος ἐπιθυμίαν, κἂν τὰ πάντως περιβέβληται, πῶς οὗτος ἔσται ἐν εὐπορίᾳ ποτέ; Τοὺς*
25 *μέντοι τοῖς οἰκείοις ἀρκουμένους καὶ στέργοντας τὰ ἑαυτῶν καὶ μὴ περισκοπουμένους τὰς ἀλλοτρίας οὐσίας, κἂν ἁπάντων ὦσιν ἀπορώτεροι, πάντων εὐπορωτέρους εἶναι χρὴ νομίζειν. Ὁ γὰρ μὴ δεόμενος τῶν ἀλλοτρίων, ἀλλ' ἐν αὐταρκείᾳ ἀγαπῶν εἶναι, πάντων ἐστὶν εὐπορώτερος. Ἀλλ' εἰ δοκεῖ, ἐπὶ τὴν προκειμένην ὑπόθεσιν*
30 *ἐπανέλθωμεν.*

ρίστησε, ποιά ἀπολογία θὰ ἔχουν ἐκεῖνοι ποὺ δὲν θέλουν νὰ ἔλθουν πρὸς αὐτὴν τὴν ἀρετή, ἂν καὶ ζοῦν μέσα στὴν ἀφθονία; Πάλι οἱ φτωχοὶ ποὺ ἀγανακτοῦν καὶ δυσανασχετοῦν ἐξ αἰτίας τῆς φτώχειας, ποιά συγγνώμη θὰ ἔχουν, ὅταν αὐτὸς ποὺ ζοῦσε διαρκῶς μέσα στὴν πεῖνα καὶ στὴ φτώχεια καὶ τὴν ἐγκατάλειψι καὶ τὴν ἀρρώστια, μπροστὰ στὸ σπίτι τοῦ πλουσίου, καὶ ὅλοι τὸν περιφρονοῦσαν καὶ δὲν εἶχε νὰ δῆ κανέναν ἄλλο ποὺ νὰ εἶχε πάθει τὰ ἴδια μ' αὐτόν, παρουσιάζεται μὲ τέτοια φιλοσοφικότητα νὰ τὰ ἀντιμετωπίζη αὐτά;

Ἀπὸ αὐτὸν ἂς μάθουμε νὰ μὴ μακαρίζουμε ἐκείνους ποὺ ἔχουν πλούτη, οὔτε νὰ ταλανίζουμε αὐτοὺς ποὺ εἶναι φτωχοί. Ἢ καλύτερα, ἐὰν πρέπει νὰ ποῦμε τὴν ἀλήθεια, οὔτε εἶναι πλούσιος ἐκεῖνος ποὺ περιβάλλεται ἀπὸ πολλά, ἀλλ' ἐκεῖνος ποὺ δὲν χρειάζεται πολλά· οὔτε εἶναι φτωχὸς ἐκεῖνος ποὺ δὲν ἔχει τίποτα, ἀλλ' ἐκεῖνος ποὺ ἐπιδιώκει πολλά· καὶ αὐτὸ πρέπει νὰ πιστεύουμε ὅτι εἶναι τὸ μέτρο τοῦ πλούτου καὶ τῆς φτώχειας. Ἂν λοιπὸν δῆς κάποιον νὰ ἐπιδιώκη πολλά, νὰ τὸν θεωρῆς φτωχότερο ἀπὸ ὅλους, ἔστω κι' ἂν ἔχη ἀποκτήσει περισσότερα χρήματα ἀπὸ ὅλους· ἂν πάλι δῆς κάποιον ποὺ νὰ μὴν ἔχη ἀνάγκη πολλῶν, νὰ τὸν θεωρῆς πιὸ πλούσιο ἀπ' ὅλους, ἔστω κι' ἂν δὲν ἔχη ἀποκτήσει τίποτε. Διότι συνηθίζουμε νὰ κρίνουμε τὶς φτώχειες καὶ τὰ πλούτη ὄχι μὲ μέτρο τὴν περιουσία, ἀλλὰ τὴ διάθεσι τῆς γνώμης. Ὅπως λοιπὸν ἐκεῖνος ποὺ διαρκῶς διψᾶ δὲν θὰ λέγαμε ὅτι εἶναι ὑγιής, κι' ἂν ἀκόμη ἀπολαμβάνη ἀφθονία ὕδατος, κι' ἂν παρὰ τοὺς ποταμοὺς καὶ τὶς πηγὲς αὐτὸς κατακαίγεται (διότι ποιό εἶναι τὸ ὄφελος ἀπὸ τὴν ἀφθονία ἐκείνη τῶν ὑδάτων, ὅταν τὸ πάθος μένη ἄσβηστο;), τὸ ἴδιο λοιπὸν ἂς κάνουμε καὶ γιὰ τοὺς πλουσίους· ἐκείνους ποὺ διαρκῶς ἐπιθυμοῦν καὶ διψοῦν τὰ ἀγαθὰ τῶν ἄλλων, ποτὲ νὰ μὴν τοὺς θεωροῦμε ὑγιεῖς, οὔτε ὅτι ἀπολαμβάνουν κάποια ἀφθονία. Διότι ἐκεῖνος ποὺ δὲν μπορεῖ νὰ σταματήση τὴν ἐπιθυμία του, κι' ἂν ἀκόμη περιβάλλεται ἀπ' ὅλα, πῶς αὐτὸς θὰ γίνη ποτὲ εὐτυχής; Ἐκείνους ὅμως ποὺ ἀρκοῦνται στὰ δικά τους, καὶ εἶναι εὐχαριστημένοι μὲ τὰ δικά τους, καὶ δὲν προσέχουν τὶς ξένες περιουσίες, κι' ἂν ἀκόμη εἶναι φτωχότεροι ἀπ' ὅλους, πρέπει νὰ τοὺς θεωροῦμε πλουσιώτερους ἀπ' ὅλους. Διότι αὐτὸς ποὺ δὲν χρειάζεται τὰ ξένα, ἀλλ' ἀγαπᾶ νὰ ζῆ μὲ αὐτάρκεια, εἶναι πλουσιώτερος ἀπ' ὅλους. Ἀλλά, ἐὰν θέλετε, ἂς ἐπανέλθουμε στὴν ἐξεταζόμενη ὑπόθεσί μας.

«Ἐγένετο», φησίν, «ἀποθανεῖν τὸν Λάζαρον καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων». Ἐνταῦθα πονηρὸν νόσημα τῆς ὑμετέρας ἐξελεῖν βούλομαι ψυχῆς. Καὶ γὰρ πολλοὶ τῶν ἀφελεστέρων νομίζουσι τὰς ψυχὰς τῶν βιαίῳ θανάτῳ τελευτώντων δαίμονας γίνεσθαι.
5 *Οὐκ ἔστι δὲ τοῦτο, οὐκ ἔστιν. Οὐ γὰρ αἱ ψυχαὶ τῶν βιοθανατούντων δαίμονες γίνονται, ἀλλ' αἱ ψυχαὶ τῶν ἐν ἁμαρτήμασι ζώντων, οὐ τῆς οὐσίας αὐτῶν μεταβαλλομένης, ἀλλὰ τῆς προαιρέσεως αὐτῶν τὴν ἐκείνων μιμουμένης κακίαν. Τοῦτο γοῦν καὶ πρὸς τοὺς Ἰουδαίους δηλῶν ὁ Χριστὸς ἔλεγεν· «ὑμεῖς τοῦ διαβόλου υἱοί*
10 *ἐστε»· υἱοὺς δὲ διαβόλου αὐτοὺς εἶπεν, οὐκ ἐπειδὴ εἰς τὴν οὐσίαν τὴν ἐκείνου μετέπεσον, ἀλλὰ ἐπειδὴ τὰ ἔργα ἐκείνου ἐποίουν· διὸ καὶ προστίθησι· «τὰς γὰρ ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν». Καὶ πάλιν ὁ Ἰωάννης· «γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρπὸν ἄξιον*
15 *τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν, 'πατέρα ἔχομεν τὸν Ἀβραάμ'». Συγγενείας γὰρ νόμους, οὐ τοὺς ἀπὸ τῆς φύσεως, ἀλλὰ τοὺς ἀπὸ τῆς ἀρετῆς καὶ τῆς κακίας οἶδεν ἡ Γραφὴ καλεῖν· καὶ ὧν ἂν τις ὁμότροπος γένηται, τοῦτον καὶ υἱὸν καὶ ἀδελφὸν εἶναί φησιν ἡ Γραφή.*

20 *β'. Ἀλλὰ τίνος ἕνεκεν ὁ διάβολος τὸ πονηρὸν δόγμα τοῦτο εἰσήγαγε; Τὴν τῶν μαρτύρων ἐπεχείρησε διορύξαι δόξαν. Ἐπειδὴ γὰρ βιαίῳ θανάτῳ τελευτῶσιν ἐκεῖνοι, βουλόμενος αὐτῶν κατασκεδάσαι πονηρὰν ὑπόληψιν, τοῦτο ἐποίησεν. Ἀλλὰ τοῦτο μὲν οὐκ ἴσχυσε· μένουσι γὰρ τὴν οἰκείαν ἔχοντες λαμπρότητα· ἕτερον δὲ χαλε-*
25 *πώτερον κατειργάσατο, τοὺς γόητας τοὺς ὑπηρετουμένους αὐτῷ διὰ τούτων πείσας τῶν δογμάτων, πολλῶν νέων ἁπλῶν σώματα κατασφάττειν ἐλπίδι τοῦ δαίμονας ἔσεσθαι, καὶ πάλιν αὐτοῖς ὑπηρετεῖν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Τί οὖν, ὅτι οἱ δαίμονες λέγουσι, 'Τοῦ μοναχοῦ τοῦ δεῖνος ἡ ψυχή εἰμι', φησί; Διὰ γὰρ τοῦτο*
30 *οὐ πιστεύω, ἐπειδὴ δαίμονες λέγουσιν· ἀπατῶσι γὰρ τοὺς ἀκούοντας. Διὰ τοῦτο καὶ ὁ Παῦλος καίτοιγε ἀληθεύοντας ἐπεστόμισεν αὐτούς, ἵνα μὴ πρόφασιν λαβόντες τοῖς ἀληθέσι καὶ ψευδῆ πάλιν ἀναμίξωσι καὶ ἀξιόπιστοι γένωνται.*

Ἐπειδὴ γὰρ ἔλεγον, «οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ

1. Λουκᾶ 16,22.
2. Ἰω. 8,44.
3. Ἰω. 8,44.
4. Ματθ. 3,7–9.

«Συνέβηκε», λέγει, «νὰ πεθάνη ὁ Λάζαρος καὶ νὰ μεταφερθῆ ἀπὸ τοὺς ἀγγέλους»[1]. Ἐδῶ θέλω νὰ βγάλω ἀπὸ τὴν ψυχή σας μιὰ κακὴ ἀσθένεια. Καθόσον πολλοὶ ἀπὸ τοὺς πιὸ ἀφελεῖς νομίζουν ὅτι οἱ ψυχὲς αὐτῶν ποὺ τελειώνουν τὴ ζωή τους μὲ βίαιο θάνατο γίνονται δαίμονες. Δὲν εἶναι δυνατὸ αὐτό, δὲν εἶναι. Διότι δὲν γίνονται δαίμονες οἱ ψυχὲς αὐτῶν ποὺ πεθαίνουν μὲ βίαιο θάνατο, ἀλλ'οἱ ψυχὲς αὐτῶν ποὺ ζοῦν στὶς ἁμαρτίες, ὄχι διότι μεταβάλλεται ἡ οὐσία τους, ἀλλ' ἐπειδὴ ἡ διάθεσίς τους εἶναι ὅμοια μὲ τὴ δική τους κακία. Αὐτὸ λοιπὸν γιὰ νὰ φανερώση στοὺς Ἰουδαίους ὁ Χριστὸς ἔλεγε· «ἐσεῖς εἶσθε παιδιὰ τοῦ διαβόλου»[2], καὶ τοὺς ὠνόμασε παιδιὰ τοῦ διαβόλου, ὄχι διότι μετέπεσαν στὴ δική του φύσι, ἀλλ' ἐπειδὴ ἔκαναν τὰ δικά του ἔργα· γι' αὐτὸ καὶ προσθέτει· «διότι θέλετε νὰ ἐκτελῆτε τὶς ἐπιθυμίες τοῦ πατέρα σας»[3]. Καὶ πάλι ὁ Ἰωάννης· «ἀπόγονοι τῶν ἐχιδνῶν, ποιός σᾶς ὑπέδειξε ν' ἀποφύγετε τὴν μέλλουσα ὀργή; Δεῖξτε λοιπὸν καρπὸ ἀντάξιο τῆς μετανοίας καὶ μὴν θέλετε νὰ λέτε, 'ἔχουμε πατέρα τὸν Ἀβραάμ'»[4]. Διότι σχέσεις συγγενείας γνωρίζει ἡ Γραφὴ νὰ ὀνομάζη ὄχι ἐκεῖνες ποὺ προέρχονται ἀπὸ τὴ φύσι, ἀλλὰ ἀπὸ τὴν ἀρετὴ καὶ τὴν κακία· καὶ ὅποιος ζῆ κατ' αὐτὸν τὸν τρόπο, αὐτὸν καὶ υἱὸ καὶ ἀδελφὸ τὸν ὀνομάζει ἡ Γραφή.

Ἀλλὰ γιὰ ποιό λόγο ὁ διάβολος εἰσήγαγε τὸ πονηρὸ αὐτὸ δόγμα; Ἐπεχείρησε νὰ ὑποσκάψη τὴ δόξα τῶν μαρτύρων. Ἐπειδὴ ἐκεῖνοι πεθαίνουν μὲ βίαιο θάνατο, τὸ ἔκανε αὐτό, θέλοντας νὰ διαδώση κακὴ φήμη ἐναντίον τους. Ἀλλὰ αὐτὸ βέβαια δὲν τὸ ἐπέτυχε, διότι ἐξακολουθοῦν νὰ ἔχουν τὴ λαμπρότητά τους, ὅμως ἐπινόησε ἄλλο φοβερώτερο, ἔπεισε μ' αὐτὲς τὶς ἰδέες του τοὺς μάγους ποὺ τὸν ὑπηρετοῦν νὰ φονεύουν τὰ σώματα πολλῶν ἀπερίσκεπτων νέων, μὲ τὴν ἐλπίδα ὅτι θὰ γίνουν δαίμονες, καὶ πάλι νὰ ὑπηρετοῦν αὐτούς. Ἀλλὰ δὲν εἶναι αὐτὰ δυνατά, δὲν εἶναι. Τί λοιπόν, λέγει, θὰ ποῦμε γι' αὐτὸ ποὺ λένε οἱ δαίμονες, ὅτι 'εἶμαι τοῦ τάδε μοναχοῦ ἡ ψυχή'; Γι' αὐτὸ ἀκριβῶς δὲν πιστεύω, ἐπειδὴ τὸ λένε οἱ δαίμονες· διότι ἐξαπατοῦν τοὺς ἀκροατές τους. Γι' αὐτὸ καὶ ὁ Παῦλος τοὺς ἔκλεισε τὸ στόμα, ἂν καὶ ἔλεγαν τὴν ἀλήθεια, γιὰ νὰ μὴ λάβουν ἀφορμὴ καὶ ἀναμείξουν τὰ ἀληθινὰ μὲ τὰ ψεύτικα καὶ γίνουν ἀξιόπιστοι.

Ἐπειδὴ δηλαδὴ ἔλεγαν, «αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, καὶ σᾶς διδάσκουν τὸν δρόμο τῆς σωτηρίας»,

ὑψίστου εἰσί, καταγγέλλοντες ὑμῖν ὁδὸν σωτηρίας», διαπονηθεὶς τῷ Πνεύματι ἐπετίμησε τῷ Πύθωνι, καὶ ἐξελθεῖν ἐκέλευσε· καίτοιγε τί πονηρὸν ἔλεγον; «Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί». Ἀλλ' ἐπειδὴ πολλοὶ τῶν ἀφελεστέρων ἀεὶ διακρί-
5 νειν οὐκ ἴσασι τὰ παρὰ τῶν δαιμόνων λεγόμενα, καθάπαξ αὐτοῖς ἀπέκλεισε τὸ πιστεύεσθαι. Τῶν ἠτιμωμένων εἶ, φησίν, ἀπαρρησίαστος εἶ, σιώπα, πεφίμωσο· οὐκ ἔστι σὸν τὸ κηρύττειν, ἀποστόλων ἐστὶ τοῦτο τὸ ἀξίωμα. Τί ἁρπάζεις τὸ μὴ σόν; Σίγα, ἠτίμωσαι. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε· λέγουσιν αὐτῷ τοῖς δαίμοσιν, «οἴδα-
10 μέν σε τίς εἶ», ἐπετίμησεν αὐτοῖς μετὰ πολλῆς τῆς σφοδρότητος, διδάσκων ἡμᾶς μηδαμοῦ δαίμονι πείθεσθαι, μηδὲ ἂν σοι ὑγιές τι λέγῃ.

Ἅπερ δὴ καὶ μαθόντες μὴ πειθώμεθα δαίμονι καθόλου, ἀλλὰ κἂν ἀληθές τι φθέγγηται, φεύγωμεν αὐτὸν καὶ ἀποστρεφώμε-
15 θα· τὰ γὰρ ὑγιῆ δόγματα καὶ σωτήρια οὐ παρὰ δαιμόνων, ἀλλὰ παρὰ τῆς θείας Γραφῆς ἐστι μετ' ἀκριβείας μαθεῖν. Ὅτι γὰρ οὐκ ἔστι ψυχὴν τοῦ σώματος ἐξελθοῦσαν ὑπὸ τὴν τῶν δαιμόνων γενέσθαι τυραννίδα, ἄκουσον τί φησιν ὁ Παῦλος· «ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας», τουτέστιν, οὐκ ἔτι ἁμαρτάνει. Εἰ γὰρ
20 ἐν τῷ σώματι οἰκούσῃ τῇ ψυχῇ βίαν ἐπαγαγεῖν οὐ δυνήσεται ὁ διάβολος, εὔδηλον ὅτι οὐδὲ ἀπελθούσῃ. Πῶς οὖν ἁμαρτάνουσι, φησίν, εἰ μὴ βίαν πάσχωσιν; Ἑκοῦσαι καὶ βουλόμεναι, καὶ ἑαυτὰς ἐκδιδοῦσαι, οὐκ ἀναγκαζόμεναι, οὐδὲ τυραννούμεναι. Καὶ τοῦτο ἐδήλωσαν ἅπαντες οἱ περιγενόμενοι τῶν ἐκείνου μηχανημάτων. Τὸν
25 γοῦν Ἰὼβ μυρία κυκήσας οὐκ ἴσχυσε πεῖσαι βλάσφημόν τι ῥῆμα ἐξενεγκεῖν.

Ὅθεν δῆλον ὅτι καὶ τοῦ πείθεσθαι καὶ τοῦ μὴ πείθεσθαι ταῖς ἐκείνου συμβουλαῖς ἡμεῖς ἐσμεν κύριοι, καὶ ἀνάγκην οὐδεμίαν οὐδὲ τυραννίδα ὑφιστάμεθα παρ' ἐκείνου. Οὐκ ἐκ τῶν εἰρημένων δὲ μό-
30 νον, ἀλλὰ καὶ ἐκ τῆς προκειμένης παραβολῆς εὔδηλον, ὅτι τοῦ σώματος αἱ ψυχαὶ ἐξελθοῦσαι, οὐκ ἔτι ἐνταῦθα διατρίβουσιν, ἀλλ' εὐθέως ἀπάγονται· καὶ ἄκουε πῶς. «Ἐγένετο» γὰρ «αὐτόν», φησίν, «ἀποθανεῖν καὶ ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων». Οὐχ αἱ

5. Πράξ. 16,17.
6. Μαρκ. 1,24. Λουκᾶ 4,34.
7. Ρωμ. 6,7.
8. Ἰὼβ 2,9–10.
9. Λουκᾶ 16,22.

ταράχθηκε τὸ πνεῦμα του, ἐπετίμησε τὸν Πύθωνα καὶ τὸν διέταξε νὰ ἐξέλθη[5]· ἂν καὶ βέβαια τί κακὸ ἔλεγαν; «Αὐτοὶ ὁ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου». Ἀλλ' ἐπειδὴ πολλοὶ ἀπὸ τοὺς ἀφελέστερους δὲν γνωρίζουν πάντοτε νὰ διακρίνουν αὐτὰ ποὺ λένε οἱ δαίμονες, μιὰ γιὰ πάντα τοὺς ἀπέκλεισε τὸ νὰ γίνουν πιστευτοί. Εἶσαι ἀπὸ τοὺς ἀτιμασμένους, λέγει, δὲν ἔχεις παρρησία νὰ μιλᾶς, σιώπα, κλεῖσε τὸ στόμα σου· δὲν εἶναι δικό σου τὸ κήρυγμα, τῶν ἀποστόλων εἶναι αὐτὸ τὸ ἀξίωμα. Γιατί ἁρπάζεις αὐτὸ ποὺ δὲν εἶναι δικό σου; Σιώπα, δὲν ἔχεις τιμή. Τὸ ἴδιο καὶ ὁ Χριστὸς ἔκανε· ὅταν τοῦ εἶπαν οἱ δαίμονες, «σὲ γνωρίζουμε ποιός εἶσαι», τοὺς ἐπετίμησε μὲ πολλὴ αὐστηρότητα[6], γιὰ νὰ μᾶς διδάξη, σὲ τίποτε νὰ μὴν ὑπακοῦμε στοὺς δαίμονες, οὔτε κι' ἂν μᾶς λένε κάτι σωστό.

Γνωρίζοντας λοιπὸν αὐτά, καθόλου νὰ μὴν ὑπακοῦμε στὸν δαίμονα, ἀλλὰ κι' ἂν λέῃ κάτι ἀληθινό, νὰ τὸν ἀποφεύγουμε καὶ νὰ τὸν ἀποστρεφώμαστε· διότι τὰ ὀρθὰ καὶ σωτήρια δόγματα μπορεῖ νὰ τὰ μάθη κανεὶς μὲ ἀκρίβεια ὄχι ἀπὸ τοὺς δαίμονες, ἀλλὰ ἀπὸ τὴ θεία Γραφή. Τὸ ὅτι λοιπὸν δὲν εἶναι δυνατὸ ἡ ψυχή, ὅταν βγαίνη ἀπὸ τὸ σῶμα, νὰ ὑποτάσσεται στοὺς δαίμονες, ἄκουσε τί λέγει ὁ Παῦλος· «διότι αὐτὸς ποὺ πέθανε ἔχει πάψει ν' ἁμαρτάνη»[7], δηλαδή, δὲν ἁμαρτάνει πιά. Ἐφόσον δηλαδὴ δὲν μπορεῖ ὁ διάβολος ν' ἀσκήση βία στὴν ψυχὴ ποὺ κατοικεῖ στὸ σῶμα; εἶναι ὁλοφάνερο ὅτι δὲν θὰ μπορέση νὰ τὸ κάνη οὔτε ὅταν φύγη ἀπ' αὐτό. Πῶς τότε ἁμαρτάνουν, λέγει, ἐὰν δὲν ἐκβιάζωνται; Μὲ τὴ θέλησι καὶ τὴν ἀπόφασί τους, παραδίνοντας μόνες τὸν ἑαυτό τους, καὶ ὄχι ἀναγκαζόμενες ἢ τυραννούμενες ἀπ' αὐτόν. Καὶ αὐτὸ τὸ ἀπέδειξαν ὅλοι ἐκεῖνοι ποὺ κατανίκησαν τὰ τεχνάσματά του. Τὸν Ἰὼβ δηλαδή, ἂν καὶ τὸν συντάραξε πάρα πολύ, δὲν μπόρεσε νὰ τὸν πείση νὰ βγάλη ἕναν λόγο βλάσφημο.

Ἀπ' αὐτὸ γίνεται ὁλοφάνερο, ὅτι ἀπὸ ἐμᾶς ἐξαρτᾶται τὸ νὰ ὑπακοῦμε καὶ τὸ νὰ μὴν ὑπακοῦμε στὶς συμβουλὲς τοῦ διαβόλου, καὶ ὅτι δὲν μᾶς ἐξαναγκάζει καθόλου, οὔτε βρισκόμαστε κάτω ἀπὸ τὴ δική του ἀπόλυτη ἐξουσία. Αὐτὸ γίνεται φανερὸ ὄχι μόνο ἀπὸ αὐτὰ ποὺ ἔχουν λεχθῆ, ἀλλὰ καὶ ἀπὸ τὴν ἐξεταζόμενη παραβολή, ὅτι οἱ ψυχὲς ὅταν βγοῦν ἀπὸ τὸ σῶμα, δὲν μένουν πιὰ ἐδῶ, ἀλλ' ἀμέσως μεταφέρονται· καὶ ἄκουσε πῶς. Διότι λέγει, «συνέβηκε νὰ πεθάνη αὐτὸς καὶ νὰ μεταφερθῆ ἀπὸ τοὺς ἀγγέλους»[9]. Καὶ ὄχι μόνο

τῶν δικαίων δὲ μόνον, ἀλλὰ καὶ τῶν ἐν πονηρίᾳ ζώντων ἀπάγονται ἐκεῖ αἱ ψυχαί· καὶ τοῦτο δὲ πάλιν ἐξ ἑτέρου πλουσίου δῆλον. Ἐπειδὴ γὰρ εὐφόρησεν ἡ χώρα αὐτοῦ, εἶπεν ἐν ἑαυτῷ· «τί ποιήσω; καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω». Οὐδὲν 5 ἀθλιώτερον τῆς τοιαύτης γνώμης. Ὄντως καθεῖλεν αὐτοῦ τὰς ἀποθήκας· ἀποθῆκαι γὰρ ἄσυλοι οὐχ οἱ τοῖχοι, ἀλλ' αἱ τῶν πενήτων εἰσὶ γαστέρες· ὁ δὲ ἐκείνας ἀφείς, περὶ τοίχους ἠσχολεῖτο.

Τί οὖν φησι πρὸς αὐτὸν ὁ Θεός; «Ἄφρον, ταύτῃ τῇ νυκτὶ ἀπαιτοῦσι τὴν ψυχήν σου ἀπὸ σοῦ». Καὶ ὅρα· ἐνταῦθά φησιν ἀπε- 10 νεχθῆναι ὑπὸ τῶν ἀγγέλων, ἐκεῖ ἀπαιτοῦσι· καὶ τὸν μὲν ὡς δεσμώτην ἐξῆγον, τὸν δε ὡς στεφανίτην ἐδορυφόρουν. Καὶ καθάπερ ἐν τῷ σκάμματι πολλά τινα τραύματα λαβόντα καὶ αἵματα κατερραντισμένον, εἶτα τὴν κεφαλὴν ἀναδησάμενον οἱ πρὸ τοῦ σκάμματος ἑστῶτες ὑποδεξάμενοι μετὰ πολλῆς τῆς εὐφημίας οἴκαδε ἄγου- 15 σι κροτοῦντες, εὐφημοῦντες, θαυμάζοντες· οὕτω καὶ τὸν Λάζαρον ἄγγελοι τότε ἀπήγαγον· ἐκείνου δὲ τὴν ψυχὴν ἀπήτουν φοβεραί τινες δυνάμεις, ἴσως ἀπεσταλμέναι ἐπὶ τούτῳ· οὐ γὰρ αὐτόματος ἡ ψυχὴ πρὸς ἐκείνην ἀναχωρεῖ τὴν ζωήν, ἐπειδὴ μηδὲ δυνατόν. Εἰ γὰρ πόλιν ἐκ πόλεως ἀμείβοντες, τοῦ χειραγωγοῦντος δεόμεθα, 20 πολλῷ μᾶλλον ἡ ψυχὴ τῆς σαρκὸς ἀπορραγεῖσα καὶ πρὸς τὴν μέλλουσαν μεθισταμένη ζωήν, τῶν ὁδηγησόντων αὐτὴν δεήσεται. Διὰ τοῦτο πολλάκις ἀναδύεται, καὶ πρὸς τὸ βάθος κάτω χωρεῖ, καὶ δέδοικε καὶ φρίττει, μέλλουσα τῆς σαρκὸς ἀφίπτασθαι. Ἀεὶ μὲν γὰρ ἡμᾶς κεντεῖ τῶν ἁμαρτημάτων τὸ συνειδός, μάλιστα δὲ κατ' ἐκεί- 25 νην τὴν ὥραν, ὅταν μέλλωμεν ἐντεῦθεν ἀπάγεσθαι πρὸς τὰ εὐθύνας τὰς ἐκεῖ καὶ τὸ φοβερὸν δικαστήριον.

Τότε, εἴτε ἥρπασέ τις, εἴτε ἐπλεονέκτησεν, εἴτε τινὰ ἐπηρέασεν, εἴτε τινὸς γέγονεν ἐχθρὸς ἀδίκως, εἴτε ἄλλο ὁτιοῦν δεινὸν εἰργάσατο, ἅπας ὁ τῶν ἁμαρτημάτων ἑσμὸς ἀνανεοῦται καὶ πρὸ τῶν 30 ὀφθαλμῶν ἵσταται, καὶ τὴν διάνοιαν κεντεῖ. Καὶ καθάπερ οἱ τὸ δεσμωτήριον οἰκοῦντες, ἀεὶ μὲν ἐν κατηφείᾳ καὶ ὀδύναις εἰσί, μάλι-

10. Λουκᾶ 12,18.

οἱ ψυχὲς τῶν δικαίων, ἀλλὰ καὶ οἱ ψυχὲς τῶν ἁμαρτωλῶν μεταφέρονται ἐκεῖ· καὶ αὐτὸ πάλι γίνεται φανερὸ ἀπὸ ἕναν ἄλλον πλούσιο. Ἐπειδὴ δηλαδὴ ἀπέδωσαν πλούσια σοδειὰ τὰ χωράφια του, εἶπε μέσα του· «τί νὰ κάνω; Θὰ γκρεμίσω τὶς ἀποθῆκες μου καὶ θὰ οἰκοδομήσω μεγαλύτερες»[10]. Τίποτα δὲν εἶναι χειρότερο ἀπὸ αὐτὴ τὴ γνώμη. Πράγματι γκρέμισε τὶς ἀποθῆκες του· διότι ἀποθῆκες ἀσφαλισμένες δὲν εἶναι οἱ τοῖχοι, ἀλλὰ τὰ στομάχια τῶν φτωχῶν· ἐνῶ ὁ πλούσιος ἄφησε ἐκεῖνες τὶς ἀποθῆκες καὶ φρόντιζε γιὰ τοὺς τοίχους.

Τί λοιπὸν τοῦ λέγει ὁ Θεός; «Ἀνόητε, αὐτὴ τὴ νύχτα τὴν ψυχή σου ζητοῦν ἀπὸ σένα». Καὶ πρόσεχε· στὴν περίπτωσι τοῦ Λαζάρου λέγει ὅτι μεταφέρθηκε ἀπὸ τοὺς ἀγγέλους, ἐνῶ στὴν περίπτωσι τοῦ πλουσίου λέγει 'ἀπαιτοῦν'· καὶ τὸν ἕνα τὸν πῆραν σὰν αἰχμάλωτο, ἐνῶ τὸν ἄλλο τὸν περιστοίχιζαν σὰν νικητή. Καὶ ὅπως ἀκριβῶς στὸ σκάμμα, ἐκεῖνον ποὺ ἔλαβε πολλὰ τραύματα καὶ βουτήχθηκε στὸ αἷμα, ἀφοῦ οἱ παραβρισκόμενοι στὸ σκάμμα τοῦ ἔδεσαν τὴν κεφαλή, τὸν ὑποδέχονται μὲ πολλοὺς ἐπαίνους καὶ τὸν φέρνουν στὸ σπίτι του μὲ χειροκροτήματα, μὲ ζητωκραυγές, μὲ θαυμασμούς. Ἔτσι καὶ τὸν Λάζαρο τότε ἄγγελοι τὸν μεταφέρουν· ἐνῶ τὴν ψυχὴ τοῦ πλουσίου τὴν ἀπαιτοῦσαν κάποιες φοβερὲς δυνάμεις, ἴσως σταλμένες γι' αὐτὸν τὸν σκοπό· διότι δὲν ἀναχωρεῖ πρὸς ἐκείνην τὴ ζωὴ μόνη της ἡ ψυχή, ἐπειδὴ δὲν εἶναι δυνατό. Διότι ἐάν, ὅταν μεταβαίνουμε ἀπὸ πόλι σὲ πόλι, ἔχουμε ἀνάγκη ἀπὸ ὁδηγό, πολὺ περισσότερο ἡ ψυχὴ ὅταν ἀποσπασπασθῆ ἀπὸ τὸ σῶμα καὶ μεταφέρεται πρὸς τὴ μέλλουσα ζωή, ἔχει ἀνάγκη ἀπὸ ὁδηγούς. Γι' αὐτὸ πολλὲς φορὲς ἀνεβαίνει πρὸς τὰ ἐπάνω καὶ προχωρεῖ πάλι πρὸς τὸ βάθος καὶ φοβᾶται καὶ φρίττει, ὅταν πρόκειται ν' ἀποχωρισθῆ ἀπὸ τὸ σῶμα. Διότι πάντα μᾶς κεντρίζει ἡ συνείδησις γιὰ τὶς ἁμαρτίες μας, πολὺ περισσότερο ὅμως κατὰ τὴν ὥρα ἐκείνη, ὅταν πρόκειται νὰ μεταφερθοῦμε ἀπὸ ἐδῶ ἐκεῖ γιὰ νὰ λογοδοτήσουμε στὸ φοβερὸ δικαστήριο.

Τότε, ἐὰν κάποιος ἔκλεψε ἢ ἐκμεταλλεύθηκε ἢ ἀπείλησε κάποιον ἢ ἔγινε ἄδικα ἐχθρὸς κάποιου ἢ ἔκανε ὁ,τιδήποτε ἄλλο φοβερό, ὅλο τὸ πλῆθος τῶν ἁμαρτιῶν τότε ἐπανέρχεται καὶ κεντρίζει τὴ συνείδησι. Καὶ ὅπως ἀκριβῶς οἱ φυλακισμένοι πάντα εἶναι μέσα στὴν κατήφεια καὶ τὴν ὀδύνη, πολὺ περισσότερο ὅμως κατὰ τὴν

*στα δὲ κατὰ την ἡμέραν ἐκείνην, καθ' ἣν ἂν μέλλωσι ἐξάγεσθαι, καὶ παρ' αὐτὰς τὰς τοῦ δικάζοντος ἄγεσθαι θύρας, καὶ πρὸ τῶν κιγκλίδων ἑστῶτες, καὶ τῆς τοῦ κρίνοντος φωνῆς ἔνδοθεν ἀκούοντες, ἀποπήγνυνται τῷ φόβῳ, καὶ τῶν νεκρῶν οὐδὲν ἄμεινον διά-
5 κεινται· οὕτω καὶ ἡ ψυχὴ μάλιστα μὲν καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἁμαρτίας ὀδυνᾶται καὶ στενοχωρεῖται, πολλῷ δὲ πλέον ὅταν ἐντεῦθεν ἀποσπασθεῖσα ἀπάγεσθαι μέλλη.*

*γ'. Σιγᾶτε ταῦτα ἀκούοντες; Πολλὴν ὑμῖν ἔχω χάριν τῆς σιγῆς ταύτης μᾶλλον, ἢ τῶν κρότων· οἱ μὲν γὰρ κρότοι καὶ οἱ ἔπαινοι
10 λαμπρότερον ἐμὲ ποιοῦσιν, ἡ σιγὴ δὲ αὕτη σωφρονεστέρους ὑμᾶς ἐργάζεται. Ὁ πλούσιος ἐκεῖνος, εἴ τινα εἶχε τοιαῦτα αὐτῷ παραινοῦντα, ἀλλὰ μὴ κόλακας τοὺς πρὸς χάριν ἅπαντα συμβουλεύοντας καὶ εἰς τρυφὴν ἕλκοντος, οὐκ ἂν εἰς τὴν γέενναν ἦλθεν ἐκείνην, οὐκ ἂν τας βασάνους ὑπέμεινε τὰς ἀφορήτους, οὐκ ἂν ἀπαρηγόρητα
15 μετὰ ταῦτα μετενόησεν· ἀλλ' ἐπειδὴ τὰ πρὸς χάριν ἅπαντες διελέγοντο, παρέδωκαν αὐτὸν τῷ πυρί. Εἴθε ἦν ἀεὶ καὶ διηνεκῶς ταῦτα φιλοσοφεῖν, καὶ περὶ γεέννης φθέγγεσθαι. «Ἐν πᾶσι», γάρ φησι, «τοῖς λόγοις σου μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτης». Καὶ πάλιν· «ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ
20 παρασκευάζου πρὸς τὴν ὁδόν».*

*Εἴ τινος ἥρπασάς τι, ἀπόδος, καὶ εἰπὲ κατὰ τὸν Ζακχαῖον· «δίδωμι τετραπλασίονα τὰ ἁρπαγέντα»· εἴ τινός τι ἐσυκοφάντησας, εἴ τινος γέγονας ἐχθρός, καταλλάγηθι πρὸ τοῦ δικαστηρίου. Πάντα ἐνταῦθα διάλυσαι, ἵνα χωρὶς πραγμάτων τὸ βῆμα ἴδῃς ἐκεῖνο.
25 Ἕως ἂν ἐνταῦθα ὦμεν, ἐλπίδας ἔχομεν χρηστάς· ἐπειδὰν δὲ ἀπέλθωμεν ἐκεῖ, κύριοι λοιπὸν μετανοίας οὐκ ἐσμεν, οὐδὲ τοῦ τὰ ἡμαρτημένα ἡμῖν ἀπονίψασθαι. Διὸ χρὴ παρασκευάζεσθαι συνεχῶς πρὸς τὴν ἐνθένδε ἔξοδον. Τί γὰρ ἐὰν ἑσπέρας δόξῃ τῷ Δεσπότῃ καλέσαι ἡμᾶς; τί δὲ ἐὰν αὔριον; Ἄδηλον γὰρ τὸ μέλλον, ἵνα ἐνα-
30 γώνιοι διηνεκῶς ὦμεν καὶ πρὸς τὴν ἀποδημίαν εὐτρεπεῖς ἐκείνην, καθάπερ οὖν οὗτος ὁ Λάζαρος διαπαντὸς ἦν ἐν ὑπομονῇ καὶ καρτερία· διὸ καὶ μετὰ τοσαύτης ἀπήγετο τιμῆς.*

«Ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη», καθάπερ ἐν μνήμα-

11. Ἐκκλ. 7,40.
12. Παρ. 24,27.
13. Λουκᾶ 19,8.

ἡμέρα ἐκείνη ποὺ πρόκειται νὰ βγοῦν καὶ νὰ ὁδηγηθοῦν στὶς πόρτες τοῦ δικαστῆ καὶ στέκονται μπροστὰ στὰ κάγκελλα καὶ ἀκοῦν ἀπὸ μέσα τὴ φωνὴ ἐκείνου ποὺ θὰ τοὺς κρίνη, καὶ παγώνουν ἀπὸ τὸ φόβο, καὶ δὲν εἶναι καθόλου καλύτερα ἀπὸ τοὺς νεκρούς· ἔτσι καὶ ἡ ψυχή, πάρα πολὺ βέβαια ὑποφέρει καὶ στενοχωρεῖται καὶ κατὰ τὸν καιρο τῆς ἁμαρτίας, πολὺ περισσότερο ὅμως ὅταν πρόκειται ν' ἀποσπασθῆ ἀπὸ ἐδῶ καὶ νὰ μεταφερθῆ ἐκεῖ.

3. Σιωπᾶτε ἀκούγοντας αὐτά; Σᾶς εὐχαριστῶ πολὺ περισσότερο γι' αὐτὴ τὴ σιωπή, παρὰ γιὰ τὰ χειροκροτήματα· διότι τὰ χειροκροτήματα καὶ οἱ ἔπαινοι κάνουν ἐμένα λαμπρότερο, ἐνῶ αὐτὴ ἡ σιωπὴ κάνει ἐσᾶς πιὸ συνετούς. Γνωρίζω, ὅτι σᾶς στενοχωροῦν αὐτὰ ποὺ λέγω, ὅμως ἔχουν μεγάλο καὶ ἀπερίγραπτο κέρδος. Ὁ πλούσιος ἐκεῖνος, ἐὰν εἶχε κάποιον νὰ τοῦ δίνη τέτοιες συμβουλές, ὄχι ὅμως κόλακες, ποὺ τὸν συμβούλευαν ὅλα ὅσα τὸν εὐχαριστοῦσαν καὶ τὸν ὡδηγοῦσαν στὴν ἀσέλγεια, δὲν θὰ ἔφτανε σ' ἐκείνη τὴν κόλασι, δὲν θὰ ὑπέμενε τ' ἀφόρητα βασανιστήρια, δὲν θὰ μετανοοῦσε στὴ συνέχεια ἀπαρηγόρητα· ἀλλ' ἐπειδὴ ὅλοι τοῦ ἔλεγαν τὰ εὐχάριστα, τὸν παρέδωσαν στὴ φωτιά. Μακάρι νὰ συνέβαινε πάντοτε καὶ διαρκῶς νὰ τὰ σκεφτώμαστε αὐτὰ καὶ νὰ μιλοῦμε γιὰ τὴν κόλασι. Διότι λέγει, «σὲ ὅλα τὰ λόγια σου νὰ θυμᾶσαι τὸ τέλος σου καὶ δὲν θ' ἁμαρτήσης στὸν αἰῶνα»[11]. Καὶ πάλι· «ἑτοίμαζε τὰ ἔργα σου γιὰ τὸ τέλος σου, καὶ νὰ ἑτοιμάζεσαι γιὰ τὸν δρόμο»[12].

Ἐὰν ἅρπαξες κάτι ἀπὸ κανέναν, ἐπέστρεψέ το, καὶ πὲς σὰν τὸν Ζακχαῖο· «ἐπιστρέφω στὸ τετραπλάσιο ἐκεῖνα ποὺ ἅρπαξα»[13]· ἐὰν κάποιον συκοφάντησες, ἐὰν ἔγινες ἐχθρὸς κάποιου, συμφιλιώσου πρὶν ἀπὸ τὸ δικαστήριο. Ὅλα ἐδῶ διάλυσέ τα, γιὰ νὰ δῆς ἐκεῖνο τὸ βῆμα χωρὶς προβλήματα. Ὅσο εἴμαστε ἐδῶ ἔχουμε καλὲς ἐλπίδες· ὅταν ὅμως πᾶμε ἐκεῖ, δὲν θὰ εἴμαστε κύριοι τῆς μετανοίας, οὔτε θὰ μποροῦμε νὰ ξεπλύνουμε τὶς ἁμαρτίες μας. Γι' αὐτὸ πρέπει συνεχῶς νὰ ἑτοιμαζώμαστε ἀπὸ ἐδῶ, γιὰ τὴν ἔξοδό μας πρὸς τὰ ἐκεῖ. Διότι τί θὰ συμβῆ ἂν ἀποφασίση ὁ Κύριος νὰ μᾶς καλέση απόψε; τί ἂν αὔριο; Εἶναι ἄγνωστο τὸ μέλλον, γιὰ νὰ ἀγωνιζώμαστε διαρκῶς καὶ νὰ εἴμαστε ἕτοιμοι γιὰ τὸ ταξίδι ἐκεῖνο, ὅπως ἀκριβῶς ὁ Λάζαρος αὐτὸς διαρκῶς ὑπέμενε καὶ καρτεροῦσε· γι' αὐτὸ καὶ μὲ τόση τιμὴ τὸν ὡδηγοῦσαν.

Ὅμως πέθανε καὶ ὁ πλούσιος καὶ τάφηκε, σὰν νὰ ἦταν κατα-

*τι τῷ σώματι τῆς ψυχῆς αὐτοῦ κατορωρυγμένης καὶ τάφον περιφερούσης τὴν σάρκα. Ὥσπερ γὰρ ἁλύσει τινί, τῇ μέθῃ καὶ τῇ γαστριμαργίᾳ πεπεδημένος, οὕτως ἄπρακτον αὐτὴν καὶ νεκρὰν εἰργάσατο. Μὴ ἁπλῶς παραδράμῃς, ἀγαπητέ, τό, «ἐτάφη»· ἀλλ' ἐνταῦθα
5 μοι νόει τὰς τραπέζας τὰς περιηργυρωμένας, τὰς κλίνας, τοὺς τάπητας, τὰ ἐπιβλήματα, τὰ ἄλλα τὰ κατὰ τὴν οἰκίαν ἅπαντα, τὰ μύρα, τὰ ἀρώματα, τὸν πολὺν ἄκρατον, τῶν ἐδεσμάτων τὰς ποικιλίας, τὰ καρυκεύματα, τοὺς μαγείρους, τοὺς κόλακας, τοὺς δορυφόρους, τοὺς οἰκέτας, τὴν ἄλλην ἅπασαν φαντασίαν κατασβεσμένην
10 καὶ καταμαρανθεῖσαν. Πάντα σποδός, πάντα τέφρα καὶ κόνις, θρῆνοι καὶ ὀδυρμοί, οὐδενὸς δυναμένου βοηθῆσαι λοιπόν, οὐδ' ἀπελθοῦσαν ἐπαναγαγεῖν τὴν ψυχήν. Τότε ἡ δύναμις ἠλέγχετο τοῦ χρυσίου καὶ τῆς πολλῆς περιουσίας.*

*Ἐκ γὰρ τοσαύτης θεραπείας γυμνὸς καὶ μόνος ἀπήγετο, οὐ-
15 δὲν ἐκ τῆς τοσαύτης εὐπορίας ἀπενεγκεῖν ἐντεῦθεν δυνάμενος, ἀλλ' ἔρημος, ἀπροστάτευτος ἀπήγετο· οὐδεὶς τῶν θεραπευσάντων, οὐδεὶς τῶν βοηθησάντων παρῆν ἐξαιρησόμενος τῆς κολάσεως καὶ τῆς τιμωρίας, ἀλλὰ πάντων ἐκείνων ἀποσπασθείς, μόνον ἀπελαμβάνετο τὰς ἀφορήτους ὑπομένειν τιμωρίας. Ὄντως, «πᾶσα σὰρξ
20 ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα». Ἦλθεν ὁ θάνατος, καὶ πάντα ἔσβεσεν ἐκεῖνα· καὶ καθάπερ αἰχμάλωτον λαβών, οὕτως ἀπήγαγε κάτω κύπτοντα, αἰσχύνης γέμοντα, ἀπαρρησίαστον, τρέμοντα, δεδοικότα ὥσπερ ἐν
25 ὀνείροις ἀπολαύσαντα τῆς τρυφῆς ἐκείνης ἁπάσης· καὶ λοιπὸν ἱκέτης ὁ πλούσιος τοῦ πένητος ἐγίνετο, καὶ τῆς τούτου τραπέζης ἐδεῖτο, τοῦ λιμώττοντός ποτε καὶ τοῖς στόμασι τῶν κυνῶν προκειμένου· καὶ τὰ πράγματα μετεβάλλετο, καὶ ἐμάνθανον ἅπαντες, τίς ἦν ὁ πλούσιος καὶ τίς ἦν ὁ πένης, καὶ ὅτι ὁ μὲν Λάζαρος πάντων ἦν
30 εὐπορώτερος, οὗτος δὲ πάντων πενέστερος.*

Καθάπερ γὰρ ἐν σκηνῇ προσωπεῖα βασιλέων καὶ στρατηγῶν καὶ ἰατρῶν καὶ ῥητόρων καὶ σοφιστῶν καὶ στρατιωτῶν λαμβάνοντες εἰσέρχονταί τινες, οὐδὲ τούτων ὄντες αὐτοί, οὕτω δὴ καὶ ἐπὶ τοῦ παρόντος βίου καὶ πενία καὶ πλοῦτος προσωπεῖα μόνον εἰσίν.

14. Ἠσ. 40,6–8.

χωνιασμένη ἡ ψυχή του μέσα στὸ σῶμα του, ὅπως σὲ μνῆμα, καὶ περιέφερε σὰν τάφο μαζί της τὴν σάρκα. Διότι δεμένος σὰν μὲ κάποια ἀλυσίδα μὲ τὴ μέθη καὶ τὴ γαστριμαργία, ἔτσι εἶχε κάνει ἄπρακτη καὶ νεκρὴ τὴν ψυχή. Μὴν προσπεράσης, ἀγαπητέ, ἔτσι ἁπλῶς τὸ «ἐτάφη», ἀλλὰ σκέψου ἐδῶ, σὲ παρακαλῶ, τὰ τραπέζια τὰ ἐπαργυρωμένα, τὰ κρεββάτια, τοὺς τάπητες, τὰ σκεπάσματα, ὅλα τὰ ἄλλα τοῦ σπιτιοῦ, τὰ μύρα, τὰ ἀρώματα, τὸ ἄφθονο καθαρὸ κρασί, τὶς ποικιλίες τῶν φαγητῶν, τὰ καρυκεύματα, τοὺς μαγείρους, τοὺς κόλακες, τοὺς σωματοφύλακες, τοὺς ὑπηρέτες, ὅλη τὴν ἄλλη πολυτέλεια κατασβησμένη καὶ καταμαραμένη. Ὅλα στάχτη, ὅλα τέφρα καὶ σκόνη, θρῆνοι καὶ ὀδυρμοί, χωρὶς νὰ μπορῆ κανεὶς νὰ βοηθήση, οὔτε νὰ ἐπαναφέρη τὴν ψυχὴ ποὺ ἔφυγε. Τότε φάνηκε ἡ δύναμις τοῦ χρυσοῦ καὶ τῆς πολλῆς περιουσίας.

Πράγματι μέσα ἀπὸ τὴν τόση μεγάλη περιποίησι ἀναχωροῦσε γυμνὸς καὶ μόνος, χωρὶς νὰ μπορῆ νὰ μεταφέρη μαζί του τίποτε ἀπὸ τὸν τόσο πλοῦτο, ἀλλ' ἔφευγε ἔρημος καὶ ἀπροστάτευτος. Κανεὶς ἀπ' ὅσους τὸν ὑπηρέτησαν, κανεὶς ἀπ' ὅσους τὸν βοήθησαν δὲν ἦταν παρών, γιὰ νὰ τὸν γλυτώσουν ἀπὸ τὴν κόλασι καὶ τὴν τιμωρία, ἀλλά, ἀφοῦ ἀποσπάσθηκε ἀπὸ ὅλους ἐκείνους, τὸν μετέφεραν μόνο γιὰ νὰ ὑπομείνη τὶς ἀφόρητες τιμωρίες. Ἀλήθεια, «κάθε ἄνθρωπος εἶναι σὰν τὸ χόρτο καὶ κάθε δόξα τοῦ ἀνθρώπου σὰν τὸ ἄνθος τοῦ χόρτου. Ξεράθηκε τὸ χόρτο καὶ τὸ ἄνθος του ἔπεσε· ὁ λόγος ὅμως τοῦ Κυρίου θὰ μένη στὸν αἰῶνα»[14]. Ἦλθε ὁ θάνατος καὶ ὅλα ἐκεῖνα τὰ ἔσβησε· καὶ παίρνοντάς τον σὰν αἰχμάλωτο, ἔτσι τὸν ὡδήγησε σκυμμένο κάτω, γεμᾶτο ντροπή, χωρὶς παρρησία, νὰ τρέμη, νὰ φοβᾶται, σὰν ν' ἀπήλαυσε ὅλη ἐκείνη τὴν τρυφὴ στὰ ὄνειρά του· καὶ μετὰ ὁ πλούσιος γινόταν ἱκέτης τοῦ φτωχοῦ, καὶ εἶχε ἀνάγκη ἀπὸ τὸ τραπέζι ἐκείνου, ποὺ ἄλλοτε πεινοῦσε καὶ ἦταν μπροστὰ στὰ στόματα τῶν σκυλιῶν· καὶ τὰ πράγματα ἄλλαξαν καὶ ἔμαθαν ὅλοι, ποιός ἦταν ὁ πλούσιος καὶ ποιός ἦταν ὁ φτωχὸς καὶ ὅτι ὁ Λάζαρος ἦταν πιὸ πλούσιος ἀπ' ὅλους, ἐνῶ αὐτὸς πιὸ φτωχὸς ἀπ' ὅλους.

Πραγματικά, ὅπως ἀκριβῶς στὴ σκηνὴ παρουσιάζονται μερικοὶ φορώντας προσωπεῖα βασιλέων καὶ στρατηγῶν καὶ ἰατρῶν καὶ ρητόρων καὶ σοφιστῶν καὶ στρατιωτῶν, χωρὶς νὰ εἶναι τίποτε ἀπὸ αὐτούς, ἔτσι λοιπὸν καὶ στὴν παροῦσα ζωὴ ἡ φτώχεια καὶ ὁ πλοῦτος εἶναι προσωπεῖα μόνο. Ὅπως δηλαδή, ἐνῶ κάθεσαι στὸ θέα-

Ὥσπερ οὖν ἐν τῷ θεάτρῳ καθήμενος, ἂν ἴδῃς τινὰ τῶν κάτω παιζόντων προσωπεῖον ἔχοντα βασιλέως, οὐ μακαρίζεις αὐτόν, οὐδὲ βασιλέα εἶναι νομίζεις, οὐδ' ἂν εὔξαιο γενέσθαι τοιοῦτος· ἀλλ' εἰδώς, ὅτι τῶν ἀγοραίων τίς ἐστι, σχοινοστρόφος τυχὸν ἢ χαλκοτύ-
5 *πος ἢ ἕτερόν τι τοιοῦτον, οὐ μακαρίζεις διὰ τὸ προσωπεῖον καὶ τὴν στολήν, οὐδ' ἀπὸ τούτων αὐτοῦ κρίνεις τὴν πολιτείαν, ἀλλὰ καταπτύεις αὐτοῦ διὰ τὴν ἄλλην εὐτέλειαν· οὕτω δὴ καὶ ἐνταῦθα, καθάπερ ἐν θεάτρῳ, τῷ κόσμῳ καθήμενος καὶ ἐπὶ σκηνῆς παίζοντας βλέπων, ἐπειδὰν ἴδῃς πλουτοῦντας πολλούς, μὴ πλουσίους ἀληθῶς*
10 *εἶναι νόμιζε, ἀλλὰ πλουσίων περικεῖσθαι προσωπεῖα.*

Καθάπερ γὰρ ἐκεῖνος ὁ ἐπὶ τῆς σκηνῆς τὸν βασιλέα καὶ τὸν στρατηγὸν ὑποκρινόμενος, πολλάκις οἰκέτης ὢν τυγχάνει, ἢ τῶν σῦκα καὶ βότρυς πωλούντων ἐπ' ἀγορᾶς· οὕτω δὴ καὶ οὗτος ὁ πλούσιος πολλάκις πάντων πενέστερος ὢν τυγχάνει. Ἂν γὰρ πε-
15 *ριέλῃς αὐτοῦ τὸ προσωπεῖον καὶ τὸ συνειδὸς ἀναπτύξῃς καὶ εἰς τὴν διάνοιαν εἰσέλθῃς, πολλὴν εὑρήσεις ἀρετῆς ἐκεῖ πενίαν, καὶ πάντων ἀτιμότερον ὄντα τῶν ἀνθρώπων. Ὥσπερ γὰρ ἐπὶ τῶν θεάτρων τῆς ἑσπέρας καταλαβούσης καὶ τῶν συγκαθημένων ἀναχωρησάντων, ἐξελθόντες ἔξω καὶ τὸ σχῆμα τῆς ὑποκρίσεως ἀποθέ-*
20 *μενοι, οἱ βασιλεῖς καὶ στρατηγοὶ πᾶσιν εἶναι δοκοῦντες φαίνονται λοιπὸν ὅπερ εἰσίν· οὕτω δὴ καὶ νῦν τοῦ θανάτου παραγενομένου καὶ τοῦ θεάτρου λυθέντος, τὰ τοῦ πλούτου προσωπεῖα καὶ τὰ τῆς πενίας ἀποθέμενοι πάντες, ἀπῆλθον ἐκεῖ· καὶ ἀπὸ τῶν ἔργων μόνον κρινόμενοι φαίνονται, τίνες μὲν ἀληθῶς πλούσιοι, τίνες δὲ πέ-*
25 *νητες, καὶ τίνες μὲν ἔντιμοι, τίνες δὲ ἄδοξοι.*

δ'. Πολλάκις γοῦν τῶν ἐνταῦθά τις πλουτούντων εὑρέθη πάντων ἐκεῖ πενέστερος ὤν, καθάπερ οὖν καὶ ὁ πλούσιος οὗτος. Ἐπειδὴ γὰρ ἡ ἑσπέρα κατέλαβε, τουτέστιν ὁ θάνατος, καὶ ἐκ τοῦ θεάτρου τῆς παρούσης ζωῆς ἐξῆλθε, καὶ τὸ προσωπεῖον ἀπέθετο,
30 *ὤφθη πάντων ἐκεῖ πενέστερος ὤν, καὶ οὕτω πένης, ὡς μηδὲ σταγόνος ὕδατος εἶναι κύριος, ἀλλ' ὑπὲρ ταύτης προσαιτεῖν, καὶ μηδ' αὐτῆς ἐπιτυχεῖν τῆς αἰτήσεως. Τί ταύτης τῆς πενίας πενέστερον γένοιτ' ἄν; Καὶ ἄκουε πῶς· ἐπάρας γὰρ τοὺς ὀφθαλμοὺς αὐτοῦ, φησὶ*

τρο, ἂν δῆς κάποιον ἀπὸ ἐκείνους ποὺ παίζουν κάτω νὰ ἔχη προσωπεῖο βασιλιᾶ, δὲν τὸν μακαρίζεις οὔτε πιστεύεις ὅτι εἶναι βασιλιᾶς καὶ οὔτε θὰ εὐχόσουν νὰ γίνης τέτοιος, ἀλλ' ἐπειδὴ γνωρίζεις, ὅτι εἶναι κάποιος ἀπὸ αὐτοὺς ποὺ συχνάζουν στὴν ἀγορά, ποὺ ἴσως πλέκει σχοινιὰ ἢ κατεργάζεται τὸν χαλκὸ ἢ κάτι ἄλλο τέτοιο, δὲν τὸν μακαρίζεις γιὰ τὸ προσωπεῖο καὶ τὴ στολή, οὔτε ἀπὸ αὐτὰ κρίνεις τὴ ζωή του, ἀλλὰ τὸν περιφρονεῖς γιὰ τὴν ἄλλη του εὐτέλεια· ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅπως ἀκριβῶς στὸ θέατρο, ὅταν κάθεσαι μὲ τὸν κόσμο καὶ βλέπεις νὰ παίζουν ἐπάνω στὴ σκηνή, ἐὰν δῆς πολλοὺς νὰ γίνωνται πλούσιοι, μὴ νομίζης ὅτι πραγματικὰ εἶναι πλούσιοι, ἀλλ' ὅτι φοροῦν προσωπεῖα πλουσίων.

Ὅπως δηλαδὴ ἐκεῖνος ποὺ ὑποδύεται τὸν βασιλιᾶ καὶ τὸν στρατηγὸ ἐπάνω στὴ σκηνή, συμβαίνει πολλὲς φορὲς νὰ εἶναι ὑπηρέτης, ἢ κάποιος ἀπὸ ἐκείνους ποὺ πουλοῦν σῦκα καὶ σταφύλια στὴν ἀγορά, ἔτσι λοιπὸν κι' αὐτὸς ὁ πλούσιος, πολλὲς φορὲς συμβαίνει νὰ εἶναι φτωχότερος ὅλων. Διότι, ἂν τοῦ ἀφαιρέσης τὸ προσωπεῖο καὶ ξεδιπλώσης τὴ συνείδησί σου καὶ μπῆς μέσα στὴ σκέψι του, θὰ βρῆς ἐκεῖ μεγάλη φτώχεια ἀρετῆς, καὶ ὅτι εἶναι ὁ πιὸ τιποτένιος ἀπ' ὅλους τοὺς ἀνθρώπους. Διότι, ὅπως στὰ θέατρα ὅταν βραδυάση καὶ οἱ θεατὲς ἔχουν φύγει, ἀφοῦ βγοῦν ἔξω καὶ βγάλουν το προσωπεῖο ποὺ φοροῦν, αὐτοὶ ποὺ σὲ ὅλους φαίνονται βασιλεῖς καὶ στρατηγοί, δείχνουν αὐτὸ ἀκριβῶς ποὺ εἶναι, ἔτσι λοιπὸν καὶ τώρα ποὺ ἔφθασε ὁ θάνατος καὶ διαλύθηκε τὸ θέατρο, τὰ προσωπεῖα τοῦ πλούτου καὶ τῆς φτώχειας ἀφοῦ τὰ ἔβγαλαν ὅλοι, ἀναχώρησαν γιὰ ἐκεῖ· καὶ κρινόμενοι ἀπὸ τὰ ἔργα τους μόνο, φαίνονται ποιοί μὲν εἶναι πραγματικὰ πλούσιοι καὶ ποιοί φτωχοί, ποιοί ἔντιμοι καὶ ποιοί τιποτένιοι.

4. Πολλὲς φορὲς λοιπὸν κάποιος ἀπὸ τοὺς ἐδῶ πλουσίους βρέθηκε ἐκεῖ νὰ εἶναι φτωχότερος ὅλων, ὅπως ἀκριβῶς καὶ αὐτὸς ὁ πλούσιος. Διότι, ὅταν τὸν κατέλαβε τὸ βράδυ, δηλαδὴ ὁ θάνατος, καὶ βγῆκε ἀπὸ τὸ θέατρο τῆς παρούσας ζωῆς, καὶ ἔβγαλε τὸ προσωπεῖο, φάνηκε ἐκεῖ ὅτι εἶναι φτωχότερος ὅλων, καὶ τόσο φτωχός, ὥστε νὰ μὴν ἔχη οὔτε μιὰ σταγόνα νερό, ἀλλὰ γι' αὐτὴν νὰ παρακαλῆ ἐπίμονα, χωρὶς νὰ ἐκπληρώνεται οὔτε αὐτὴ ἡ αἴτησίς του. Ποιά φτώχεια θὰ ἦταν χειρότερη ἀπ' αὐτήν; Καὶ ἄκουε πῶς. Διότι λέγει, «σήκωσε τὰ μάτια του πρὸς τὸν Ἀβραὰμ καὶ τοῦ λέγει· 'πάτερ, λυ-

πρὸς τὸν Ἀβραάμ· «πάτερ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ ἐπιστάξῃ τῷ στόματί μου». Ὁρᾷς πόσον ἐστὶν ἡ θλῖψις; Πλησίον ὄντα παρέτρεχε, καὶ πόρρω γε ὄντα καλεῖ νῦν· ὃν πολλάκις εἰσιὼν τε καὶ ἐξιὼν οὐχ
5 *ἑώρα, τοῦτον μακρόθεν ὄντα μετ' ἀκριβείας βλέπει.*

Τίνος δὲ ἕνεκεν αὐτὸν ὁρᾷ; Πολλάκις ἴσως εἶπεν ὁ πλούσιος οὗτος· 'Τί μοι εὐλαβείας καὶ ἀρετῆς χρεία; πάντα μοι καθάπερ ἐκ πηγῶν ἐπιρρεῖ, πολλῆς ἀπολαύω τῆς ἀφθονίας, πολλῆς τῆς εὐημερίας, οὐδὲν ὑπομένω τῶν ἀδοκήτων· τίνος ἕνεκα μετέρχομαι ἀρε-
10 *τήν; Οὗτος ὁ πένης ἐν δικαιοσύνῃ καὶ εὐσεβείᾳ ζῶν, μυρία πάσχει δεινά'. Ταῦτα δὴ πολλοὶ καὶ νῦν πολλάκις λέγουσιν. Ἵν' οὖν πρόρριζα ταῦτα ἀνασπασθῇ τὰ κακὰ δόγματα, δείκνυσιν αὐτῷ, ὅτι καὶ τῇ κακίᾳ κόλασις κεῖται, καὶ τιμὴ καὶ στέφανος τοῖς ὑπὲρ τῆς εὐσεβείας πόνοις. Οὐ διὰ τοῦτο δὲ μόνον αὐτὸν εἶδεν, ἀλλ' ἵνα, ὅπερ*
15 *ἔπαθεν ὁ πένης, τοῦτο καὶ ὁ πλούσιος πάθῃ νῦν μετὰ μείζονος τῆς ὑπερβολῆς. Καθάπερ γὰρ ἐκείνῳ χαλεπωτέραν ἐποιεῖτο τὴν βάσανον τὸ ἐν τῷ πυλῶνι τοῦ πλουσίου κεῖσθαι καὶ ὁρᾶν τὰ ἀλλότρια ἀγαθά, οὕτω δὴ καὶ τούτῳ χαλεπωτέραν ἐποίει τὴν τιμωρίαν νῦν τὸ ἐν τῇ γεέννῃ κεῖσθαι καὶ ὁρᾶν τὴν τοῦ Λαζάρου τρυφήν, ἵνα μὴ*
20 *τῇ φύσει τῶν βασάνων μόνον, ἀλλὰ καὶ τῇ παραθέσει τῆς ἐκείνου τιμῆς ἀφορητοτέραν ἔχῃ τὴν κόλασιν.*

Καὶ καθάπερ τὸν Ἀδὰμ ἐκβάλλων τοῦ παραδείσου, καταντικρὺ τοῦ παραδείσου κατῴκισεν ὁ Θεός, ἵνα ἡ συνεχὴς ὄψις ἀνανεοῦσα τὸ πάθος, ἀκριβεστέραν αὐτῷ παράσχῃ τῆς ἐκπτώσεως τῶν
25 *ἀγαθῶν τὴν αἴσθησιν· οὕτω δὴ καὶ τοῦτον κατέναντι τοῦ Λαζάρου κατῴκισεν, ἵνα ἴδῃ τίνων ἑαυτὸν ἀπεστέρησεν. Ἔπεμψά σοι, φησίν, εἰς τὸν πυλῶνα τὸν πένητα Λάζαρον, ἵνα σοι γένηται διδάσκαλος ἀρετῆς καὶ φιλανθρωπίας ὑπόθεσις· παρεῖδες τὸ κέρδος, οὐκ ἠθέλησας εἰς δέον χρήσασθαι τῇ τῆς σωτηρίας ἀφορμῇ· χρήσῃ*
30 *λοιπὸν αὐτῷ εἰς μείζονα κολάσεως καὶ τιμωρίας ὑπόθεσιν.*

Ἀπὸ τούτων μανθάνομεν, ὅτι πάντες οἱ παρ' ἡμῶν ἐπηρεα-

15. Λουκᾶ 16,23–24.

πήσου με καὶ στεῖλε τὸν Λάζαρο, γιὰ νὰ βουτήξη τὴν ἄκρη τοῦ δακτύλου του στὸ νερὸ καὶ νὰ δροσίση τὸ στόμα μου»[15]. Βλέπεις πόση εἶναι ἡ θλῖψις του; Ὅταν ἦταν κοντά του τὸν προσπερνοῦσε, καὶ τώρα ποὺ εἶναι μακριά του τὸν καλεῖ· αὐτὸν ποὺ πολλὲς φορές, μπαίνοντας καὶ βγαίνοντας δὲν τὸν ἔβλεπε, αὐτὸν τώρα ποὺ εἶναι μακριὰ τὸν βλέπει μὲ πολὺ πόθο.

Καὶ γιὰ ποιό λόγο τὸν βλέπει; Ἴσως πολλὲς φορὲς εἶπε αὐτὸς ὁ πλούσιος· 'τί μοῦ χρειάζεται ἡ εὐλάβεια καὶ ἡ ἀρετή; ὅλα γιὰ μένα εἶναι σὰν νὰ τρέχουν ἀπὸ πηγές· ἀπολαμβάνω μεγάλη ἀφθονία ἀγαθῶν, πολλὴ εὐτυχία, δὲν ὑποφέρω καμμιὰ δυστυχία· γιὰ ποιό λόγο ν' ἀσκήσω τὴν ἀρετή; Αὐτὸς ὁ φτωχὸς ποὺ ζῆ μὲ δικαιοσύνη καὶ εὐσέβεια ὑποφέρει μύρια βάσανα'. Αὐτὰ βέβαια πολλοὶ πολλὲς φορὲς καὶ τώρα τὰ λένε. Γιὰ νὰ ξερριζωθοῦν λοιπὸν αὐτὲς οἱ κακὲς σκέψεις, τοῦ δείχνει, ὅτι καὶ γιὰ τὴν κακία ὑπάρχει τιμωρία, καὶ τιμὴ καὶ στέφανος γιὰ τοὺς κόπους ὑπὲρ τῆς εὐσεβείας. Καὶ δὲν τὸν εἶδε μόνο γι' αὐτό, ἀλλὰ γιὰ νὰ πάθη καὶ ὁ πλούσιος τώρα, σὲ μεγαλύτερο βαθμό, ἐκεῖνο ἀκριβῶς ποὺ ἔπαθε καὶ ὁ φτωχός. Διότι, ὅπως ἀκριβῶς σ' ἐκεῖνον ἔκαμνε φοβερώτερη τὴ δυστυχία τὸ ὅτι καθόταν στὴν ἐξώπορτα τοῦ πλουσίου καὶ ἔβλεπε τὰ ξένα ἀγαθά, ἔτσι λοιπὸν καὶ σ' αὐτὸν ἔκαμνε φοβερώτερη τὴν τιμωρία τώρα, τὸ νὰ βρίσκεται στὴν κόλασι καὶ νὰ βλέπη τὴν εὐτυχία τοῦ Λαζάρου, ὥστε νὰ ἔχη πιὸ ἀφόρητη τὴν τιμωρία, ὄχι μόνο ἐξ αἰτίας τοῦ εἴδους τῶν βασάνων, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς τιμῆς ποὺ ἀξιώθηκε ἐκεῖνος.

Καὶ ὅπως, ὅταν ἔδιωξε ὁ Θεὸς τὸν Ἀδὰμ ἀπὸ τὸν παράδεισο, τὸν παρήγγειλε νὰ κατοικῆ ἀπέναντι ἀπὸ τὸν παράδεισο, γιὰ νὰ τοῦ ἀνανεώνη τὴ λύπη ἡ ἀδιάκοπη θέα καὶ νὰ τοῦ δίνη μὲ μεγαλύτερη ἀκρίβεια τὴν αἴσθησι τῶν ἀγαθῶν ποὺ ἔχασε, ἔτσι λοιπὸν κι' αὐτὸν τὸν ἔβαλε νὰ κατοικῆ ἀπέναντι ἀπὸ τὸν Λάζαρο, γιὰ νὰ δῆ ἀπὸ ποιά ἀγαθὰ στέρησε τὸν ἑαυτό του. Σοῦ ἔστειλα, λέγει, μπροστὰ στὴν πόρτα σου τὸν φτωχὸ Λάζαρο, γιὰ νὰ σοῦ γίνη διδάσκαλος τῆς ἀρετῆς καὶ ἀφορμὴ γιὰ φιλανθρωπία· περιφρόνησες τὸ κέρδος, δὲν θέλησες νὰ χρησιμοποιήσης ὅπως ἔπρεπε τὴν ἀφορμὴ αὐτὴ τῆς σωτηρίας· θὰ σοῦ χρησιμεύση λοιπὸν τώρα ὡς ἀφορμὴ μεγαλύτερης κολάσεως καὶ τιμωρίας.

Ἀπὸ αὐτὰ μαθαίνουμε ὅτι ὅλοι ὅσοι ἀπὸ ἐμᾶς περιφρονοῦνται

ζόμενοι καὶ ἀδικούμενοι, κατὰ πρόσωπον ἡμῶν στήσονται τότε. Καίτοι οὗτος οὐδὲν ἠδίκητο παρὰ τοῦ πλουσίου· οὐ γὰρ τὰ ἐκείνου ἔλαβε χρήματα ὁ πλούσιος, ἀλλὰ τῶν ἑαυτοῦ οὐ μετέδωκεν. Εἰ δὲ τῶν ἑαυτοῦ μὴ μεταδιδούς, κατήγορον ἔχει τὸν οὐκ ἐλεηθέντα, ὁ
5 *καὶ τὰ ἀλλότρια ἁρπάσας, ποίας τεύξεται συγγνώμης, πανταχόθεν αὐτὸν περιεστώτων τῶν ἠδικημένων; Οὐ γὰρ μαρτύρων ἐκεῖ χρεία, οὐδὲ κατηγόρων, οὐδὲ ἀποδείξεων, οὐδὲ τεκμηρίων· ἀλλ' αὐτὰ καθ' ἑαυτὰ τὰ πράγματα, οἷαπερ αὐτὰ κατεσκευάσαμεν, πρὸ τῶν ὀφθαλμῶν φαίνεται τῶν ἡμετέρων. Ἰδοὺ γάρ, φησίν, ἄνθρω-*
10 *πος, καὶ τὰ ἔργα αὐτοῦ· καὶ γὰρ καὶ τοῦτο ἁρπαγὴ τὸ μὴ μεταδοῦναι τῶν ὄντων.*

Καὶ τάχα ὑμῖν θαυμαστὸν εἶναι δοκεῖ τὸ λεγόμενον, ἀλλὰ μὴ θαυμάσητε· μαρτυρίαν γὰρ ὑμῖν ἀπὸ τῶν θείων παρέξομαι Γραφῶν λέγουσαν, ὅτι οὐ τὸ τὰ ἀλλότρια ἁρπάζειν μόνον, ἀλλὰ καὶ τὸ τῶν
15 *ἑαυτοῦ μὴ μεταδιδόναι ἑτέροις, καὶ τοῦτο ἁρπαγὴ καὶ πλεονεξία καὶ ἀποστέρησίς ἐστι. Τίς οὖν ἐστιν αὕτη; Τοῖς Ἰουδαίος ἐγκαλῶν ὁ Θεος διὰ τοῦ προφήτου, φησίν· «ἐξήνεγκεν ἡ γῆ τὰ ἐκφόρια αὐτῆς, καὶ οὐκ εἰσηνέγκατε τὰ ἐπιδέκατα· ἀλλ' ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν». Ἐπειδὴ τὰς προσφοράς, φησί, τὰς εἰωθυίας*
20 *οὐκ ἐδώκατε, ἡρπάσατε τὰ τοῦ πένητος. Τοῦτο δὲ λέγει, δεικνὺς τοῖς πλουσίοις, ὅτι τὰ τῶν πενήτων ἔχουσι, κἂν πατρῷον διαδέξωνται κλῆρον, κἂν ὀθενδήποτε συλλέξωσι τὰ χρήματα. Καὶ πάλιν ἀλλαχοῦ λέγει· «μὴ ἀποστερήσῃς τὴν ζωὴν τοῦ πτωχοῦ»· ὁ δὲ ἀποστερῶν, τὰ ἀλλότρια ἀποστερεῖ· ἀποστέρησις γὰρ λέγεται, ὅταν*
25 *τὰ ἀλλότρια λαβόντες κατέχωμεν.*

Καὶ διὰ τούτου τοίνυν παιδευόμεθα, ὅτι ὅταν ἐλεημοσύνην μὴ παράσχωμεν, ἐν ἴσῳ τοῖς ἀποστεροῦσι κολασόμεθα. Δεσποτικὰ γάρ ἐστι τὰ χρήματα, ὅθεν ἂν αὐτὰ συλλέξωμεν· κἂν τοῖς δεομένοις αὐτὰ παρέξωμεν, πολλῆς ἐπιτευξόμεθα τῆς ἀφθονίας. Καὶ διὰ τοῦ-
30 *τό σοι πλείονα ἔχειν συνεχώρησεν ὁ Θεός, οὐχ ἵνα εἰς πορνείαν καὶ μέθην καὶ ἀδηφαγίαν καὶ ἱματίων πολυτέλειαν καὶ τὴν ἄλλην βλακείαν ἀναλώσῃς, ἀλλ' ἵνα τοῖς δεομένοις αὐτὰ διανείμῃς. Καθάπερ γὰρ ὑποδέκτης τις βασιλικὰ δεξάμενος χρήματα, ἂν ἀφεὶς οἷς ἂν κελεύηται διανεῖμαι, εἰς οἰκείαν καταναλώσῃ βλακείαν, εὐθύνας*

16. Μαλ. 3,10.
17. Ἐκκλ. 4,1.

καὶ ἀδικοῦνται, τότε θὰ σταθοῦν μπροστά μας. Ἂν καὶ βέβαια αὐτὸς δὲν ἀδικήθηκε ἀπὸ τὸν πλούσιο· διότι ὁ πλούσιος δὲν ἔλαβε τὰ χρήματά του, ἀλλὰ δὲν τοῦ ἔδωσε ἀπὸ τὰ δικά του. Καὶ ἐάν, ἐπειδὴ δὲν τοῦ ἔδωσε ἀπὸ τὰ δικά του, ἔχει κατήγορο αὐτὸν ποὺ δὲν ἐλέησε, αὐτὸς ποὺ ἅρπαξε καὶ τὰ ξένα, ποιᾶς συγγνώμης θὰ τύχη, ὅταν οἱ ἀδικημένοι ἀπὸ παντοῦ θὰ τὸν περιστοιχίζουν; Διότι ἐκεῖ δὲν χρειάζονται μάρτυρες, οὔτε κατήγοροι, οὔτε ἀποδείξεις, οὔτε τεκμήρια· ἀλλὰ αὐτὰ τὰ ἴδια τὰ πράγματα, ὅπως ἀκριβῶς ἐμεῖς τὰ ἑτοιμάσαμε, φαίνονται μπροστὰ στὰ μάτια μας. Διότι νά, λέγει, ὁ ἄνθρωπος καὶ τὰ ἔργα του. Καὶ αὐτὸ δηλαδὴ εἶναι ἁρπαγή, τὸ νὰ μὴν δίνης στὸν ἄλλον ἀπὸ τὰ δικά σου.

Καὶ ἴσως σᾶς φαίνεται παράξενο αὐτὸ ποὺ λέγω, ἀλλὰ μὴν ἐκπλήττεσθε· διότι θὰ σᾶς φέρω μαρτυρία ἀπὸ τὶς θεῖες Γραφὲς ποὺ λέγει, ὅτι ὄχι μόνο τὸ νὰ ἁρπάξης τὰ ξένα, ἀλλὰ καὶ τὸ νὰ μὴ δίνης στοὺς ἄλλους ἀπὸ τὰ δικά σου καὶ αὐτὸ εἶναι ἁρπαγὴ καὶ πλεονεξία καὶ ἀποστέρησις. Ποιά λοιπὸν εἶναι αὐτή; Κατηγορώντας τοὺς Ἰουδαίους ὁ Θεὸς λέγει μέσω τοῦ προφήτη· «ἔδωσε ἡ γῆ τοὺς καρπούς της καὶ δὲν προσφέρατε τὴν δεκάτη· ἐνῶ βρίσκεται στὰ σπίτια σας ἐκεῖνο ποὺ στερήσατε ἀπὸ τὸν φτωχό»[16]. Ἐπειδή, λέγει, τὶς συνηθισμένες προσφορὲς δὲν τὶς δώσατε, ἁρπάξατε αὐτὸ ποὺ ἀνῆκε στὸν φτωχό. Καὶ αὐτὸ τὸ λέγει, γιὰ νὰ δείξη στοὺς πλουσίους ὅτι ἔχουν αὐτὰ ποὺ ἀνήκουν στοὺς φτωχούς, εἴτε πατρικὴ κληρονομιὰ δεχθοῦν, εἴτε ἀπὸ ὁπουδήποτε συγγεντρώσουν τὰ χρήματα. Καὶ πάλι ἀλλοῦ λέγει· «μὴ στερήσης ἀπὸ τὸν φτωχὸ αὐτὸ ποὺ χρειάζεται»[17]· κι' αὐτὸς ποὺ στερεῖ, τὰ ξένα στερεῖ· διότι ἀποστέρησις λέγεται, τὸ ὅτι πήραμε τὰ ξένα πράγματα καὶ τὰ κρατοῦμε.

Καὶ μὲ αὐτὸ λοιπὸν διδασκόμαστε, ὅτι, ὅταν δὲν ἐλεοῦμε, θὰ τιμωρηθοῦμε ἐξ ἴσου μὲ τοὺς καταχραστές. Διότι τὰ χρήματα εἶναι τοῦ Κυρίου, ἀπ' ὁπουδήποτε κι' ἂν τὰ συλλέξουμε, κι' ἂν τὰ δώσουμε στοὺς φτωχοὺς θὰ ἔχουμε μεγάλο κέρδος. Καὶ γι' αὐτὸ ἐπέτρεψε ὁ Θεὸς νὰ ἔχης ἐσὺ περισσότερα, γιὰ νὰ τὰ ξοδέψης ὄχι στὴν πορνεία καὶ στὴ μέθη καὶ στὴν πολυφαγία καὶ στὴν πολυτέλεια τῶν ἐνδυμάτων καὶ στὴν ἄλλη βλακεία, ἀλλὰ γιὰ νὰ τὰ μοιράσης σ' αὐτοὺς ποὺ τὰ ἔχουν ἀνάγκη. Διότι, ὅπως ἕνας ποὺ παραλαμβάνει βασιλικὰ χρήματα, ἂν ἀφήση ἐκείνους στοὺς ὁποίους ἔχει ἐντολὴ νὰ τὰ μοιράση καὶ τὰ ξοδέψη σὲ δική του ἀνοησία, θὰ λογοδοτήση καὶ θὰ

δίδωσι καὶ προσαπόλλυται· οὕτω δὴ καὶ ὁ πλούσιος, ὑποδέκτης τίς ἐστι τῶν τοῖς πένησιν ὀφειλομένων χρημάτων διανεμηθῆναι ἐπιταχθεὶς αὐτὰ διανέμειν τῶν ἑαυτοῦ συνδούλων τοῖς πενομένοις. Ἂν οὖν πλέον τι τῆς χρείας εἰς ἑαυτὸν ἀναλώσῃ τῆς ἀναγκαίας,
5 *χαλεπωτάτας ἐκεῖ δώσει τὰς εὐθύνας. Οὐ γάρ ἐστιν αὐτοῦ τὰ αὐτοῦ ἀλλὰ τῶν συνδούλων τῶν ἑαυτοῦ.*

ε'. Φειδώμεθα τοίνυν αὐτῶν ὡς ἀλλοτρίων, ἵνα γένηται ἡμέτερα. Πῶς δὲ αὐτῶν φεισόμεθα, ὡς ἀλλοτρίων; Ὅταν μὴ εἰς περιττὰς αὐτὰ ἀναλίσκωμεν χρείας, μηδὲ εἰς ἡμετέρας μόνον, ἀλλὰ ταῖς τῶν
10 *πενήτων αὐτὰ συμμερίζωμεν χερσί· κἂν εὔπορος ᾖς, πλέον δέ τι τῆς χρείας ἀναλίσκῃς, λόγον δώσεις τῶν ἐμπιστευθέντων σοι χρημάτων. Τοῦτο καὶ ἐπὶ τῶν οἰκιῶν γίνεται τῶν μεγάλων. Πολλοὶ γοῦν τὰ ταμεῖα τὰ ἑαυτῶν τοῖς οἰκέταις τοῖς ἑαυτῶν ἐνεπίστευσαν· ἀλλ' ὅμως οἱ πιστευθέντες ἐκεῖνοι φυλάττουσι τὰ δεδομένα,*
15 *καὶ οὐκ ἀποχρῶνται τοῖς ἐμπιστευθεῖσιν, ἀλλ' οἷς ἂν ὁ δεσπότης, καὶ ἡνίκα κελεύσῃ, διανέμουσι. Τοῦτο καὶ σὺ ποίησον. Καὶ γὰρ ἔλαβες ἑτέρων πλείονα καὶ ὑπεδέξω, οὐχ ἵνα αὐτὰ ἀναλώσῃς μόνος, ἀλλ' ἵνα καὶ ἑτέροις οἰκονόμος γένῃ καλός.*

Ἄξιον δὲ κἀκεῖνο ζητῆσαι, τί δήποτε οὐχὶ παρ' ἑτέρῳ δι-
20 *καίῳ τὸν Λάζαρον ὁρᾷ, ἀλλ' ἐν τοῖς κόλποις εἶδε τοῦ Ἀβραάμ. Φιλόξενος ἦν ὁ Ἀβραάμ· ἵν' οὖν καὶ οὗτος ἔλεγχος αὐτῷ γένηται τῆς μισοξενίας, διὰ τοῦτο αὐτὸν μετ' ἐκείνου βλέπει. Ἐκεῖνος γὰρ καὶ τοὺς παριόντας ἐθήρευε, καὶ εἰς τὴν οἰκίαν εἷλκεν εἴσω τὴν ἑαυτοῦ· οὗτος δὲ καὶ τὸν ἔσω κείμενον παρεώρα, καὶ θησαυρὸν τοσοῦτον*
25 *ἔχων καὶ σωτηρίας ὑπόθεσιν, παρέτρεχε καθ' ἑκάστην ἡμέραν, καὶ οὐκ ἐχρήσατο εἰς δέον τῇ τοῦ πένητος προστασίᾳ. Ἀλλ' οὐχ ὁ πατριάρχης τοιοῦτος, ἀλλὰ τοὐναντίον ἅπαν· πρὸ τῶν θυρῶν καθήμενος ἐσαγήνευε τοὺς παριόντας ἅπαντας, καὶ καθάπερ τις ἁλιεὺς ἀμφίβληστρον βάλλων εἰς τὴν θάλασσαν ἀνασπᾷ μὲν ἰχθύν, ἀνασπᾷ*
30 *δὲ καὶ χρυσίον πολλάκις καὶ μαργαρίτας· οὕτω δὴ καὶ οὗτος, σαγηνεύων ἀνθρώπους, ἡλίευσέ ποτε καὶ ἀγγέλους, καὶ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι μὴ εἰδώς. Ὅπερ οὖν καὶ Παῦλος ἐκπληττόμενος*

18. Γεν. 18,2.

θανατωθῆ, ἔτσι λοιπὸν καὶ ὁ πλούσιος, εἶναι σὰν ἕνας ποὺ εἰσπράττει τὰ λεφτὰ ποὺ πρέπει νὰ μοιραστοῦν στοὺς φτωχούς, κι' ἔχει πάρει ἐντολὴ νὰ τὰ μοιράση στοὺς φτωχοὺς συνδούλους του. Ἂν λοιπὸν ξοδέψη κάτι περισσότερο γιὰ τὸν ἑαυτό του ἀπ' ὅ,τι χρειάζεται, θὰ ὑποστῆ ἐκεῖ φοβερώτατες τιμωρίες. Διότι δὲν εἶναι δικά του τὰ δικά του, ἀλλὰ τῶν συνδούλων του.

5. Ἂς τὰ διαχειριζώμαστε λοιπὸν αὐτὰ σὰν ξένα, γιὰ νὰ γίνουν δικά μας. Καὶ πῶς θὰ τὰ διαχειρισθοῦμε, σὰν ξένα; Ὅταν δὲν τὰ ξοδεύουμε σὲ περιττὲς ἀνάγκες, οὔτε μόνο στὶς δικές μας, ἀλλὰ ὅταν τὰ διαμοιράζουμε στὰ χέρια τῶν φτωχῶν· κι' ἂν εἶσαι πλούσιος καὶ ξοδεύης κάτι περισσότερο ἀπὸ τὸ ἀναγκαῖο, θὰ λογοδοτήσης γιὰ τὰ χρήματα ποὺ σοῦ ἔχει ἐμπιστευθῆ. Αὐτὸ συμβαίνει καὶ στὰ μεγάλα σπίτια. Πολλοὶ δηλαδὴ τὰ ταμεῖα τους τὰ ἐμπιστεύθηκαν στοὺς ὑπηρέτες τους· ἀλλ' ὅμως οἱ διαχειριστὲς ἐκεῖνοι φυλάσσουν αὐτὰ ποὺ τοὺς ἔχουν δώσει καὶ δὲν καταχρῶνται αὐτὰ ποὺ τοὺς ἐμπιστεύθηκαν, ἀλλὰ τὰ διανέμουν σ' ἐκείνους ποὺ ὁ οἰκοδεσπότης θὰ διατάξη καὶ ὅταν διατάξη. Αὐτὸ κι' ἐσὺ νὰ κάνης. Διότι πῆρες πιὸ πολλὰ ἀπὸ τοὺς ἄλλους καὶ τὰ ἔλαβες, ὄχι γιὰ νὰ τὰ ξοδέψης μόνος σου, ἀλλὰ νὰ γίνης καὶ στοὺς ἄλλους καλὸς διαχειριστής.

Ἀξίζει ὅμως κι' ἐκεῖνο νὰ ἐρευνήσουμε, γιατί ἄραγε δὲν εἶδε τὸν Λάζαρο κοντὰ σ' ἕναν ἄλλον δίκαιο, ἀλλὰ τὸν εἶδε μέσα στὴν ἀγκαλιὰ τοῦ Ἀβραάμ; Ἦταν φιλόξενος ὁ Ἀβραάμ· γιὰ νὰ γίνη λοιπὸν καὶ αὐτὸς κατήγορος αὐτοῦ γιὰ τὴν ἀφιλοξενία του, τὸν βλέπει μαζὶ μ' ἐκεῖνον. Διότι ἐκεῖνος καὶ τοὺς περαστικοὺς ἔψαχνε νὰ βρῆ καὶ τοὺς ὡδηγοῦσε στὸ σπίτι του, ἐνῶ αὐτὸς ἀδιαφοροῦσε καὶ γι' αὐτὸν ποὺ βρισκόταν μέσα, καὶ ἐνῶ εἶχε τόσο θησαυρὸ καὶ ἀφορμὴ γιὰ σωτηρία, τὸν προσπερνοῦσε ἀδιάφορα κάθε ἡμέρα, καὶ δὲν χρησιμοποίησε ὅσο μποροῦσε τὴν προστασία τοῦ φτωχοῦ. Ὅμως ὁ πατριάρχης δὲν ἦταν τέτοιος, ἀλλὰ τελείως διαφορετικός· καθόταν μπροστὰ στὶς θύρες καὶ συνελάμβανε ὅλους τοὺς διερχομένους, καὶ ὅπως κάποιος ἁλιεύς, ρίχνοντας δίχτυ στὴ θάλασσα, ἀνασύρει συνήθως ψάρι, ὅμως ἀνασύρει πολλὲς φορὲς καὶ χρυσὸ καὶ μαργαριτάρια, ἔτσι λοιπὸν κι' αὐτός, ἁλιεύοντας ἀνθρώπους, κατώρθωσε νὰ ἁλιεύση κάποτε καὶ ἀγγέλους, καὶ τὸ ἀξιοθαύμαστο εἶναι αὐτό, ὅτι χωρὶς νὰ τὸ γνωρίζη[18]. Γι' αὐτὸ λοιπὸν νιώθοντας ἔκπληξι καὶ ὁ

παραινεῖ καὶ λέγει· «τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ γὰρ ταύτης ἔλαθόν τινες ξενίσαντες ἀγγέλους». Καὶ καλῶς εἶπεν, «ἔλαθον». Εἰ γὰρ εἰδὼς αὐτοὺς ὑπεδέξατο μετὰ τοσαύτης εὐνοίας, οὐδὲν μέγα καὶ θαυμαστὸν ἐποίησεν· ὁ δὲ πᾶς ἔπαινος, ὅτι ἀγνοῶν τί-
5 *νες οἱ παριόντες ἦσαν, καὶ ἀνθρώπους αὐτοὺς εἶναι νομίζων ἁπλῶς ὁδίτας, μετὰ τοσαύτης αὐτοὺς ἔνδον ἐκάλεσε τῆς προθυμίας.*

Καὶ σὺ τοίνυν, ἂν μέν τινα περιφανῆ καὶ λαμπρὸν ὑποδεξάμενος, πολλὴν ἐπιδείξῃ τὴν προθυμίαν, θαυμαστὸν οὐδὲν εἰργάσω· ἡ
10 *γὰρ ἀρετὴ τοῦ ξενισθέντος καὶ τὸν μισόξενον καταναγκάζει πολλάκις πᾶσαν εὔνοιαν ἐπιδείξασθαι· τὸ δὲ μέγιστον καὶ θαυμαστόν, ὅταν καὶ τοὺς τυχόντας καὶ τοὺς ἀπερριμμένους καὶ τοὺς εὐτελεῖς μετὰ πολλῆς δεχώμεθα τῆς εὐνοίας. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοὺς ποιοῦντας οὕτως ὑποδεχόμενος ἔλεγεν· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ*
15 *τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε». Καὶ πάλιν· «οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ Πατρὸς ὑμῶν, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων». Καὶ πάλιν· «ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ ριφῇ ἐν τῇ θαλάσσῃ». Καὶ πανταχοῦ πολὺς τῷ*
20 *Χριστῷ τῶν μικρῶν καὶ ἐλαχίστων ὁ λόγος.*

Ὅπερ οὖν καὶ ὁ Ἀβραὰμ εἰδώς, οὐκ ἐξήταζε τοὺς παριόντας τίνες εἶεν καὶ πόθεν, καθάπερ ἡμεῖς νῦν· ἀλλ' ἁπλῶς τοὺς παριόντας ὑπεδέχετο πάντας. Τὸν γὰρ φιλοφροσύνην ἐπιδεικνύμενον οὐκ εὐθύνας ἀπαιτεῖν δεῖ βίου, ἀλλὰ μόνον τὴν πενίαν διορθοῦν καὶ
25 *τὴν χρείαν πληροῦν. Μίαν ἔχει συνηγορίαν ὁ πένης, τὴν ἔνδειαν καὶ τὸ καθεστάναι ἐν χρείᾳ· μηδὲν αὐτὸν λοιπὸν ἀπαίτει πλέον, ἀλλὰ κἂν ἁπάντων ᾖ πονηρότατος καὶ τῆς ἀναγκαίας ἀπορῇ τροφῆς, λύσωμεν αὐτοῦ τὸν λιμόν. Οὕτω καὶ ὁ Χριστὸς ἐκέλευσε ποιεῖν, λέγων· «γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι*
30 *τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Λιμήν ἐστι τῶν ἐν ἀνάγκῃ ὁ ἐλεήμων· ὁ*

19. Ἑβρ. 15,2.
20. Ματθ. 25,40. 8,14.
21. Ματθ. 18,6.
22. Ματθ. 5,45.

Παῦλος, συμβουλεύει καὶ λέγει· «μὴ ξεχνᾶτε τὴ φιλοξενία· διότι χάρις σ' αὐτὴν μερικοί, χωρὶς νὰ τὸ ξέρουν, φιλοξένησαν ἀγγέλους»[19]. Καὶ σωστὰ εἶπε, «χωρὶς νὰ τὸ ξέρουν». Διότι, ἐὰν τὸ γνώριζε καὶ τοὺς ὑποδεχόταν μὲ τόση καλωσύνη, δὲν θὰ ἔκανε τίποτε μεγάλο καὶ ἀξιοθαύμαστο· ἐνῶ ὁ ἔπαινος ὅλος τοῦ ἀξίζει, ἐπειδή, ἐνῶ ἀγνοοῦσε ποιοί ἦταν ὁ διερχόμενοι, καὶ νομίζοντας ὅτι ἦταν ἁπλῶς ἄνθρωποι ὁδοιπόροι, μὲ τόση μεγάλη προθυμία τοὺς κάλεσε μέσα στὸ σπίτι του.

Κι' ἐσὺ λοιπόν, ἐὰν ὑποδεχθῆς κάποιον ἐπίσημο καὶ λαμπρὸ καὶ δείξης μεγάλη προθυμία, δὲν ἔκανες τίποτε ἀξιοθαύμαστο· διότι τὸ ἀξίωμα τοῦ φιλοξενουμένου ἐξαναγκάζει πολλὲς φορὲς καὶ τὸν ἀφιλόξενο νὰ δείχνη κάθε καλὴ διάθεσι. Ὅμως τὸ πιὸ ὑπέροχο καὶ ἀξιοθαύμαστο εἶναι ὅταν καὶ τοὺς τυχόντες καὶ τοὺς περιφρονημένους καὶ τοὺς εὐτελεῖς τοὺς δεχόμαστε μὲ πολλὴ καλωσύνη. Γι' αὐτὸ καὶ ὁ Χριστός, ὑποδεχόμενος αὐτοὺς ποὺ ἐνεργοῦν ἔτσι, ἔλεγε· «ἐφ' ὅσον τὸ κάνετε σ' ἕναν ἀπὸ αὐτοὺς τοὺς ἀδελφούς μου τοὺς ἐλαχίστους, σ' ἐμένα τὸ κάνατε». Καὶ πάλι· «ἔτσι δὲν εἶναι θέλημα τοῦ Πατέρα σας, νὰ χαθῆ ἕνας ἀπὸ τοὺς ἐλαχίστους αὐτούς»[20]. Καὶ πάλι· «ὅποιος σκανδαλίση ἕναν ἀπὸ τοὺς ἀσήμαντους αὐτούς, τοῦ συμφέρει νὰ κρεμάση μυλόπετρα γύρω ἀπὸ τὸν λαιμό του καὶ νὰ ριφθῆ στὴ θάλασσα[21]. Καὶ παντοῦ πολὺς λόγος γίνεται ἀπὸ τὸν Χριστὸ γιὰ τοὺς μικροὺς καὶ ἐλαχίστους.

Αὐτὸ λοιπὸν γνωρίζοντας καὶ ὁ Ἀβραάμ, δὲν ἐξήταζε τοὺς διερχομένους ποιοί ἦταν καὶ ἀπὸ ποῦ ἔρχονταν, ὅπως ἀκριβῶς ἐμεῖς τώρα· ἀλλὰ τοὺς δεχόταν ὅλους χωρὶς διάκρισι. Διότι αὐτὸς ποὺ δείχνει φιλικὴ διάθεσι δὲν πρέπει νὰ ζητᾶ νὰ δίνουν λόγο γιὰ τὴ ζωή τους, ἀλλὰ μόνο νὰ διορθώνη τὴ φτώχεια καὶ νὰ καλύπτη τὴν ἀνάγκη. Ἕναν λόγο συνηγορίας ἔχει ὁ φτωχός, τὴ φτώχεια καὶ τὸ ὅτι βρίσκεται σὲ ἀνάγκη· τίποτε λοιπὸν περισσότερο μὴν τοῦ ζητᾶς, ἀλλὰ κι' ἂν ἀκόμη εἶναι ὁ πιὸ κακὸς ἀπὸ ὅλους καὶ τοῦ λείπει ἡ ἀναγκαία τροφή, ἂς τὸν ἀπαλλάξουμε ἀπὸ τὴν πεῖνα. Αὐτὸ καὶ Χριστὸς παρήγγειλε νὰ κάνουμε λέγοντας· «γίνετε ὅμοιοι μὲ τὸν οὐράνιο Πατέρα σας, ὁ ὁποῖος ἀνατέλλει τὸν ἥλιο του γιὰ τοὺς κακοὺς καὶ τοὺς ἀγαθούς, καὶ βρέχει γιὰ τοὺς δικαίους καὶ τοὺς ἀδίκους»[22]. Εἶναι λιμάνι γιὰ ὅσους βρίσκονται σὲ ἀνάγκη ὁ ἐλεήμων· καὶ τὸ λιμάνι δέχεται ὅλους τοὺς ναυαγοὺς καὶ τοὺς ἀπαλλάσσει

δὲ λιμὴν τοὺς ναυαγίῳ περιπεσόντας ἅπαντας ὑποδέχεται, καὶ λύει τῶν κινδύνων· κἂν πονηροί, κἂν χρηστοί, κἂν ὁτιοῦν ὦσιν ὁ κινδυνεύοντες, εἴσω τῶν οἰκείων αὐτοὺς παραπέμπει κόλπων.

Καὶ σὺ τοίνυν, ὁρῶν ἐπὶ τῆς γῆς τῷ τῆς πενίας ναυαγίῳ περιπεσόντα τὸν ἄνθρωπον, μὴ δίκαζε, μηδὲ εὐθύνας ἀπαίτει, ἀλλὰ λῦσον τὴν συμφοράν. Τί σαυτῷ παρέχεις πράγματα; Ἀπήλλαξέ σε περιεργείας ἁπάσης καὶ πολυπραγμοσύνης ὁ Θεός. Πόσα ἔμελλον πολλοὶ λέγειν καὶ δυσχεραίνειν, εἰ προσέταξεν ὁ Θεὸς τὸν βίον μετὰ ἀκριβείας ἐξετάζειν, τὴν ἀνατροφήν, τὰ πεπραγμένα ἑκάστῳ περιεργάζεσθαι πρότερον, καὶ τότε ἐλεεῖν; Νυνὶ δὲ πάσης τοιαύτης ἀπηλλάγμεθα δυσκολίας. Τί οὖν περιττὰς ἐπισπώμεθα φροντίδας; Ἕτερόν ἐστι δικαστής, ἕτερον ἐλεήμων. Ἐλεημοσύνη διὰ τοῦτο λέγεται, ὅτι καὶ τοῖς ἀναξίοις διδόαμεν. Τοῦτο καὶ Παῦλος παραινεῖ ποιεῖν, λέγων, «ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῆτε, πρὸς πάντας μέν, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως».

Ἂν τοὺς ἀναξίους περιεργαζώμεθα καὶ πολυπραγμονῶμεν, οὐδὲ ἄξιοί ποτε ῥᾳδίως ἐμπεσοῦνται ἡμῖν· ἂν δὲ καὶ τοῖς ἀναξίοις παρέχωμεν, πάντως καὶ οἱ ἄξιοι καὶ οἱ πάντων ἐκείνων ἀντάξιοι εἰς τὰς ἡμετέρας ἥξουσι χεῖρας· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ μακαρίου γέγονεν Ἀβραάμ, ὃς οὐ περιεργαζόμενος, οὐδὲ πολυπραγμονῶν τοὺς παριόντας, ἐδυνήθη καὶ ἀγγέλους ὑποδέξασθαί ποτε. Τοῦτον καὶ ἡμεῖς ζηλώσωμεν, καὶ μετ' αὐτοῦ τὸν ἔγγονον τὸν ἐκείνου τὸν Ἰώβ. Καὶ γὰρ καὶ οὗτος τὴν τοῦ προγόνου μεγαλοψυχίαν μετὰ πάσης ἐμιμήσατο τῆς ἀκριβείας, καὶ διὰ τοῦτο ἔλεγεν· «ἡ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο»· οὐχὶ τῷ δεῖνι μὲν ἀνέῳκτο, ἑτέρῳ δὲ ἀπεκέκλειστο, ἀλλὰ πᾶσιν ἁπλῶς ἀνεῖτο.

στ'. *Οὕτω καὶ ἡμεῖς ποιῶμεν, παρακαλῶ, μηδὲν ἀκριβολογούμενοι πέραν τοῦ δέοντος. Ἀξία γὰρ τοῦ πένητος ἡ χρεία μόνον ἐστί· κἂν ὁστισοῦν μετὰ ταύτης ἔλθῃ πρὸς ἡμᾶς ποτε, μηδὲ περιεργαζώμεθα πλέον, οὐ γὰρ τῷ τρόπῳ παρέχομεν, ἀλλὰ τῷ ἀνθρώπῳ· οὐδὲ διὰ τὴν ἀρετὴν αὐτόν, ἀλλὰ διὰ τὴν συμφορὰν ἐλεῶμεν, ἵνα καὶ αὐτοὶ τοῦ Δεσπότου τὸν πολὺν ἔλεον ἐπισπασώμεθα ἵνα καὶ*

23. Γαλ. 6,9–10.
24. Ἰὼβ 31,32.

ἀπὸ τοὺς κινδύνους· καὶ εἴτε εἶναι κακοί, εἴτε εἶναι ἀγαθοί, εἴτε εἶναι ὁ,τιδήποτε ἄλλο αὐτοὶ ποὺ κινδυνεύουν, τοὺς δέχεται ὅλους μέσα στὴν ἀγκαλιά του.

Καὶ σὺ λοιπόν, ποὺ βλέπεις ἐπάνω στὴ γῆ τὸν ἄνθρωπο νὰ ἔχη πέσει στὸ ναυάγιο τῆς φτώχειας, μὴν τὸν καταδικάζῃς, οὔτε νὰ ζητᾶς ἀπολογίες, ἀλλ' ἐλευθέρωσέ τον ἀπὸ τὴ συμφορά. Γιατί δημιουργεῖς δυσκολίες στὸν ἑαυτό σου; Σὲ ἀπάλλαξε ἀπὸ κάθε περιέργεια ὁ Θεὸς καὶ δυσκολία. Πόσα ἐπρόκειτο πολλοὶ νὰ λένε καὶ νὰ ὑποφέρουν, ἐὰν διέτασσε ὁ Θεὸς νὰ ἐξετάζουμε μὲ ἀκρίβεια τὴ ζωή, τὴν κατοικία, νὰ ἐρευνοῦμε προηγουμένως τοῦ καθενὸς τὰ ἔργα καὶ τότε νὰ ἐλεοῦμε; Τώρα ὅμως εἴμαστε ἀπαλλαγμένοι ἀπὸ ὅλη αὐτὴ τὴ δυσκολία. Γιατί λοιπὸν φορτώνουμε τὸν ἑαυτό μας μὲ τέτοιες φροντίδες; Ἄλλο πρᾶγμα εἶναι ὁ δικαστής, ἄλλο ὁ ἐλεήμων. Γι' αὐτὸ λέγεται ἐλεημοσύνη, ἐπειδὴ δίνουμε καὶ στοὺς ἀναξίους. Αὐτὸ καὶ ὁ Παῦλος συμβουλεύει νὰ κάνουμε λέγοντας· «ἐσεῖς ὅμως μὴν ἀποκάμετε νὰ κάνετε τὸ καλὸ πρὸς ὅλους, προπάντων ὅμως πρὸς τοὺς οἰκείους τῆς πίστεως»[23].

Ἂν ἐξετάζουμε μὲ λεπτομέρεια τοὺς ἀνάξιους καὶ συγκεντρώνουμε ὅλη τὴ φροντίδα μας σ' αὐτό, οὔτε ἄξιοι θὰ πέσουν ποτὲ εὔκολα στὰ χέρια μας· ἂν ὅμως καὶ στοὺς ἀνάξιους δίνουμε, ὁπωσδήποτε καὶ οἱ ἄξιοι καὶ οἱ πιὸ ἀντάξιοι ἀπ' ὅλους θὰ ἔλθουν στὰ χέρια μας, ὅπως ἔχει γίνει καὶ μὲ τὸν μακάριο Ἀβραάμ, ὁ ὁποῖος, μὴν ἐξετάζοντας οὔτε ἀσχολούμενος μὲ τὸ ποιοί ἦταν οἱ διαβάτες, μπόρεσε κάποτε καὶ ἀγγέλους νὰ ὑποδεχθῆ. Αὐτὸν κι' ἐμεῖς ἂς προσπαθήσουμε νὰ μιμηθοῦμε καὶ μαζὶ μ' αὐτόν, τὸν ἀπόγονό του, τὸν Ἰώβ. Διότι κι' αὐτὸς μὲ κάθε ἀκρίβεια μιμήθηκε τὴ μεγαλοψυχία τοῦ προγόνου του, γι' αὐτὸ καὶ ἔλεγε· «ἡ πόρτα μου σὲ κάθε ἕναν ποὺ ἦρθε ἦταν ἀνοιχτή»[24]. Δὲν ἦταν ἀνοιχτὴ γιὰ τὸν ἕναν καὶ κλειστὴ γιὰ τὸν ἄλλο, ἀλλὰ σὲ ὅλους ἀνεξαιρέτως ἦταν ἀνοιχτή.

6. Ἔτσι κι' ἐμεῖς ἂς κάνουμε, παρακαλῶ. Ἂς μὴν ἐξετάζουμε μὲ ἀκρίβεια τίποτε πέρα ἀπ' ὅ,τι χρειάζεται. Διότι ἀξία τοῦ φτωχοῦ εἶναι μόνο ἡ ἀνάγκη· κι' ἂν ὁποιοσδήποτε ποὺ ἔχει ἀνάγκη ἔλθη κάποτε πρὸς ἐμᾶς, ἂς μὴν ἐξετάζουμε τίποτε περισσότερο· διότι δὲν βοηθοῦμε τὸν χαρακτῆρα, ἀλλὰ τὸν ἄνθρωπο· οὔτε τὸν ἐλεοῦμε γιὰ τὴν ἀρετή του, ἀλλὰ γιὰ τὴ συμφορά του, γιὰ νὰ ἐπισύρουμε κι' ἐμεῖς τὸ πολὺ ἔλεος τοῦ Κυρίου, γιὰ νὰ ἐπιτύχουμε κι' ἐμεῖς, ἂν καὶ

αὐτοί, ἀνάξιοι ὄντες, φιλανθρωπίας ἐπιτύχωμεν. Εἰ γὰρ μέλλοιμεν τὴν ἀξίαν ἐπιζητεῖν ἐπὶ τῶν συνδούλων τῶν ἡμετέρων, καὶ ἀκριβολογεῖσθαι, τοῦτο καὶ ὁ Θεὸς ἐφ' ἡμῶν ἐργάσεται· καὶ ζητοῦντες τοὺς ὁμοδούλους ἀπαιτῆσαι εὐθύνας, αὐτοὶ τῆς ἄνωθεν ἐκπεσούμε-
5 *θα φιλανθρωπίας· «ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε», φησίν.*

Ἀλλ' ἐπὶ τὴν ὑπόθεσιν πάλιν τὸν λόγον ἐπαναγάγωμεν. Ἰδὼν τοίνυν αὐτὸν ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, φησί· «πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαον». Τίνος ἕνεκεν οὐχὶ πρὸς τὸν Λάζαρον τὸν λόγον ἀπέτεινεν; Ἐμοὶ δοκεῖ ὅτι ᾐσχύνθη καὶ ἠρυθρίασε
10 *καὶ ἐκ τῶν κατ' αὐτὸν πραγμάτων ἐνόμιζεν αὐτὸν μνησικακήσειν πάντως. Εἰ γὰρ ἐγώ, φησί, τοσαύτης ἀπολαύων εὐπορίας καὶ μηδὲν ἠδικημένος, ἐν τοσούτοις ὄντα κακοῖς ὑπερεῖδον τὸν ἄνθρωπον καὶ οὐδὲ ψιχίων μετέδωκα, πολλῷ μᾶλλον αὐτὸς ὁ οὕτως ὑπεροφθεὶς οὐκ ἐπινεύσει τῇ χάριτι. Ταῦτα οὐχὶ τοῦ Λαζάρου κα-*
15 *τηγοροῦντες λέγομεν· οὐ γὰρ δὴ οὕτως ἐκεῖνος διέκειτο, μὴ γένοιτο· ἀλλ' ὅτι οὗτος ταῦτα δεδοικώς, οὐκ ἐκάλεσεν ἐκεῖνον, ἀλλὰ τὸν Ἀβραὰμ ἐφώνησεν, ὃν ἀγνοεῖν ᾤετο τὰ γεγενημένα· καὶ τὸν δάκτυλον ἐπεζήτησεν ἐκεῖνον, ὃν ταῖς γλώσσαις τῶν κυνῶν ἀφῆκε περιλειχθῆναι πολλάκις.*

20 *Τί οὖν ἐκεῖνος; «Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου». Ὅρα φιλοσοφίαν, ὅρα φιλοστοργίαν δικαίου. Οὐκ εἶπεν, ''Ἀπάνθρωπε καὶ ὠμὲ καὶ παμπόνηρε, τοσαῦτα κακὰ διαθεὶς τὸν ἄνθρωπον, φιλανθρωπίας μέμνησαι νῦν καὶ ἐλέου καὶ συγγνώμης; οὐκ ἐρυθριᾷς, οὐδὲ αἰσχύνῃ;'' Ἀλλὰ τί; «Τέκνον», φησίν, «ἀπέλα-*
25 *βες τὰ ἀγαθά σου». «Ψυχὴν γὰρ κεκακωμένην μὴ προσταράξῃς», φησίν. Ἀρκεῖ τὰ τῆς τιμωρίας αὐτῷ· μὴ προσεπεμβαίνωμεν αὐτοῦ ταῖς συμφοραῖς. Ἄλλως δέ, καὶ ἵνα μὴ νομίσῃ, ὅτι μνησικακῶν ὑπὲρ τῶν παρελθόντων ἐκώλυσεν ἀπελθεῖν τὸν Λάζαρον, «τέκνον» αὐτὸν καλεῖ, μονονουχὶ ὑπὲρ ἑαυτοῦ διὰ τῆς προσηγορίας*
30 *ἀπολογούμενος. 'Οὐ κύριός εἰμι, σοί', φησί, 'μεταδίδωμι· τὸ δὲ ἐντεῦθεν ἀπελθεῖν ἐκεῖ οὐκ ἔστιν ἡμέτερον λοιπόν'.*

«Ἀπέλαβες τὰ ἀγαθά σου». Καὶ διὰ τί οὐκ εἶπεν, 'Ἔλαβες', ἀλλά, «ἀπέλαβες»; Πολὺ πέλαγος ἐντεῦθεν ἡμῖν νοημάτων ὁρῶ

25. Ματθ. 7,2.
26. Λουκᾶ 16,24.
27. Λουκᾶ 16,25.
28. Ἐκκλ. 4,3.

εἴμαστε ἀνάξιοι, τὴ φιλανθρωπία του. Διότι, ἐὰν φθάσουμε νὰ ἐξετάζουμε τὴν ἀξία τῶν συνδούλων μας, τὸ ἴδιο θὰ κάνη καὶ ὁ Θεὸς γιὰ μᾶς· καὶ ἔτσι, ζητώντας λογοδότησι ἀπὸ τοὺς ὁμοίους μας, θὰ χάσουμε ἐμεῖς τὴ φιλανθρωπία τοῦ Θεοῦ· διότι λέγει, «μὲ ὅποιο κριτήριο κρίνετε, θὰ κριθῆτε»[25].

Ἀλλὰ ἂς ἐπαναφέρουμε πάλι τὸν λόγο μας στὸ θέμα μας. Ὅταν λοιπὸν τὸν εἶδε στὴν ἀγκαλιὰ τοῦ Ἀβραάμ, εἶπε· «πάτερ Ἀβραάμ, ἐλέησέ με καὶ στεῖλε τὸν Λάζαρο»[26]. Γιὰ ποιόν λόγο δὲν ἀπηύθυνε τὸν λόγο πρὸς τὸν Λάζαρο; Ἐγὼ νομίζω ὅτι ντράπηκε καὶ κοκκίνισε καί, κρίνοντας ἀπὸ τὸν ἑαυτό του, νόμιζε ὅτι ὁπωσδήποτε θὰ τοῦ κρατᾶ κακία. Διότι, ἐὰν ἐγώ, λέγει, ποὺ ἀπολάμβανα τόση εὐτυχία, καὶ σὲ τίποτα δὲν ἀδικήθηκα, περιφρόνησα τὸν ἄνθρωπο ποὺ βρισκόταν σὲ τόσα κακὰ καὶ οὔτε ψίχουλα δὲν τοῦ ἔδωσα, πολὺ περισσότερο αὐτός, ποὺ τόσο περιφρονήθηκε, δὲν θὰ συγκατανεύση στὴν παράκλησί μου. Αὐτὰ δὲν τὰ λέμε γιὰ νὰ κατηγορήσουμε τὸν Λάζαρο· διότι ἐκεῖνος δὲν κατείχετο ἀπὸ τέτοιες σκέψεις, μὴ γένοιτο, ἀλλ' ἐπειδὴ ὁ πλούσιος αὐτὰ φοβήθηκε καὶ δὲν κάλεσε τὸν Λάζαρο, ἀλλὰ φώναξε τὸν Ἀβραάμ, γιὰ τὸν ὁποῖο πίστευε ὅτι ἀγνοοῦσε ἐκεῖνα ποὺ εἶχαν γίνει. Καὶ ζήτησε ἐκεῖνο τὸ δάχτυλο, τὸ ὁποῖο πολλὲς φορὲς ἄφησε νὰ τὸ γλύψουν οἱ γλῶσσες τῶν σκύλων.

Τί λοιπὸν εἶπε ἐκεῖνος; «Τέκνο μου, ἀπήλαυσες τὰ ἀγαθά σου στὴ ζωή σου»[27]. Πρόσεχε σύνεσι, πρόσεχε φιλοστοργία δικαίου. Δὲν εἶπε, 'ἀπάνθρωπε καὶ σκληρὲ καὶ παμπόνηρε, ἐνῶ ἄφησες σὲ τόσο μεγάλα κακὰ τὸν ἄνθρωπο, θυμᾶσαι τώρα τὴ φιλανθρωπία καὶ τὸ ἔλεος καὶ τὴ συγγνώμη; Δὲν κοκκινίζεις, δὲν ντρέπεσαι;' Ἀλλὰ τί λέγει; «Τέκνο μου», λέγει, «ἀπήλαυσες τὰ ἀγαθά σου». Διότι λέγει· «ψυχὴ ταλαιπωρημένη μὴν τὴν ταράξης ἄλλο»[28]. Τοῦ ἀρκοῦν οἱ τιμωρίες του· ἂς μὴν ἐπιβαρύνουμε τὶς συμφορές του. Ἐξ ἄλλου καὶ γιὰ νὰ μὴ νομίση ὅτι ἀπὸ μνησικακία γιὰ τὰ περασμένα δὲν ἄφησε τὸν Λάζαρο νὰ πάη, τὸν ὀνομάζει «τέκνο μου», ἀπολογούμενος κατὰ κάποιον τρόπο γιὰ τὸν ἑαυτό του, μὲ τὴν προσφώνησί του. Αὐτὸ ποὺ εἶναι στὴν ἐξουσία μου, λέγει, σοῦ τὸ δίνω, τὸ νὰ μεταβῆ ὅμως ἀπὸ ἐδῶ ἐκεῖ, δὲν εἶναι δικό μου.

«Ἀπήλαυσες τὰ ἀγαθά σου». Καὶ γιατί δὲν εἶπε, 'ἔλαβες', ἀλλὰ «ἀπέλαβες»; Ἐδῶ βλέπω νὰ ἀνοίγεται μεγάλο πέλαγος νοημά-

ἀνοιγόμενον. Διὸ δὴ πάντα τὰ εἰρημένα μετὰ ἀκριβείας φυλάξαντες, τά τε νῦν, τά τε πρώην λεχθέντα, μετὰ ἀσφαλείας ἁπάσης ἀποθώμεθα, καὶ πρὸς τὴν τῶν μελλόντων ῥηθήσεσθαι ἀκρόασιν ἐκ τῶν εἰρημένων ἐπιτηδειοτέρους ἑαυτοὺς κατασκευάσατε, καὶ εἰ μὲν δυ-
5 *νατὸν ὑμῖν γένοιτο, πάντα μοι μνημονεύετε· εἰ δὲ μὴ δύνασθε πάντα, ἀντὶ πάντων ἐκεῖνο, παρακαλῶ, μέμνησθε διηνεκῶς, ὅτι τὸ μὴ μεταδιδόναι πένησιν ἐκ τῶν οἰκείων χρημάτων, ἁρπαγὴ πενήτων ἐστὶ καὶ ἀποστέρησις τῆς ἐκείνων ζωῆς· καὶ οὐ τὰ ἡμέτερα, ἀλλὰ τὰ ἐκείνων κατέχομεν.*

10 *Ἂν γὰρ οὕτως ὦμεν διακείμενοι, πάντως προησόμεθα τὰ χρήματα, καὶ πεινῶντα θρέψαντες τὸν Χριστὸν ἐνταῦθα, καὶ πολλὴν ἐκεῖ τὴν ἐμπορίαν ἀποθέμενοι, δυνησόμεθα τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή,*
15 *κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

των. Γι' αὐτὸ λοιπόν, φυλάσσοντας μὲ ἀκρίβεια ὅλα ὅσα λέχθηκαν, καὶ αὐτὰ τώρα καὶ τὰ προηγούμενα ἀφοῦ τὰ διατηρήσουμε μὲ κάθε ἀσφάλεια, ἑτοιμάσατε μὲ αὐτὰ ποὺ λέχθηκαν πιὸ κατάλληλους τοὺς ἑαυτούς σας γιὰ ἀκρόασι αὐτῶν ποὺ θὰ ἐπακολουθήσουν, καὶ ἐὰν σᾶς εἶναι δυνατόν, ὅλα νὰ τὰ θυμᾶστε· ἀλλὰ ἐὰν δὲν μπορῆτε ὅλα, ἀντὶ ὅλων, ἐκεῖνο, σᾶς παρακαλῶ, νὰ θυμᾶστε διαρκῶς, ὅτι τὸ νὰ μὴν δίνουμε στοὺς φτωχοὺς ἀπὸ τὰ δικά μας χρήματα, εἶναι ἁρπαγὴ τῶν φτωχῶν καὶ στέρησις τῆς ζωῆς τους· καὶ ὄχι τὰ δικά μας, ἀλλὰ τὰ δικά τους κατακρατοῦμε.

Ἐὰν λοιπὸν ἔτσι σκεπτώμαστε, ἀσφαλῶς θὰ περιφρονήσουμε τὰ χρήματα, καὶ ἀφοῦ θρέψουμε τὸν πεινασμένο Χριστὸ ἐδῶ καὶ ἐναποθέσουμε πολλοὺς θησαυροὺς ἐκεῖ, θὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ τοῦ μέλλοντος, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμις, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΚΑΙ ΤΙΝΟΣ ΕΝΕΚΕΝ ΟΥΚ ΕΙΠΕΝ ΕΛΑΒΕΣ ΤΑ ΑΓΑΘΑ ΣΟΥ ΕΝ ΤΗι ΖΩΗι σου, ἀλλ' «ἀπέλαβες»· καὶ διὰ τί οἱ μὲν δίκαιοι κινδύνοις πολλάκις περιπίπτουσιν, οἱ δὲ ἁμαρτωλοὶ τούτους διαφεύγουσιν.

α'. Οὐ τὰ τυχόντα ἡμᾶς ὤνησεν ἡ κατὰ τὸν Λάζαρον παραβολή, καὶ πλουσίους καὶ πένητας, τοὺς μὲν εὐκόλως φέρειν τὴν πενίαν παιδεύσασα, τοὺς δὲ οὐκ ἀφιεῖσα μέγα φρονεῖν ἐπὶ τῷ πλούτῳ, ἀλλὰ δι' αὐτῶν τῶν ἔργων διδάξασα, ὅτι πάντων ἐλεεινότερος ὁ 5 τρυφῇ συζῶν καὶ μηδενὶ τῶν ὄντων μεταδιδούς. Φέρε οὖν καὶ σήμερον τῆς αὐτῆς πάλιν ἀψώμεθα ὑποθέσεως· ἐπεὶ καὶ οἱ τὰ μέταλλα ἐργαζόμενοι, ἔνθα ἂν ἴδωσι πολλὰς τοῦ χρυσίου τὰς ἶνας, ἐκεῖ διασκάπτουσι πάλιν, καὶ οὐκ ἀφίστανται πρότερον, ἕως ἂν ἅπαν τὸ φαινόμενον ἐξαντλήσωσιν. Ἐπανίωμεν τοίνυν, ἔνθα 10 πρώην κατελίπομεν τὸν λόγον, ἵνα ἐκεῖθεν αὐτὸν ἀνελώμεθα. Ἐνῆν μὲν γὰρ καὶ ἐν ἡμέρᾳ μιᾷ πᾶσαν ὑμῖν ταύτην ἐξαπλῶσαι τὴν παραβολήν· ἀλλ' οὐχ' ὅπως πολλὰ εἰπόντες ἀπέλθωμεν, τοῦτο ἐσπουδάκαμεν, ἀλλ' ὅπως μετὰ ἀκριβείας τὰ λεχθέντα δεξάμενοι καὶ κατασχόντες, λάβοιτέ τινα ἀπὸ τῆς φυλακῆς ταύτης αἴσθησιν 15 ὠφελείας πνευματικῆς. Καὶ γὰρ μήτηρ φιλόστοργος, μέλλουσα ἐπὶ στερεὰν τὸ γαλακτοτροφούμενον παιδίον ἄγειν τροφήν, ἂν μὲν ἀθρόον ἐγχέῃ τῷ στόματι τὸν ἄκρατον, οὐδὲν ὀνίνησιν, ἀποβλύζοντος τοῦ παιδίου τὸ διδόμενον καὶ διαβρέχοντος περὶ τῷ στήθει τὸν χιτωνίσκον· ἂν δὲ ἠρέμα καὶ κατὰ μικρὸν ἐγχέῃ, παραπέμπει τὸ 20 δοθὲν ἀλύπως.

Ἵν' οὖν καὶ ὑμεῖς τὸ δοθὲν μὴ ἀποβλύσητε, οὐκ ἀθρόον ὑμῖν ἐπεκλίναμεν τὸ τῆς διδασκαλίας ποτήριον, ἀλλ' εἰς πολλὰς

ΣΤΟΝ ΦΤΩΧΟ ΛΑΖΑΡΟ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

ΚΑΙ ΓΙΑΤΙ ΔΕΝ ΕΙΠΕ, 'ΕΛΑΒΕΣ ΤΑ ΑΓΑΘΑ ΣΟΥ ΣΤΗ ΖΩΗ ΣΟΥ', Ἀλλὰ «ἀπέλαβες»· ἐπίσης γιατί οἱ δίκαιοι κινδυνεύουν πολλὲς φορές, ἐνῶ οἱ ἁμαρτωλοὶ διαφεύγουν τοὺς κινδύνους.

1. Δὲν μᾶς ὠφέλησε λίγο ἡ παραβολὴ γιὰ τὸν Λάζαρο, καὶ πλουσίους καὶ φτωχούς, ἀφοῦ τοὺς φτωχούς τοὺς δίδαξε μὲ εὐκολία νὰ ὑπομένουν τὴ φτώχεια τους, ἐνῶ τοὺς πλουσίους δὲν τοὺς ἄφησε νὰ ὑπερηφανεύωνται γιὰ τὸν πλοῦτο τους, ἀλλὰ μᾶς δίδαξε μὲ τὰ ἴδια τὰ ἔργα, ὅτι αὐτὸς ποὺ ζῇ μὲ τρυφὴ καὶ δὲν δίνει σὲ κανέναν ἀπὸ τὰ ὑπάρχοντά του, εἶναι ὁ πιὸ ἐλεεινὸς ἀπ' ὅλους. Ἐμπρὸς λοιπὸν καὶ σήμερα ν' ἀσχοληθοῦμε μὲ τὴν ἴδια ὑπόθεσι· ἀφοῦ κι' αὐτοὶ ποὺ κατεργάζονται τὰ μέταλλα, ὅπου δοῦν ὅτι εἶναι πολλὲς οἱ φλέβες τοῦ χρυσοῦ, ἐκεῖ σκάβουν καὶ δὲν ἀπομακρύνονται προηγουμένως μέχρι ποὺ νὰ ἐξαντλήσουν ὅλο τὸ εὕρημα. Ἂς ἐπανέλθουμε λοιπὸν ἐκεῖ ὅπου σταματήσαμε τὸν λόγο, γιὰ νὰ τὸν συνεχίσουμε ἀπὸ ἐκεῖ. Ἦταν δυνατὸ βέβαια καὶ σὲ μιὰ ἡμέρα νὰ σᾶς ἀναλύσω ὅλη τὴν παραβολή· ἀλλὰ δὲν εἶναι ὁ σκοπός μου νὰ ποῦμε πολλὰ καὶ νὰ φύγουμε, ἀλλά, ἀφοῦ δεχθῆτε ὅλα ὅσα ἔχουν λεχθῆ μὲ προσοχὴ καὶ τὰ φυλάξετε μέσα σας καλά, νὰ λάβετε κάποια γεῦσι πνευματικῆς ὠφέλειας ἀπὸ τὴν τήρησι αὐτή. Διότι καὶ ἡ φιλόστοργη μητέρα, ὅταν πρόκειτια νὰ δώση στὸ γαλακτοτροφούμενο παιδί της στερεὰ τροφή, ἂν βάζη ἀπότομα στὸ στόμα του τὴν τροφή, δὲν τὸ ὠφελεῖ καθόλου, διότι τὸ παιδὶ βγάζει αὐτὸ ποὺ τοῦ δίνει καὶ λερώνει τὴν ποδίτσα ποὺ ἔχει μπροστὰ στὸ στῆθος του· ἂν ὅμως τὴν βάζη ἤρεμα καὶ λίγη–λίγη, τὸ ταΐζει χωρὶς κόπο.

Γιὰ νὰ μὴν ἀποβάλετε λοιπὸν καὶ ἐσεῖς αὐτὸ ποὺ σᾶς δόθηκε, δὲν ἔκλινα τὸ ποτήρι τῆς διδασκαλίας ἀπότομα σὲ σᾶς, ἀλλὰ

ὑμῖν αὐτὸ κατεκερματίσαμεν ἡμέρας, ἐν ταῖς μεταξὺ ταύταις ἡμέραις διαναπαύεσθαι παρασχόντες ὑμῖν ἐκ τοῦ τῆς ἀκροάσεως πόνου, ἵνα καὶ τὰ καταβληθέντα παγῇ μετὰ ἀσφαλείας ἐν τῇ διανοίᾳ τῆς ὑμετέρας ἀγάπης, καὶ τὰ ρηθήσεσθαι μέλλοντα ἀνειμένῃ καὶ
5 *ἀκμαζούσῃ δέξησθε ψυχῇ. Διὰ τοῦτο καὶ τὴν ὑπόθεσιν τῶν μελλόντων ρηθήσεσθαι πολλάκις ὑμῖν προλέγομεν πρὸ πολλῶν ἡμερῶν, ἵνα ἐν ταῖς μεταξὺ ταύταις ἡμέραις τὸ βιβλίον λαβόντες, καὶ τὴν περικοπὴν ἅπασαν ἐπιόντες, καὶ καταμαθόντες τί μὲν εἴρηται, τί δὲ ὑπολέλειπται, εὐμαθεστέραν ὑμῶν ποιήσητε τὴν διάνοιαν*
10 *πρὸς τὴν ἀκρόασιν τῶν μετὰ ταῦτα ρηθησομένων.*

Καὶ τοῦτο ἀεὶ παρακαλῶ καὶ παρκαλῶν οὐ παύσομαι, ἵνα μὴ μόνον ἐνταῦθα τοῖς λεγομένοις προσέχητε, ἀλλὰ καὶ οἴκοι γινόμενοι, τῇ τῶν θείων Γραφῶν ἀναγνώσει συνεχῶς ἐνδιατρίβητε. Τοῦτο καὶ τοῖς ἰδίᾳ συγγινομένοις ἡμῖν οὐ διέλιπον ἀεὶ παρεγγυῶν. Μὴ
15 *γάρ μοι λεγέτω τις τὰ ψυχρὰ ρήματα ἐκεῖνα καὶ πολλῆς καταγνώσεως ἄξια, ὅτι 'Δικαστηρίῳ προσήλωμαι, τὰ τῆς πόλεως πράττω πράγματα, τέχνην μετέρχομαι, γυναῖκα ἔχω, παιδία τρέφω, οἰκίας προΐσταμαι, ἀνήρ εἰμι βιωτικός· οὐκ ἔστιν ἐμὸν Γραφὰς ἀναγινώσκειν, ἀλλ' ἐκείνων τῶν ἀποταξαμένων, τῶν τὰς κορυφὰς τῶν*
20 *ὀρέων κατειληφότων, τῶν τοῦτον τὸν βίον ἐχόντων διηνεκῶς'. Τί λέγεις, ἄνθρωπε; οὐκ ἔστι σὸν ἔργον Γραφαῖς προσέχειν, ἐπειδὴ μυρίαις περιέλκῃ φροντίσι; Σὸν μὲν οὖν μᾶλλόν ἐστιν ἢ ἐκείνων. Οὐ γὰρ οὕτως ἐκεῖνοι χρήζουσι τῆς ἀπὸ τῶν θείων Γραφῶν βοηθείας, ὡς οἱ ἐν μέσῳ στρεφόμενοι πραγμάτων πολλῶν. Οἱ μὲν γὰρ*
25 *μοναχοὶ τῆς ἀγορᾶς καὶ τῶν ἐκ τῆς ἀγορᾶς ἀπαλλαγέντες θορύβων καὶ τὰς καλύβας ἐν ἐρημίᾳ πηξάμενοι καὶ πρὸς οὐδένα κοινὸν οὐδὲν ἔχοντες, ἀλλ' ἐμφιλοσοφοῦντες μετὰ ἀδείας τῇ τῆς ἡσυχίας ἐκείνης γαλήνῃ, καθάπερ ἐν λιμένι καθήμενοι, πολλῆς τῆς ἀσφαλείας ἀπολαύουσιν· ἡμεῖς δὲ οἱ καθάπερ ἐν μέσῳ πελάγει σαλεύον-*
30 *τες καὶ μυρίων ἁμαρτημάτων ἀνάγκας ἔχοντες, συνεχοῦς καὶ διηνεκοῦς ἀεὶ δεόμεθα τῆς ἀπὸ τῶν Γραφῶν παρακλήσεως.*

Ἐκεῖνοι πόρρω τῆς μάχης κάθηνται, διόπερ οὐδὲ πολλὰ δέχονται τραύματα· σὺ δὲ διηνεκῶς ἐπὶ τῆς παρατάξεως ἕστηκας, καὶ συνεχεῖς δέχῃ τὰς πληγάς· διὸ καὶ πλειόνων σοι δεῖ τῶν φαρ-

σᾶς τὸ μοίρασα σὲ πολλὲς ἡμέρες, στὸ διάστημα τῶν ὁποίων σᾶς ἔδωσα τὴν εὐκαιρία νὰ ἀναπαυθῆτε ἀπὸ τὸν κόπο τῆς ἀκροάσεως, γιὰ νὰ χωνευθοῦν καὶ ὅσα προσφέρθηκαν στὴ σκέψι τῆς ἀγάπης σας μὲ ἀσφάλεια, καὶ αὐτὰ ποὺ πρόκειται νὰ λεχθοῦν νὰ τὰ δεχθῆτε μὲ πρόθυμη καὶ σφριγηλὴ ψυχή. Γι' αὐτὸ καὶ τὴν ὑπόθεσι τῆς ἐπόμενης ὁμιλίας πολλὲς φορὲς σᾶς τὴν λέγω πρὶν ἀπὸ πολλὲς ἡμέρες, ὥστε στὸ διάστημα αὐτῶν τῶν ἡμερῶν νὰ πάρετε τὸ βιβλίο καὶ νὰ μελετήσετε μὲ προσοχὴ ὅλη τὴν περικοπή, καὶ ἀφοῦ κατανοήσετε τί ἔχει λεχθῆ καὶ τί ὑπολείπεται, νὰ κάνετε τὴ διάνοιά σας εὐκολώτερα νὰ κατανοήση τὴ διδασκαλία αὐτῶν ποὺ θὰ ἐπακολουθήσουν.

Καὶ αὐτὸ πάντα σᾶς τὸ παρακαλῶ, καὶ δὲν θὰ παύσω νὰ τὸ παρακαλῶ, γιὰ νὰ μὴ προσέχετε μόνο σ' αὐτὰ ποὺ λέγονται ἐδῶ, ἀλλὰ καὶ στὸ σπίτι εὑρισκόμενοι ν' ἀσχολῆσθε διαρκῶς μὲ τὴν ἀνάγνωσι τῶν θείων Γραφῶν. Αὐτὸ καὶ σὲ ὅσους κατ' ἰδίαν μὲ ἐπισκέπτονται, δὲν ἔπαψα πάντα νὰ τὸ συνιστῶ. Κι' ἂς μὴ μοῦ πῆ κάποιος τὰ ψυχρὰ ἐκεῖνα λόγια καὶ ἄξια πολλῆς κατακρίσεως, ὅτι 'εἶμαι ἀπασχολημένος στὸ δικαστήριο, ἐκτελῶ τὶς πολιτικές μου ὑποχρεώσεις, φροντίζω τὴ δουλειά μου, ἔχω γυναῖκα, συντηρῶ παιδιά, εἶμαι ἄνθρωπος μὲ βιωτικὲς φροντίδες· δὲν εἶναι δική μου δουλειὰ νὰ διαβάζω τὶς Γραφές, ἀλλ' ἐκείνων ποὺ ἀρνήθηκαν τὰ ἐγκόσμια, ποὺ ἔχουν καταλάβει τὶς κορυφὲς τῶν βουνῶν, αὐτῶν ποὺ ζοῦν διαρκῶς αὐτὴ τὴ ζωή'. Τί λές, ἄνθρωπε; Δὲν εἶναι δική σου δουλειὰ νὰ μελετᾶς τὶς Γραφές, ἐπειδὴ σὲ περιβάλλουν μύριες φροντίδες; Δικό σου ἔργο εἶναι μᾶλλον, παρὰ ἐκείνων. Διότι δὲν χρειάζονται τόσο ἐκεῖνοι τὴ βοήθεια ἀπὸ τὴ μελέτη τῶν θείων Γραφῶν, ὅσο αὐτοὶ ποὺ ζοῦν ἀνάμεσα σὲ πολλὰ πράγματα. Διότι οἱ μοναχοί, ἀπαλλαγμένοι ἀπὸ τὴν κοινωνία καὶ ἀπὸ τοὺς θορύβους τῆς κοινωνίας, ἀφοῦ ἔστησαν τὶς καλύβες τους στὴν ἔρημο, μὴ ἔχοντας τίποτε τὸ κοινὸ μὲ κανέναν, ἀλλ' ἀσκώντας τὴν ἀρετὴ μὲ ἀσφάλεια στὴ γαλήνη ἐκείνης τῆς ἡσυχίας, σὰν νὰ κάθωνται μέσα σὲ λιμάνι, ἀπολαμβάνουν μεγάλη ἀσφάλεια· ἐνῶ ἐμεῖς ποὺ διασαλευόμαστε σὰν μέσα στὸ πέλαγος τῆς θάλασσας καὶ ἔχουμε μύριες ἀνάγκες ἐξ αἰτίας τῶν ἁμαρτιῶν μας, χρειαζόμαστε τὴ συνεχῆ καὶ διαρκῆ παρηγοριὰ τῆς Γραφῆς.

Ἐκεῖνοι κάθονται μακριὰ ἀπὸ τὴ μάχη, γι' αὐτὸ καὶ δὲν δέχονται πολλὰ τραύματα· ἐνῶ ἐσὺ διαρκῶς βρίσκεται στὴ μάχη καὶ δέχεσαι συνεχῆ τὰ πλήγματα· γι' αὐτὸ καὶ χρειάζεσαι περισσότερα

μάκων. Καὶ γὰρ καὶ γυνὴ παροξύνει καὶ υἱὸς λυπεῖ καὶ οἰκέτης εἰς ὀργὴν ἐμβάλλει καὶ ἐχθρὸς ἐπιβουλεύει καὶ φίλος βασκαίνει καὶ γείτων ἐπηρεάζει καὶ συστρατιώτης ὑποσκελίζει, πολλάκις καὶ δικαστὴς ἀπειλεῖ καὶ πενία λυπεῖ καὶ ἀποβολὴ τῶν οἰκείων πένθος 5 ἐργάζεται καὶ εὐημερία φυσᾷ καὶ δυσπραγία συστέλλει καὶ πολλοὶ μὲν ὀργῆς, πολλαὶ δὲ φροντίδων, πολλαὶ δὲ ἀθυμίας καὶ λύπης, πολλαὶ δὲ κενοδοξίας καὶ ἀπονοίας ἀφορμαὶ καὶ ἀνάγκαι πάντοθεν ἡμᾶς περιστοιχίζονται, καὶ μυρία πανταχόθεν τὰ βέλη φέρεται· διὸ τῆς ἀπὸ τῶν Γραφῶν πανοπλίας χρεία διηνεκῶς. «Ἐπίγνωθι» 10 γάρ, φησίν, «ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς»[1]. Καὶ γὰρ αἱ τῆς σαρκὸς ἐπιθυμίαι χαλεπώτερον τῶν ἐν μέσῳ στρεφομένων κατεξανίστανται· καὶ γὰρ καὶ ὄψις εὐπρεπὴς καὶ σῶμα τῆς ἀκοῆς εἰσελθὸν ἐθορύβησεν ἡμῶν τὸν λογισμόν· πολλάκις δὲ καὶ μέλος κατακεκλασμένον τὸ τῆς ψυχῆς εὔ- 15 τονον κατεμάλαξε. Καὶ τί λέγω ταῦτα; Τὸ γὰρ πάντων τούτων εὐτελέστατον εἶναι πολλάκις δοκοῦν, μύρων ὀσμὴ προσπεσοῦσά ποθεν παρὰ γυναικῶν ἑταιριζομένων ἐν τῇ παρόδῳ, λαβοῦσα ἀπῆλθεν αἰχμάλωτον ἀπὸ ψιλῆς τῆς συντυχίας.

β'. Καὶ πολλὰ τοιαῦτά ἐστι τὰ πολιορκοῦντα τὴν ἡμετέραν ψυ- 20 χήν· καὶ δεῖ τῶν θείων φαρμάκων ἡμῖν, ἵνα καὶ τὰ γινόμενα ἕλκη θεραπεύωμεν, καὶ τὰ μηδέπω μὲν γινόμενα, μέλλοντα δὲ γίνεσθαι, προαναστέλλωμεν, πόρρωθεν τοῦ διαβόλου τὰ βέλη κατασβεννύντες καὶ ἀκρουόμενοι διὰ τῆς συνεχοῦς τῶν θείων Γραφῶν ἀναγνώσεως. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τινὰ σωθῆναι μὴ συνεχῶς 25 ἀναγνώσεως ἀπολαύοντα πνευματικῆς· ἀλλ' ὄντως ἀγαπητόν, εἰ καὶ διηνεκοῦς ταύτης ἀπολαύοντες τῆς θεραπείας, δυνηθείημεν σωθῆναί ποτε. Ὅταν δὲ καθ' ἑκάστην μὲν πληττώμεθα τὴν ἡμέραν, ἰατρείας δὲ μηδεμιᾶς ἀπολαύωμεν, ποία σωτηρίας ἐλπίς; Οὐχ ὁρᾷς τοὺς χαλκοτύπους, τοὺς χρυσοχόους, τοὺς ἀργυροκόπους, 30 τοὺς ἡντιναοῦν μετιόντας τέχνην, ἅπαντα τὰ τῆς τέχνης ἔχοντας ἀπηρτισμένα τὰ ἐργαλεῖα, κἂν λιμὸς ἀναγκάζῃ, κἂν πενία θλίβῃ,

1. Ἐκκλ. 9,20.

φάρμακα. Διότι καὶ ἡ γυναῖκα σου σὲ παροργίζει, καὶ ὁ γυιός σου σὲ στενοχωρεῖ, καὶ ὁ ὑπηρέτης σ' ἐξοργίζει, καὶ ὁ ἐχθρὸς σὲ ἐπιβουλεύεται, καὶ ὁ φίλος σὲ ζηλεύει, καὶ ὁ γείτονας σὲ κακολογεῖ, καὶ ὁ συστρατιώτης σὲ ὑπονομεύει· ἐπίσης πολλὲς φορὲς καὶ ὁ δικαστὴς σὲ ἀπειλεῖ καὶ ἡ φτώχεια σὲ λυπεῖ καὶ ὁ θάνατος τῶν συγγενῶν σοῦ φέρνει πένθος καὶ ἡ εὐτυχία σὲ κάνει ἐγωϊστὴ καὶ ἡ δυστυχία σὲ ντροπιάζει· ἀκόμη καὶ πολλὲς ἀφορμὲς ὀργῆς καὶ φροντίδων καὶ ἀκεφιᾶς καὶ λύπης καὶ κενοδοξίας καὶ ἀπογνώσεως καθὼς καὶ πολλὲς ἀνάγκες ἀπὸ παντοῦ μᾶς περιστοιχίζουν καὶ μᾶς χτυποῦν ἀποῦ παντοῦ μύρια βέλη· γι' αὐτὸ χρειαζόμαστε διαρκῶς τὴν πανοπλία τῶν Γραφῶν. Διότι λέγει, «μάθε το καλά, ὅτι περνᾶς μέσα ἀπὸ παγίδες καὶ παρπατᾶς ἐπάνω στὶς ἐπάλξεις τῶν πόλεων»[1]. Καὶ πράγματι οἱ ἐπιθυμίες τῆς σάρκας ἀγριώτερα ἐπαναστατοῦν ὅταν ζῇ κανεὶς μέσα στὴν κοινωνία· διότι καὶ τὸ ὡραῖο πρόσωπο καὶ τὸ θαυμάσιο σῶμα μᾶς πλήγωσαν μέσω τῶν ὀφθαλμῶν, καὶ ὁ αἰσχρὸς λόγος ποὺ μπῆκε ἀπὸ τὴν ἀκοὴ μᾶς τάραξε τὸν λογισμό· καὶ πολλὲς φορὲς ἕνα παθιασμένο τραγούδι χαλάρωσε τὴ δύναμι τῆς ψυχῆς. Ἀλλὰ γιατί τὰ λέω αὐτά; Διότι κι' αὐτὸ ποὺ φαίνεται ὅτι εἶναι τὸ πιὸ ἀσήμαντο ἀπὸ ὅλα, ἡ ὀσμὴ τοῦ μύρου ποὺ θὰ αἰσθανθοῦμαι κάπου ἀπὸ γυναῖκες ποὺ πορνεύουν στὸ δρόμο, πέρασε ἀφοῦ μᾶς αἰχμαλώτισε, κι' αὐτὸ ἐντελῶς στὴν τύχη.

2. Καὶ πολλὰ τέτοια ὑπάρχουν ποὺ πολιορκοῦν τὴν ψυχή μας· καὶ χρειαζόμαστε τὰ θεῖα φάρμακα, γιὰ νὰ θεραπεύουμε τὶς πληγὲς ποὺ μᾶς δημιουργοῦνται καὶ νὰ προλαβαίνουμε αὐτὲς ποὺ δὲν ἔγιναν ἀκόμη, πρόκειται ὅμως νὰ γίνουν, κατασβήνοντας ἀπὸ μακριὰ τὰ βέλη τοῦ διαβόλου καὶ ἀποκρούοντάς τα μὲ τὴν συνεχῆ μελέτη τῶν θείων Γραφῶν. Διότι δὲν εἶναι, δὲν εἶναι δυνατὸ νὰ σωθῇ κάποιος, χωρὶς ν' ἀπολαμβάνη διαρκῶς τὴν πνευματικὴ ἀνάγνωσι. Ἀλλὰ πραγματικὰ θὰ πρέπει νὰ τὸ ἐπιθυμοῦμε αὐτό, τὸ νὰ μπορέσουμε δηλαδὴ νὰ σωθοῦμε κάποτε, ἀπολαμβάνοντας τὴν διαρκῆ αὐτὴ ἀνάγνωσι. Ὅταν ὅμως κάθε ἡμέρα πληγωνώμαστε χωρὶς ν' ἀπολαμβάνουμε καμμιὰ θεραπεία, ποιά ἐλπίδα σωτηρίας θὰ ἔχουμε; Δὲν βλέπεις τοὺς χαλκουργούς, τοὺς χρυσοχόους, τοὺς ἀργυροκόπους, αὐτοὺς ποὺ ἐξασκοῦν ὁποιαδήποτε τέχνη, ὅτι ἔχουν συμπληρωμένα ὅλα τὰ ἐργαλεῖα, κι' ἂν τοὺς ἀναγκάζη ἡ πεῖνα, κι' ἂν τοὺς θλίβη ἡ φτώχεια, προτιμοῦν μᾶλλον ὅλα νὰ τὰ ὑπομένουν,

πάντα αἱρουμένους ὑπομεῖναι μᾶλλον, ἢ τῶν τῆς τέχνης ὀργάνων ἀποδόσθαι τι καὶ διατραφῆναι; Πολοὶ γοῦν πολλάκις δανείσασθαι μᾶλλον εἵλοντο καὶ διαθρέψαι καὶ τὴν οἰκίαν καὶ τὰ παιδία, ἢ τῶν τῆς τέχνης ἐργαλείων κἂν τὸ μικρότατον ἀποδόσθαι· καὶ μάλα γε
5 *εἰκότως. Ἴσασι γὰρ ὅτι, πραθέντων ἐκείνων, ἄχρηστα τὰ τῆς τέχνης αὐτοῖς ἅπαντα καὶ ἡ τῆς εὐπορίας ὑπόθεσις ἀνήρηται πᾶσα. Ἐκείνων μὲν γὰρ μενόντων, δυνατὸν τὰ γινόμενα δανείσματα χρόνῳ ποτὲ διαλύσασθαι τῇ τέχνῃ συνεχῶς χρωμένους· εἰ δὲ φθάνατες ἑτέροις αὐτὰ ἀπόδοιντο, οὐδεμίαν οὐκέτι παραμυθίαν τῇ*
10 *πενίᾳ καὶ τῷ λιμῷ ποθεν ἐπινοῆσαι δυνήσονται.*

Οὕτως οὖν καὶ ἡμᾶς διακεῖσθαι χρή. Καθάπερ γὰρ ἐκείνοις ἐργαλεῖα τῆς τέχνης ἐστὶ σφῦρα καὶ ἄκμων καὶ πυράγρα, οὕτω δὴ καὶ ἡμῖν ἐργαλεῖα τῆς τέχνης ἐστὶν ἀποστολικὰ καὶ προφητικὰ βιβλία καὶ πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος. Καὶ καθάπερ
15 *ἐκεῖνοι δι' ἐκείνων τὰ σκεύη πάντα, ἅπερ ἂν λάβωσι, διαπλάττουσιν, οὕτω δὴ καὶ ἡμεῖς διὰ τούτων τὴν ψυχὴν τὴν ἡμετέραν χαλκεύομεν καὶ διεστραμμένην διορθοῦμεν καὶ παλαιωθεῖσαν ἀνακαινίζομεν. Κἀκεῖνοι μὲν μέχρι τῶν σχημάτων τὴν ἑαυτῶν ἐπιδείκνυνται τέχνην· οὐ γὰρ δὴ τὴν ὕλην τῶν σκευῶν μεταβαλεῖν δύ-*
20 *ναιντ' ἄν, οὐδὲ τὸν ἄργυρον ποιῆσαι χρυσόν, ἀλλὰ τοὺς τύπους αὐτῶν μεταρρυθμίζουσι μόνον· σὺ δὲ οὐχ οὕτως, ἀλλ' ἔχεις τι πλέον ἐκείνων, καὶ ξύλινον σκεῦος λαβὼν δυνήσῃ ποτὲ χρυσοῦν ποιῆσαι. Καὶ τούτου μάρτυς ὁ Παῦλος, οὕτω λέγων· «ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ*
25 *ὀστράκινα. Ἐάν τις οὖν ἐκκαθάρῃ ἑαυτὸν ἐκ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον». Μὴ τοίνυν ἀμελῶμεν τῆς κτήσεως τῶν βιβλίων, ἵνα μὴ περὶ τὰ καίρια δεξώμεθα τὴν πληγήν, μηδὲ χρυσίον κατορύττωμεν, ἀλλὰ βιβλία θησαυρίζωμεν ἑαυτοῖς πνευματικά. Τὸ*
30 *μὲν γὰρ χρυσίον, ὅταν γένηται πλέον, τότε μάλιστα ἐπιβουλεύει τοῖς κεκτημένοις· τὰ δὲ βιβλία ἀποκείμενα πολλὴν παρέχει τοῖς ἔχουσι τὴν ὠφέλειαν.*

Ὥσπερ γὰρ ἔνθα ἂν ᾖ ἀποκείμενα ὅπλα βασιλικά, κἂν

2. Β' Τιμ. 3,16.
3. Β' Τιμ. 2,20–21.

παρὰ νὰ πουλήσουν κάποιο ἀπὸ τὰ ἐργαλεῖα τῆς τέχνης τους καὶ νὰ τραφοῦν; Πολλοὶ βέβαια προτίμησαν πολλὲς φορὲς νὰ δανεισθοῦν μᾶλλον γιὰ νὰ συντηρήσουν καὶ τὸ σπίτι καὶ τὰ παιδιά, παρὰ νὰ πουλήσουν καὶ τὸ πιὸ μικρὸ ἀπὸ τὰ ἐργαλεῖα τῆς τέχνης· καὶ πολὺ σωστά. Διότι γνωρίζουν ὅτι, ἐὰν πουληθοῦν ἐκεῖνα, θὰ εἶναι ἄχρηστα ὅλα τὰ τῆς τέχνη τους, καὶ θὰ ἔχη χαθῆ ὅλη ἡ εὐκαιρία γιὰ εὐπορία. Διότι, ἐὰν ἐκεῖνα μείνουν δικά τους, εἶναι δυνατὸ νὰ ἐξοφλήσουν μὲ τὸ πέρασμα τοῦ χρόνου τὰ δανεικά, μὲ τὴν συνεχῆ ἀξάσκησι τῆς τέχνης τους· ἐὰν ὅμως ἔφθαναν στὸ σημεῖο νὰ τὰ πουλήσουν, δὲν θὰ μποροῦσαν νὰ βροῦν καμμιὰ πιὰ παρηγοριὰ ἀπὸ πουθενὰ γιὰ τὴν φτώχεια καὶ τὴν πεῖνα τους.

Ἔτσι λοιπὸν πρέπει κι' ἐμεῖς νὰ κάνουμε. Διότι, ὅπως τὰ ἐργαλεῖα τῆς τέχνης τους γιὰ ἐκείνους εἶναι τὸ σφυρὶ καὶ τὸ ἀμόνι καὶ ἡ λαβίδα, ἔτσι καὶ σ' ἐμᾶς ἐργαλεῖα τῆς τέχνης εἶναι τὰ ἀποστολικὰ καὶ προφητικὰ βιβλία, καὶ κάθε θεόπνευστη καὶ ὠφέλιμη Γραφή[2]. Καὶ ὅπως ἐκεῖνοι διαπλάθουν μ' ἐκεῖνα ὅλα τὰ σκεύη ποὺ θὰ λάβουν, ἔτσι λοιπὸν κι' ἐμεῖς σφυρηλατοῦμε μ' αὐτὰ τὴν ψυχή μας, καὶ ὅταν εἶναι διαστρεβλωμένη τὴν διορθώνουμε, καὶ ὅταν φθείρεται τὴν ἀνανεώνουμε. Καὶ ἐκεῖνοι δείχνουν τὴν τέχνη τους μέχρι τὰ σχήματα, διότι δὲν θὰ μπορέσουν νὰ μεταβάλλουν τὴν ὕλη τῶν σκευῶν, οὔτε νὰ κάνουν τὸ ἀσήμι χρυσό, ἀλλὰ μόνο τὴ μορφή τους μεταβάλλουν, μὲ σένα ὅμως δὲν συμβαίνει τὸ ἴδιο, ἀλλ' ἔχεις κάτι περισσότερο ἀπὸ ἐκείνους καὶ θὰ μπορέσης κάποτε νὰ πάρης τὸ ξύλινο σκεῦος καὶ νὰ τὸ κάνης χρυσό. Καὶ μάρτυρας αὐτοῦ εἶναι ὁ Παῦλος ποὺ λέγει· «σ' ἕνα μεγάλο σπίτι δὲν ὑπάρχουν μόνο χρυσᾶ καὶ ἀργυρᾶ σκεύη, ἀλλὰ καὶ ξύλινα καὶ πήλινα. Ἐὰν λοιπὸν κάποιος ξεχωρίση ἐντελῶς τὸν ἑαυτό του ἀπὸ αὐτά, θὰ εἶναι σκεῦος γιὰ τιμητικὸ σκοπό, ἁγιασμένο καὶ εὔχρηστο στὸν Κύριο καὶ ἑτοιμασμένο γιὰ κάθε ἔργο ἀγαθό»[3]. Ἂς μὴν ἀδιαφοροῦμε λοιπὸν γιὰ τὴν ἀπόκτησι τῶν βιβλίων, γιὰ νὰ μὴν πληγωθοῦμε στὰ σπουδαιότερα, οὔτε νὰ θαύουμε τὸ χρυσάφι, ἀλλὰ νὰ θησαυρίζουμε γιὰ τὸν ἑαυτό μας πνευματικὰ βιβλία. Διότι ὁ χρυσός, ὅταν γίνη περισσότερος, τότε πιὸ πολὺ γίνεται αἰτία ἐπιβουλῆς γι' αὐτοὺς ποὺ τὸν ἔχουν· τὰ βιβλία ὅμως, ὅταν ὑπάρχουν, ὠφελοῦν πάρα πολὺ ἐκείνους ποὺ τὰ ἔχουν.

Ὅπως ἀκριβῶς δηλαδὴ ὅπου ὑπάρχουν ὅπλα βασιλικά, κι' ἂν

μηδεὶς ᾖ ὁ κεχρημένος, πολλὴν παρέχει τοῖς ἔνδον οἰκοῦσι τὴν φυλακήν, οὔτε λῃστῶν, οὔτε τοιχωρύχων, οὔτε ἄλλου τινὸς τῶν κακουργούντων τολμῶντος ἐπιβῆναι τῆς οἰκίας· οὕτως ἔνθα ἂν ᾖ βιβλία πνευματικά, πᾶσα ἐκεῖθεν ἐλαύνεται ἐνέργεια διαβολική, καὶ
5 *πολλὴ τοῖς ἐνοικοῦσιν ἀρετῆς παράκλησις γίνεται. Καὶ αὐτὴ γὰρ καθ' ἑαυτὴν τῶν βιβλίων ἡ ὄψις ὀκνηροτέρους ἡμᾶς πρὸς τὴν ἁμαρτίαν ἐργάζεται. Κἄν τε γὰρ τολμήσωμέν τι τῶν ἀπηγορευμένων, καὶ ἀκαθάρτους ἑαυτοὺς ἐργασώμεθα, ἐπανιόντες οἴκαδε, καὶ τὰ βιβλία ὁρῶντες, μᾶλλον ἡμῶν καταδικάζομεν τὸ συνειδός, καὶ*
10 *πρὸς τὸ τοῖς αὐτοῖς περιπεσεῖν ὀκνηρότεροι γινόμεθα· ἄν τε πάλιν ἐν ἁγιωσύνῃ διατελῶμεν, πλείονα ἐκεῖθεν λαμβάνομεν τὴν ὠφέλειαν. Ἅμα γὰρ ἥψατό τις Εὐαγγελίου, καὶ μετερρύθμισεν ἑαυτοῦ τὴν διάνοιαν εὐθέως, καὶ τῶν βιωτικῶν ἀπέστησε καὶ ἀπὸ τῆς ὄψεως μόνης αὐτῆς. Εἰ δὲ καὶ ἀνάγνωσις προσγένοιτο ἀκριβής,*
15 *καθάπερ ἐν ἱεροῖς ἀδύτοις ἡ ψυχὴ τελουμένη, οὕτως ἐκκαθαίρεται καὶ βελτίων γίνεται, τοῦ Θεοῦ ὁμιλοῦντος αὐτῇ διὰ τῶν γραμμάτων ἐκείνων.*

Τί οὖν, ἂν μὴ εἰδῶμεν τὰ ἐγκείμενα; φησί. Μάλιστα μὲν κἂν μὴ εἰδῇς τὰ ἐγκείμενα, ἀπ' αὐτῆς τῆς ἀναγνώσεως πολὺς ὁ ἁγια-
20 *σμὸς γίνεται. Ἄλλως δέ, ἀδύνατον πάντα ἐπ' ἴσης ἀγνοεῖν· διὰ γὰρ τοῦτο ἡ τοῦ Πνεύματος ᾠκονόμησε χάρις τελώνας καὶ ἁλιέας καὶ σκηνοποιοὺς καὶ ποιμένας καὶ αἰπόλους καὶ ἰδιώτας καὶ ἀγραμμάτους ταῦτα συνθεῖναι τὰ βιβλία, ἵνα μηδεὶς τῶν ἰδιωτῶν εἰς ταύτην ἔχῃ καταφεύγειν τὴν πρόφασιν, ἵνα πᾶσιν εὐσύνοπτα ᾖ τὰ λεγόμε-*
25 *να, ἵνα καὶ ὁ χειροτέχνης καὶ οἰκέτης καὶ ἡ χήρα γυνὴ καὶ ὁ πάντων ἀνθρώπων ἀμαθέστατος κερδάνῃ τε καὶ ὠφεληθῇ παρὰ τῆς ἀκροάσεως. Οὐ γὰρ πρὸς κενοδοξίαν, καθάπερ οἱ ἔξωθεν, ἀλλὰ πρὸς τὴν σωτηρίαν τῶν ἀκουόντων ταῦτα πάντα συνέθηκαν οἱ παρὰ τὴν ἀρχὴν καταξιωθέντες τῆς τοῦ Πνεύματος χάριτος.*

30 *γ'. Οἱ μὲν γὰρ ἔξωθεν φιλόσοφοι καὶ ῥήτορες καὶ συγγραφεῖς οὐ τὸ κοινῇ συμφέρον ζητοῦντες, ἀλλ' ὅπως αὐτοὶ θαυμασθεῖεν μόνον σκοποῦντες, εἴ τι καὶ χρήσιμον εἶπον, καὶ τοῦτο, καθάπερ ἐν ζόφῳ τινί, τῇ συνήθει ἀσαφείᾳ κατέκρυψαν. Οἱ δὲ ἀπόστολοι καὶ οἱ προφῆται τοὐναντίον ἅπαν ἐποίησαν, σαφῆ γὰρ καὶ δῆλα τὰ παρ' ἑαυ-*

κανεὶς δὲν τὰ χρησιμοποιῆ, προσφέρουν μεγάλη ἀσφάλεια σ' ὅσους κατοικοῦν μέσα, διότι οὔτε ληστές, οὔτε διαρρῆκτες, οὔτε κανεὶς ἄλλος ἀπὸ τοὺς κακούργους τολμοῦν ν' ἀνεβοῦν στὸ σπίτι ἐκεῖνο· ἔτσι κι' ὅπου ὑπάρχουν πνευματικὰ βιβλία κάθε διαβολικὴ ἐνέργεια ἀπομακρύνεται ἀπὸ ἐκεῖ, καὶ μεγάλη παρόρμησι πρὸς τὴν ἀρετὴ προσφέρουν. Διότι καὶ αὐτὴ καθ' ἑαυτὴ ἡ θέα τῶν βιβλίων μᾶς κάνει πιὸ ἀπρόθυμους στὴν ἁμαρτία. Ἀλλὰ κι' ἂν ἀκόμη τολμήσουμε κάτι ἀπὸ τὰ ἀπαγορευμένα καὶ ἁμαρτήσουμε, ὅταν ἐπανέλθουμε στὸ σπίτι, βλέποντας τὰ βιβλία περισσότερο καταδικάζομε τὴ συνείδησί μας καὶ δὲν πέφτουμε εὔκολα πάλι στὰ ἴδια ἁμαρτήματα· ἂν πάλι ζοῦμε μὲ εὐσέβεια, παίρνουμε μεγαλύτερη ὠφέλεια ἀπὸ ἐκεῖ. Διότι μόλις κάποιος ἔπιασε τὸ Εὐαγγέλιο, καὶ τὴ σκέψι του διώρθωσε ἀμέσως, καὶ ἀπὸ τὰ βιωτικὰ ἀπομακρύνθηκε, καὶ μόνο μὲ τὴ θέα του. Ἀλλὰ ἐὰν ἀκολουθήση καὶ προσεκτικὴ ἀνάγνωσις, ἡ ψυχὴ σὰν νὰ βρίσκεται σὲ ἱερὰ ἄδυτα, καθαρίζεται καὶ γίνεται καλύτερη, καθὼς ὁ Θεὸς τὴ μιλάει μὲ τὰ γράμματα ἐκεῖνα.

Τί λοιπόν, λέγει, ἂν δὲν κατανοοῦμε τὰ γραμμένα; Κι' ἂν ἀκόμη βέβαια δὲν κατανοῆς τὰ γραμμένα, μεγάλος ἁγιασμὸς προέρχεται καὶ μόνο ἀπὸ τὴν ἀνάγνωσι. Ἐξ ἄλλου εἶναι ἀδύνατο νὰ μὴν τὰ καταλαβαίνης ὅλα· γι' αὐτὸ καὶ ἡ χάρις τοῦ Πνεύματος οἰκονόμησε τελῶνες καὶ ἁλιεῖς καὶ σκηνοποιοὶ καὶ ποιμένες καὶ αἰγοβοσκοὶ καὶ ἰδιῶτες καὶ ἀγράμματοι νὰ συγγράψουν αὐτὰ τὰ βιβλία, γιὰ νὰ μὴν μπορῆ κανεὶς ἀπὸ τοὺς ἀμαθεῖς νὰ καταφεύγη σ' αὐτὴ τὴ δικαιολογία, γιὰ νὰ εἶναι κατανοητὰ σὲ ὅλους τὰ λεγόμενα, ὥστε καὶ ὁ χειροτέχνης καὶ ὁ ὑπηρέτης, καὶ ἡ χήρα γυναῖκα, καὶ ὁ πιὸ ἀγράμματος ἀπ' ὅλους τοὺς ἀνθρώπους, νὰ ἔχη κέρδος καὶ ὠφέλεια ἀπὸ τὴν ἀκρόασι αὐτῶν. Διότι δὲν τὰ ἔγραψαν ὅλα αὐτά, ὅσοι ἀξιώθηκαν ἀπὸ τὴν ἀρχὴ τὴ δύναμι τῆς θείας χάριτος, ἀπὸ ματαιοδοξία, ὅπως ἀκριβῶς οἱ ἐθνικοί, ἀλλὰ γιὰ τὴ σωτηρία τῶν ἀκροατῶν.

3. Πράγματι οἱ Ἐθνικοὶ φιλόσοφοι καὶ ρήτορες καὶ συγγραφεῖς δὲν ἐπιδιώκουν τὸ κοινὸ συμφέρον, ἀλλ' ἀποβλέπουν μόνο στὸ πῶς αὐτοὶ θὰ θαυμασθοῦν, καὶ ἐὰν εἶπαν κάτι ὠφέλιμο, καὶ αὐτὸ σὰν μέσα σὲ κάποιο σκοτάδι, τὸ κατέκρυψαν μὲ τὴ συνηθισμένη τους ἀσάφεια. Οἱ ἀπόστολοι ὅμως καὶ οἱ προφῆτες ἔκαναν ἀκριβῶς τὸ ἀντίθετο, διότι ἔκαναν σὲ ὅλους σαφῆ καὶ ὁλοφάνερα ὅλα ὅσα

τῶν κατέστησαν ἅπασιν, ἅτε κοινοὶ τῆς οἰκουμένης ὄντες διδάσκαλοι, ἵνα ἕκαστος καὶ δι' ἑαυτοῦ μανθάνειν δύνηται ἐκ τῆς ἀναγνώσεως μόνης τὰ λεγόμενα. Καὶ τοῦτο προαναφωνῶν ὁ προφήτης ἔλεγεν· «ἔσονται πάντες διδακτοὶ Θεοῦ· καὶ οὐ μὴ εἴπῃ ἕκαστος τῷ πλησίον αὐτοῦ, γνῶθι τὸν Κύριον, ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν». Καὶ ὁ Παῦλός φησι· «κἀγώ, ἀδελφοί, ἦλθον πρὸς ὑμᾶς, οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μυστήριον τοῦ Θεοῦ». Καὶ πάλιν· «ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως». Καὶ πάλιν· «λαλοῦμεν γὰρ σοφίαν», φησίν, «οὐ τοῦ αἰῶνος τούτου τῶν καταργουμένων». Τίνι γὰρ οὐκ ἔτι δῆλα τὰ τῶν Εὐαγγελίων ἅπαντα; Τίς δὲ ἀκούων, ὅτι «μακάριοι οἱ πραεῖς», «μακάριοι οἱ ἐλεήμονες», «μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ», καὶ ὅσα τοιαῦτα, διδασκάλου δεήσεται ὥς τι μαθεῖν τῶν λεγομένων; Ἀλλὰ τὰ τῶν σημείων καὶ θαυμάτων καὶ ἱστοριῶν οὐχὶ καὶ τῷ τυχόντι γνώριμα καὶ σαφῆ; Σκῆψις ταῦτα καὶ πρόφασις καὶ νωθείας παρακαλύμματα.

Οὐ νοεῖς τὰ ἐγκείμενα; πῶς γὰρ δυνήσῃ νοῆσαί ποτε, μηδὲ ἁπλῶς ἐγκύψαι βουλόμενος; Λαβὲ μετὰ χεῖρας τὸ βιβλίον· ἀνάγνωθι τὴν ἱστορίαν ἅπασαν, καὶ τὰ γνώριμα κατασχών, τὰ ἄδηλα καὶ τὰ ἀσαφῆ πολλάκις ἔπελθε· κἂν μὴ δυνηθῇς τῇ συνεχείᾳ τῆς ἀναγνώσεως εὑρεῖν τὸ λεγόμενον, βάδισον πρὸς τὸν σοφώτερον, ἐλθὲ πρὸς τὸν διδάσκαλον, ἀνακοίνωσαι περὶ τῶν εἰρημένων, πολλὴν ἐπίδειξαι τὴν σπουδήν· κἂν ἴδῃ σε ὁ Θεὸς τοσαύτῃ κεχρημένον τῇ προθυμίᾳ, οὐ περιόψεταί σου τὴν ἀγρυπνίαν καὶ τὴν φροντίδα, ἀλλὰ κἂν ἄνθρωπος μὴ διδάξῃ τὸ ζητούμενον, αὐτὸς ἀποκαλύψει πάντως. Ἀναμνήσθητι τοῦ εὐνούχου τῆς βασιλίδος Αἰθιόπων, ὃς ἄνθρωπος βάρβαρος ὢν καὶ μυρίαις συνεχόμενος φροντίσι καὶ πανταχόθεν πολλοῖς περικυκλούμενος πράγμασιν, οὐκ εἰδὼς ἅπερ ἀνεγίνωσκεν, ὅμως ἀνεγίνωσκεν ἐπὶ τοῦ ὀχήματος καθήμενος. Εἰ δὲ ἐν ὁδῷ τοσαύτην σπουδὴν ἐπεδείκνυτο, ἐννόησον τίς ἦν οἴκοι διατρίβων· εἰ τὸν καιρὸν τῆς ὁδοιπορίας οὐκ ἠνείχετο χωρὶς ἀναγνώσεως μένειν, πολλῷ μᾶλλον ἐν τῇ οἰκίᾳ καθήμενος· εἰ μηδὲν

4. Ἱερ. 31,34 καὶ Ἰω. 6,45.
5. Α'. Κορ. 2,1.
6. Α' Κορ. 2,4.
7. Α' Κορ. 2,6.
8. Ματθ. 5,4.

ἔγραψαν, ἐπειδὴ εἶναι κοινοὶ διδάσκαλοι ὅλης τῆς οἰκουμένης, γιὰ νὰ μπορῆ ὁ καθένας καὶ μόνος του νὰ κατανοῆ ὅσα λέγονται μὲ μόνη τὴν ἀνάγνωσι. Καὶ αὐτὸ προλέγοτας ὁ προφήτης ἔλεγε· « καὶ θὰ εἶναι ὅλοι διδαγμένοι ἀπὸ τὸν Θεό· καὶ δὲν θὰ πῆ ὁ ἕνας στὸν ἄλλο, γνώρισε τὸν Κύριο»[4]. Καὶ ὁ Παῦλος λέγει· «κι' ἐγώ, ἀδελφοί, ἦλθα πρὸς ἐσᾶς, ὄχι μὲ ὑπεροχὴ λόγου ἢ σοφίας, γιὰ νὰ σᾶς κηρύξω τὸ μυστήριο τοῦ Θεοῦ»[5]. Καὶ πάλι· «ὁ λόγος μου καὶ τὸ κήρυγμά μου δὲν ἔγινε μὲ πιθανοὺς καὶ συναρπαστικοὺς λόγους ἀνθρώπινης σοφίας, ἀλλὰ μὲ ἀπόδειξι τοῦ Πνεύματος καὶ τῆς δυνάμεως τοῦ Θεοῦ»[6]. Καὶ πάλι λέγει· «διότι δὲν διδάσκουμε τὴ σοφία αὐτῆς τῆς ἐποχῆς, οὔτε τῶν ἀρχόντων αὐτοῦ τοῦ αἰῶνα ποὺ ἀχρηστεύονται»[7]. Διότι σὲ ποιόν δὲν εἶναι ὁλοφάνερα ὅλα ὅσα γράφουν τὰ Εὐαγγέλια; Καὶ ποιός ὅταν ἀκούη, ὅτι «εἶναι μακάριοι οἱ πρᾶοι», «μακάριοι οἱ ἐλεήμονες», «μακάριοι αὐτοὶ ποὺ ἔχουν καθαρὴ καρδιὰ»[8] καὶ ὅσα ἄλλα τέτοια, χρειάζεται διδάσκαλο γιὰ νὰ κατανοήση τὰ λεγόμενα; Ἀλλὰ μήπως οἱ διηγήσεις τῶν θαυμάτων καὶ τῶν ἱστοριῶν δὲν εἶναι κατανοητὲς καὶ σαφεῖς στὸν καθένα; Αὐτὰ εἶναι δικαιολογία καὶ πρόφασις καὶ τῆς ὀκνηρίας προκαλύμματα.

Δὲν κατανοεῖς τὰ κείμενα; Πῶς θὰ μπορέσης νὰ τὰ κατανοήσης, ἀφοῦ δὲν θέλης οὔτε ν' ἀσχοληθῆς μ' αὐτά; Πᾶρε τὸ βιβλίο στὰ χέρια σου· διάβασε ὅλη τὴν ἱστορία, κράτησε τὰ γνωστά, καὶ τὰ ἄγωστα καὶ ἀσαφῆ διάβασέ τα πολλὲς φορές· κι' ἂν δὲν μπορέσης μὲ τὴ συχνῆ ἀνάγνωσι νὰ κατανοήσης αὐτὸ ποὺ λέγεται, πήγαινε στὸν πιὸ μορφωμένο, ἔλα πρὸς τὸν διδάσκαλο, μίλησέ του γι' αὐτὰ ποὺ διάβασες, δεῖξε μεγάλο ἐνδιαφέρον· κι' ἂν δῆ ὁ Θεὸς ὅτι ἔχεις τόση μεγάλη προθυμία, δὲν θὰ περιφρονήση τὴν ἀγρυπνία καὶ τὴ φροντίδα σου, ἀλλὰ κι' ἂν ἄνθρωπος δὲν σοῦ διδάξη τὸ ζητούμενο, ὁπωσδήποτε θὰ σοῦ τὸ ἀποκαλύψη ὁ ἴδιος. Θυμήσου τὸν εὐνοῦχο τῆς βασίλισσας τῶν Αἰθιόπων, ὁ ὁποῖος ἦταν ἄνθρωπος ἀμαθὴς καὶ φορτωμένος μὲ μύριες φροντίδες, καὶ ἀπὸ παντοῦ ἦταν περικυκλωμένος μὲ πολλὰ ζητήματα, ὁ ὁποῖος, ἐνῶ δὲν κατανοοῦσε αὐτὰ ποὺ διάβαζε, ὅμως τὰ διάβαζε, καθισμένος ἐπάνω στὴν ἅμαξα. Ἀλλὰ ἐὰν καθ' ὁδὸν ἔδειχνε τόσο ζῆλο, σκέψου τί ἔκανε ὅταν ἦταν στὸ σπίτι του· ἐὰν δὲν ἀνεχόταν τὸν καιρὸ τῆς ὁδοιπορίας νὰ μένη χωρὶς ἀνάγνωσι, πολὺ περισσότερο ὅταν ἔμενε στὸ σπίτι του· ἐάν, ἐνῶ δὲν καταλάβαινε τίποτε, δὲν ἐγκατέλειπε τὴν ἀνάγνωσι, πολὺ

εἰδὼς ὧν ἀνεγίνωσκεν, οὐκ ἀφίστατο τῆς ἀναγνώσεως, πολλῷ μᾶλλον μετὰ τὸ μαθεῖν. Ὅτι γὰρ ἅπερ ἀνεγίνωσκεν οὐκ ᾔδει, ἄκουσον τί φησιν αὐτῷ ὁ Φίλιππος· «Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;». Κἀκεῖνος ταῦτα ἀκούσας οὐκ ἠρυθρίασεν οὐδὲ ᾐσχύν-
5 θη, ἀλλ' ὡμολόγησε τὴν ἄγνοιαν, καί φησι· «πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με;» Ἐπεὶ οὖν, οὐδέπω τὸν ὁδηγοῦντα ἔχων, οὕτως ἀνεγίνωσκε, διὰ τοῦτο ταχέως ἐπελάβετο τοῦ χειραγωγοῦντος. Εἶδεν αὐτοῦ τὴν προθυμίαν ὁ Θεός, ἀπεδέξατο τὴν σπουδήν, καὶ ἔπεμψεν αὐτῷ διδάσκαλον εὐθέως. Ἀλλὰ οὐ πάρεστιν ὁ Φί-
10 λιππος νῦν; Ἀλλὰ τὸ Πνεῦμα τὸ κινῆσαν τὸν Φίλιππον πάρεστι. Μὴ καταφρονῶμεν τῆς σωτηρίας ἡμῶν, ἀγαπητοί· ταῦτα πάντα «ἐγράφη δι' ἡμᾶς πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε».

Μεγάλη ἀσφάλεια πρὸς τὸ μὴ ἁμαρτάνειν τῶν Γραφῶν ἡ
15 ἀνάγνωσις, μέγας κρημνὸς καὶ βάραθρον βαθὺ τῶν Γραφῶν ἡ ἄγνοια, μεγάλη προδοσία σωτηρίας τὸ μηδὲν ἀπὸ τῶν θείων εἰδέναι νόμων· τοῦτο καὶ αἱρέσεις ἔτεκε, τοῦτο καὶ βίον διεφθαρμένον εἰσήγαγε, τοῦτο τὰ ἄνω κάτω πεποίηκεν. Ἀμήχανον γάρ, ἀμήχανον ἄκαρπον ἀναχωρῆσαί τινα συνεχῶς ἀναγνώσεως ἀπολαύοντα μετὰ
20 ἐπιστασίας. Ἰδοὺ γοῦν μία παραβολὴ πόσα ἡμᾶς ὠφέλησε; πῶς ἡμῶν βελτίω τὴν ψυχὴν εἰργάσατο; Πολλοὶ μὲν γάρ, εὖ οἶδ' ὅτι, διαρκῆ τὴν ὠφέλειαν ἐκ τῆς ἀκροάσεως λαβόντες ἀπῆλθον· εἰ δὲ εἰσί τινες, οἳ μὴ τοσοῦτον ἐκαρπώσαντο, ἀλλ' ὅμως τὴν γοῦν ἡμέραν αὐτήν, καθ' ἣν ἤκουσαν, βελτίους ἐγένοντο πάντως. Οὐ μι-
25 κρὸν δὲ καὶ τὸ ἡμέραν μίαν ἐν ἁμαρτημάτων κατανύξει διαγαγεῖν, καὶ διαβλέψας πρὸς τὴν ἄνω φιλοσοφίαν, καὶ παρασχεῖν τῇ ψυχῇ μικρὸν γοῦν ἀπὸ τῶν βιωτικῶν ἀναπνεῦσαι φροντίδων. Ἂν δὲ καθ' ἑκάστην τοῦτο ποιῶμεν σύναξιν καὶ μὴ διαλιμπάνωμεν, ἡ συνέχεια τῆς ἀκροάσεως ἐργάσεταί τι μέγα καὶ γενναῖον ἐν ἡμῖν ἀ-
30 γαθόν.

δ'. Φέρε οὖν καὶ τὰ ἑξῆς πάλιν ἀποδῶμεν ὑμῖν τῆς παραβολῆς. Τίνα δέ ἐστι τὰ ἑξῆς; Εἰπόντος τοῦ πλουσίου, «πέμψον Λάζαρον, ἵνα ἐπιστάξῃ τῷ ἄκρῳ τοῦ δακτύλου αὐτοῦ καὶ καταψύξῃ μου τὴν γλῶτταν», ἀκούσωμεν τί φησιν Ἀβραάμ· «τέκνον, μνήσθητι, ὅτι

9. Πράξ. 8,30.
10. Α' Κορ. 10,11. 11. Λουκᾶ 16,24.

περισσότερο μετὰ τὴν κατανόησι· καὶ γιὰ τὸ ὅτι δὲν κατανοοῦσε αὐτὰ ποὺ διάβαζε, ἄκουσε τί λέγει σ' αὐτὸν ὁ Φίλιππος· «ἄραγε καταλαβαίνεις αὐτὰ ποὺ διαβάζεις;»[9]. Κι' ἐκεῖνος ὅταν τὰ ἄκουσε δὲν κοκκίνισε, οὔτε ντράπηκε, ἀλλ' ὡμολόγησε τὴν ἄγνοια καὶ λέγει· «πῶς θὰ μποροῦσα νὰ τὰ κατανοήσω, ἐὰν κάποιος δὲν μὲ ὁδηγήση;». Ἐπειδὴ λοιπόν, ἂν καὶ δὲν εἶχε αὐτὸν ποὺ θὰ τὸν ὡδηγοῦσε, τόσο πρόθυμα διάβαζε, γι' αὐτὸ βρῆκε τόσο γρήγορα ἐκεῖνον ποὺ θὰ τὸν χειραγωγοῦσε. Εἶδε τὴν προθυμία του ὁ Θεός, δέχθηκε τὸν ζῆλο καὶ τοῦ ἔστειλε ἀμέσως τὸν διδάσκαλο. Ἀλλὰ δὲν βρίσκεται τώρα ἐδῶ ὁ Φίλιππος; Ὅμως εἶναι παρὼν τὸ Πνεῦμα ποὺ παρακίνησε τὸν Φίλιππο. Ἂς μὴ ἀδιαφοροῦμε λοιπὸν γιὰ τὴ σωτηρία μας, ἀγαπητοί· «ὅλα αὐτὰ γράφτηκαν γιὰ μᾶς, γιὰ νὰ σωφρονισθοῦμε ἐμεῖς, στοὺς ὁποίους ἔφθασαν οἱ τελευταῖοι καιροί»[10].

Μεγάλη ἀσφάλεια γιὰ νὰ μὴν ἁμαρτάνη κανεὶς εἶναι ἡ ἀνάγνωσις τῶν Γραφῶν, μεγάλος γκρεμὸς καὶ βαθὺ βάραθρο εἶναι ἡ ἄγνοια τῶν Γραφῶν, μεγάλη προδοσία τῆς σωτηρίας τὸ νὰ μὴ γνωρίζη κανεὶς τίποτε ἀπὸ τους νόμους τοῦ Θεοῦ· αὐτὸ καὶ αἱρέσεις γέννησε, αὐτὸ εἰσήγαγε καὶ τὴ διεφθαρμένη ζωή, αὐτὸ τὰ ἄνω τὰ ἔκανε κάτω. Διότι εἶναι ἀδύνατο, εἶναι ἀδύνατο ν' ἀναχωρήση κανεὶς χωρὶς καρπούς, ὅταν συνεχῶς μελετᾶ μὲ προσοχή. Νὰ λοιπὸν μιὰ παραβολὴ πόσα μᾶς ὠφέλησε; πῶς μᾶς ἔκανε καλύτερη τὴν ψυχή; Διότι πολλοί, γνωρίζω καλά, ὅτι ἔφυγαν ἀπὸ τὴ διδασκαλία παίρνοντας διαρκῆ τὴν ὠφέλεια· ἀλλὰ καὶ ἐὰν ὑπάρχουν κάποιοι, ποὺ δὲν ὠφελήθηκαν τόσο πολύ, ἀλλ' ὅμως ἔστω κατὰ τὴν ἡμέρα αὐτὴ ποὺ τὰ ἄκουσαν ἔγιναν ὁπωσδήποτε καλύτεροι. Καὶ δὲν εἶναι μικρὸ τὸ νὰ περάση κανεὶς μία ἡμέρα μὲ βαθειὰ λύπη γιὰ τὶς ἁμαρτίες του, νὰ στραφῆ πρὸς τὴν οὐράνια φιλοσοφία, καὶ νὰ δώση τὴν εὐκαιρία στὴν ψυχὴ ν' ἀναπνεύση γιὰ λίγο ἀπὸ τὶς βιωτικὲς μέριμνες. Καὶ ἐὰν αὐτὸ τὸ κάνουμε σὲ κάθε σύναξι καὶ δὲν ἐρχόμαστε κατὰ διαλείμματα, κάποιου μεγάλου καὶ σπουδαίου καλοῦ θὰ μᾶς γίνη πρόξενος ἡ συνεχὴς ἀκρόασις τῆς διδασκαλίας.

4. Ἐμπρὸς λοιπὸν νὰ σᾶς ἀποδώσω καὶ τὰ ὑπόλοιπα τῆς παραβολῆς. Καὶ ποιά εἶναι τὰ ὑπόλοιπα; Ὅταν εἶπε ὁ πλούσιος, «στεῖλε τὸν Λάζαρο νὰ στάξη μιὰ σταγόνα μὲ τὴν ἄκρη τοῦ δακτύλου του καὶ νὰ μοῦ δροσίση τὴ γλῶσσα»[11], ἂς ἀκούσουμε τί λέγει ὁ Ἀβραάμ· «τέκνο μου, θυμήσου ὅτι ἀπήλαυσες ἐσὺ τὰ ἀγαθά σου

ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακά· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι δὲ τούτοις χάσμα μέγα μεταξὺ ἡμῶν τε καὶ ὑμῶν ἐστήρικται, ὅπως οἱ θέλοντες ἐκεῖθεν διαβῆναι πρὸς ἡμᾶς, μὴ δύνωνται, μήτε οἱ ἐντεῦθεν 5 ἐκεῖ διαπερῶσι». Φορτικὰ τὰ εἰρημένα καὶ πολλὴν ἡμῶν κατέχεε τὴν ὀδύνην. Οἶδα κἀγώ· ἀλλ' ὅσον δάκνει τὸ συνειδός, τοσοῦτον καὶ ὠφελεῖ τὴν διάνοιαν τῶν δακνομένων. Εἰ μὲν γὰρ ἐκεῖ ταῦτα ἐλέγετο ἡμῖν, καθάπερ τῷ πλουσίῳ, ὄντως θρηνεῖν ἔδει καὶ ὀδύρεσθαι καὶ πενθεῖν, ὅτι μετανοίας καιρὸς οὐκ ἔτι ἡμῖν ὑπελέλειπτο· 10 ἐπειδὴ δὲ ἐνταῦθα ὄντες ταῦτα ἀκούομεν, ὅπου καὶ ἀνανῆψαι δυνατὸν καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι καὶ πολλὴν κτήσασθαι τὴν παρρησίαν, καὶ ἐκ τῶν ἑτέροις συμβάντων κακῶν φοβηθέντας μεταβαλέσθαι, εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, τῷ διὰ τῆς ἑτέρων κολάσεως τὴν ἡμετέραν διεγείροντι νωθείαν καὶ ἀφυπνίζοντι 15 καθεύδοντας ἡμᾶς. Διὰ γὰρ τοῦτο ταῦτα προείρηται, ἵνα μὴ ταῦτα πάθωμεν. Εἰ γὰρ ἐβούλετο κολάσαι, οὐκ ἂν ταῦτα προεῖπεν· ἐπειδὴ δὲ οὐ βούλεται ἐμβαλεῖν εἰς τιμωρίαν, διὰ τοῦτο προλέγει τὴν τιμωρίαν, ἵνα τῇ προρρήσει σωφρονισθέντες τὴν διὰ τῶν πραγμάτων ἐκφύγωμεν πεῖραν.

20 *Ἀλλὰ τίνος ἕνεκεν οὐκ εἶπεν, 'ἔλαβες τὰ ἀγαθά σου', ἀλλ' «ἀπέλαβες»; Μέμνησθε γάρ, εὖ οἶδ', ὅτι ἐντεῦθεν ἔφην πέλαγος ἀχανὲς καὶ μέγα νοημάτων ἡμῖν ἀνοίγεσθαι· τὸ γάρ, «ἀπέλαβες», ὀφειλήν τινα ἐνδεικνυμένου καὶ δηλοῦντός ἐστιν· ἀπολαμβάνει γάρ τις τὰ ὀφειλόμενα. Εἰ τοίνυν μιαρὸς καὶ παμμίαρος καὶ ὠμὸς καὶ 25 ἀπάνθρωπος οὗτος ὁ πλούσιος ἦν, τίνος ἕνεκεν οὐκ εἶπεν αὐτῷ, 'ἔλαβες' «τὰ ἀγαθά σου», ἀλλ', «ἀπέλαβες», ὡς χρεωστούμενα καὶ ὀφειλόμενα; Τί οὖν ἐντεῦθεν μανθάνομεν; Ὅτι κἂν μιαροί τινες ὦσι καὶ εἰς ἔσχατον κακίας ἐληλακότες, πολλάκις ἕν τι καὶ δύο καὶ τρία εἰργάσαντο ἀγαθά. Καὶ ὅτι οὐ στοχαζόμενος ταῦτα νῦν λέγω, 30 δῆλον ἐκεῖθεν. Τί γὰρ τοῦ κριτοῦ τῆς ἀδικίας ἐκείνου μιαρώτερον γέγονε; τί δὲ ἀπανθρωπότερον; τί δὲ ἀσεβέστερον; Οὗτος οὔτε τὸν Θεὸν ἐφοβεῖτο, οὔτε ἀνθρώπους ᾐσχύνετο· ἀλλ' ὅμως τοσαύτῃ πονηρίᾳ συζῶν, εἰργάσατό τι καλόν, τὴν συνεχῶς ἐνοχλοῦσαν αὐτῷ ἐλεήσας χήραν, καὶ ἐπινεύσας τῇ χάριτι, καὶ δοὺς τὴν αἴτησιν, καὶ*

12. Λουκᾶ 16,25–26.
13. Λουκᾶ 18,2–5.

στὴν ζωή σου καὶ ὁ Λάζαρος τὰ κακά· καὶ τώρα αὐτὸς παρηγορεῖται κι' ἐσὺ ὑποφέρεις. Καὶ ἐκτὸς ἀπὸ αὐτὰ χάσμα μεγάλο ἔχει στηριχθῆ ἀνάμεσά μας, ὥστε ἐκεῖνοι ποὺ θέλουν νὰ μεταβοῦν ἀπὸ ἐκεῖ πρὸς ἐμᾶς νὰ μὴν μποροῦν, οὔτε αὐτοὶ ποὺ εἶναι ἐδῶ νὰ περάσουν πρὸς τὰ ἐκεῖ»[12]. Εἶναι βαριὰ αὐτὰ ποὺ ἔχουν λεχθῆ καὶ πότισαν μὲ μεγάλο πόνο τὴν ψυχή μας. Τό ξέρω κι' ἐγώ· ἀλλὰ ὅσο μᾶς πληγώνει ἡ συνείδησις, ἄλλο τόσο καὶ ὠφελεῖ τὴν ψυχὴ αὐτῶν ποὺ ἐρεθίζει. Διότι, ἐὰν ἐκεῖ μᾶς τὰ ἔλεγαν αὐτά, ὅπως στὸν πλούσιο, πράγματι ἔπρεπε νὰ θρηνοῦμε καὶ νὰ ὀδυρώμαστε καὶ νὰ πενθοῦμε, διότι δὲν θὰ εἴχαμε καιρὸ γιὰ μετάνοια· ἐπειδὴ ὅμως τὰ ἀκοῦμε τώρα ποὺ εἴμαστε ἐδῶ, ὅπου καὶ εἶναι δυνατὸ νὰ μετανοήσουμε καὶ νὰ καθαρισθοῦμε ἀπὸ τὶς ἁμαρτίες καὶ ν' ἀποκτήσουμε μεγάλη παρρησία, καὶ νὰ ἀλλάξουμε ἀνησυχώντας ἀπὸ τὰ κακὰ ποὺ συνέβηκαν στοὺς ἄλλους, ἂς εὐχαριστήσουμε τὸν φιλάνθρωπο Θεό, ποὺ διεγείρει τὴ δική μας ὀκνηρία μὲ τὴν τιμωρία τῶν ἄλλων, καὶ μᾶς ἀφυπνίζει ἐνῶ κοιμώμαστε. Γι' αὐτὸ ἀκριβῶς προλέχθηκαν αὐτά, γιὰ νὰ μὴν τὰ πάθουμε κι' ἐμεῖς. Διότι, ἐὰν ἤθελε νὰ μᾶς τιμωρήση, δὲν θὰ τὰ προέλεγε αὐτά· ἐπειδὴ ὅμως δὲν θέλει νὰ μᾶς τιμωρήση, γι' αὐτὸ προλέγει τὴν τιμωρία, γιὰ νὰ σωφρονισθοῦμε μὲ τὴν πρόρρησι καὶ ν' ἀποφύγουμε νὰ τὰ γνωρίσουμε στὴν πρᾶξι.

Ἀλλὰ γιατί δὲν εἶπε, 'ἔλαβες τὰ ἀγαθά σου', ἀλλὰ «ἀπέλαβες»; Γνωρίζω καλὰ ὅτι θυμᾶσθε αὐτὸ ποὺ εἶπα, ὅτι ἐδῶ ἀνοίγεται μπροστά μας ἀχανὲς καὶ μεγάλο πέλαγος νοημάτων. Διότι τὸ «ἀπέλαβες» φανερώνει καὶ σημαίνει κάποια ὀφειλή· καθόσον ἀπολαμβάνει κανεὶς αὐτὰ ποὺ τοῦ ὀφείλουν. Ἐὰν λοιπὸν ἦταν μιαρὸς καὶ ἀκάθαρτος καὶ σκληρὸς καὶ ἀπάνθρωπος αὐτὸς ὁ πλούσιος, γιατί δὲν τοῦ εἶπε, 'ἔλαβες τὰ ἀγαθά σου', ἀλλὰ «ἀπέλαβες», σὰν νὰ τοῦ τὰ χρωστοῦσε καὶ νὰ τοῦ τὰ ὤφειλε; Τί λοιπὸν μαθαίνουμε ἀπὸ ἐδῶ; Ὅτι, κι' ἂν εἶναι μερικοὶ ἀκάθαρτοι καὶ ἔχουν φθάσει στὸν ὕψιστο βαθμὸ τῆς κακίας, πολλὲς φορὲς ἔχουν κάνει ἕνα καὶ δύο καὶ τρία καλά. Καὶ ὅτι τὰ λέγω αὐτὰ τώρα, ὄχι ἀπὸ δική μου σκέψι, γίνεται ὁλοφάνερο ἀπὸ αὐτό. Διότι τί μιαρώτερο ὑπῆρχε ἀπὸ τὸν κριτὴ ἐκεῖνον τῆς ἀδικίας; Αὐτὸς οὔτε τὸν Θεὸ φοβόταν, οὔτε τοὺς ἀνθρώπους ντρεπόταν[13]· ἀλλ' ὅμως, ἂν καὶ ζοῦσε μέσα στὴν κακία, ἔκανε κάτι καλό, ἐλέησε τὴ χήρα, ποὺ συνεχῶς τὸν ἐνοχλοῦσε, ὑποχώρησε καὶ ἐκπλήρωσε τὴν ἀπαίτησί της καὶ τὴν προστάτευσε

ἐπεξελθὼν τοῖς ἀδικοῦσιν αὐτήν. Οὕτω συμβαίνει τινὰ ἀκόλαστον μὲν εἶναι, ἐλεήμονα δὲ πολλάκις· ἢ ἀπάνθρωπον μέν, σώφρονα δέ· εἰ δὲ ἀκόλαστος καὶ ὠμὸς εἴη, ἀλλ' ὅμως ἕν τι κατὰ τὸν βίον πολλάκις ἔπραξεν ἀγαθόν. Τὸ αὐτὸ δὴ πάλιν καὶ ἐπὶ τῶν χρηστῶν 5 *ὑποπτεύειν χρή. Καθάπερ γὰρ οἱ φαυλότατοι ἐργάζονταί τι πολλάκις χρηστόν, οὕτω καὶ οἱ σπουδαῖοι καὶ ἐνάρετοι διαμαρτάνουσί τι πολλάκις. «Τίς γὰρ καυχήσεται», φησίν, «ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας;».*

Ἐπεὶ οὖν εἰκὸς ἦν καὶ τὸν πλούσιον, εἰ καὶ πρὸς ἔσχατον 10 *ἐληλάκει πονηρίας, ἐργάσασθαί τι ἀγαθόν, καὶ τὸν Λάζαρον, εἰ καὶ πρὸς ἄκρον ἀφίκετο ἀρετῆς, ἡμαρτηκέναι τι μικρόν, ὅρα πῶς ἀμφότερα ταῦτα ᾐνίξατο ὁ πατριάρχης, εἰπών, ὅτι «καὶ σὺ ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά». Ὃ δὲ λέγει τοῦτό ἐστιν· εἴ τι καὶ σὺ ἀγαθὸν εἰργάσω καὶ ὠφείλετό σοι* 15 *τούτου ὁ μισθός, πάντα ταῦτα ἐν ἐκείνῳ τῷ κόσμῳ ἀπέλαβες, τρυφῶν, πλουτῶν, εὐημερίας ἀπολαύων καὶ εὐπραγίας πολλῆς· καὶ οὗτος εἴ τι κακὸν εἰργάσατο, πάντα ἀπέλαβεν ἐν πενίᾳ καὶ λιμῷ καὶ τοῖς ἐσχάτοις ταλαιπωρούμενος κακοῖς· καὶ γυμνὸς ἑκάτερος ὑμῶν ἐνταῦθα ἀφῖκται, ἐκεῖνος μὲν ἁμαρτημάτων, σὺ δὲ δικαιοσύ-* 20 *νης κατορθωμάτων· διὰ τοῦτο καὶ οὗτος καθαρὰν ἔχει τὴν παράκλησιν, καὶ σὺ ἀπαραμύθητον ὑπομένεις τὴν τιμωρίαν.*

Ὅταν γὰρ μικρὰ καὶ εὐτελῆ τὰ κατορθώματα ἡμῶν ᾖ καὶ πολὺς καὶ ἄφατος ὁ τῶν ἁμαρτημάτων ὄγκος, εἶτα ἐνταῦθα εὐπραγίας ἀπολαύσωμεν, καὶ μηδὲν πάθωμεν δεινόν, καὶ αὐτῆς τῶν ἀγα- 25 *θῶν τῆς ἀμοιβῆς ἔρημοι καὶ γυμνοὶ πάντως ἀπελευσόμεθα, πάντα ἐνταῦθα ἀπολαβόντες· ὥσπερ οὖν ὅταν μεγάλα μὲν ᾖ τὰ κατορθώματα καὶ πολλά, μικρὰ δὲ καὶ εὐτελῆ τὰ ἁμαρτήματα, εἶτα πάθωμέν τι δεινὸν καὶ αὐτὰ τὰ μικρὰ ἐνταῦθα ἀποθέμενοι, καθαρὰν καὶ ἀπηρτισμένην ἐκεῖ τὴν τῶν ἀγαθῶν ἔργων ἀπολαμβάνομεν ἀντίδο-* 30 *σιν. Ὅταν οὖν ἴδῃς τινα ζῶντα μὲν ἐν πονηρίᾳ, μηδὲν δὲ ἐνταῦθα πάσχοντα δεινόν, μὴ μακαρίσῃς, ἀλλὰ δάκρυσον καὶ θρήνησον, ὡς πάντα ἐκεῖ τὰ δεινὰ ὑποστησόμενον· καθάπερ οὖν καὶ ὁ πλούσιος*

14. Παρμ. 20,9.

ἀπὸ ἐκείνους ποὺ τὴν ἀδικοῦσαν. Ἔτσι συμβαίνει νὰ εἶναι κάποιος ἀσελγής, ἀλλὰ καὶ ἐλεήμων πολλὲς φορές· ἢ ἀπάνθρωπος, ἀλλὰ καὶ φρόνιμος· ἀλλὰ κι' ἂν εἶναι ἀκόλαστος καὶ ἀπάνθρωπος, ὅμως ἔκανε κατὰ τὴ ζωή του πολλὲς φορὲς καὶ κάποιο καλό. Τὸ ἴδιο βέβαια πρέπει πάλι νὰ ὑποπτευώμαστε καὶ γιὰ τοὺς καλούς. Διότι, ὅπως ἀκριβῶς οἱ πιὸ ἀνήθικοι κάνουν πολλὲς φορὲς κάτι καλό, ἔτσι καὶ οἱ σπουδαῖοι καὶ ἐνάρετοι σφάλλουν πολλὲς φορές. «Διότι ποιός θὰ καυχηθῆ», λέγει, «ὅτι ἔχει ἁγνὴ καρδιά, ἢ ποιός μπορεῖ νὰ πῆ μὲ παρρησία ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτία;»[14].

Ἐπειδὴ λοιπὸν ἦταν φυσικὸ καὶ ὁ πλούσιος, ἐὰν καὶ εἶχε φθάσει στὸ ὕψιστο σημεῖο τῆς κακίας, νὰ εἶχε κάνει κάποιο καλό, καὶ ὁ Λάζαρος, ἂν καὶ ἔφθασε στὴν κορυφὴ τῆς ἀρετῆς, νὰ εἶχε ἁμαρτήσει ἔστω καὶ ἐλάχιστα, πρόσεχε πῶς καὶ τὰ δύο αὐτὰ τὰ ὑπαινίχθηκε ὁ πατριάρχης, λέγοντας· «κι' ἐσὺ ἀπήλαυσες τὰ ἀγαθά σου στὴ ζωή σου καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐὰν κι' ἐσὺ ἔχης κάνει κάποιο καλό, καὶ σοῦ ὠφειλόταν γι' αὐτὸ μισθός, ὅλα αὐτὰ τ' ἀπήλαυσες σ' ἐκεῖνον τὸν κόσμο, ὅταν διασκέδαζες, χαιρόσουν τὰ πλούτη σου, ἀπολάμβανες μεγάλη εὐημερία καὶ εὐτυχία· καὶ αὐτός, ἐὰν ἔκανε κάποιο κακό, ὅλα τὰ ἐξώφλησε μὲ τὴ φτώχεια καὶ τὴν πεῖνα καὶ μὲ ὅλα τὰ μεγάλα κακὰ μὲ τὰ ὁποῖα ταλαιπωρήθηκε· καὶ γυμνὸς ὁ κάθε ἕνας ἀπὸ σᾶς ἔχει φθάσει ἐδῶ, ἐκεῖνος χωρὶς ἁμαρτίες, κι' ἐσὺ χωρὶς κατορθώματα δικαιοσύνης· γι' αὐτὸ καὶ αὐτὸς ἔχει καθαρὴ τὴν παρηγοριὰ κι' ἐσὺ ὑπομένεις ἀπαρηγόρητη τὴν τιμωρία.

Ὅταν δηλαδὴ εἶναι μικρὰ καὶ ἀσήμαντα τὰ κατορθώματά μας καὶ πολὺς καὶ ἀπερίγραπτος ὁ ὄγκος τῶν ἁμαρτημάτων, κι' ἔπειτα ἐδῶ εὐτυχοῦμε καὶ δὲν παθαίνουμε κανένα κακό, ὁπωσδήποτε θὰ φύγουμε ἀπὸ ἐδῶ στερημένοι κι' αὐτῆς τῆς ἀμοιβῆς τῶν ἀγαθῶν καὶ γυμνοί, ἀφοῦ ἐδῶ ὅλα τὰ ἔχουμε πληρωθῆ· ὅπως πάλι, ὅταν εἶναι μεγάλα καὶ πολλὰ τὰ κατορθώματά μας, ἀλλὰ μικρὰ καὶ εὐτελῆ τὰ ἁμαρτήματα, κι' ἔπειτα ἐὰν πάθουμε κάτι φοβερὸ καὶ ἀποβάλουμε κι' αὐτὰ τὰ μικρὰ ἐδῶ, τότε θ' ἀπολαμβάνουμε ἐκεῖ τὴν ἀνταπόδοσι τῶν ἀγαθῶν ἔργων μας καθαρὴ καὶ πλήρη. Ὅταν λοιπὸν δῆς κάποιον νὰ ζῆ μέσα στὴν ἁμαρτία καὶ νὰ μὴν παθαίνη κανένα κακὸ ἐδῶ, μὴν τὸν μακαρίσης, ἀλλὰ δάκρυσε καὶ θρήνησε, διότι ὅλα τὰ δεινὰ θὰ τὰ ὑποστῆ ἐκεῖ· ὅπως ἀκριβῶς κι' αὐτὸς ὁ πλού-

οὗτος. Πάλιν ὅταν ἴδῃς τινὰ ἀρετῆς ἐπιμελούμενον καὶ μυρίους ὑπομένοντα πειρασμούς, μακάρισον, ζήλωσον, ὡς καὶ τῶν ἁμαρτημάτων αὐτῷ πάντων ἐνταῦθα διαλυομένων καὶ πολλῶν τῆς ὑπομονῆς ἑτοιμαζομένων ἐκεῖ τῶν μισθῶν· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ 5 Λαζάρου τούτου γέγονε.

ε'. Τῶν γὰρ ἀνθρώπων οἱ μὲν ἐνταῦθα τιμωροῦνται μόνον, οἱ δὲ ἐνταῦθα μὲν οὐδὲν πάσχουσι δεινόν, πᾶσαν δὲ ἐκεῖ τὴν τιμωρίαν ἀπολαμβάνουσιν, οἱ δὲ καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται. Τίνας οὖν ἐκ τῶν τριῶν μακαρίζετε τούτων; Πρώτους μὲν εὖ οἶδ' ὅτι τοὺς 10 ἐνταῦθα κολαζομένους καὶ ἀποτιθεμένους τὰ ἁμαρτήματα. Δευτέρους δὲ μετ' ἐκείνους τίνας; Ὑμεῖς μὲν ἴσως τοὺς οὐδὲν ἐνταῦθα πάσχοντας, ἀλλ' ἐκεῖ πᾶσαν ὑπομένοντας τὴν τιμωρίαν· ἐγὼ δὲ οὐ τούτους, ἀλλὰ τοὺς καὶ ἐνταῦθα καὶ ἐκεῖ κολαζομένους. Ὁ μὲν γὰρ ἐνταῦθα τιμωρίαν δούς, κουφοτέρας αἰσθήσεται τῆς ἐκεῖ κολάσε-15 ως, ὁ δὲ πᾶσαν ἀναγκαζόμενος ἐκεῖ τὴν κόλασιν ὑπομεῖναι ἀπαραίτητον ἕξει τὴν δίκην· καθάπερ καὶ οὗτος ὁ πλούσιος ἐνταῦθα μηδὲν διαλυσάμενος τῶν οἰκείων ἁμαρτημάτων, οὕτω χαλεπῶς ἐκολάζετο, ὡς μηδὲ σταγόνος μικρᾶς δυνηθῆναι ἐπιτυχεῖν. Καὶ τούτων δὲ αὐτῶν τῶν ἁμαρτανόντων μέν, μηδὲν δὲ ἐνταῦθα πα-20 σχόντων δεινόν, πολλῷ μᾶλλον ἐκείνους ταλανίζω τοὺς μετὰ τοῦ μὴ τιμωρεῖσθαι ἐνταῦθα καὶ τρυφῆς καὶ ἀδείας ἀπολαύοντας. Ὥσπερ γὰρ τὸ μὴ δοῦναι δίκην ἐνταῦθα τῶν ἁμαρτημάτων χαλεπωτέραν ἐκεῖ ποιεῖ τὴν τιμωρίαν· οὕτω δὴ τὸ πολλῆς ἀνέσεως ἀπολαύειν τοὺς ἁμαρτάνοντας καὶ τρυφῆς καὶ εὐπορίας, ἐφόδιον 25 αὐτοῖς καὶ ὑπόθεσις κολάσεως καὶ τιμωρίας ἐκεῖ γίνεται μείζονος. Ὅταν γαρ ἁμαρτάνοντες τιμώμεθα ὑπὸ τοῦ Θεοῦ, αὐτὸ τοῦτο ἡμᾶς μάλιστα εἰς τὸ πῦρ μειζόνως ἐμβαλεῖν δυνήσεται.

Εἰ γὰρ μακροθυμίας τις ἀπολαύων μόνον, ἂν εἰς δέον αὐτῇ μὴ χρήσηται, χαλεπωτέραν ἕξει τὴν τιμωρίαν· ὅταν μετὰ τῆς μα-30 κροθυμίας καὶ τιμὰς ἔχῃ μεγίστας, εἶτα ἐπιμένῃ τῇ πονηρίᾳ, τίς αὐτὸν ἐξελεῖται τῆς κολάσεως ἐκείνης; Ὅτι γὰρ οἱ μακροθυμίας ἐνταῦθα ἀπολαύοντες συνάγουσιν ἑαυτοῖς ὁλόκληρον ἐκεῖ τὸ κακόν, ἐὰν μὴ μετανοήσωμεν, ἄκουσον τί φησιν ὁ Παῦλος· «λογίζῃ δὲ

σιος. Πάλι, ὅταν δῆς κάποιον νὰ φροντίζη γιὰ τὴν ἀρετή, καὶ νὰ ὑπομένη μύριους πειρασμούς, μακάρισέ τον, γίνε μιμητής του, διότι καὶ ὅλες οἱ ἁμαρτίες του ἐδῶ διαλύονται, καὶ μεγάλες ἀμοιβὲς τοῦ ἑτοιμάζονται ἐκεῖ γιὰ τὴν ὑπομονή του· ὅπως ἀκριβῶς συνέβηκε καὶ στὴν περίπτωσι τοῦ Λαζάρου.

5. Πράγματι ἀπὸ τοὺς ἀνθρώπους ἄλλοι τιμωροῦνται μόνο ἐδῶ, ἐνῶ ἄλλοι ἐδῶ βέβαια δὲν παθαίνουν κανένα κακό, ἐνῶ ὅλη τὴν τιμωρία τὴν ἀπολαμβάνουν ἐκεῖ, καὶ ἄλλοι καὶ ἐδῶ καὶ ἐκεῖ τιμωροῦνται. Ποιούς λοιπὸν ἀπὸ τοὺς τρεῖς αὐτοὺς μακαρίζετε; Πρώτους, γνωρίζω καλά, ὅτι μακαρίζετε ἐκείνους ποὺ τιμωροῦνται ἐδῶ καὶ ἀπαλάσσονται ἀπὸ τὰ ἁμαρτήματά τους. Δεύτερους μετὰ ἀπὸ ἐκείνους ποιούς; Ἴσως βέβαια ἐσεῖς νὰ μακαρίζετε ἐκείνους ποὺ δὲν πάσχουν τίποτε ἐδῶ, ἀλλ' ὑπομένουν ἐκεῖ ὅλη τὴν τιμωρία. Ἐγὼ ὅμως δὲν μακαρίζω ἐκείνους, ἀλλὰ αὐτοὺς ποὺ τιμωροῦνται καὶ ἐδῶ καὶ ἐκεῖ. Διότι αὐτὸς ποὺ τιμωρεῖται ἐδῶ, θὰ αἰσθανθῆ ἐλαφρότερη τὴν τιμωρία ἐκεῖ· ἐνῶ ἐκεῖνος ποὺ ἀναγκάζεται ὅλη τὴν τιμωρία νὰ τὴν ὑποστῆ ἐκεῖ, θὰ ἔχη ἀμείλικτη τὴν τιμωρία· ὅπως ἀκριβῶς καὶ αὐτὸς ὁ πλούσιος, ὁ ὁποῖος δὲν ἐξώφλησε ἐδῶ καμμιὰ ἁμαρτία του, τόσο βαριὰ κολαζόταν, ὥστε νὰ μὴν μπορῆ νὰ βρῆ οὔτε μιὰ μικρὴ σταγόνα. Καὶ ἀπὸ αὐτοὺς πάλι ποὺ ἁμαρτάνουν, χωρὶς νὰ ὑποφέρουν κανένα κακὸ ἐδῶ, πολὺ περισσότερο λυπᾶμαι ἐκείνους, ποὺ ἐκτὸς τοῦ ὅτι δὲν τιμωροῦνται ἐδῶ ἀπολαμβάνουν καὶ ζωὴ μὲ τρυφὴ καὶ ἀνέσεις. Διότι, ὅπως τὸ νὰ μὴν πληρώνης ἐδῶ γιὰ τὶς ἁμαρτίες σου, κάνει φοβερώτερη τὴν τιμωρία ἐκεῖ· ἔτσι λοιπὸν τὸ νὰ ἀπολαμβάνουν οἱ ἁμαρτωλοὶ μεγάλη ἄνεσι καὶ τρυφὴ καὶ πλοῦτο, τοὺς γίνεται ἐκεῖ ἐφόδιο καὶ αἰτία κολάσεως καὶ τιμωρίας μεγαλύτερης. Ὅταν δηλαδή, ἐνῶ ἁμαρτάνουμε, μᾶς τιμᾶ ὁ Θεός, αὐτὸ ἀκριβῶς θὰ μπορέση πολὺ περισσότερο νὰ μᾶς ρίξη φοβερώτερα στὴ φωτιά.

Διότι, ἐὰν κάποιος ἀπολαμβάνη τὴ μακροθυμία τοῦ Θεοῦ μόνο καὶ δὲν τὴν χρησιμοποιήση ὅπως πρέπει, θὰ ἔχη μεγαλύτερη τὴν τιμωρία, ὅταν μαζὶ μὲ τὴ μακροθυμία ἔχη καὶ τιμὲς πολὺ μεγάλες ἀλλὰ καὶ τότε πάλι ἐπιμένει στὴν κακία, ποιός θὰ τὸν ἀπαλλάξη ἀπὸ ἐκείνη τὴν τιμωρία; Τὸ ὅτι δηλαδὴ ὅσοι ἐδῶ ἀπολαμβάνουν τὴ μακροθυμία τοῦ Θεοῦ συγκεντρώνουν γιὰ τοὺς ἑαυτούς τους ὁλόκληρο τὸ κακὸ ἐκεῖ, ἐὰν δὲν μετανοήσουν, ἄκουσε τί λέγει ὁ Παῦ-

τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ Θεοῦ; Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; 5 *Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ».*

Ὅταν οὖν ἴδωμέν τινας πλουτοῦντας, τρυφῶντας, μύρων ὄζοντας, ἐν μέθῃ διημερεύοντας, ἐν δυναστείᾳ ὄντας καὶ δόξῃ 10 *πολλῇ καὶ πολλῇ τῇ φαντασίᾳ καὶ περιφανείᾳ, καὶ ἁμαρτάνοντας καὶ μηδὲν πάσχοντας δεινόν, δι' αὐτὸ τοῦτο αὐτοὺς μάλιστα δακρύωμεν καὶ θρηνῶμεν, ὅτι ἁμαρτάνοντες οὐ κολάζονται. Ὥσπερ γὰρ εἴ τινα εἶδες ὑδέρῳ ἢ σπληνὶ κατεχόμενον ἢ σηπεδόνα τινὰ ἔχοντα καὶ ἕλκη μυρία πάντοθεν, εἶτα ἐπὶ πᾶσι τούτοις μεθύοντα, τρυφῶν-* 15 *τα καὶ τὸ νόσημα ἐπιτείνοντα, οὐ μόνον οὐ θαυμάζεις, οὐδὲ μακαρίζεις διὰ τὴν τρυφήν, ἀλλὰ δι' αὐτὸ τοῦτο μάλιστα ταλανίζεις αὐτόν, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς λογίζου.*

Ὅταν ἴδῃς ἄνθρωπον πονηρίᾳ συζῶντα καὶ πολλῆς ἀπολαύοντα τῆς εὐημερίας καὶ οὐδὲν πάσχοντα δεινόν, διὰ τοῦτο μᾶλλον 20 *θρήνησον, ὅτι νοσήματι κατεχόμενος καὶ σηπεδόνι χαλεπωτάτῃ, τὴν ἀρρωστίαν ἐπιτείνει, διὰ τῆς τρυφῆς καὶ τῆς ἀνέσεως χείρων γινόμενος. Οὐ γὰρ ἡ κόλασις κακόν, ἀλλ' ἡ ἁμαρτία κακόν. Αὕτη μὲν γὰρ τοῦ Θεοῦ διίστησιν, ἐκείνη δὲ συνάγει ἡμᾶς πρὸς τὸν Θεὸν καὶ καταλύει τὴν ὀργήν. Πόθεν τοῦτο δῆλον; Ἄκουσον τοῦ προφή-* 25 *του λέγοντος· «παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, ἱερεῖς, λαλήσατε ἐπὶ τὴν καρδίαν Ἱερουσαλήμ, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς». Καὶ πάλιν· «Κύριος ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν».*

Καὶ ἵνα μάθητε ὅτι οἱ μὲν ἐνταῦθα, οἱ δὲ ἐκεῖ κολάζονται, οἱ 30 *δὲ καὶ ἐνταῦθα καὶ ἐκεῖ, ἀκούσατε τί φησιν ὁ Παῦλος κατηγορῶν τῶν ἀναξίως κοινωνούντων τοῖς μυστηρίοις· εἰπὼν γὰρ ὅτι «ὁ ἐσθίων καὶ πίνων τὸ σῶμα καὶ αἷμα ἀναξίως τοῦ Κυρίου ἔνοχος*

15. Ρωμ. 2,3–5.
16. Ἠσ. 40,1–2.
17. Ἠσ. 26,12.

λος· «Σκέπτεσαι καὶ αὐτό, ἄνθρωπε, ἐσὺ ποὺ κρίνεις αὐτοὺς ποὺ τὰ κάνουν αὐτὰ τὰ ἔργα, κι' ὅμως τὰ κάνεις κι' ὁ ἴδιος, ὅτι ἐσὺ θὰ ἀποφύγης τὴν κρίσι τοῦ Θεοῦ; Ἢ καταφρονεῖς τὸν πλοῦτο τῆς καλωσύνης του καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας του, ἀγνοώντας ὅτι ἡ καλωσύνη τοῦ Θεοῦ πρέπει νὰ σὲ ὁδηγῆ σὲ μετάνοια; Ἀλλὰ μὲ τὴν σκληρότητά σου καὶ τὴν ἀμετανόητη καρδιά σου θησαυρίζεις γιὰ τὸν ἑαυτό σου ὀργὴ γιὰ τὴν ἡμέρα τῆς ὀργῆς καὶ τῆς ἀποκαλύψεως καὶ τῆς δικαίας κρίσεως τοῦ Θεοῦ»[15].

Ὅταν λοιπὸν δοῦμε μερικοὺς νὰ ζοῦν μέσα στὸν πλοῦτο, νὰ εὐτυχοῦν, νὰ μυρίζουν ἀρώματα, νὰ περνοῦν τὴν ἡμέρα τους στὴ μέθη, νὰ ἔχουν μεγάλη ἐξουσία καὶ δόξα πολλὴ καὶ νὰ ζοῦν μὲ μεγάλη ἐπίδειξι καὶ ὑπερηφάνεια καὶ νὰ ἁμαρτάνουν, χωρὶς νὰ ὑποφέρουν κανένα κακό, γι' αὐτο ἀκριβῶς νὰ τοὺς κλαῖμε καὶ νὰ τοὺς θρηνοῦμε, διότι, ἐνῶ ἁμαρτάνουν, δὲν τιμωροῦνται. Ὅπως ἀκριβῶς δηλαδὴ ἐὰν ἔβλεπες κάποιον νὰ ὑποφέρη ἀπὸ ὑδρωπικία ἢ σπλῆνα ἢ νὰ ἔχη κάποιο σάπισμα καὶ μύριες πληγὲς παντοῦ, κι' ἔπειτα, ἐκτὸς ἀπὸ ὅλα αὐτά, νὰ μεθᾶ, νὰ ἀσωτεύη καὶ νὰ μεγαλώνη τὴν ἀσθένεια, ὄχι μόνο δὲν τὸν θαυμάζεις οὔτε τὸν καλοτυχίζεις γιὰ τὴν ἀσωτία, ἀλλὰ γι' αὐτὸ ἀκριβῶς καὶ τὸν ταλανίζεις κυρίως· τὸ ἴδιο νὰ σκέφτεσαι καὶ γιὰ τὴν ψυχή.

Ὅταν δῆς ἕναν ἄνθρωπο νὰ ζῆ μέσα στὴν κακία, ν' ἀπολαμβάνη μεγάλη εὐημερία, καὶ νὰ μὴν παθαίνη κανένα κακό, γι' αὐτὸ μᾶλλον θρήνησε, διότι, ἐνῶ κατέχεται ἀπὸ ἀσθένεια καὶ φοβερώτατη σαπίλα, μεγαλώνει τὴν ἀσθένεια καὶ γίνεται χειρότερος μὲ τὴν κατάχρησι καὶ τὴν ἄνεσι. Διότι δὲν εἶναι ἡ τιμωρία κακό, ἀλλ' ἡ ἁμαρτία εἶναι κακό. Καθόσον αὐτὴ μᾶς ἀπομακρύνει ἀπὸ τὸν Θεό, ἐνῶ ἐκείνη μᾶς ἑνώνει μὲ τὸν Θεὸ καὶ καταπαύει τὴν ὀργή. Ἀπὸ ποῦ γίνεται φανερὸ αὐτό; Ἄκουσε τὸν προφήτη ποὺ λέγει· «παρηγορεῖτε, παρηγορεῖτε τὸν λαό μου, ἱερεῖς, λαλήσατε στὴν καρδιὰ τῆς Ἱερουσαλήμ, διότι δέχθηκε ἀπὸ τὸ χέρι τοῦ Κυρίου διπλῆ τὴν τιμωρία γιὰ τὰ ἁμαρτήματά της»[16]. Καὶ πάλι· «Κύριε, ἐσὺ ποὺ εἶσαι Θεός μας, δῶσε μας εἰρήνη· διότι ὅλα μᾶς τὰ ἀνταπέδωσες»[17].

Καὶ γιὰ νὰ μάθετε ὅτι ἄλλοι τιμωροῦνται ἐδῶ, καὶ ἄλλοι ἐκεῖ, καὶ ἄλλοι καὶ ἐδῶ καὶ ἐκεῖ, ἀκοῦστε τί λέγει ὁ Παῦλος κατηγορώντας αὐτοὺς ποὺ παίρνουν μέρος στὰ μυστήρια ἀναξίως· διότι, ἀφοῦ εἶπε, ὅτι «ὅποιος τρώει καὶ πίνει τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου

ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ», ἐπήγαγεν εὐθέως· «διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νῦν δὲ κρινόμενοι ὑπὸ τοῦ Κυρίου, παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ
5 *κατακριθῶμεν».*

Ὁρᾷς πῶς ἡ ἐνταῦθα κόλασις ἐξαρπάζει τῆς ἐκεῖ τιμωρίας ἡμᾶς; Καὶ περὶ τοῦ πεπορνευκότος δέ φησι· «παράδοτε τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ ἀπὸ τοῦ Λαζάρου δὲ
10 *τοῦτο δῆλον, ὅτι εἴ τι κακὸν ἐποίησεν, ἐνταῦθα τοῦτο ἀπονιψάμενος, οὕτως ἀπῆλθεν ἐκεῖ καθαρός· καὶ ἀπὸ τοῦ παραλελυμένου δὲ τοῦτό ἐστι δῆλον, ὃς τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ, διὰ τοῦ μήκους τῆς ἀρρωστίας καὶ τὰ ἁμαρτήματα ἀπέθετο. Ὅτι δὲ ἐξ ἁμαρτημάτων οὕτω διέκειτο, ἄκουσον τί φησιν ὁ Χριστός·*
15 *«ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται». Ὅτι μὲν οὖν τινες ἐνταῦθα κολάζονται καὶ τὰ ἁμαρτήματα ἀποτίθενται, δῆλον ἐκ τούτων.*

στ'. Ὅτι δέ τινες καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται, ὅταν μὴ τὴν ἀξίαν τοῦ μεγέθους τῶν ἁμαρτημάτων ἐνταῦθα ἀπολάβωσι τιμω-
20 *ρίαν, ἄκουσον περὶ τῶν Σοδομιτῶν τί φησιν ὁ Χριστός· εἰπὼν γάρ, ὅτι «ὃς ἂν μὴ δέξηται ὑμᾶς ἀποτινάξετε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν», ἐπήγαγε λέγων· «ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ». Τῷ γὰρ εἰπεῖν «ἀνεκτότερον», τοῦτο ἐδήλωσεν, ὅτι κακεῖνοι κολασθήσονται μέν,*
25 *κουφότερον δέ, ἐπειδὴ καὶ ἐνταῦθα ἔδωκαν δίκην. Ὅτι δὲ εἰσί τινες οἱ ἐνταῦθα μὲν οὐδὲν πάσχοντες δεινόν, ἐκεῖ δὲ πᾶσαν ὑπομένοντες τιμωρίαν, ἐδήλωσεν ἡμῖν ὁ πλούσιος οὗτος, ἀπαραίτητον ἐκεῖ κόλασιν ὑπομένων καὶ μηδὲ μικρᾶς ἀπολαύων παραμυθίας διὰ τὸ πᾶσαν ἐκεῖ τηρηθῆναι αὐτῷ τὴν τιμωρίαν.*

30 *Ὥσπερ οὖν ἐπὶ τῶν ἁμαρτανόντων οἱ μηδὲν παθόντες ἐνταῦθα δεινόν, μείζονα ὑφίστανται τὴν τιμωρίαν ἐκεῖ, οὕτως ἐπὶ τῶν κατορθούντων οἱ πολλὰ παθόντες ἐνταῦθα δεινά, πολλῆς ἀπολαύσονται τιμῆς ἐκεῖ. Καὶ καθάπερ ἁμαρτωλῶν ὄντων δύο, ἂν ὁ*

18. Α' Κορ. 11,27.
19. Α' Κορ. 11,30–32.
20. Α' Κορ. 5,5.
21. Ἰω. 5,14.
22. Λουκᾶ 9,8.
23. Λουκᾶ 9,10–12.

ἀναξίως, θὰ εἶναι ἔνοχος τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ»[18], πρόσθεσε ἀμέσως· «γι' αὐτὸ ὑπάρχουν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι ἀνάμεσά σας, καὶ πέθαναν ἀρκετοί, διότι, ἐὰν ἐξετάζαμε τοὺς ἑαυτούς μας, δὲν θὰ δικαζόμασταν· τώρα ὅμως ὅταν κατακρινώμαστε ἀπὸ τὸν Κύριο, παιδευόμαστε, γιὰ νὰ μὴν κατακριθοῦμε μαζὶ μὲ τὸν κόσμο»[19].

Βλέπεις πῶς ἡ ἐδῶ τιμωρία μᾶς ἀπαλλάσσει ἀπὸ τὴν ἐκεῖ τιμωρία; Καὶ γι' αὐτὸν ποὺ εἶχε πορνεύσει, λέγει· «παραδῶστε τὸν τέτοιον ἄνθρωπο στὸν σατανᾶ, γιὰ νὰ τιμωρηθῇ τὸ σῶμα του καὶ νὰ σωθῇ τὸ πνεῦμα του κατὰ τὴν ἡμέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[20]. Καὶ ἀπὸ τὸν Λάζαρο γίνεται φανερὸ αὐτό, ὅτι ἂν εἶχε κάνει κάποιο κακό, ἀφοῦ τὸ ξέπλυνε ἐδῶ, ἔτσι πῆγε ἐκεῖ καθαρός· ἀλλὰ καὶ ἀπὸ τὸν παραλυτικὸ ἀκόμα γίνεται αὐτὸ φανερό, αὐτὸς ποὺ ἦταν τριάντα ὀκτὼ χρόνια ἀσθενής, μὲ τὸ μῆκος τῆς ἀσθένειάς του ἀπέβαλε καὶ τὶς ἁμαρτίες. Καὶ ὅτι ἐξ αἰτίας τῶν ἁμαρτιῶν του βρισκόταν σ' αὐτὴν τὴν κατάστασι, ἄκουσε τί λέγει ὁ Χριστός· «νά, ἔγινες καλά, μὴν ξαναμαρτήσης, γιὰ νὰ μὴν σοῦ συμβῇ κάτι χειρότερο»[21]. Τὸ ὅτι λοιπὸν μερικοὶ τιμωροῦνται ἐδῶ καὶ ἀποβάλλουν τὶς ἁμαρτίες τους, γίνεται φανερὸ ἀπὸ αὐτά.

6. Τὸ ὅτι ὅμως μερικοὶ καὶ ἐδῶ καὶ ἐκεῖ τιμωροῦνται ὅταν δὲν δεχθοῦν ἐδῶ τιμωρία ἀνάλογη μὲ τὰ ἁμαρτήματά τους, ἄκουσε τί λέγει ὁ Χριστὸς γιὰ τοὺς κατοίκους τῶν Σοδόμων· ἀφοῦ εἶπε, «ἂν τυχὸν δὲν σᾶς δεχθοῦν, τινάξτε τὴ σκόνη ἀπὸ τὰ πόδια σας»[22], πρόσθεσε λέγοντας· «θὰ εἶναι ἀνεκτότερη ἡ τιμωρία ποὺ θὰ ἐπιβληθῇ κατὰ τὴν ἡμέρα ἐκείνη στὰ Σόδομα καὶ τὰ Γόμορρα, παρὰ στὴν πόλι ἐκείνη»[23]. Διότι μὲ τὸ «ἀνεκτότερη» ποὺ εἶπε, αὐτὸ ἔκανε φανερό, ὅτι κι' ἐκεῖνοι βέβαια θὰ τιμωρηθοῦν, ἐλαφρότερα ὅμως, ἐπειδὴ καὶ ἐδῶ τιμωρήθηκαν. Καὶ ὅτι ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι ἐδῶ δὲν ἔπαθαν κανένα κακό, ἐνῶ ἐκεῖ ὑπομένουν ὅλη τὴν τιμωρία, μᾶς τὸ ἔδειξε αὐτὸς ὁ πλούσιος, ποὺ ὑπέμεινε ἐκεῖ ἀναπόφευκτη κόλασι, καὶ δὲν ἔνοιωσε οὔτε μιὰ μικρὴ παρηγοριά, ἐπειδὴ ὅλη ἡ τιμωρία τοῦ ἐπιφυλάχθηκε ἐκεῖ.

Ὅπως λοιπὸν στὴν περίπτωσι τῶν ἁμαρτωλῶν, ἐκεῖνοι ποὺ δὲν παθαίνουν κανένα κακὸ ἐδῶ, θὰ ὑποστοῦν μεγαλύτερη τιμωρία ἐκεῖ, ἔτσι καὶ στὴν περίπτωσι τῶν ἐναρέτων, αὐτοὶ ποὺ ἔπαθαν πολλὰ δεινὰ ἐδῶ, θ' ἀπολαύσουν μεγάλη τιμὴ ἐκεῖ. Καὶ ὅπως στὴν πε-

μὲν ἐνταῦθα κολασθῇ, ὁ δὲ μὴ κολασθῇ, μακαριώτερός ἐστιν ὁ κολασθεὶς τοῦ μὴ κολασθέντος· οὕτω δὴ καὶ δικαίων ἐνταῦθα ὄντων δύο, ἂν ὁ μὲν πλείους, ὁ δὲ ἐλάττους ὑπομείνῃ τὰς θλίψεις, μακαριώτερος ὁ τὰς πλείους ὑπομένων ἐστίν, ἐπειδὴ ἑκάστῳ ἀποδώσει 5 κατὰ τὰ ἔργα αὐτοῦ.

Τί οὖν; οὐκ ἔστι τις καὶ ἐνταῦθα, φησί, καὶ ἐκεῖ ἀνέσεως ἀπολαύων; Ἀμήχανον τοῦτό ἐστιν, ἄνθρωπε, καὶ τῶν ἀδυνάτων ἕν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὸν ἐνταῦθα ῥᾳθυμίας καὶ ἀδείας ἀπολαύοντα καὶ τρυφῶντα συνεχῶς ἐν πᾶσι καὶ τὸν εἰκῇ καὶ ἁπλῶς 10 ζῶντα βίον, τιμῆς ἀπολαῦσαι ἐκεῖ. Κἂν γὰρ πενία μὴ ἐνοχλῇ, ἀλλ' ἐπιθυμία ἐνοχλεῖ, καὶ διὰ ταύτης κατέχεται, καὶ οὐ μικρὸς ἐν τούτῳ ὁ πόνος· κἂν νόσος μὴ ἐπηρεάζῃ, ἀλλὰ θυμὸς ἐκκαίει, καὶ οὐχ ἡ τυχοῦσα ὀδύνη περιγενέσθαι ὀργῆς· κἂν πειρασμοὶ μὴ ἐπενεχθῶσιν, ἀλλὰ λογισμοὶ πονηροὶ συνεχῶς ἐπανίστανται. Οὐκ ἔστι δὲ τὸ 15 τυχὸν χαλινῶσαι ἐπιθυμίαν ἄτοπον, παῦσαι κενοδοξίαν, καταστεῖλαι ἀπόνοιαν, τρυφῆς ἀποστῆναι, ἐν σκληραγωγίᾳ διάγειν· τὸν γὰρ μὴ ταῦτα καὶ τὰ τοιαῦτα ποιοῦντα ἀμήχανον σωθῆναί ποτε. Καὶ ὅτι οἱ τρυφῶντες οὐ σώζονται, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ γυναικὸς χήρας· «ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκεν». Εἰ δὲ περὶ γυναι-20 κὸς τοῦτο εἴρηται, πολλῷ μᾶλλον περὶ ἀνδρός. Καὶ ὅτι οὐκ ἔστι τινὰ ἄνετον ζῶντα βίον ἐπιτυχεῖν τῶν οὐρανῶν, καὶ ὁ Χριστὸς τοῦτο αὐτὸ δῆλον ἐποίησεν, οὕτως εἰπών· «στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν».

25 *Πῶς οὖν λέγει, φησίν, «ὁ ζυγός μου χρηστός ἐστι καὶ τὸ φορτίον μου ἐλαφρόν»; Εἰ γὰρ στενὴ ἡ ὁδὸς καὶ τεθλιμμένη, πῶς πάλιν αὐτὴν ἐλαφρὰν καὶ κούφην καλεῖ; Τὸ μὲν διὰ τὴν φύσιν τῶν πειρασμῶν, τὸ δὲ διὰ τὴν προαίρεσιν τῶν μετιόντων. Ἔστι γάρ τι καὶ τὸ ἀφόρητον τῇ φύσει γενέσθαι κοῦφον, ὅταν μετὰ προθυμίας 30 αὐτὸ δεχώμεθα, ὥσπερ οὖν καὶ οἱ ἀπόστολοι μαστιγωθέντες ὑπέστρεφον χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυ-*

24. Ματθ. 16,27.
25. Α' Τιμ. 5,6.
26. Ματθ. 7,14.
27. Ματθ. 11,30.

ρίπτωσι δύο ἁμαρτωλῶν, ἂν ὁ ἕνας τιμωρηθῆ ἐδῶ, καὶ ὁ ἄλλος δὲν τιμωρηθῆ, εἶναι πιὸ μακάριος ἐκεῖνος ποὺ τιμωρεῖται ἐδῶ, ἀπὸ αὐτὸν ποὺ δὲν τιμωρεῖται, ἔτσι λοιπὸν καὶ στὴν περίπτωσι δύο δικαίων ἐδῶ, ἂν ὁ ἕνας ὑπομείνη περισσότερες καὶ ὁ ἄλλος λιγώτερες θλίψεις, πιὸ μακάριος εἶναι αὐτὸς ποὺ ὑπέμεινε τὶς περισσότερες, ἐπειδὴ τὸν καθένα θὰ τὸν ἀνταμείψη ἀνάλογα μὲ τὰ ἔργα του[24].

Τί λοιπόν; Δὲν ὑπάρχει, λέγει, κανεὶς ποὺ ν' ἀπολαμβάνη ἄνεσι καὶ ἐδῶ καὶ ἐκεῖ; Εἶναι δύσκολο αὐτό, ἄνθρωπε, καὶ κάτι ἀπὸ τὰ ἀδύνατα. Διότι δὲν εἶναι, δὲν εἶναι δυνατό, ἕνας ποὺ περνᾶ ἐδῶ τὴ ζωή του μὲ ἀδιαφορία καὶ ἄνεσι καὶ ἀπολαμβάνει διαρκῶς τρυφὴ σὲ ὅλα καὶ καλοπερνᾶ πάντα καὶ ζῆ τὴ ζωή του ἐπιπόλαια, ν' ἀπολαύση ἐκεῖ τιμή. Διότι, κι' ἂν ἀκόμη δὲν τὸν ἐνοχλῆ ἡ φτώχεια, τὸν ἐνοχλεῖ ἡ ἐπιθυμία, καὶ κυριεύεται ἀπὸ αὐτήν, καὶ δὲν εἶναι μικρὸς γι' αὐτὸ ὁ πόνος του· κι' ἂν δὲν δοκιμάζεται ἀπὸ ἀρρώστια, ὅμως τὸν κατακαίει ὁ θυμός, καὶ δὲν εἶναι τυχαῖος ὁ πόνος νὰ ὑπερνικήση τὴν ὀργή του· κι' ἂν δὲν ἐπέλθουν ἐναντίον του πειρασμοί, ὅμως ἐπαναστατοῦν συνεχῶς οἱ πονηροὶ λογισμοί. Καὶ δὲν εἶναι εὔκολο νὰ χαλιναγωγήση κανεὶς τὴν παράλογη ἐπιθυμία, νὰ καταπαύση τὴν κενοδοξία, νὰ μειώση τὴν ἀπελπισία, ν' ἀπομακρυνθῆ ἀπὸ τὴν ἀσωτία, νὰ ζῆ μὲ σκληραγωγία· διότι αὐτὸς ποὺ δὲν τὰ κάνει αὐτὰ καὶ τὰ παρόμοια, εἶναι ἀδύνατο νὰ σωθῆ ποτέ. Καὶ ὅτι οἱ ἄσωτοι δὲν σώζονται, ἄκουσε τί λέγει ὁ Παῦλος γιὰ τὴν χήρα γυναῖκα· «ἐκείνη ποὺ σπαταλᾶ, ἂν καὶ εἶναι ζωντανή, ἔχει πεθάνει»[25]. Καὶ ἐὰν αὐτὸ ἔχει λεχθῆ γιὰ τὴ γυναῖκα, πολὺ περισσότερο γιὰ τὸν ἄνδρα. Καὶ ὅτι δὲν εἶναι δυνατὸ κάποιος ποὺ ζῆ ἄνετη ζωὴ νὰ ἐπιτύχη τοὺς οὐρανούς, καὶ ὁ Χριστὸς τὸ φανέρωσε αὐτό, λέγοντας· «εἶναι στενὴ καὶ γεμάτη θλίψεις ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὴ ζωή, καὶ λίγοι εἶναι ἐκεῖνοι ποὺ τὴ βρίσκουν»[26].

Πῶς τότε, λέγει, εἶπε, «ὁ ζυγός μου εἶναι εὐχάριστος, καὶ τὸ φορτίο μου εἶναι ἐλαφρύ»[27]; Ἐὰν λοιπὸν ἡ ὁδὸς εἶναι στενὴ καὶ γεμάτη θλίψεις, πῶς πάλι τὴν ἀποκαλεῖ ἐλαφριὰ καὶ εὔκολη; Τὸ ἕνα τὸ λέγει γιὰ τὴν μορφὴ τῶν πειρασμῶν, καὶ τὸ ἄλλο γιὰ τὴν προαίρεσι αὐτῶν ποὺ δοκιμάζονται. Διότι εἶναι δυνατὸ κι' αὐτὸ ποὺ ἀπὸ τὴν φύσι του εἶναι ἀφόρητο, νὰ γίνη ἐλαφρύ, ὅταν τὸ δεχώμαστε μὲ προθυμία, ὅπως ἀκριβῶς καὶ οἱ ἀπόστολοι, πού, ἂν καὶ μαστιγώθηκαν, γύρισαν πίσω χαρούμενοι, διότι ἀξιώθηκαν ν' ἀτιμασθοῦν χά-

ρίου ἀτιμασθῆναι· καίτοι ἡ φύσις τῶν βασάνων θλῖψιν εἴωθεν ἐμποιεῖν καὶ ὀδύνην, ἀλλ' ἡ προαίρεσις τῶν μαστιγωθέντων καὶ τὴν φύσιν τῶν πραγμάτων ἐνίκησε. Διὰ τοῦτο καὶ ὁ Παῦλός φησιν· «πάντες δὲ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσον-
5 *ται». Ὥστε, κἂν ἄνθρωπος μὴ διώκῃ, ἀλλ' ὁ διάβολος πολεμεῖ· καὶ πολλῆς ἡμῖν δεῖ τῆς φιλοσοφίας καὶ μεγάλης τῆς καρτερίας, ἵνα ἐν ταῖς εὐχαῖς νήφωμεν καὶ ἀγρυπνῶμεν, ἵνα τῶν ἀλλοτρίων μὴ ἐπιθυμῶμεν, ἵνα τὰ ὄντα πρὸς τοὺς δεομένους διανεμώμεθα, ἵνα πάσῃ τρυφῇ στένειν καὶ οἰμώζειν εἴπωμεν, καὶ τῇ διὰ τῶν ἱματίων*
10 *καὶ τῇ διὰ τῆς τραπέζης, ἵνα πλεονεξίαν φύγωμεν, ἵνα μέθην, ἵνα λοιδορίαν, ἵνα γλώττης κρατῶμεν, ἵνα μηδὲ βοῶμεν ἀτάκτως· «πᾶσα γὰρ πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν», ἵνα μὴ αἰσχρολογῶμεν, ἵνα μὴ ἀστεῖα λέγωμεν. Οὐ μικρὸς δὲ πόνος οὗτος, ἀκριβῆ τὴν τούτων παρατήρησιν*
15 *ἐπιδείκνυσθαι.*

Καὶ ἵνα μάθῃς πόσον ἐστὶ τὸ φιλοσοφεῖν, καὶ ὡς οὐκ ἔχει τὸ πρᾶγμα ἄνεσιν, ἄκουσον τί φησιν ὁ Παῦλος· «ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ»· τοῦτο γὰρ εἰπών, ᾐνίξατο τὴν βίαν καὶ τὸν πολὺν πόνον, ὃν ὑπομένειν ἀνάγκη τοὺς βουλομένους ἐν ἅπασιν εὐ-
20 *ήνιον κατασκευάζειν τὸ σῶμα. Καὶ ὁ Χριστὸς δὲ τοῖς μαθηταῖς ἔλεγεν· ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον». Αὕτη, φησίν, ἡ θλῖψις ἄνεσιν ὑμῖν προξενεῖ· σκάμμα ἐστὶν ὁ παρὼν βίος· ἐν δὲ τῷ σκάμματι καὶ ἐν τοῖς ἀγῶσιν οὐκ ἂν δύναιτ' ἀπολαύειν ἀνέσεως ὁ στεφανοῦσθαι μέλλων. Ὥστε εἴ τις*
25 *βούλοιτο στεφανωθῆναι, τὸν σκληρὸν καὶ ἐπίπονον αἱρείσθω βίον, ἵνα βραχὺν ἐνταῦθα πονήσας χρόνον, διηνεκοῦς ἀπολαύσῃ τιμῆς ἐκεῖ.*

ζ'. Πόσαι προσπίπτουσι καθ' ἑκάστην ἡμέραν ἀθυμίαι; ἡλίκης δέ ἐστι ψυχῆς μὴ ἀποδυσπετῆσαι, μηδὲ δυσχερᾶναι, ἀλλὰ εὐχαρι-
30 *στῆσαι, δοξάσαι, προσκυνῆσαι τὸν συγχωροῦντα τοὺς πειρασμοὺς τούτους ἐπενεχθῆναι, πόσα ἀδόκητα, πόσαι στενοχωρίαι; Καὶ δεῖ θλίβειν τοὺς πονηροὺς λογισμοὺς καὶ μὴ συγχωρεῖν τῇ γλώττῃ*

28. Πραξ. 5,41.
29. Β' Τιμ. 3,12.
30. Ἐφ. 4,31.
31. Α' Κορ. 9,27.
32. Ἰω. 16,33.

ριν τοῦ ὀνόματος τοῦ Κυρίου[28]· ἂν καὶ βέβαια ἡ φύσις τῶν βασάνων συνήθως προκαλεῖ θλῖψι καὶ πόνο, ὅμως ἡ προαίρεσις ἐκείνων ποὺ μαστιγώθηκαν νίκησε καὶ τὴ φύσι τῶν πραγμάτων. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «καὶ ὅλοι ὅσοι θέλουν νὰ ζοῦν μὲ εὐσέβεια στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ, θὰ καταδιωχθοῦν»[29]. Ἑπομένως, κι' ἂν ἀκόμη δὲν μᾶς καταδιώκη ἄνθρωπος, ὅμως ὁ διάβολος μᾶς πολεμᾶ· καὶ χρειαζόμαστε πολλὴ πίστι καὶ μεγάλη ὑπομονή, γιὰ νὰ κάνουμε μὲ νηφαλιότητα τὶς προσευχές μας καὶ ἐπαγρύπνησι, γιὰ νὰ μὴν ἐπιθυμοῦμε τὰ τῶν ἄλλων, γιὰ νὰ μοιράζουμε τὰ ὑπάρχοντά μας σ' αὐτοὺς ποὺ τὰ ἔχουν ἀνάγκη, γιὰ νὰ ποῦμε ὅτι πρέπει νὰ στενάζουμε καὶ νὰ θρηνοῦμε γιὰ κάθε πολυτέλεια καὶ στὰ ἐνδύματα καὶ στὰ τραπέζια, γιὰ ν' ἀποφύγουμε τὴν πλεονεξία, τὴ μέθη, τὴν κατηγορία, καὶ νὰ κρατοῦμε τὴ γλῶσσα, γιὰ νὰ μὴν φωνάζουμε ἀνάρμοστα, διότι λέγει, «κάθε πίκρα καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἂς φύγη ἀπὸ σᾶς»[30], γιὰ νὰ μὴν αἰσχρολογοῦμε, γιὰ νὰ μὴν ἀστειευώμαστε. Καὶ δὲν εἶναι μικρὸς αὐτὸς ὁ κόπος, τὸ νὰ διακρίνουμε καὶ νὰ ἐκτελοῦμε μὲ πολλὴ προσοχὴ ὅλα αὐτά.

Καὶ γιὰ νὰ μάθης πόσο μεγάλο πρᾶγμα εἶναι ἡ ἄσκησις τῆς ἀρετῆς καὶ ὅτι δὲν ἔχει αὐτὸ ἀνάπαυσι, ἄκουσε τί λέγει ὁ Παῦλος· «ταλαιπωρῶ τὸ σῶμα μου καὶ τὸ ὑποδουλώνω»[31]· λέγοντας αὐτό, ὑπαινίχθηκε τὴ βία καὶ τὸν πολὺ κόπο, ποὺ πρέπει νὰ ὑποστοῦν ὅσοι θέλουν νὰ κάνουν ὑπάκουο τὸ σῶμα τους σὲ ὅλα. Ἀλλὰ καὶ ὁ Χριστὸς ἔλεγε στοὺς μαθητές του· «θὰ ἔχετε θλῖψι, ὅσο εἶστε μέσα στὸν κόσμο, ἀλλὰ ἔχετε θάρρος, ἐγὼ ἔχω νικήσει τὸν κόσμο»[32]. Αὐτή, λέγει, ἡ θλῖψις σᾶς φέρνει ἀνάπαυσι· εἶναι σκάμμα αὐτὴ ἡ ζωή· καὶ στὸ σκάμμα καὶ στοὺς ἀγῶνες δὲν θὰ μποροῦσε ν' ἀναπαύεται αὐτὸς ποὺ θέλει νὰ στεφανωθῆ. Ἑπομένως, ἐὰν κάποιος θέλη νὰ στεφανωθῆ, ἂς προτιμήση τὸν σκληρὸ καὶ κοπιαστικὸ βίο, ὥστε, ἀφοῦ κοπιάση ἐδῶ γιὰ λίγο, ν' ἀπολαύση παντοτινὴ τιμὴ ἐκεῖ.

7. Πόσες λύπες μᾶς συμβαίνουν κάθε ἡμέρα; Καὶ πόσο μεγάλη ψυχὴ χρειάζεται γιὰ νὰ μὴν ἀπελπισθῆ κανεὶς καὶ νὰ μὴ δυσανασχετήση, ἀλλὰ νὰ εὐχαριστήση, νὰ δοξάση, νὰ προσκυνήση αὐτὸν ποὺ ἐπιτρέπει τοὺς πειρασμοὺς αὐτοὺς νὰ μᾶς πολεμήσουν, πόσα ἀπροσδόκητα, πόσες στενοχώριες; Καὶ πρέπει νὰ συνθλίβουμε τοὺς πονηροὺς λογισμούς, καὶ νὰ μὴν ἐπιτρέπουμε στὴ γλῶσσα νὰ

φθέγγεσθαί τι τῶν ἀτόπων· καθάπερ καὶ ὁ μακάριος Ἰὼβ μυρία παθὼν ἔμενεν εὐχαριστῶν τῷ Θεῷ. Εἰσὶ δέ τινες οἵ, ἐὰν προσπταίσωσιν ἔν τινι, ἢ παρά τινος λοιδορηθῶσιν, ἢ ἀρρωστίᾳ περιπέσωσιν, ἢ ποδαλγίᾳ, ἢ κεφαλαλγίᾳ, ἢ ἄλλῳ τινὶ τοιούτων νοσή-
5 *ματι, βλασφημοῦσιν εὐθέως· καὶ τὸν μὲν πόνον ὑφίστανται τοῦ νοσήματος, τοῦ κέρδους δὲ ἀποστεροῦνται.*

Τί ποιεῖς, ἄνθρωπε, τὸν εὐεργέτην καὶ Σωτῆρα καὶ προστάτην καὶ κηδεμόνα βλασφημῶν; ἢ οὐκ αἰσθάνῃ κατὰ κρυμνοῦ φερόμενος καὶ εἰς βάραθρον σαυτὸν ἐμβάλλων ἀπωλείας ἐσχάτης; μὴ
10 *γάρ, ἐὰν βλασφημήσῃς, κουφότερον τὸ πάθος ποιεῖς; ἐπιτείνεις μὲν οὖν αὐτὸ καὶ χαλεπωτέραν ἐργάζῃ τὴν ὀδύνην. Διὰ γὰρ τοῦτο ὁ διάβολος μυρία ἐπάγει δεινά, ἵνα εἰς ἐκεῖνό σε καταγάγῃ τὸ βάραθρον· κἂν μὲν ἴδῃ βλασφημοῦντα, ῥᾳδίως αὔξει τὴν ἀλγηδόνα καὶ μείζονα ποιεῖ, ἵνα κεντούμενος ἀποδυσπετήσῃς πάλιν· ἂν δὲ ἴδῃ σε*
15 *γενναίως φέροντα καὶ ὅσῳ τὸ πάθος ἐπιτείνεται, τοσούτῳ μᾶλλον εὐχαριστοῦντα τῷ Θεῷ, ἀφίσταται εὐθέως, ὡς εἰκῇ καὶ μάτην προσεδρεύων λοιπόν. Καὶ καθάπερ κύων τραπέζῃ παρεστώς, ἂν μὲν ἴδῃ τὸν ἐσθίοντα ἄνθρωπον συνεχῶς αὐτῷ ῥίπτοντα τῶν ἐπὶ τῆς τραπέζης τι κειμένων, μένει διηνεκῶς, ἂν δὲ ἅπαξ καὶ δεύτε-*
20 *ρον παραστὰς μηδὲν ἀπέλθῃ λαβών, ἀφίσταται λοιπόν, ἅτε εἰκῇ προσεδρεύων καὶ μάτην· οὕτω καὶ ὁ διάβολος συνεχῶς κέχηνε πρὸς ἡμᾶς· ἂν μὲν ῥίψῃς αὐτῷ καθάπερ κυνί, ῥῆμα βλάσφημον, δεξάμενος πάλιν ἐπιθήσεται· ἂν δὲ μείνῃς εὐχαριστῶν, ἀπέπνιξας αὐτὸν τῷ λιμῷ καὶ ταχέως ἀπήγαγες καὶ ἀποπηδῆσαι ἐποίησας.*

25 *Ἀλλ' οὐ δύνασαι σιγᾶν ὑπὸ τῆς ὀδύνης κεντούμενος. Οὐδὲ ἐγὼ κωλύω σε φθέγγεσθαι, ἀλλ' ἀντὶ τῆς βλασφημίας εὐχαριστίαν, ἀντὶ τῆς ἀποδυσπετήσεως εὐφημίαν. Ἐξομολόγησαι τῷ Δεσπότῃ, βόα μεγάλα εὐχόμενος, βόα μεγάλα δοξάζων τὸν Θεόν· οὕτω σοι καὶ τὸ πάθος ἐπικουφίζεται, τοῦ διαβόλου μὲν ἀφισταμένου διὰ τῆς*
30 *εὐχαριστίας, τῆς τοῦ Θεοῦ δὲ βοηθείας παραγινομένης. Ἂν μὲν γὰρ βλασφημήσῃς, καὶ τὴν τοῦ Θεοῦ συμμαχίαν ἀπεκρούσω, καὶ*

λέγη κάτι ἀπὸ τὰ ἀνάρμοστα· ὅπως ἀκριβῶς καὶ ὁ μακάριος Ἰώβ, πού, ἂν καὶ ἔπαθε τόσα πολλά, ὅμως ἐξακολουθοῦσε νὰ εὐχαριστῆ τὸν Θεό. Ὑπάρχουν ὅμως μερικοὶ πού, ἐὰν φταίξουν σὲ κάτι ἢ κάποιος τοὺς ὑβρίση ἢ πέσουν σ' ἀρρώστια ἢ τοὺς συμβῆ ποδαλγία ἢ κεφαλόπονος ἢ κάποια ἄλλη τέτοια ἀσθένεια, ἀμέσως βλασφημοῦν· καὶ τὸν πόνο τῆς ἀρρώστιας βέβαια τὸν ὑφίστανται, χάνουν ὅμως τὸ κέρδος.

Τί κάνεις, ἄνθρωπέ μου, τὸν εὐεργέτη καὶ Σωτῆρα καὶ προστάτη καὶ κηδεμόνα βλασφημεῖς; Ἢ δὲν αἰσθάνεσαι, ὅτι τρέχεις πρὸς τὸν γκρεμὸ καὶ σπρώχνεις τὸν ἑαυτό σου στὸ βάραθρο τῆς χειρότερης καταστροφῆς; Μήπως δηλαδὴ ἐὰν βλασφημήσης θὰ ἐλαφρύνης τὸ πάθος; Κι' αὐτὸ τὸ μεγαλώνεις, καὶ κάνεις τὸν πόνο βαρύτερο. Διότι γι' αὐτὸ ὁ διάβολος σοῦ ἐπιφέρει μύρια δεινά, γιὰ νὰ σὲ ρίξη σ' ἐκεῖνο τὸ βάραθρο· κι' ἂν σὲ δῆ νὰ βλασφημῆς, εὔκολα θ' αὐξήση τὸν πόνο καὶ θὰ τὸν κάνη μεγαλύτερο, ὥστε, δεχόμενος τὰ κεντρίσματα, ν' ἀπογοητυθῆς πάλι· ἂν ὅμως σὲ δῆ νὰ τὰ ὑπομένης μὲ γενναιότητα, καὶ ὅσο τὸ πάθος ἐπιτείνεται, τόσο περισσότερο νὰ εὐχαριστῆς τὸν Θεό, ἀπομακρύνεται ἀμέσως, ἐπειδὴ ἄσκοπα καὶ στὰ χαμένα σὲ πολιορκεῖ. Καὶ ὅπως ὁ σκύλος ποὺ στέκεται δίπλα στὸ τραπέζι, ἂν δῆ τὸν ἄνθρωπο ποὺ τρώγει νὰ τοῦ ρίχνη κάτι ἀπὸ αὐτὰ ποὺ εἶναι ἐπάνω στὸ τραπέζι, μένει ἐκεῖ διαρκῶς, ἂν ὅμως σταθῆ κοντὰ μία καὶ δύο φορὲς καὶ φύγη χωρὶς νὰ πάρη τίποτε, ἀπομακρύνεται πλέον, ἀφοῦ ἄσκοπα καὶ στὰ χαμένα καθόταν καὶ περίμενε· ἔτσι καὶ ὁ διάβολος ἔχει συνεχῶς ἀνοιχτὸ τὸ στόμα του σὲ μᾶς· ἂν τοῦ ρίξης, ὅπως ἀκριβῶς στὸν σκύλο, ἕναν λόγο βλάσφημο, ἀφοῦ τὸν πάρη, πάλι θὰ ἐπιτεθῆ· ἂν ὅμως ἐπιμείνης νὰ εὐχαριστῆς τὸν Θεό, τὸν ἔπνιξες στὴν πεῖνα, καὶ ἀμέσως τὸν ἔδιωξες καὶ τὸν ἔκανες ν' ἀπομακρυνθῆ.

Ἀλλὰ δὲν μπορεῖς νὰ σωπαίνης ὅταν σὲ κεντᾶ ὁ πόνος. Οὔτε ἐγὼ σὲ ἐμποδίζω νὰ μιλᾶς, ἀλλὰ ἀντὶ τῆς βλασφημίας νὰ εὐχαριστῆς, ἀντὶ τῆς ἀπελπισίας νὰ δοξολογῆς. Ἐξομολογήσου στὸν Κύριο, φώναζε δυνατὰ προσευχόμενος, φώναζε δυνατὰ δοξολογώντας τὸν Θεό· ἔτσι καὶ τὸ πάθος σοῦ γίνεται ἐλαφρύτερο, διότι ὁ διάβολος φεύγει μακριὰ μὲ τὴν εὐχαριστία, καὶ ἔρχεται ἡ βοήθεια τοῦ Θεοῦ κοντά σου. Διότι, ἐὰν βλασφημήσης καὶ τὴν συμμαχία τοῦ Θεοῦ θ' ἀποκρούσης, καὶ τὸν διάβολο θὰ τὸν κάνης σφοδρότερο

σφοδρότερον εἰργάσω κατὰ σαυτοῦ τὸν διάβολον, καὶ μᾶλλον σαύτὸν ἐνέπληξας ταῖς ἀλγηδόσιν· ἂν δὲ εὐχαριστήσης, τάς τε ἐπιβουλὰς ἀπεκρούσω τὰς τοῦ πονηροῦ δαίμονος, καὶ τὴν τοῦ κηδεμόνος Θεοῦ θεραπείαν ἐπεσπάσω πρὸς σεαυτόν.

5 *Ἀλλ' ὑπὸ τῆς συνηθείας ὁρμᾷ πολλάκις ἡ γλῶττα τὸ πονηρὸν ἐκεῖνο φθέγξασθαι ῥῆμα. Ἀλλ' ἐπειδὰν ὁρμήση, πρὶν ἢ τὸ ῥῆμα ἐξενεγκεῖν, κατάδακε τοῖς ὀδοῦσιν αὐτὴν πάντοθεν σφοδρῶς. Βέλτιον αὐτὴν αἷμα ῥέειν νῦν, ἢ τότε σταγόνος ἐπιθυμοῦσαν μὴ δυνηθῆναι τῆς παραμυθίας ταύτης τυχεῖν· βέλτιον αὐτὴν πρόσκαιρον 10 ὑπομεῖναι πόνον, ἢ διενεκοῦς κολάσεως ὑποστῆναι τὴν τιμωρίαν τότε, καθάπερ καὶ ἡ τοῦ πλουσίου τότε γλῶττα φλεγομένη παραμυθίας ἔτυχεν οὐδεμιᾶς. Τοὺς ἐχθρούς σου προσέταξεν ὁ Θεὸς φιλεῖν· σὺ δὲ τὸν φιλοῦντά σε ἀποστρέφῃ Θεόν; τοὺς ἐπηρεάζοντας εὐφημεῖν, τοὺς λοιδοροῦντας εὐλογεῖν· σὺ δὲ τὸν εὐεργέτην καὶ 15 προστάτην λέγεις κακῶς μηδὲν ἠδικημένος; Μὴ γὰρ οὐκ ἠδύνατο λῦσαι τὸν πειρασμόν; ἀλλὰ συνεχώρησεν, ἵνα γένῃ δοκιμώτερος.*

Ἀλλ' ἰδού, φησί, καταπίπτω καὶ ἀπόλλυμαι. Οὐ παρὰ τὴν τοῦ πειρασμοῦ φύσιν, ἀλλὰ παρὰ τὴν ῥᾳθυμίαν τὴν σήν. Τί γὰρ εὐκολώτερον, εἰπέ μοι, βλασφημία ἢ εὐχαριστία; οὐχὶ τὸ μὲν καὶ τοὺς 20 ἀκούοντας ἐχθρούς σοι καὶ πολεμίους καθίστησι, καὶ εἰς ἀθυμίαν ἐμβάλλει, μετὰ ταῦτα καὶ πολλὴν ἐργάζεται τὴν ὀδύνην, τὸ δὲ μυρίους σοι φέρει φιλοσοφίας στεφάνους καὶ μυρία παρὰ πάντων θαύματα καὶ μεγάλας παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβάς; Τί τοίνυν τὸ ὠφελοῦν καὶ εὔκολον καὶ ἡδὺ ἀφείς, τὸ βλάπτον καὶ λυποῦν καὶ 25 κατατῆκον ἀντ' ἐκείνου διώκεις; Ἄλλως δέ, εἰ ἡ τοῦ πειρασμοῦ καὶ τῆς πενίας θλῖψις αἰτία τῶν βλασφημιῶν ἐγίνετο, πάντας ἔδει τοὺς ἐν πενίᾳ βλασφημεῖν· νυνὶ δὲ τῶν ἐν πενίᾳ ζώντων ἐσχάτῃ πολλοὶ διηνεκῶς εὐχαριστοῦσιν, ἕτεροι δέ, ἀπολαύοντες πλούτου καὶ τρυφῆς, οὐ διαλιμπάνουσι βλασφημοῦντες· οὕτως οὐχ ἡ τῶν 30 πραγμάτων φύσις, ἀλλ' ἡ προαίρεσις ἡ ἡμετέρα καὶ τοῦτο κἀκεῖνο ἐργάζεται.

Διὰ γὰρ τοῦτο καὶ ταύτην ἀνέγνωμεν τὴν παραβολήν, ἵνα μάθῃς, ὅτι τὸν μὲν ῥᾳθυμοῦντα οὐδὲ ὁ πλοῦτος ὀνίνησι, τὸν προσέ-

33. Λουκᾶ 6,27–28.

ἐναντίον σου, καὶ ἀκόμη περισσότερο θὰ πληγώσης τὸν ἑαυτό σου μὲ τοὺς πόνους· ἂν ὅμως εὐχαριστήσης τὸν Θεό, καὶ τὶς ἐπιβουλὲς τοῦ πονηροῦ δαίμονα θ' ἀποκρούσης καὶ τὴ βοήθεια τοῦ προστάτη Θεοῦ θ' ἀποσπάσης γιὰ τὸν ἑαυτό σου.

Ἀλλὰ πολλὲς φορὲς ἀπὸ συνήθεια ὁρμᾶ ἡ γλῶσσα νὰ πῆ τὸν πονηρὸ ἐκεῖνο λόγο. Τότε, ὅταν ὁρμήση, πρὶν βγάλη τὸν λόγο, δάγκωνέ την δυνατὰ ἀπὸ παντοῦ μὲ τὰ δόντια σου. Εἶναι καλύτερα νὰ τρέχη αἷμα τώρα, παρὰ νὰ ἐπιθυμῆ τότε μιὰ σταγόνα καὶ νὰ μὴν μπορῆ νὰ ἐπιτύχη αὐτὴν τὴν παρηγοριά· εἶναι καλύτερα νὰ ὑπομείνη τὸν πρόσκαιρο πόνο, παρὰ νὰ ὑποστῆ τὴν αἰώνια τιμωρία τότε, ὅπως ἀκριβῶς καὶ ἡ γλῶσσα τοῦ πλουσίου τότε, πού, ἂν καὶ φλεγόταν, δὲν βρῆκε καμμιὰ ἀνακούφισι. Ὁ Θεὸς παρήγγειλε ν' ἀγαπᾶς τοὺς ἐχθρούς σου, κι' ἐσὺ ἀποστρέφεσαι τὸν Θεὸ ποὺ σὲ ἀγαπᾶ; παρήγγειλε νὰ ἐπαινῆς ἐκείνους ποὺ σὲ βρίζουν καὶ νὰ εὐλογῆς ἐκείνους ποὺ σὲ κακολογοῦν[33], κι' ἐσὺ τὸν εὐεργέτη καὶ προστάτη κακολογεῖς χωρὶς νὰ ἔχης ἀδικηθῆ σὲ τίποτε; Μήπως δὲν μποροῦσε νὰ σ' ἐλευθερώση ἀπὸ τὴ δοκιμασία; Ὅμως τὴν ἐπέτρεψε, γιὰ νὰ γίνης πιὸ ἄξιος.

Ἀλλὰ νά, λέγει, ὑποκύπτω στὸν πειρασμὸ καὶ χάνομαι. Ὄχι ἐξ αἰτίας τῆς φύσεως τοῦ πειρασμοῦ, ἀλλ' ἐξ αἰτίας τῆς δικῆς σου ἀδιαφορίας. Διότι πές μου, τί εἶναι εὐκολώτερο, ἡ βλασφημία ἢ ἡ εὐχαριστία; δὲν κάνει ἡ βλασφημία κι' ἐκείνους ποὺ σὲ ἀκοῦν ἐχθροὺς καὶ ἀντιπάλους, καὶ σὲ περιβάλλει μὲ στενοχώρια, καὶ μαζὶ μ' αὐτὰ καὶ σοῦ προκαλεῖ μεγάλο πόνο, ἐνῶ ἡ εὐχαριστία δὲν σοῦ χαρίζει μύρια στεφάνια ἀρετῆς, καὶ μύριους θαυμασμοὺς ἀπὸ ὅλους, καὶ μεγάλες ἀμοιβὲς ἀπὸ τὸν Θεό; Γιατί λοιπὸν ἀφήνεις τὸ ὠφέλιμο καὶ εὔκολο καὶ εὐχάριστο καὶ ἐπιδιώκεις ἀντὶ ἐκείνου αὐτὸ ποὺ βλάπτει καὶ στενοχωρεῖ καὶ καταστρέφει; Ἄλλωστε, ἐὰν γινόταν αἰτία τῶν βλασφημιῶν ἡ θλῖψις τοῦ πειρασμοῦ καὶ τῆς φτώχειας, ἔπρεπε ὅλοι οἱ φτωχοὶ νὰ βλασφημοῦν. Τώρα ὅμως ἀπο αὐτοὺς ποὺ ζοῦν μέσα στὴν πιὸ χειρότερη φτώχεια, πολλοὶ συνεχῶς εὐχαριστοῦν, ἐνῶ ἄλλοι, ἂν καὶ ἀπολαμβάνουν τὸν πλοῦτο καὶ τὴν τρυφή, δὲν παύουν νὰ βλασφημοῦν· ἔτσι ὄχι ἡ φύσις τῶν πραγμάτων, ἀλλ' ἡ προίρεσίς μας προξενεῖ καὶ αὐτὸ καὶ ἐκεῖνο.

Γι' αὐτὸ ἀκριβῶς καὶ διαβάσαμε αὐτὴν τὴν παραβολή, γιὰ νὰ μάθης, ὅτι τὸν ράθυμο δὲν τὸν ὠφελεῖ οὔτε ὁ πλοῦτος, ἐνῶ τὸν προ-

χοντα δὲ οὐδὲ ἡ πενία καταβλάψαι δύναται. Καὶ τί λέγω, πενία; κἂν ἅπαντα ὁμοῦ συνέλθῃ τὰ ἐν ἀνθρώποις κακά, τὴν τοῦ φιλοθέου καὶ φιλοσόφου ψυχὴν οὐδέποτε ἐλέγξει, οὐδ' ἀποστῆναι πείσει τῆς ἀρετῆς (καὶ τούτων μάρτυς ὁ Λάζαρος)· ὥσπερ οὖν τὸν χαῦνον 5 καὶ διαλελυμένον οὐ πλοῦτος, οὐχ ὑγεία, οὐ διηνεκὴς εὐημερία, οὐκ ἄλλο οὐδὲν ὠφελῆσαι δυνήσεταί ποτε.

η'. Μὴ τοίνυν λέγωμεν ὅτι πενία καὶ νόσος καὶ κινδύνων ἐπαγωγαὶ βλασφημεῖν ἀναγκάζουσιν. Οὐ πενία, ἀλλὰ ἄνοια· οὐ νόσος, ἀλλὰ καταφρόνησις· οὐ κινδύνων ἐπαγωγαί, ἀλλ' εὐλαβείας ἐρη- 10 μία, καὶ εἰς βλασφημίαν καὶ εἰς πᾶσαν ἄγει κακίαν τοὺς μὴ προσέχοντας. Ἀλλὰ τίνος ἕνεκεν, φησίν, οἱ μὲν ἐντῦθα κολάζονται, οἱ δὲ ἐκεῖ, καὶ οὐκ ἐνταῦθα πάντες; Τίνος ἕνεκεν; Ὅτι, εἰ τοῦτο ἦν, πάντες ἂν ἀπωλόμεθα· πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις. Πάλιν, εἰ μηδεὶς ἐνταῦθα ἐκολάζετο, ῥᾳθυμότεροι οἱ πλείους ἐγένοντο καὶ 15 πολλοὶ ἂν εἶπον μὴ εἶναι πρόνοιαν. Εἰ γὰρ νῦν ὁρῶντες τῶν πονηρῶν πολλοὺς κολαζομένους, πολλὰ τοιαῦτα βλασφημοῦσιν, εἰ μηδὲ τοῦτο ἦν, τί οὐκ ἂν εἶπον; ποῦ δὲ οὐκ ἂν ἦλθον κακίας;

Διὰ τοῦτο ὁ Θεὸς τοὺς μὲν ἐνταῦθα κολάζει, τοὺς δὲ οὐ κολάζει· κολάζει μὲν γάρ τινας, τὴν κακίαν αὐτῶν ἐκκόπτων καὶ κουφοτέ- 20 ραν τὴν ἐκεῖ ποιῶν τιμωρίαν, ἢ καὶ τέλεον ἀπαλλάττων αὐτούς, καὶ τοὺς ἐν πονηρίᾳ ζῶντας σωφρονεστέρους ποιῶν τῇ τούτων τιμωρίᾳ· τοὺς δὲ οὐ κολάζει πάλιν, ἵνα, ἂν μὲν προσέχωσιν ἑαυτοῖς, μετανοήσαντες καὶ τὴν τοῦ Θεοῦ μακροθυμίαν αἰδεσθέντες, καὶ τῆς ἐνταῦθα κολάσεως ἀπαλλαγῶσι καὶ τῆς ἐκεῖ τιμωρίας· ἂν δὲ ἐπι- 25 μείνωσιν, μηδὲν ἀπὸ τῆς ἀνεξικακίας ὠφελούμενοι τοῦ Θεοῦ, μείζονα ὑποστῶσι τὴν τιμωρίαν διὰ τὴν ἄγαν αὐτῶν καταφρόνησιν. Εἰ δὲ λέγοι τις τῶν εὖ εἰδότων ὅτι οἱ κολαζόμενοι ἐπηρεάζονται (ἠδύναντο γὰρ μετανοῆσαι), ἐκεῖνο ἂν εἴποιμεν, ὅτι εἰ προῄδει μετανοήσοντας αὐτοὺς ὁ Θεὸς οὐκ ἂν ἐκόλασεν. Εἰ γὰρ οἶδεν ἀδιορ- 30 θώτους μένοντας, ὅμως ἀφίησι, πολλῷ μᾶλλον οὓς ᾔδει κερδανοῦντας ἀπὸ τῆς αὐτοῦ μακροθυμίας εἴασεν ἂν ἐν τῇ παρούσῃ ζωῇ,

σεκτικὸ δὲν μπορεῖ νὰ τὸν βλάψη οὔτε ἡ φτώχεια. Καὶ γιατί λέω, ἡ φτώχεια; Κι' ἂν ὅλα μαζὶ συνέλθουν τὰ κακὰ ποὺ ὑπάρχουν στοὺς ἀνθρώπους, δὲν θὰ τὴν νικήσουν τὴν ψυχὴ τοῦ φιλόθεου καὶ ἐνάρετου, οὔτε θὰ τὴν πείσουν ν' ἀπομακρυνθῆ ἀπὸ τὴν ἀρετὴ (καὶ μάρτυρας αὐτῶν εἶναι ὁ Λάζαρος)· ὅπως ἀκριβῶς τὸν ἀποχαυνωμένο καὶ παραλυμένο, οὔτε ὁ πλοῦτος, οὔτε ἡ ὑγεία, οὔτε ἡ διαρκὴς εὐημερία, οὔτε τίποτε ἄλλο θὰ μπορέση ποτὲ νὰ τὸν ὠφελήση.

8. Ἂς μὴ λέμε λοιπόν, ὅτι μᾶς ἀναγκάζουν νὰ βλασφημοῦμε ἡ φτώχεια καὶ ἡ ἀρρώστια καὶ οἱ ἐπιθέσεις τῶν κινδύνων. Ὄχι ἡ φτώχεια, ἀλλ' ἡ ἀνοησία· ὄχι ἡ ἀρρώστια ἀλλὰ ἡ περιφρόνησις· ὄχι οἱ ἐπιθέσεις τῶν κινδύνων, ἀλλ' ἡ ἔλλειψις εὐλάβειας ὁδηγεῖ καὶ στὴ βλασφημία καὶ σὲ κάθε κακία ἐκείνους ποὺ δὲν προσέχουν. Ἀλλὰ γιὰ ποιό λόγο, λέγει, ἄλλοι τιμωροῦνται ἐδῶ καὶ ἄλλοι ἐκεῖ, καὶ ὄχι ἐδῶ ὅλοι; Γιὰ ποιό λόγο; Γιὰ τὸν λόγο ὅτι, ἐὰν αὐτὸ γινόταν, ὅλοι θὰ χανόμασταν· διότι ὅλοι εἴμαστε ἄξιοι γιὰ τιμωρία. Ἐὰν πάλι κανεὶς δὲν τιμωροῦνταν ἐδῶ, θὰ γίνονταν οἱ περισσότεροι πιὸ ράθυμοι, καὶ πολλοὶ θὰ ἔλεγαν ὅτι δὲν ὑπάρχει πρόνοια. Ἐὰν δηλαδὴ τώρα, ἐνῶ βλέπουν ὅτι πολλοὶ ἀπὸ τοὺς κακοὺς τιμωροῦνται, λένε τέτοια βλάσφημα λόγια, ἐὰν δὲν συνέβαινε αὐτό, τί δὲν θὰ ἔλεγαν; σὲ ποιό μέγεθος κακίας δὲν θὰ ἔφθαναν;

Γι' αὐτὸ ὁ Θεὸς ἄλλους τοὺς τιμωρεῖ ἐδῶ, κι' ἄλλους ὄχι· τιμωρεῖ δηλαδὴ κάποιους, γιὰ νὰ σταματήση τὴν κακία καὶ νὰ κάνη ἐλαφρότερη τὴν τιμωρία τους ἐκεῖ ἢ καὶ τελείως νὰ τοὺς ἀπαλλάξη, καὶ αὐτοὺς ποὺ ζοῦν μὲ κακία τοὺς κάμνει πιὸ συνετοὺς μὲ τὴν τιμωρία αὐτῶν. Ἄλλους πάλι δὲν τοὺς τιμωρεῖ, ὥστε, ἐὰν προσέχουν τὸν ἑαυτό τους, ἀφοῦ μετανοήσουν καὶ ντραποῦν τὴ μακροθυμία τοῦ Θεοῦ, ν' ἀπαλλαγοῦν καὶ ἀπὸ τὴν ἐδῶ τιμωρία καὶ ἀπὸ τὴν ἐκεῖ· ἂν ὅμως ἐπιμείνουν, χωρὶς νὰ ὠφελοῦνται καθόλου ἀπὸ τὴν ἀνεξικακία τοῦ Θεοῦ, νὰ ὑποστοῦν μεγαλύτερη τιμωρία γιὰ τὴν πλήρη περιφρόνησί τους. Ἐὰν ὅμως ἔλεγε κάποιος, ἀπὸ αὐτοὺς ποὺ γνωρίζουν καλὰ αὐτὰ τὰ πράγματα, ὅτι αὐτοὶ ποὺ τιμωροῦνται ἐμποδίζονται (διότι θὰ μποροῦσαν νὰ μετανοήσουν), θὰ μπορούσαμε νὰ τοὺς ποῦμε ἐκεῖνο, ὅτι, ἐὰν προέβλεπε ὁ Θεὸς ὅτι θὰ μετανοήσουν, δὲν θὰ τοὺς τιμωροῦσε. Διότι, ἐὰν ἀφήνη αὐτοὺς ποὺ γνωρίζει ὅτι μένουν ἀδιόρθωτοι, πολὺ περισσότερο θὰ ἄφηνε σ' αὐτὴν τὴ ζωὴ αὐτοὺς ποὺ γνώριζε ὅτι θὰ ὠφεληθοῦν ἀπὸ τὴ μακροθυμία του, γιὰ ν'

ὥστε ἀπολαῦσαι τῆς προθεσμίας εἰς μετάνοιαν. Νυνὶ δὲ προαναρπάζων αὐτούς, κἀκείνοις κουφοτέραν τὴν ἐκεῖ δίκην καθίστησι καὶ τούτους σωφρονεστέρους ταῖς ἐκείνων τιμωρίαις κατεργάζεται.

Καὶ τίνος ἕνεκεν οὐκ ἐπὶ πάντων τοῦτο ποιεῖ τῶν πονηρῶν; 5 *Ἵνα τῷ φόβῳ καὶ ταῖς ἑτέρων τιμωρίαις μένοντες σωφρονέστεροι γένωνται, καὶ τὴν μακροθυμίαν ἐπαινέσαντες τοῦ Θεοῦ καὶ τὴν ἐπιείκειαν αἰδεσθέντες, τῆς πονηρίας ἀποστῶσιν. Ἀλλ᾽ οὐδὲν τούτων ποιοῦσι, φησίν. Ἀλλ᾽ οὐχ ὁ Θεὸς αἴτιος λοιπόν, ἀλλ᾽ ἡ ἐκείνων ῥᾳθυμία, μὴ βουληθέντων τοιούτοις φαρμάκοις εἰς τὴν οἰκείαν* 10 *ἀποχρήσασθαι σωτηρίαν. Καὶ ἵνα μάθῃς, ὅτι διὰ τοῦτο τοῦτο ποιεῖ, πρόσεχε. Ἔμιξέ ποτε τὸ αἷμα τῶν Γαλιλαίων ὁ Πιλᾶτος μετὰ τῶν θυσιῶν, καὶ προσελθόντες τινὲς ἀπήγγειλαν τῷ Χριστῷ αὐτὸ τοῦτο· καὶ λέγει· «τί δοκεῖτε ὅτι ἐκεῖνοι οἱ Γαλιλαῖοι ἁμαρτωλοὶ μόνοι ἦσαν; Οὐχί, λέγω ὑμῖν· ἀλλ᾽, ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς* 15 *ὁμοίως ἀπολεῖσθε». Πάλιν ἕτεροι δέκα καὶ ὀκτὼ κατεχώσθησαν ὑπὸ πύργου τινός· καὶ περὶ ἐκείνων τὰ αὐτὰ εἶπε· τῷ μὲν γὰρ εἰπεῖν, «τί δοκεῖτε ὅτι ἐκεῖνοι ἁμαρτωλοὶ ἦσαν μόνον; οὐχί, λέγω ὑμῖν», ἔδειξεν ὅτι καὶ οἱ ζῶντες τῶν αὐτῶν ἦσαν ὑπεύθυνοι· τῷ δὲ εἰπεῖν, ὅτι «ἐὰν μὴ μετανοήσητε, καὶ ὑμεῖς ὡσαύτως ἀπολεῖσθε»,* 20 *ἔδειξεν ὅτι κἀκείνοις συνεχώρησε διὰ τοῦτο παθεῖν, ἵνα οἱ ζῶντες ἐκ τῶν ἑτέροις συμβάντων φοβηθέντες καὶ μετανοήσαντες, βασιλείας κληρονόμοι γένωνται.*

Τί οὖν, ἵνα γένωμαι ἐγὼ βελτίων ἐκεῖνος κολάζεται, φησίν; Οὐ διὰ τοῦτο, ἀλλὰ κολάζεται μὲν διὰ τὴν οἰκείαν ἁμαρτίαν, γίνεται 25 *δὲ ἐκ περιουσίας τοῖς προσέχουσι σωτηρίας ὑπόθεσις, τῷ φόβῳ τῶν αὐτῷ συμβάντων σπουδαιοτέρους αὐτοὺς ποιῶν. Οὕτω καὶ δεσπόται ποιοῦσιν· ἕνα πολλάκις μαστιγώσαντες οἰκέτην, τοὺς λοιποὺς σωφρονεστέρους ἐποίησαν τῷ φόβῳ. Ὅταν οὖν ἴδῃς τινὰς ἢ ναυαγίῳ περιπεσόντας, ἢ ὑπὸ οἰκίας καταχωσθέντας, ἢ ὑπὸ ἐμ-* 30 *πρησμοῦ παραπολλυμένους, ἢ ὑπὸ ποταμῶν παρασυρέντας, ἢ ἄλλῳ τινὶ τρόπῳ τοιούτῳ βιαίῳ τὴν ζωὴν καταλύσαντας, εἶτα ἑτέρους τὰ αὐτὰ αὐτοῖς ἢ καὶ τὰ χείρονα ἁμαρτάνοντας, καὶ μηδὲν παθόντας τοιοῦτον, μὴ θορυβηθῇς λέγων· 'τί δήποτε τὰ αὐτὰ ἁμαρτά-*

34. Λουκᾶ 13,2.

ἀπολαύσουν τὴν προθεσμία γιὰ μετάνοια. Τώρα ὅμως τοὺς ἁρπάζει ἐνωρίτερα, γιὰ νὰ κάνη καὶ σ' ἐκείνους ἐλαφρύτερη τὴν τιμωρία καὶ αὐτοὺς νὰ τοὺς κάνη πιὸ φρόνιμους μὲ τὶς τιμωρίες ἐκείνων.

Καὶ γιὰ ποιό λόγο δὲν τὸ κάνει αὐτὸ σ' ὅλους τοὺς κακούς; Γιὰ νὰ γίνωνται, μένοντας στὴ ζωή, πιὸ φρόνιμοι, μὲ τὸν φόβο καὶ τὶς τιμωρίες τῶν ἄλλων, καὶ ἔτσι δοξάζοντας τὴ μακροθυμία τοῦ Θεοῦ καὶ νοιώθοντας ντροπὴ γιὰ τὴν ἐπιείκειά του, ν' ἀπομακρυθοῦν ἀπὸ τὴν κακία. Ὅμως δὲν κάνουν τίποτε ἀπὸ αὐτά, λέγει. Ἀλλὰ δὲν εἶναι αἴτιος ὁ Θεὸς τότε, ἀλλὰ ἡ δική τους ραθυμία, διότι δὲν θέλησαν τέτοια φάρμακα νὰ τὰ χρησιμοποιήσουν γιὰ τὴ δική τους σωτηρία. Καὶ γιὰ νὰ μάθης, ὅτι γι' αὐτὸ τὸ κάνει αὐτό, πρόσεχε. Ἕνωσε κάποτε ὁ Πιλᾶτος τὸ αἷμα τῶν Γαλιλαίων μὲ τὸ αἷμα τῶν θυσιῶν, καὶ ἀφοῦ προσῆλθαν μερικοὶ τὸ κατήγγειλαν στὸν Χριστὸ αὐτό· καὶ λέγει· «τί νομίζετε ὅτι μόνο ἐκεῖνοι οἱ Γαλιλαῖοι ἦταν ἁμαρτωλοί; Ὄχι, σᾶς λέγω· ἀλλά, ἐὰν δὲν μετανοήσετε καὶ ἐσεῖς, μὲ τὸν ἴδιο τρόπο θὰ χαθῆτε»[34]. Πάλι ἄλλοι δεκαοκτὼ θάφτηκαν κάτω ἀπὸ ἕναν πύργο· καὶ γι' αὐτοὺς τὰ ἴδια εἶπε· διότι μ' αὐτὸ ποὺ εἶπε, «τί νομίζετε ὅτι μόνο ἐκεῖνοι ἦταν ἁμαρτωλοί; ὄχι σᾶς λέγω», ἔδειξε ὅτι καὶ αὐτοὶ ποὺ ζοῦσαν ἦταν ὑπεύθυνοι γιὰ τὰ ἴδια· καὶ μ' αὐτὸ ποὺ εἶπε, «ἐὰν δὲν μετανοήσετε, κι' ἐσεῖς μὲ τὸν ἴδιο τρόπο θὰ χαθῆτε», ἔδειξε ὅτι ἐπέτρεψε καὶ σ' ἐκείνους νὰ τὸ πάθουν αὐτό, γιὰ νὰ φοβηθοῦν οἱ ζωντανοὶ ἀπὸ αὐτὰ ποὺ συνέβηκαν στοὺς ἄλλους καὶ νὰ μετανοήσουν, γιὰ νὰ γίνουν κληρονόμοι τῆς βασιλείας.

Τί λοιπόν, λέγει, γιὰ νὰ γίνωμαι καλύτερος ἐγώ, τιμωρεῖται ἐκεῖνος; Ὄχι γι' αὐτό, ἀλλὰ τιμωρεῖται βέβαια γιὰ τὴ δική του ἁμαρτία, γίνεται ὅμως ἐπὶ πλέον καὶ αἰτία σωτηρίας γι' αὐτοὺς ποὺ προσέχουν, κάνοντάς τους πιὸ πρόθυμους μὲ τὸν φόβο γιὰ ἐκεῖνα ποὺ συνέβηκαν σ' αὐτόν. Αὐτὸ κάνουν καὶ οἱ δεσπότες· πολλὲς φορές, ἐπειδὴ μαστίγωσαν ἕναν ὑπηρέτη, ἔκαναν τοὺς ἄλλους φρονιμότερους μὲ τὸν φόβο. Ὅταν λοιπὸν δῆς κάποιους, ποὺ ἢ ναυάγησαν ἢ ἔχουν ταφῆ κάτω ἀπὸ σπίτι ἢ ποὺ ἔχουν ἐν τῷ μεταξὺ χαθῆ ἀπὸ πυρκαϊὰ ἢ ποὺ ἔχουν παρασυρθῆ ἀπὸ ποταμοὺς ἢ ποὺ ἔχουν τελειώσει μὲ κάποιον ἄλλον παρόμοιο τρόπο τὴ ζωή τους, κι' ἔπειτα ἄλλους ποὺ πέφτουν στὰ ἴδια ἢ καὶ χειρότερα σφάλματα, χωρὶς νὰ παθαίνουν τίποτε ἀπὸ αὐτά, μὴ θορυβηθῆς, λέγοντας· 'Γιατί, ἐνῶ

νοντες, οὐ τὰ αὐτὰ πεπόνθασιν;' ἀλλὰ τοῦτο λογίζου, ὅτι τὸν μὲν εἴασεν ἀναιρεθῆναι καὶ ἀποπνιγῆναι, ἡμερωτέραν αὐτῷ παρασκευάζων τὴν ἐκεῖ τιμωρίαν ἢ καὶ τέλεον αὐτὸν ἀπαλλάττων· τοῦτον δὲ οὐδὲν ἀφῆκε τοιοῦτον παθεῖν, ἵνα τῇ τούτου τιμωρίᾳ
5 *σωφρονισθείς, ἐπιεικέστερος γένηται· ἂν δὲ ἐπιμένῃ τοῖς αὐτοῖς, ἀπαραμύθητον ἑαυτῷ παρὰ τῆς ἑαυτοῦ ῥᾳθυμίας σωρεύσει τὴν τιμωρίαν· καὶ ὁ Θεὸς οὐκ αἴτιος τῆς ἀφορήτου κολάσεως. Πάλιν, ἂν ἴδῃς δίκαιον θλιβόμενον ἢ τὰ προειρημένα ἅπαντα πάσχοντα, μὴ καταπέσῃς· καὶ γὰρ κἀκείνῳ λαμπροτέρους τοὺς στεφάνους ἐργά-*
10 *ζεται τὰ δεινά. Καὶ ἁπλῶς πᾶσα κόλασις, ἂν μὲν ἐπὶ ἁμαρτωλῶν γίνηται, ὑποτέμνεται τὸ τῆς ἁμαρτίας φορτίον, ἂν δὲ ἐπὶ δικαίων, φαιδροτέραν αὐτῶν ἐργάζεται τὴν ψυχὴν καὶ μέγιστον ἑκατέροις τὸ κέρδος ἀπὸ τῆς θλίψεως συμβαίνει, μόνον ἐὰν εὐχαρίστως φέρωμεν· τοῦτο γάρ ἐστι τὸ ζητούμενον.*

15 *θ'. Διὰ τοῦτο μυρίων τοιούτων παραδειγμάτων τῆς θείας Γραφῆς ἡ ἱστορία ἐμπέπλησται, καὶ δικαίους καὶ πονηροὺς κακῶς πάσχοντας ἡμῖν ὑποδείκνυσιν, ἵνα, ἄν τε δίκαιος ᾖ τις, ἄν τε ἁμαρτωλός, ἔχων τὰ ὑποδείγματα, φέρῃ γενναίως. Οὐ πάσχοντας δὲ κακῶς μόνον, ἀλλὰ καὶ εὐπραγοῦντάς σοι δείκνυσι πονηρούς, ἵνα μὴ*
20 *ταῖς ἐκείνων εὐπραγίαις θορυβηθῇς, μαθὼν ἀπὸ τῶν τῷ πλουσίῳ τούτῳ συμβεβηκότων οἷον αὐτοὺς μετὰ ταῦτα μένει τὸ πῦρ, εἰ μὴ μεταβληθεῖεν. Καὶ οὐκ ἔστι, φησί, καὶ ἐνταῦθα καὶ ἐκεῖ ἀνέσεως ἀπολαύειν; Οὐκ ἔστι. Διὰ τοῦτο ἐνταῦθα οἱ δίκαιοι τὸν ἐπίπονον ἐβίωσαν βίον.*

25 *Τί οὖν, φησίν, ὁ Ἀβραάμ; Καὶ τίς τοσαῦτα ἔπαθε δεινά; οὐχὶ τῆς πατρίδος ἐξέπεσεν; οὐχὶ τῶν οἰκείων ἐχωρίσθη πάντων; οὐκ ἐν ἀλλοτρίᾳ γῇ λιμὸν ὑπέμεινεν; οὐχί, καθάπερ ἀλήτης, συνεχῶς μετανίστατο, ἀπὸ Βαβυλῶνος εἰς Μεσοποταμίαν, κἀκεῖθεν εἰς Παλαιστίνην, εἶτα ἐντεῦθεν εἰς Αἴγυπτον; Τί ἄν τις εἴποι τοὺς τῆς γυ-*
30 *ναικός, τοὺς τῶν βαρβάρων πολέμους καὶ σφαγάς; τὴν αἰχμαλωσίαν τῆς τοῦ συγγενοῦς οἰκίας; μυρία ἕτερα τοιαῦτα; Ὅτε δὲ καὶ τὸν υἱὸν ἔλαβεν, οὐ τὰ πάντων ἀνήκεστα ὑπέμεινε, τὸν αὐτῷ ποθεινὸν καὶ ἐπέραστον ταῖς αὐτοῦ σφάξαι χερσὶ κελευόμενος;*

35. Γεν. 12 ἑἑ.

κάνουν τὶς ἴδιες ἁμαρτίες, δὲν ἔχουν πάθει τὰ ἴδια;' ἀλλὰ αὐτὸ σκέψου, ὅτι τὸν ἕνα τὸν ἄφησε νὰ σκοτωθῆ ἢ νὰ πνιγῆ ἐπειδὴ τοῦ ἑτοιμάζει ἡμερώτερη τιμωρία ἐκεῖ ἢ καὶ γιὰ νὰ τὸν ἀπαλλάξη τελείως· αὐτὸν ὅμως δὲν τὸν ἄφησε νὰ πάθη κάτι τέτοιο, γιὰ νὰ γίνη καλύτερος, ἀφοῦ σωφρονισθῆ ἀπὸ τὴν τιμωρία ἐκείνου· ἂν ὅμως ἐπιμένη στὰ ἴδια, νὰ συσσωρεύση ἀπαρηγόρητη τιμωρία γιὰ τὸν ἑαυτό του, ἐξ αἰτίας τῆς δικῆς του ἀδιαφορίας· καὶ ὁ Θεὸς δὲν εἶναι αἰτία τῆς ἀβάσταχτης αὐτῆς τιμωρίας. Πάλι, ἐὰν δῆς τὸν δίκαιο νὰ θλίβεται ἢ νὰ παθαίνη ὅλα αὐτὰ ποὺ προαναφέραμε, μὴν ἀπογοητευθῆς· διότι καὶ σ' ἐκεῖνον τὰ δεινὰ τοῦ κάνουν πιὸ λαμπρὰ τὰ στεφάνια. Καὶ γενικὰ κάθε τιμωρία, ἂν γίνεται στοὺς ἁμαρτωλούς, λιγοστεύει τὸ φορτίο τῆς ἁμαρτίας, ἂν ὅμως γίνεται στοὺς δικαίους, κάνει τὴν ψυχή τους λαμπρότερη, καὶ πάρα πολὺ μεγάλο εἶναι τὸ κέρδος ποὺ ἀποκομίζουν ὅλοι ἀπὸ τὴ θλῖψι, ἀρκεῖ μόνο νὰ τὴν ὑπομένουμε μὲ εὐχαρίστησι· διότι αὐτὸ εἶναι τὸ ἐπιζητούμενο.

9. Γι' αὐτὸ εἶναι γεμάτη ἀπὸ μύρια τέτοια παραδείγματα ἡ ἱστορία τῆς θείας Γραφῆς, καὶ μᾶς δείχνει καὶ δικαίους καὶ κακοὺς ποὺ ὑποφέρουν, ὥστε, ἐὰν κάποιος εἶναι δίκαιος ἢ ἐὰν εἶναι ἁμαρτωλός, ἔχοντας τὰ παραδείγματα, νὰ τὰ ὑπομένη μὲ γενναιότητα. Καὶ ὄχι μόνο σοῦ δείχνει κακοὺς ποὺ ὑποφέρουν, ἀλλὰ καὶ κακοὺς ποὺ εὐτυχοῦν, γιὰ νὰ μὴ θορυβηθῆς ἀπὸ τὶς εὐτυχίες τους, ἀφοῦ ἔμαθες ἀπὸ αὐτὰ ποὺ συνέβηκαν στὸν πλούσιο, ποιά φωτιὰ τοὺς περιμένει μετὰ ἀπὸ αὐτά, ἐὰν δὲν ἀλλάξουν. Καὶ δὲν μπορεῖ, λέγει, ν' ἀπολαύση κανεὶς καὶ ἐδῶ καὶ ἐκεῖ ἄνεσι; Δὲν μπορεῖ. Γι' αὐτὸ ἐδῶ οἱ δίκαιοι ἔζησαν τὴ γεμάτη πόνους ζωή.

Καὶ ὁ 'Αβραάμ, λέγει, γιατί τότε ἀπόλαυσε; Καὶ ποιός ἔπαθε τόσα δεινά; Δὲν ἔχασε τὴν πατρίδα του; δὲν χωρίσθηκε ἀπὸ ὅλους τοὺς δικούς του; δὲν ὑπέμεινε τὴν πεῖνα σὲ ξένη γῆ; δὲν μετανάστευε συνεχῶς, σὰν νὰ ἦταν ἀλήτης, ἀπὸ τὴ Βαβυλώνα στὴ Μεσοποταμία καὶ ἀπὸ ἐκεῖ στὴν Αἴγυπτο;[35]; Καὶ τί θὰ μποροῦσε νὰ πῆ κανεὶς γιὰ τὶς θλίψεις ἐξ αἰτίας τῆς γυναίκας του, γιὰ τοὺς πολέμους καὶ τίς σφαγὲς τῶν βαρβάρων; γιὰ τὴν αἰχμαλωσία τῆς συγγενικῆς του οἰκογένειας καθὼς καὶ γιὰ μύρια ἄλλα τέτοια; Ὅταν πάλι ἀπέκτησε καὶ τὸν γυιό του, δὲν ὑπέμεινε τὰ πιὸ φοβερά, ὅταν πῆρε τὴν ἐντολὴ νὰ σφάξη μὲ τὰ χέρια του τὸν πολυπόθητο καὶ πολυαγαπημένο του;

Τί δὲ αὐτὸς ὁ σφαγιασθεὶς Ἰσαάκ; οὐχὶ πάντοθεν ἠλαύνετο παρὰ τῶν ὁμόρων συνεχῶς, καὶ τὴν γυναῖκα ἀφῃρέθη, καθάπερ καὶ ὁ πατήρ, καὶ ἐν ἀπαιδίᾳ τοσοῦτον διέμεινε χρόνον; Τί δὲ ὁ Ἰακώβ, ὁ ἐν οἰκίᾳ τραφείς, οὐχὶ τοῦ πάππου χαλεπώτερα ὑπέμεινε;
5 *Καὶ ἵνα μὴ πάντα καταλέγοντας μακρὸν ποιῶμεν τὸν λόγον, ἄκουσον τί φησι περὶ τῆς ἁπάσης αὐτοῦ ζωῆς· «μικραὶ καὶ πονηραὶ αἱ ἡμέραι μου καὶ οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν πατέρων μου». Καίτοι τίς ἰδὼν υἱὸν ἐπὶ θρόνου βασιλικοῦ καθήμενον καὶ τοσαύτης ἀπολαύοντα δόξης οὐκ ἂν ἐπελήσθη τῶν παρελθουσῶν συμ-*
10 *φορῶν; Ἀλλ' ὅμως ἐκεῖνος οὕτως ἦν τεταριχευμένος, ὡς μηδὲ ἐν εὐημερίᾳ τοσαύτῃ ἐπιλαθέσθαι τῶν γεγενημένων δεινῶν.*

Τί δὲ ὁ Δαυῒδ, πόσας ὑπέμεινε τραγῳδίας; οὐχὶ τὰ αὐτὰ αὐτῷ καὶ οὗτος φθέγγεται λέγων, «αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη, καὶ τὸ
15 *πλεῖον αὐτῶν κόπος καὶ πόνος»; Τί δὲ ὁ Ἱερεμίας; οὐχὶ καὶ τὴν ἡμέραν αὐτοῦ τῆς γεννήσεως καταρᾶται διὰ τὰ ἐπάλληλα δεινά; Τί δὲ ὁ Μωϋσῆς; οὐχὶ καὶ αὐτὸς ἀπαγορεύων φησίν, «ἀπόκτεινόν με, εἰ οὕτω μοι μέλλεις ποιεῖν»; Ὁ δὲ Ἠλίας, ἡ οὐρανομήκης ψυχή, ὁ τὸν οὐρανὸν ἀποκλείσας, οὐ μετὰ τὰ πολλὰ θαύματα θρηνῶν διετέ-*
20 *λει πρὸς τὸν Θεόν, λέγων, «ἆρον τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὔκ εἰμι βελτίων τῶν πατέρων μου»;*

Καὶ τί χρὴ τούτων ἕκαστον ἐπιέναι; Πάντας γὰρ αὐτοὺς ὁμοῦ συλλαβὼν ὁ Παῦλος διέξεισι λέγων· «περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν
25 *οὐκ ἦν ἄξιος ὁ κόσμος». Καὶ ἁπλῶς πᾶσα ἀνάγκη τὸν μέλλοντα εὐαρεστεῖν τῷ Θεῷ καὶ δόκιμον εἶναι καὶ ἁγνόν, μὴ τὸν ἄνετον καὶ ὑγρὸν καὶ διαλελυμένον διώκειν βίον, ἀλλὰ τὸν ἐπίπονον καὶ μόχθων γέμοντα πολλῶν καὶ ἱδρώτων· «οὐδεὶς γὰρ στεφανοῦται», φησίν, «ἐὰν μὴ νομίμως ἀθλήσῃ». Καὶ ἑτέρωθι, «πᾶς δὲ ὁ ἀγωνι-*
30 *ζόμενος πάντα ἐγκρατεύεται, καὶ ἀπὸ ῥήματος», φησί, «καὶ ἀπὸ βλέμματος, καὶ ἀπὸ φωνῆς αἰσχρᾶς, καὶ ἀπὸ λοιδορίας, καὶ ἀπὸ βλασφημίας, καὶ ἀπὸ αἰσχρολογίας».*

36. Ὁ Ἰσαὰκ θυσιάσθηκε ὡς πρὸς τὴν προαίρεσι.
37. Γεν. 47,9.
38. Ψαλμ. 89,10.
39. Ἱερ. 20,14.
40. Ἀριθμ. 11,15.
41. Γ' Βασ. 19,4.
42. Ἑβρ. 11,37.
43. Β' Τιμ. 2,5.
44. Α' Κορ. 9,25.

Τί πάλι ὁ Ἰσαὰκ ποὺ θυσιάσθηκε[36]; Δὲν καταδιωκόταν συνεχῶς ἀπὸ παντοῦ ἀπὸ τοὺς γείτονές του, καὶ δὲν τοῦ πῆραν τὴ γυναῖκα του, ὅπως ἀκριβῶς καὶ τοῦ πατέρα του, καὶ δὲν ἔμεινε τόσο καιρὸ ἄτεκνος; Ἀλλὰ καὶ ὁ Ἰακώβ, ὁ ὁποῖος μεγάλωσε στὸ σπίτι του, δὲν ὑπέμεινε χειρότερα ἀπὸ τὸν παπποῦ του; Καὶ γιὰ νὰ μὴν μακρυγοροῦμε, ἀναφέροντάς τα ὅλα, ἄκουσε τί λέγει γιὰ τὴ ζωή του ὁλόκληρη· «εἶναι λίγες καὶ κακὲς οἱ ἡμέρες μου καὶ δὲν ἔφθασαν τὶς ἡμέρες τῶν πατέρων μου»[37]. Ἂν καὶ βέβαια ποιός εἶδε τὸ παιδί του νὰ κάθεται σὲ βασιλικὸ θρόνο καὶ ν' ἀπολαμβάνη τόση δόξα καὶ δὲν ξέχασε τὶς περασμένες συμφορές; Ἀλλ' ὅμως ἐκεῖνος τόσο εἶχε σκληρύνει ἀπὸ τὶς δοκιμασίες, ὥστε δὲν μπόρεσε νὰ ξεχάση ἀκόμη καὶ μέσα σὲ τόση εὐτυχία τὰ βάσανα ποὺ εἶχε περάσει.

Ἀλλὰ καὶ ὁ Δαυΐδ πόσες τραγωδίες ὑπέμεινε; Δὲν ἐννοεῖ τὰ ἴδια καὶ αὐτὸς ὅταν λέγη, «οἱ ἡμέρες τῆς ζωῆς μας εἶναι ἑβδομήντα χρόνια· ἐὰν ὅμως ἔχη κανεὶς γερὴ κρᾶσι, εἶναι ὀγδόντα χρόνια, καὶ τὸ μεγαλύτερο μέρος ἀπὸ αὐτὲς εἶναι πόνος καὶ κόπος»[38]; Τί πάλι ὁ Ἰερεμίας; Δὲν καταριέται καὶ τὴν ἡμέρα ποὺ γεννήθηκε γιὰ τὰ ἀλλεπάλληλα δεινά[39]; Τί ἐπίσης καὶ ὁ Μωϋσῆς; Δὲν λέγει καὶ αὐτὸς ἀποκαμωμένος, «φόνευσέ με, ἐὰν πρόκειται νὰ μοῦ τὸ κάνης αὐτό»[40]; Ὁ Ἠλίας πάλι, ἡ οὐρανομήκης ψυχή, ποὺ ἔκλεισε τὸν οὐρανό, μετὰ τὰ τόσα πολλὰ θαύματα, δὲν θρηνοῦσε πρὸς τὸν Θεό, λέγοντας, «πάρε τὴν ψυχή μου, διότι δὲν εἶμαι ἐγὼ καλύτερος ἀπὸ τοὺς προγόνους μου»[41];

Καὶ γιατί πρέπει ν' ἀναφέρουμε τὸν καθένα ἀπὸ αὐτούς; Διότι ὅλους αὐτοὺς μαζὶ τοὺς ἑνώνει ὁ Παῦλος καὶ τοὺς ἀναφέρει λέγοντας· «πήγαιναν παντοῦ, ντυμένοι μὲ δέρματα προβάτων, μὲ δέρματα αἰγῶν, γεμᾶτοι στερήσεις καὶ θλίψεις καὶ κακουχίες· μ' αὐτοὺς δὲν μπορεῖ νὰ συγκριθῆ ὅλος ὁ κόσμος»[42]. Καὶ γενικὰ πρέπει κατ' ἀνάγκη ἐκεῖνος ποὺ θέλει νὰ εἶναι εὐάρεστος στὸν Θεὸ καὶ ἄξιος καὶ καθαρός, νὰ μὴν ἐπιδιώκη τὴν ἄνετη καὶ τρυφιλὴ καὶ διαλυμένη ζωή, ἀλλὰ τὴ ζωὴ ποὺ εἶναι γεμάτη κόπους καὶ μόχθους πολλοὺς καὶ ἱδρῶτες· διότι λέγει, «κανεὶς δὲν στεφανώνεται ἂν δὲν ἀγωνισθῆ νόμιμα»[43]. Καὶ ἀλλοῦ· «ὁ καθένας ποὺ ἀγωνίζεται ἀπ' ὅλα συγκρατεῖ τὸν ἑαυτό του, καὶ ἀπὸ τὸν λόγο», λέγει, «καὶ ἀπὸ τὸ βλέμμα, καὶ ἀπὸ αἰσχρὴ φωνή, καὶ ἀπὸ κακολογία, καὶ ἀπὸ βλασφημία, καὶ ἀπὸ αἰσχρολογία»[44].

Ἐντεῦθεν μανθάνομεν, ὅτι κἂν μὴ πειρασμὸς ἡμῖν ἐπενεχθῇ ποθεν ἔξωθεν, ἑαυτοὺς γυμνάζειν δεῖ καθ' ἑκάστην ἡμέραν νηστείαις, σκληραγωγίας, εὐτελεῖ τροφῇ, λιτῇ τραπέζῃ, τὰς πολυτελείας πανταχοῦ φεύγοντας· ἄλλως γὰρ οὐκ ἔστιν εὐαρεστῆσαι 5 Θεῷ. Μὴ γάρ μοι τὸ ψυχρὸν ῥῆμα ἐκεῖνο λεγέτω τις, ὅτι καὶ τὰ ἐνταῦθα ὁ δεῖνα ἔχει καὶ τὰ ἐκεῖ· ἀμήχανον τοῦτο ἐπὶ τῶν πλουτούντων καὶ τρυφώντων καὶ ἁμαρτανόντων συμβῆναι· ἀλλ', εἰ χρὴ τοῦτο εἰπεῖν, ἐπὶ τῶν θλιβομένων ἔστιν εἰπεῖν, τῶν ἐν στενοχωρίᾳ, ὅτι καὶ τὰ ἐνταῦθα ἔχουσι καὶ τὰ ἐκεῖ. Τὰ μὲν γὰρ ἐκεῖ ἔχουσιν, ἀμοι-10 βῆς ἀπολαύοντες, τὰ δὲ ἐνταῦθα ἔχουσι, ταῖς ἐλπίσιν ἐκείνων συντρεφόμενοι, καὶ οὐ λαμβάνοντες αἴσθησιν τῶν παρόντων δεινῶν τῇ προσδοκίᾳ τῶν μελλόντων ἀγαθῶν.

Ἀλλ' ἀκούσωμεν καὶ τῶν ἑξῆς. «Ἐπὶ πᾶσι δὲ τούτοις χάσμα μέγα ἐστήρικται», φησίν, «ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν». Καλῶς 15 ἄρα εἶπεν ὁ Δαυΐδ, ὅτι «ἀδελφὸς οὐ λυτροῦται· οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ». Οὐδὲ γὰρ δυνατόν, κἂν ἀδελφός, κἂν πατὴρ ᾖ, κἂν υἱός. Ὅρα γάρ· «τέκνον» ἐκάλεσεν ὁ Ἀβραὰμ τὸν πλούσιον, καὶ τὰ πατρὸς ἐπιδείξασθαι οὐκ ἴσχυσε· «πατέρα» προσεῖπε τὸν Ἀβραὰμ ὁ πλούσιος, καὶ ἧς εἰκὸς ἀπολαῦσαι τέκνον πατρικῆς εὐ-20 νοίας, οὐκ ἠδυνήθη, ἵνα μάθῃς, ὅτι οὔτε συγγένεια, οὔτε φιλία, οὔτε προσπάθεια, οὔτε ἄλλο τι τῶν ὄντων ὀνῆσαι δύναται τὸν ὑπὸ τῆς οἰκείας ζωῆς προδεδομένον.

ι'. Ταῦτα δὲ λέγω, ἐπειδὴ πολλοὶ πολλάκις, ἡμῶν παραινούντων προσέχειν ἑαυτοῖς καὶ νήφειν, ῥαθυμοῦσι καὶ εἰς γέλωτα τὴν 25 παραίνεσιν ἐκβάλλουσι, λέγοντες· 'σύ μου προστήσῃ, φησί, κατ' ἐκείνην τὴν ἡμέραν· καὶ θαρρῶ, καὶ οὐ δέδοικα'. Πάλιν ἄλλος, 'πατέρα μάρτυρα ἔχω', φησί, καὶ ἕτερος, 'πάππον ἐπίσκοπον'· ἄλλοι πάλιν τοὺς τῆς οἰκίας πάντας τῆς ἑαυτῶν προβάλλονται. Ἀλλὰ πάντα ψυχρὰ ταῦτα τὰ ῥήματα· οὐδὲν γὰρ ἡμᾶς ἡ ἑτέρων ἀρετὴ 30 ὠφελῆσαι τότε δυνήσεται. Ἀναμνήσθητι τῶν παρθένων ἐκείνων, αἳ ταῖς πέντε παρθένοις οὐ μετέδωκαν τοῦ ἐλαίου· ἀλλ' αἱ μὲν εἰσῆλθον εἰς τὸν νυμφῶνα, αἱ δὲ ἀπεκλείσθησαν. Μέγα ἀγαθὸν ἐν

45. Λουκᾶ 16,26. 46. Ψαλμ. 48,8. 47. Ματθ. κεφ. 25.

Ἀπὸ ἐδῶ μαθαίνουμε, ὅτι κι' ἂν δὲν μᾶς ἔρθη κάποτε πειρασμὸς ἀπὸ ἔξω, πρέπει νὰ γυμνάζουμε τοὺς ἑαυτούς μας κάθε ἡμέρα μὲ νηστεῖες, μὲ σκληραγωγίες, μὲ ἁπλὴ τροφή, μὲ λιτὸ τραπέζι, ἀποφεύγοντας παντοῦ τὴν πολυτέλεια· διότι ἀλλιῶς δὲν εἶναι δυνατὸ νὰ εὐαρεστήσουμε τὸν Θεό. Ἂς μὴ μοῦ λέγη λοιπὸν κανεὶς ἐκεῖνον τὸν ψυχρὸ λόγο, ὅτι 'ὁ τάδε ἔχει καὶ τὰ ἐδῶ καὶ τὰ ἐκεῖ'· εἶναι ἀδύνατον αὐτὸ νὰ συμβῆ σ' ὅσους ζοῦν μέσα στὰ πλούτη καὶ τὴν τρυφὴ καὶ τὴν ἁμαρτία· ἀλλά, ἐὰν πρέπει αὐτὸ νὰ τὸ πῆ, μπορεῖ νὰ τὸ πῆ γι' αὐτοὺς ποὺ θλίβονται, γι' αὐτοὺς ποὺ στενοχωροῦνται, ὅτι ἔχουν καὶ τὰ ἐδῶ καὶ τὰ ἐκεῖ. Διότι τὰ ἐκεῖ τὰ ἔχουν, ἀπολαμβάνοντας τὴν ἀμοιβή· τὰ ἐδῶ πάλι τὰ ἔχουν, ἐπειδὴ τρέφονται μὲ τὶς ἐλπίδες ἐκείνων, καὶ δὲν αἰσθάνονται τὰ παρόντα δεινά, περιμένοντας ν' ἀπολαύσουν τὰ ἀγαθὰ τοῦ μέλλοντος.

Ἀλλ' ἂς ἀκούσουμε καὶ τὴ συνέχεια. «Καὶ ἐκτὸς ἀπὸ ὅλα αὐτά», λέγει, «ἔχει στηριχθῆ μεγάλο βάραθρο μεταξύ μας»[45]. Ἐπομένως, καλὰ εἶπε ὁ Δαυΐδ, «ὁ ἀδελφὸς δὲν μπορεῖ νὰ σὲ σώση· κανεὶς δὲν μπορεῖ νὰ δώση στὸν Θεὸ γιὰ νὰ τὸν ἐξιλεώση»[46]. Πράγματι, δὲν εἶναι δυνατό, κι' ἂν ἀκόμη εἶναι ἀδελφός, κι' ἂν εἶναι πατέρας, κι' ἂν εἶναι υἱός. Διότι πρόσεχε· «παιδί μου», ὠνόμασε ὁ Ἀβραὰμ τὸν πλούσιο, κι' ὅμως δὲν μπόρεσε νὰ φανῆ πατέρας· «πατέρα» ἀπεκάλεσε τὸν Ἀβραὰμ ὁ πλούσιος, κι' ὅμως, δὲν μπόρεσε, ὅπως ἦταν φυσικό, ν' ἀπολαύση τὴν πατρικὴ εὔνοια, γιὰ νὰ μάθης, ὅτι οὔτε συγγένεια, οὔτε φιλία, οὔτε προσπάθεια, οὔτε τίποτε ἄλλο ἀπὸ ὅσα ὑπάρχουν μπορεῖ νὰ ὠφελήση ἐκεῖνον ποὺ προδόθηκε ἀπὸ τὴ δική του ἡ ζωή.

10. Καὶ αὐτὰ τὰ λέγω, ἐπειδὴ πολλοί, πολλὲς φορές, ἐνῶ ἐμεῖς συμβουλεύουμε νὰ προσέχουν τὸν ἑαυτό τους καὶ ν' ἀγρυπνοῦν, ἀδιαφοροῦν καὶ μετατρέπουν σὲ κοροϊδία τὴ συμβουλή, λέγοντας· 'ἐσὺ θὰ μὲ ὑπερασπισθῆς', λέγει, 'ἐκείνη τὴν ἡμέρα· καὶ ἔχω θάρρος καὶ δὲν φοβᾶμαι'. Ἄλλος πάλι λέγει 'ἔχω πατέρα μάρτυρα', καὶ ἄλλος 'ἔχω παπποῦ ἐπίσκοπο'· ἄλλοι πάλι προβάλλουν γιὰ ὑπεράσπισί τους ὅλη τὴν οἰκογένειά τους. Ἀλλὰ ὅλα αὐτὰ εἶναι λόγια χαμένα· διότι δὲν θὰ μπορέση τότε νὰ μᾶς ὠφελήση ἡ ἀρετὴ τῶν ἄλλων. Θυμήσου ἐκεῖνες τὶς παρθένες, ποὺ δὲν ἔδωσαν ἀπὸ τὸ λάδι τους στὶς πέντε ἄλλες· ἀλλὰ ἐκεῖνες μπῆκαν στὸν νυμφῶνα, ἐνῶ οἱ ἄλλες ἀποκλείσθηκαν[47]. Εἶναι μεγάλο καλὸ νὰ στηρίζουμε τὶς ἐλπί-

τοῖς οἰκείοις κατορθώμασι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν· φίλος δὲ ἐκεῖ οὐδεὶς οὐδέποτε προΐσταται. Εἰ γὰρ ἐνταῦθά φησι τῷ Ἰερεμίᾳ, «μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου», ἔνθα κύριοι τοῦ μεταβαλέσθαι, πολλῷ μᾶλλον ἐκεῖ.

5 *Τί λέγεις; Πατέρα μάρτυρα ἔχεις; Αὐτὸ μὲν οὖν σε τοῦτο μάλιστα καταδικάσαι δυνήσεται πλέον, ὅταν οἴκοθεν ἔχων τὰ παραδείγματα τῆς ἀρετῆς, ἀνάξιον σεαυτὸν τῆς προγονικῆς παράσχῃς ἀρετῆς. Ἀλλὰ φίλον ἔχειν γενναῖον καὶ θαυμαστόν; Οὐδὲ οὗτός σοι παραστήσεται τότε. Πῶς οὖν φησι, «ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ* 10 *μαμμωνᾶ τῆς ἀδικίας, ἵν', ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς;» Οὐχ ἡ φιλία ἐστὶν ἐνταῦθα ἡ προϊσταμένη, ἀλλ' ἡ ἐλεημοσύνη. Ἐὰν γὰρ ἡ φιλία μόνη προΐστατο, ἔδει ἁπλῶς εἰπεῖν, 'ποιήσατε ὑμῖν φίλους'· νυνὶ δὲ δεικνύς, ὅτι οὐχ ἡ φιλία μόνη προΐσταται, προσέθηκεν, «ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας. Καίτοι* 15 *ἴσως εἴποι τις ἄν, ὅτι δύναμαι χωρὶς τοῦ μαμμωνᾶ ποιῆσαι φίλον καὶ σπουδαιότερον μᾶλλον, ἢ διὰ τοῦ μαμμωνᾶ. Ἀλλ' ἵνα μάθῃς, ὅτι ἐλεημοσύνη ἐστὶν ἡ προϊσταμένη καὶ τὸ ἔργον τὸ σὸν καὶ τὸ κατόρθωμα, οὐκ ἐν ταῖς φιλίαις ταῖς διὰ τοῦ μαμμωνᾶ γινομέναις ἔπεισέ σε θαρρεῖν.*

20 *Ἅπερ οὖν ἅπαντα εἰδότες, ἀγαπητοί, προσέχωμεν ἑαυτοῖς μετὰ ἀκριβείας ἁπάσης· κἂν κολαζώμεθα, εὐχαριστῶμεν· κἂν ἐν εὐημερίᾳ διάγωμεν, ἀσφαλιζώμεθα ἑαυτούς, καὶ ταῖς ἑτέρων τιμωρίαις σωφρονιζόμενοι, διὰ μετανοίας καὶ κατανύξεως καὶ συνεχοῦς ἐξομολογήσεως εὐχαριστῶμεν· καὶ εἴ τι πεπλημμέληται κατὰ τὸν* 25 *παρόντα βίον ἡμῖν, ἀποθέμενοι, καὶ μετὰ πολλῆς τῆς σπουδῆς πᾶσαν τῆς ψυχῆς ἡμῶν ἀποσμήξαντες τὴν κηλῖδα, παρακαλῶμεν τὸν Θεὸν καταξιῶσαι πάντας ἡμᾶς ἐντεῦθεν διαλυσαμένους, οὕτως ἀπελθεῖν ἐκεῖσε, ἵνα μὴ μετὰ τοῦ πλουσίου, ἀλλὰ μετὰ τοῦ Λαζάρου τῶν τοῦ πατριάρχου κόλπων ἀπολαύσαντες, τοῖς ἀθανάτοις* 30 *ἐντρυφῶμεν ἀγαθοῖς· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

48. Ἰερ. 7,16.
49. Λουκᾶ 16,9.

δες γιὰ τὴ σωτηρία μας μόνο στὰ δικά μας κατορθώματα· κανένας φίλος ἐκεῖ ποτὲ δὲν μᾶς ὑπερασπίζεται. Διότι, ἐὰν ἐδῶ λέγει στὸν Ἰερεμία, «μὴ ἔχης ἀξιώσεις γιὰ τὸν λαὸ αὐτό»[48], ὅπου μποροῦμε νὰ ἀλλάξουμε, πολὺ περισσότερο ἐκεῖ.

Τί λές; Ἔχεις πατέρα μάρτυρα; Αὐτὸ τότε πολὺ περισσότερο μπορεῖ νὰ σὲ καταδικάση, ὅταν, ἐνῶ ἔχεις μέσα στὸ σπίτι σου τὰ παραδείγματα τῆς ἀρετῆς, παρουσιάζης ἀνάξιο τὸν ἑαυτό σου τῆς προγονικῆς ἀρετῆς. Ἀλλ' ἔχεις φίλο γενναῖο καὶ θαυμαστό; Οὔτε αὐτὸς θὰ σὲ συμπαρασταθῆ τότε. Πῶς λοιπὸν λέγει, «νὰ κάνετε φίλους γιὰ τὸν ἑαυτό σας, ἀπὸ τὸν πλοῦτο τῆς ἀδικίας, ὥστε ὅταν πεθάνετε, νὰ σᾶς ὑποδεχθοῦν στὶς αἰώνιες σκηνές»[49]; Δὲν εἶναι ἡ φιλία αὐτὴ ποὺ σὲ συμπαραστέκεται ἐδῶ, ἀλλ' ἡ ἐλεημοσύνη. Διότι, ἐὰν ἡ φιλία μόνο μποροῦσε νὰ μᾶς ὑπερασπισπισθῆ, ἔπρεπε ἁπλῶς νὰ πῆ, 'νὰ κάνετε γιὰ τοὺς ἑαυτούς σας φίλους'· τώρα ὅμως γιὰ νὰ δείξη ὅτι ἡ φιλία μόνη δὲν σὲ προστατεύει, πρόσθεσε, «ἀπὸ τὸν πλοῦτο τῆς ἀδικίας». Ἂν καὶ θὰ μποροῦσε κάποιος νὰ πῆ, ὅτι μπορῶ νὰ κάνω φίλο χωρὶς τὸν πλοῦτο καὶ σπουδαιότερο μᾶλλον, παρὰ μὲ τὸν πλοῦτο. Ἀλλὰ γιὰ νὰ μάθης, ὅτι ἡ ἐλεημοσύνη εἶναι αὐτὴ ποὺ σὲ ὑπερασπίζεται καὶ τὸ ἔργο σου, καὶ τὸ κατόρθωμά σου, σὲ ἔπεισε νὰ ἐλπίζης ὄχι μόνο στὶς φιλίες τῶν ἁγίων, ἀλλὰ στὶς φιλίες ποὺ γίνονται μὲ τὸν πλοῦτο.

Γνωρίζοντας λοιπόν, ἀγαπητοί, ὅλα αὐτά, ἂς προσέχουμε τοὺς ἑαυτούς μας μὲ κάθε ἀκρίβεια· κι' ἂν τιμωρούμαστε, νὰ εὐχαριστοῦμε· κι' ἂν εὐημεροῦμε, νὰ ἀσφαλίζουμε τοὺς ἑαυτούς μας καί, σωφρονιζόμενοι ἀπὸ τὶς τιμωρίες τῶν ἄλλων, νὰ εὐχαριστοῦμε τὸν Θεὸ διὰ τῆς μετανοίας καὶ τῆς κατανύξεως καὶ τῆς διαρκοῦς ἐξομολογήσεως· καὶ ἐὰν ἔχουμε διαπράξει κάποια ἁμαρτία κατὰ τὴν παροῦσα ζωή, ἀφοῦ τὴν ἀποβάλουμε καὶ μὲ πολὺ προσπάθεια σβήσουμε τὴν κάθε κηλίδα τῆς ψυχῆς μας, ἂς παρακαλέσουμε τὸν Θεό, νὰ μᾶς ἀξιώση ὅλους ν' ἀπαλλαγοῦμε ἀπὸ τὶς ἁμαρτίες μας ὅσο εἴμαστε ἐδῶ, κι' ἔτσι νὰ πᾶμε ἐκεῖ, ὥστε, ὄχι μὲ τὸν πλούσιο, ἀλλὰ μὲ τὸν Λάζαρο ν' ἀπολαύσουμε τοὺς κόλπους τοῦ πατριάρχη, καὶ νὰ ἐντρυφοῦμε μὲ τὰ ἀθάνατα ἀγαθά, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, μαζὶ μὲ τὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

ΚΑΙ ΟΤΙ ΤΟ ΣΥΝΕΙΔΟΣ ΕΙΩΘΕΝ ΗΜΑΣ ΑΝΑΜΙΜΝΗΣΚΕΙΝ
Παλαιὰ ἁμαρτήματα, καὶ εἰς τὸν Ἰωσήφ.

α΄. Τῆς τοῦ Λαζάρου παραβολῆς τὸ τέλος ἀνάγκη τήμερον ἀποδοῦναι. Ὑμεῖς μὲν γὰρ ἴσως τὸ πᾶν ἡμῖν ἀπηρτίσθαι νομίζετε· οὐ μὴν ἔγωγε χρήσομαι ὑμῶν εἰς ἀπάτην τῇ ἀγνείᾳ, οὐδὲ ἀποστήσομαι πρότερον, ἕως ἂν τὸ φαινόμενον ἅπαν ἀπέλθω λαβών· ἐπεὶ καὶ 5 γεωργὸς τῆς ἀμπέλου τρυγηθείσης ἁπάσης, οὐ πρότερον ἀφίσταται, ἕως ἂν καὶ τὰς ῥᾶγας ἐκτέμῃ. Ἐπεὶ οὖν καὶ νῦν ἐνορῶ, ὥσπερ ὑπὸ φύλλοις, τοῖς γράμμασιν ἐναποκεκρυμμένα νοήματα ἔτι, φέρε δὴ καὶ ταῦτα, ἀντὶ δρεπάνης τῷ λόγῳ χρησάμενοι πάλιν, μετ' ἀκριβείας ἀποτρυγήσωμεν. Ἄμπελος μὲν γὰρ τρυγηθεῖσα καθ' ἅπαξ, 10 ἕστηκε γυμνὴ τοῦ καρποῦ, φύλλα ἔχουσα μόνον· ἡ δὲ ἄμπελος ἡ πνευματικὴ τῶν θείων Γραφῶν οὐχ οὕτως, ἀλλ' ἂν τὸ φαινόμενον ἅπαν ἀνελώμεθα, τὸ πλέον ἐναπομένει πάλιν. Πολλοὶ γοῦν μὲν καὶ πρὸ ἡμερῶν εἰς ταύτην εἰρήκασι τὴν ὑπόθεσιν, πολλοὶ καὶ μεθ' ἡμᾶς ἴσως ἐροῦσιν· ἀλλ' οὐδεὶς τὸν ἅπαντα πλοῦτον κενῶσαι δυ- 15 νήσεται. Τοιαύτη γὰρ τῆς περιουσίας ταύτης ἡ φύσις· ὅσῳπερ ἂν διασκάψῃς ἐν τῷ βάθει, τοσούτῳ πλέον ἀναβλύσει τὰ θεῖα νοήματα· πηγὴ γάρ ἐστιν οὐδέποτε ἐπιλείπουσα.

Καὶ ἔδει μὲν τῇ προτέρᾳ συνάξει τοῦτο ὑμῖν ἀποδοῦναι τὸ χρέος, ἀλλ' οὐκ ἀσφαλὲς εἶναι ἐνομίσαμεν, τοῦ μακαρίου Βαβύλα 20 καὶ τῆς ξυνωρίδος τῶν ἁγίων μαρτύρων τῶν μετ' ἐκεῖνον παρελθεῖν τὰ κατορθώματα. Διὸ τὴν καταβολὴν ὑπερεθέμεθα, τηροῦντες εἰς τὴν παροῦσαν ὑμῖν ἡμέραν ὁλόκληρον τὴν ἔκτισιν. Φέρε οὖν, ἐπειδὴ καὶ τοῖς πατράσι τὰς εὐφημίας ἀποδεδώκαμεν, οὐ τὰς κατ'

ΣΤΟΝ ΦΤΩΧΟ ΛΑΖΑΡΟ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

ΚΑΙ ΟΤΙ Η ΣΥΝΕΙΔΗΣΙΣ ΣΥΝΗΘΩΣ ΜΑΣ ΥΠΕΝΘΥΜΙΖΕΙ παλιὲς ἁμαρτίες, καὶ στὸν Ἰωσήφ.

1. Πρέπει σήμερα νὰ ὁλοκληρώσουμε τὴν παραβολὴ τοῦ Λαζάρου. Διότι ἐσεῖς ἴσως νομίζετε ὅτι τὰ ἔχουμε πῆ ὅλα, ἐγὼ ὅμως δὲν θὰ σᾶς ἐξαπατήσω ἐξ αἰτίας τῆς ἄγνοιάς σας, οὔτε θὰ σταματήσω προηγουμένως, ἀλλὰ θὰ φύγω, ἀφοῦ τὴν ἐξετάσω καὶ βρῶ ὅλα τὰ νοήματά της. Διότι καὶ ὁ γεωργός, ὅταν τρυγηθῆ ὅλο τὸ ἀμπέλι, δὲν φεύγει μέχρι ποὺ νὰ κόψη καὶ τὶς ρῶγες. Ἐπειδὴ λοιπὸν καὶ τώρα διαβλέπω, σὰν κάτω ἀπὸ φύλλα, μέσα στὰ γράμματα κρυμμένα ἀκόμη νοήματα, ἐμπρός λοιπὸν καὶ αὐτά, ἀφοῦ χρησιμοποιήσουμε πάλι ἀντὶ γιὰ δρεπάνι τὸν λόγο, μὲ προσοχὴ νὰ τὰ ἀποτρυγήσουμε. Καθόσον τὸ ἀμπέλι, ἀφοῦ τρυγηθῆ ἐντελῶς, μένει γυμνὸ ἀπὸ καρπό, ἔχοντας φύλλα μόνο· ἐνῶ μὲ τὸ ἀμπέλι τὸ πνευματικὸ τῶν θείων Γραφῶν δὲν συμβαίνει τὸ ἴδιο, ἀλλά, κι' ἂν ἐξετάσουμε ὅλο τὸ θέμα, ἀπομένει πάλι τὸ περισσότερο. Πολλοὶ ἀσφαλῶς καὶ πρὶν ἀπὸ ἐμᾶς ἔχουν μιλήσει γι' αὐτὸ τὸ θέμα, καὶ ἴσως πολλοὶ θὰ μιλήσουν μετὰ ἀπὸ ἐμᾶς· ὅμως κανεὶς δὲν θὰ μπορέση νὰ ἐξαντλήση ὅλον τὸν πλοῦτο. Διότι τέτοια εἶναι ἡ φύσις αὐτῆς τῆς περιουσίας· ὅσο πιὸ βαθιὰ προχωρήση τὸ σκάψιμο, τόσο πιὸ πολὺ θὰ ἀναβλύση τὰ θεῖα νοήματα· καθόσον εἶναι πηγὴ ποὺ ποτὲ δὲν στερεύει.

Καὶ ἔπρεπε κατὰ τὴν προηγούμενη σύναξι νὰ σᾶς ἐξοφλήσω αὐτὸ τὸ χρέος, ἀλλὰ δὲν θεώρησα σωστὸ νὰ προσπεράσουμε τὰ κατορθώματα τοῦ μακαρίου Βαβύλα καὶ τοῦ χοροῦ τῶν ἁγίων μαρτύρων, ποὺ ἦταν μαζί του. Γι' αὐτὸ ἀνέβαλα τὸ χρέος καὶ ἄφησα νὰ τὸ ἐξοφλήσω ὅλο κατὰ τὴν σημερινὴ ἡμέρα. Ἐμπρὸς λοιπόν, ἀφοῦ καὶ στοὺς πατέρες ἔχουμε ἀποδώσει τὰ ἐγκώμια, ὄχι βέβαια ὅπως τοὺς

ἀξίαν τὴν ἐκείνων, ἀλλὰ τὰς κατὰ δύναμιν τὴν ἡμετέραν, ἀποδῶμεν καὶ ὑμῖν τοῦ διηγήματος τούτου τὸ λείψανον. Ἀλλὰ μὴ ἀποκάμητε, ἕως ἂν πρὸς τὸ τέλος ἀφικώμεθα, ἐκεῖθεν ἀναλαβόντες τὸν λόγον, ἔνθα αὐτὸν κατελίπομεν πρώην.

5 *Ποῦ δὲ αὐτὸν καταλίπομεν; Ἐν τῷ χάσματι τῷ διείργοντι τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν. Εἰπόνος γὰρ τοῦ πλουσίου, «πέμψον Λάζαρον»*[1]*, εἶπε πρὸς αὐτὸν ὁ Ἀβραάμ· «χάος μέγα ἐστήρικται μεταξὺ ἡμῶν καὶ ὑμῶν, ὅπως οἱ θέλοντες διαβῆναι ἐκεῖθεν πρὸς ἡμᾶς, μὴ δύνωνται, μηδὲ οἱ ἐντεῦθεν ἐκεῖ διαπερῶσι». Καὶ*

10 *ἐδείκνυμεν διὰ πολλῶν τῶν εἰρημένων, ὡς ὅτι μετὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἐν τοῖς οἰκείοις κατορθώμασι τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν χρή, μὴ πατέρας καὶ πάππους καὶ ἐπιπάππους ἀριθμοῦντας, μηδὲ συγγενεῖς καὶ φίλους καὶ οἰκείους καὶ γείτονας· «ἀδελφὸς γὰρ οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος;»*[2]*. Ἀλλ' ὅσα ἂν*

15 *παρακαλέσωσι καὶ καθικετεύσωσιν οἱ μετὰ ἁμαρτημάτων ἐντεῦθεν ἀπελθόντες, πάντα εἰκῇ καὶ μάτην λοιπὸν ἐροῦσι. Καὶ γὰρ αἱ παρθένοι αἱ πέντε παρεκάλεσαν τὰς ὁμήλικας ὑπὲρ ἐλαίου, καὶ οὐκ ἐπέτυχον· καὶ ὁ τὸ τάλαντον κατακρύψας τὸ ἐν τῇ γῇ, πολλὰ ἀπολογησάμενος, κατεκρίθη πάλιν· καὶ οἱ μὴ θρέψαντες αὐτὸν πεινῶν-*

20 *τα, μηδὲ ποτίσαντες διψῶντα, καὶ αὐτοὶ δοκοῦντες εἰς ἄγνοιαν καταφεύγειν, οὐδ' ἐκεῖνοι συγγνώμης καὶ ἀπολογίας ἔτυχον. Ἕτεροι δὲ οὐδὲ εἰπεῖν τι ἴσχυσαν, ὥσπερ ἐκεῖνος ὁ τὰ ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια· ἐγκαλούμενος γὰρ ἐσίγα. Οὐχ οὗτος δὲ μόνον, ἀλλὰ καὶ ἄλλος τῷ πλησίον μνησικακήσας καὶ ἑκατὸν ἀπαιτήσας δηνάρια, εἶτα*

25 *ὑπὲρ τούτων αὐτῶν παρὰ τοῦ δεσπότου ἐγκαλούμενος ἐπὶ ὠμότητι καὶ ἀπανθρωπίᾳ, οὐδὲν ἔσχεν εἰπεῖν. Ὅθεν δῆλον, ὅτι οὐδὲν ἡμῶν ἐκεῖ προστήσεται, ἐὰν ἔργα μὴ ἔχωμεν ἀγαθά· ἀλλ' ἄν τε καθικετεύωμεν καὶ παρακαλῶμεν, ἄν τε σιγῶμεν, ὁμοίως ἐφ' ἡμᾶς ἥξει τὰ τῆς κολάσεως καὶ τῆς τιμωρίας.*

30 *Ἄκουσον γοῦν πῶς καὶ οὗτος αἰτήσας αἰτήσεις δύο τὸν Ἀβραάμ, ἀμφοτέρων ἀπέτυχε. Πρότερον μὲν γὰρ ὑπὲρ ἑαυτοῦ τὴν ἱκετηρίαν ἐποιεῖτο λέγων, «πέμψον Λάζαρον», ὕστερον δὲ οὐκ ἔτι*

1. Λουκᾶ 16,21.
2. Ψαλμ. 48,8.

ἀξίζει, ἀλλὰ ἀνάλογα μὲ τὴν δύναμί μας, ἂς ἀποδώσω καὶ σ' ἐσᾶς τὸ ὑπόλοιπο αὐτῆς τῆς παραβολῆς. 'Αλλὰ μὴν ἀποκάμετε πού, μέχρι ποὺ νὰ φθάσουμε στὸ τέλος, θὰ ἀναλάβω τὸν λόγο ἀπὸ ἐκεῖ ὅπου τὸν ἀφήσαμε πρὶν ἀπὸ καιρό.

Ποῦ λοιπὸν τὸν ἀφήσαμε; Στὸ χάσμα ποὺ χωρίζει τοὺς δικαίους ἀπὸ τοὺς ἁμαρτωλούς. Διότι, ὅταν εἶπε ὁ πλούσιος, «στεῖλε τὸν Λάζαρο», τοῦ εἶπε ὁ 'Αβραάμ· «χάος μεγάλο εἶναι στηριγμένο ἀνάμεσα σ' ἐμᾶς καὶ σ' ἐσᾶς, ὥστε ἐκεῖνοι ποὺ θέλουν νὰ περάσουν ἀπὸ ἐκεῖ πρὸς ἐμᾶς, νὰ μὴν μποροῦν, οὔτε αὐτοὶ ποὺ εἶναι ἐδῶ μποροῦν νὰ περάσουν πρὸς τὰ ἐκεῖ»[1]. Καὶ δείξαμε μὲ τὰ πολλὰ ποὺ εἴπαμε, ὅτι τὶς ἐλπίδες τῆς σωτηρίας μας πρέπει νὰ τὶς ἔχουμε, μετὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ, στὰ δικά μας ἀγαθὰ ἔργα, κι' ὄχι νὰ ὑπολογίζουμε στοὺς πατέρες, τοὺς πάππους καὶ τοὺς προπάππους, οὔτε στοὺς συγγενεῖς καὶ φίλους καὶ γνωστοὺς καὶ γείτονες· διότι λέγει, «ὁ ἀδελφὸς δὲν μπορεῖ νὰ τοὺς λυτρώση καὶ θὰ τοὺς λυτρώση ξένος ἄνθρωπος;»[2]. 'Αλλὰ ὅσο κι' ἂν παρακαλέσουν καὶ ἱκετεύσουν, ὅσοι ἔφυγαν ἀπὸ ἐδῶ μὲ ἁμαρτίες, ὅλα ἄσκοπα καὶ στὰ χαμένα θὰ τὰ ποῦν τότε. Διότι καὶ οἱ πέντε παρθενες παρακάλεσαν τὶς συντρόφους τους γιὰ λάδι καὶ δὲν ἐπέτυχαν· καὶ αὐτὸς ποὺ κατέκρυψε τὸ τάλαντο μέσα στὴ γῆ, ἂν καὶ ἀπολογήθηκε πολλά, καταδικάσθηκε πάλι· καὶ ἐκεῖνοι ποὺ δὲν τὸν ἔθρεψαν, ὅταν πεινοῦσε, οὔτε τὸν πότισαν ὅταν διψοῦσε, νομίζοντας καὶ αὐτοὶ ὅτι θὰ κατέφευγαν στὴν ἄγνοια γιὰ νὰ δικαιολογηθοῦν, οὔτε ἐκεῖνοι βρῆκαν συγγνώμη καὶ δικαιολογία. Ἄλλοι πάλι δὲν μπόρεσαν τίποτε νὰ ποῦν, ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἦταν ντυμένος μὲ τὰ ρυπαρὰ ἐκεῖνα ἐνδύματα· διότι κατηγορούμενος, σιωποῦσε. Καὶ ὄχι μόνο αὐτός, ἀλλὰ καὶ ἄλλος ποὺ κράτησε κακία κατὰ τοῦ πλησίον του καὶ ζήτησε τὰ ἑκατὸ δηνάρια, ὅταν μετὰ κατηγορήθηκε γι' αὐτὰ ἀπὸ τὸν κύριό του γιὰ σκληρότητα καὶ ἀπανθρωπιά, δὲν εἶχε τίποτε νὰ πῆ. 'Απ' αὐτὸ λοιπὸν γίνεται φανερό, ὅτι τίποτε δὲν θὰ μᾶς ὑπερασπισθῆ ἐκεῖ, ἐὰν δὲν ἔχουμε ἀγαθὰ ἔργα· ἀλλὰ εἴτε θὰ ἱκετεύουμε καὶ θὰ παρακαλοῦμε, εἴτε θὰ σιωποῦμε, ὁμοίως θὰ μᾶς ἐπιβληθοῦν τὰ βάσανα τῆς κολάσεως καὶ τῆς τιμωρίας.

Ἄκουσε λοιπὸν πῶς καὶ ὁ πλούσιος ποὺ ζήτησε δύο χάρες ἀπὸ τὸν 'Αβραάμ, καὶ στὶς δύο ἀπέτυχε. Διότι πρῶτα τὸν παρακάλεσε γιὰ τὸν ἑαυτό του, λέγοντας, «στεῖλε τὸν Λάζαρο»· ἔπειτα ὅμως

ὑπὲρ ἑαυτοῦ, ἀλλὰ ὑπὲρ τῶν ἀδελφῶν· ἀλλὰ οὐδεμίαν ἤνυσεν αἴτησιν. Ἡ μὲν γὰρ ἦν ἀδύνατος ἡ προτέρα, ἡ δευτέρα δὲ περιττὴ ἡ ὑπὲρ τῶν ἀδελφῶν. Πλὴν ἀλλά, εἰ δοκεῖ, καὶ αὐτῶν ἀκούσωμεν τῶν ρημάτων μετὰ πολλῆς τῆς σπουδῆς. Εἰ γὰρ ἄρχοντος ἐν ἀγορᾷ 5 μέσῃ κατάδικον ἀγαγόντος καὶ δημίους περιστήσαντος καὶ καταξαίνοντος τὸν ὑπεύθυνον, μετὰ πολλῆς τῆς προθυμίας συντρέχουσιν ἅπαντες ἀκοῦσαι βουλόμενοι, τί μὲν ὁ δικαστὴς ἐρωτᾷ, τί δὲ ὁ κατάδικος ἀποκρίνεται· πολλῷ μᾶλλον ἐνταῦθα μετὰ ἀκριβείας ἀκούειν χρή, τί μὲν ὁ κατάδικος οὗτος, ὁ πλούσιος, λέγω, ἀξιοῖ, τί 10 δὲ ὁ δίκαιος δικαστὴς ἀποκρίνεται διὰ τοῦ Ἀβραάμ. Οὐ γὰρ ὁ πατριάρχης ἦν ὁ δικάζων, εἰ καὶ αὐτὸς ἐφθέγγετο· ἀλλ' ὥσπερ ἐπὶ τῶν ἔξωθεν δικαστηρίων τούτων, ὅταν ὦσί τινες ὑπεύθυνοι λῃσταὶ καὶ ἀνδροφόνοι, πόρρω τῆς ὄψεως τοῦ δικάζοντος ἀποστήσαντες τούτους οἱ νόμοι, τῆς τοῦ κρίνοντος οὐκ ἐπιτρέπουσιν ἀκοῦ-15 σαι φωνῆς, κἂν τούτῳ μετὰ τῶν ἄλλων αὐτοὺς ἀτιμάζοντες, ἀλλὰ μέσος τις διακονεῖ ταῖς ἐρωτήσεσι τοῦ δικάζοντος καὶ ταῖς ἀποκρίσεσι τῶν δικαζομένων, οὕτω δὴ καὶ τότε ἐγίνετο. Οὐ τοῦ Θεοῦ φθεγγομένου πρὸς αὐτὸν ἤκουεν ὁ κατάδικος, ἀλλὰ μέσος ἦν ὁ Ἀβραάμ, τὰ παρὰ τοῦ δικάζοντος διακονούμενος τῷ δικαζομένῳ. 20 Οὐ γὰρ οἴκοθεν ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ θείους ἀνεγίνωσκε νόμους αὐτῷ καὶ τὰς ἄνωθεν φερομένας ἔλεγε ἀποφάσεις. Διόπερ οὗτος οὐδὲ ἀντιλέγειν εἶχε.

β'. Προσέχωμεν τοίνυν μετὰ ἀκριβείας τοῖς λεγομένοις. Καὶ γὰρ ἐπίτηδες ἐνδιατρίβω ταύτῃ τῇ παραβολῇ καὶ τετάρτην ἡμέραν 25 ἔχων, ταύτης οὐκ ἀφίσταμαι, ἐπειδὴ καὶ πολὺ τὸ κέρδος ἐκ τούτου τοῦ διηγήματος ὁρῶ γινόμενον καὶ πλουσίοις καὶ πένησι, καὶ τοῖς ὑπὲρ τῆς τῶν πονηρῶν εὐπραγίας καὶ τῆς τῶν δικαίων πενίας καὶ θλίψεως θορυβουμένοις. Καὶ γὰρ οὐδὲν οὕτω τοὺς πολλοὺς σκανδαλίζειν εἴωθε καὶ ταράττειν, ὡς τὸ πλουσίους ἐν πονηρίᾳ ζῶντας 30 εὐημερίας ἀπολαύειν πολλῆς, καὶ δικαίους μετὰ ἀρετῆς ζῶντας πρὸς ἐσχάτην ἐλαύνεσθαι πενίαν, καὶ ἕτερα μυρία τῆς πενίας ὑπομένειν χαλεπώτερα πράγματα.

Ἀλλὰ αὕτη ἱκανὴ ἡ παραβολὴ παρασχεῖν τὰ φάρμακα, τοὺς μὲν πλουτοῦντας σωφρονίζουσα, τοὺς δὲ πένητας παραμυθουμένη·

ὄχι πιὰ γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ τοὺς ἀδελφούς του· ἀλλὰ καμμιᾶς χάριτος δὲν ἀξιώθηκε. Διότι ἡ πρώτη ἦταν ἀδύνατο νὰ γίνη, ἐνῶ ἡ δεύτερη, γιὰ τοὺς ἀδελφούς του, ἦταν περιττή. Ἀλλ' ὅμως, ἐὰν θέλετε, ἂς ἀκούσουμε κι' αὐτὰ τὰ λόγια μὲ μεγάλη προσοχή. Διότι ἐάν, ὁδηγώντας ἕνας ἄρχοντας στὸ μέσο τῆς ἀγορᾶς ἕναν κατάδικο καὶ στήνοντας γύρω τοὺς δημίους καὶ καταπληγώνοντας τὸν ὑπόλογο, τρέχουν τότε ὅλοι μὲ πολλὴ προθυμία, θέλοντας ν' ἀκούσουν, τί ἐρωτᾶ ὁ δικαστής, καὶ τί ἀπαντᾶ ὁ κατάδικος, πολὺ περισσότερο ἐδῶ πρέπει νὰ ἀκοῦμε μὲ μεγάλη προσοχή, τί ζητάει αὐτὸς ὁ κατάδικος, ὁ πλούσιος δηλαδή, καὶ τί ἀπαντᾶ ὁ δίκαιος δικαστὴς διὰ τοῦ Ἀβραάμ. Διότι δὲν ἦταν ὁ πατριάρχης ὁ δικαστής, ἔστω κι' ἂν αὐτὸς μιλοῦσε· ἀλλά, ὅπως στὴν περίπτωσι τῶν κοσμικῶν δικαστηρίων, ὅταν εἶναι ὑπόδικοι κάποιοι ληστὲς καὶ φονιάδες, οἱ νόμοι τότε, κρατώντας τους μακριὰ ἀπὸ τὸ πρόσωπο τοῦ δικαστῆ, δὲν τοὺς ἐπιτρέπουν ν' ἀκούσουν τὴ φωνὴ ἐκείνου ποὺ τοὺς δικάζει, ἔστω κι' ἂν μ' αὐτὸ καὶ μαζὶ μὲ τὰ ἄλλα δὲν τοὺς τιμοῦν, ἀλλὰ κάποιος ἐνδιάμεσος μεταφέρει τὶς ἐρωτήσεις τοῦ δικαστῆ καὶ τὶς ἀπαντήσεις τῶν διακαζομένων· ἔτσι ἀκριβῶς καὶ τότε γινόταν. Δὲν ἄκουε ὁ κατάδικος τὸν Θεὸ νὰ τοῦ μιλάη, ἀλλ' ὁ Ἀβραὰμ ἦταν στὸ ἐνδιάμεσο, γιὰ νὰ μεταφέρη στὸν δικαζόμενο τὰ λόγια τοῦ δικαστῆ. Διότι δὲν ἔλεγε ἀπὸ μόνος του αὐτὰ ποὺ ἔλεγε, ἀλλὰ τοῦ διάβαζε τοὺς θείους νόμους καὶ τοῦ ἔλεγε τὶς ἀποφάσεις ποὺ ἔβγαζε ὁ Θεός. Γι' αὐτὸ ἀκριβῶς ὁ πλούσιος δὲν μποροῦσε οὔτε ν' ἀντιμιλήση.

2. Ἂς προσέχουμε λοιπὸν μὲ ἀκρίβεια σ' αὐτὰ ποὺ λέγονται. Διότι ἐπίτηδες ἀσχολοῦμαι μ' αὐτὴν τὴν παραβολὴ καί, ἂν καὶ ἔχω τέταρτη ἡμέρα, δὲν ἀπομακρύνομαι ἀπ' αὐτήν, ἐπειδὴ βλέπω νὰ προκύπτη μεγάλο κέρδος ἀπὸ αὐτὴ τὴ διήγησι καὶ στοὺς πλουσίους καὶ στοὺς φτωχοὺς καὶ γι' αὐτοὺς ποὺ θορυβοῦνται ἀπὸ τὴν εὐτυχία τῶν κακῶν καὶ γι' αὐτοὺς ποὺ θορυβοῦνται ἀπὸ τὴν φτώχεια καὶ τὴν θλίψι τῶν δικαίων. Διότι τίποτε συνήθως δὲν σκανδαλίζει καὶ δὲν ταράσσει τόσο τοὺς πολλούς, ὅσο τὸ ν' ἀπολαμβάνουν μεγάλη εὐτυχία οἱ πλούσιοι ποὺ ζοῦν μέσα στὴν ἁμαρτία καὶ οἱ δίκαιοι ποὺ ζοῦν μὲ τὴν ἀρετὴ νὰ φθάνουν στὸν ὕψιστο βαθμὸ τῆς φώχειας καὶ νὰ ὑποφέρουν ἄλλα μύρια πράγματα χειρότερα τῆς φτώχειας.

Ἀλλὰ αὐτὴ ἡ παραβολὴ εἶναι ἱκανὴ νὰ μᾶς δώση τὰ φάρμακα, σωφρονίζοντας ἐκείνους ποὺ ζοῦν μέσα στὸν πλοῦτο, καὶ παρηγο-

ἐκείνους μὲν παιδεύουσα μὴ μέγα φρονεῖν, τοὺς δὲ πένητας παραμυθουμένη ἐπὶ τοῖς παροῦσι· κἀκείνους μὲν μὴ μεγαλαυχεῖν πείθουσα, ὅταν πονηρευόμενοι μὴ δῶσιν ἐνταῦθα δίκην, ὡς χαλεπωτάτης ἀπαντησομένης αὐτοῖς ἐκεῖ τῆς τιμωρίας· τούτους δὲ παρα-
5 *καλοῦσα, μὴ ταῖς ἑτέρων εὐπραγίαις θορυβεῖσθαι, μηδὲ νομίζειν ἀπρονόητα εἶναι τὰ καθ' ἡμᾶς, ὅταν δίκαιος μὲν ἐνταῦθα πάσχῃ κακῶς, πονηρὸς δὲ καὶ μιαρὸς ἄνθρωπος εὐημερίας ἀπολαύῃ διηνεκοῦς. Ἀμφότεροι γὰρ τὸ κατ' ἀξίαν ἀπολήψονται ἐκεῖ, ὁ μὲν τοὺς στεφάνους τῆς ὑπομονῆς καὶ τῆς καρτερίας, ὁ δὲ τὰς κολάσεις καὶ*
10 *τὰς τιμωρίας τῆς πονηρίας.*

Ταύτην τὴν παραβολὴν ἐγγράψατε καὶ πλούσιοι καὶ πένητες· πλούσιοι ἐν τοῖς τοίχοις τῆς ὑμετέρας οἰκίας, πένητες δὲ ἐν τοῖς τοίχοις τῆς διανοίας· κἂν ἐξαλειφθῇ ποτε λήθης ἐγγινομένης, ἐπιχρίσατε πάλιν διὰ τῆς μνήμης ἄνωθεν. Μᾶλλον δὲ καὶ οἱ πλούσιοι
15 *πρὸ τῆς οἰκίας ἐν τῇ διανοίᾳ διαγράψατε, καὶ συνεχῶς περιφέρετε, καὶ ἔσται διδασκαλεῖον ὑμῖν καὶ ὑπόθεσις φιλοσοφίας ἁπάσης. Ἐὰν γὰρ ταύτην διηνεκῶς ἐγγεγραμμένην ἔχωμεν ἐν τῇ διανοίᾳ, οὔτε τὰ περιχαρῆ τοῦ παρόντος βίου ἡμᾶς φυσῆσαι δυνήσεται, οὔτε τὰ λυπηρὰ ταπεινῶσαι καὶ καθελεῖν· ἀλλὰ ὡς πρὸς τὰς ζωγραφίας*
20 *τὰς ἐν τοῖς τοίχοις, οὕτω πρὸς ἑκάτερα ταῦτα διακεισόμεθα. Καθάπερ γὰρ ἐν τοῖς τοίχοις γεγραμμένον ὁρῶντες πλούσιον καὶ πένητα, οὔτε ἐκείνῳ φθονοῦμεν, οὔτε τοῦ πένητος ὑπερορῶμεν διὰ τὸ σκιὰν ἀλλὰ μὴ πραγμάτων ἀλήθειαν εἶναι τὰ ὁρώμενα, οὕτω καὶ πλούτου καὶ πενίας, καὶ δόξης καὶ ἀτιμίας, καὶ τῶν ἄλλων ἁπάν-*
25 *των τῶν τε σκυθρωπῶν καὶ φαιδρῶν τὴν φύσιν ἂν καταμάθωμεν, τῆς ἐξ ἑκάστου τούτων ἐγγινομένης ἡμῖν ἀνωμαλίας ἀπαλλαγησόμεθα. Σκιᾶς γάρ ἐστιν ἀπατηλότερα ἅπαντα ταῦτα, καὶ τὸν ὑψηλὸν καὶ γενναῖον οὐδὲν οὔτε τῶν λαμπρῶν καὶ ἐπιδόξων ἐπᾶραι, οὔτε τῶν ταπεινῶν καὶ ἀπερριμμένων συστεῖλαι δυνήσεται.*

30 *Ἀλλὰ γὰρ ὥρα λοιπὸν ἡμῖν καὶ τῶν ῥημάτων ἀκοῦσαι τῶν τοῦ πλουσίου. «Ἐρωτῶ σε», φησί, «πάτερ», τουτέστι, παρακαλῶ, δέομαι, ἱκετεύω, «ἵνα πέμψῃς εἰς τὸν οἶκον τοῦ πατρός μου Λάζαρον· εἰσὶ γάρ μοι πέντε ἀδελφοί· ἵνα διαμαρτύρηται αὐτοῖς, ὅπως μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου». Ἐπειδὴ τῶν καθ'*

3. Λουκᾶ 16,28.

ρώντας τοὺς φτωχούς· τοὺς πλουσίους διδάσκοντάς τους νὰ μὴν ὑπερηφανεύωνται ὅταν ἁμαρτάνουν καὶ δὲν τιμωροῦνται ἐδῶ, διότι θὰ συναντήσουν ἐκεῖ φοβερώτατη τιμωρία· τοὺς φτωχοὺς πάλι παρηγορώντας τους νὰ μὴν θορυβοῦνται μὲ τὶς εὐημερίες τῶν ἄλλων, οὔτε νὰ νομίζουν ὅτι, ὅσα μᾶς συμβαίνουν, γίνονται χωρὶς πρόνοια, ὅταν ὁ δίκαιος ἐδῶ ὑποφέρη, ἐνῶ ὁ πονηρὸς καὶ μιαρὸς ἄνθρωπος ἀπολαμβάνει διαρκῆ εὐημερία. Διότι καὶ οἱ δύο θὰ λάβουν ἐκεῖ ὅ,τι τοὺς ἀξίζει· ὁ δίκαιος τὰ στεφάνια τῆς ὑπομονῆς καὶ τῆς καρτερίας, ἐνῶ ὁ ἄδικος τὶς καταδίκες καὶ τὶς τιμωρίες τῆς κακίας.

Αὐτὴν τὴν παραβολὴ νὰ τὴν γράψετε καὶ οἱ πλούσιοι καὶ οἱ φτωχοί· οἱ πλούσιοι στοὺς τοίχους τοῦ σπιτιοῦ σας, καὶ οἱ φτωχοὶ στοὺς τοίχους τῆς διάνοιάς σας· κι' ἂν κάποτε σβήση ἐξ αἰτίας τῆς λήθης, γράψτε την πάλι ἀπὸ πάνω μὲ τὴ μνήμη σας. Ἢ καλύτερα καὶ οἱ πλούσιοι, πρὶν ἀπὸ τὸ σπίτι γράψτε την στὴ διάνοιά σας καὶ συνεχῶς νὰ τὴν ἔχετε μαζί σας καὶ θὰ εἶναι γιὰ σᾶς σχολεῖο καὶ ἀφορμὴ κάθε εὐσέβειας. Διότι, ἐὰν τὴν ἔχουμε διαρκῶς γραμμένη στὴ διάνοιά μας, οὔτε τὰ εὐχάριστα αὐτῆς τῆς ζωῆς θὰ μπορέσουν νὰ μᾶς κάνουν ὑπερήφανους, οὔτε τὰ λυπηρὰ νὰ μᾶς ταπεινώσουν καὶ νὰ μᾶς ρίξουν κάτω· ἀλλ' ὅποια εἶναι ἡ στάσις ἀπέναντι στὶς ζωγραφιὲς τῶν τοίχων, τέτοια θὰ εἶναι καὶ ἀπέναντι σ' αὐτὰ τὰ δύο. Ὅπως ἀκριβῶς δηλαδὴ ὅταν βλέπουμε στοὺς τοίχους νὰ εἶναι ζωγραφισμένοι ἕνας πλούσιος καὶ ἕνας πτωχός, οὔτε ἐκεῖνον φθονοῦμε, οὔτε τὸν φτωχὸ περιφρονοῦμε, ἐπειδὴ αὐτὸ ποὺ βλέπουμε εἶναι σκιὰ καὶ ὄχι ἡ πραγματικὴ ἀλήθεια· ἔτσι κι' ὅταν μάθουμε καλὰ τὴ φύσι τοῦ πλούτου καὶ τῆς φτώχειας, τῆς δόξας καὶ τῆς ἀτιμίας, καὶ ὅλων τῶν ἄλλων τῶν εὐχάριστων καὶ δυσάρεστων, θ' ἀπαλλαγοῦμε ἀπὸ τὴν ἀνωμαλία ποὺ μᾶς φέρνει καθένα ἀπὸ αὐτά. Διότι ὅλα αὐτὰ εἶναι πιὸ ἀπατηλά καὶ ἀπὸ τὴ σκιά, καὶ τὸν μεγάλο καὶ γενναῖο ἄνθρωπο τίποτε ἀπὸ τὰ λαμπρὰ καὶ ἐπίδοξα δὲν θὰ μπορέση νὰ τὸν κάνη νὰ ὑπερηφανευθῆ, οὔτε τίποτε ἀπὸ τὰ ταπεινὰ καὶ περιφρονημένα νὰ τὸν ταπεινώση.

Ἀλλ' εἶναι ὥρα πιὰ ν' ἀκούσουμε καὶ τὰ λόγια τοῦ πλουσίου. «Σὲ ἐρωτῶ», λέγει, «πάτερ», δηλαδὴ σὲ παρακαλῶ, δέομαι, σὲ ἱκετεύω, «νὰ στείλης στὸ σπίτι τοῦ πατέρα μου τὸν Λάζαρο· διότι ἔχω πέντε ἀδέλφια· γιὰ νὰ τοὺς βεβαιώση τὰ ὅσα γίνονται ἐδῶ, γιὰ νὰ μὴν ἔλθουν κι' αὐτοὶ στὸν τόπο αὐτὸν τῆς βασάνου»[3]. Ἐπειδὴ ἀπέ-

ἑαυτὸν ἀπέτυχεν, ὑπὲρ ἑτέρων ποιεῖται τὴν ἱκετηρίαν. Ὅρα πῶς φιλάνθρωπος καὶ ἥμερος γέγονεν ὑπὸ τῆς κολάσεως. Ὁ γὰρ τοῦ Λαζάρου καταφρονῶν παρόντος, ἑτέρων ἀπόντων φροντίζει· ὁ τὸν πρὸ τῶν ὀφθαλμῶν κείμενον παρατρέχων, τῶν οὐχ ὁρωμένων μέ-
5 *μνηται, καὶ μετὰ πολλῆς ἀξιοῖ τῆς τιμῆς καὶ τῆς σπουδῆς, ὥστε γενέσθαι τινὰ αὐτῶν πρόνοιαν πρὸς ἀπαλλαγὴν τῶν καταληψομένων αὐτοὺς κακῶν. Καὶ παρακαλεῖ πεμφθῆναι τὸν Λάζαρον εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ, ἔνθα τὰ σκάμματα ἦν αὐτῷ, καὶ τὸ στάδιον ἀνεῴγει τῆς ἀρετῆς.*

10 *Ἐκεῖνοι βλεπέτωσαν αὐτὸν στεφανούμενον, φησίν, οἱ θεασάμενοι ἀγωνισάμενον· οἱ μάρτυρες αὐτοῦ τῆς πενίας καὶ τοῦ λιμοῦ καὶ τῶν μυρίων κακῶν, γενέσθωσαν μάρτυρες τῆς τιμῆς, τῆς μεταβολῆς, τῆς δόξης ἁπάσης, ἵνα ἑκατέρωθεν παιδευθέντες καὶ μαθόντες, ὅτι οὐ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα στήσεται πρά-*
15 *γματα, οὕτω παρασκευάσωνται, ὡς δυνηθῆναι ταύτην τὴν κόλασιν διαφυγεῖν καὶ τὴν τιμωρίαν. Τί οὖν ὁ Ἀβραάμ; «Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας», φησίν, «ἀκουσάτωσαν αὐτῶν». Οὐχ οὕτω, φησί, σὺ κήδῃ τῶν ἀδελφῶν σου, ὡς ὁ ποιήσας αὐτοὺς Θεός. Μυρίους αὐτοῖς ἐπέστησε διδασκάλους παραινοῦντας, συμβουλεύον-*
20 *τας, νουθετοῦντας. Τί οὖν αὐτὸς πάλιν; «Οὐχί», φησί, «πάτερ Ἀβραάμ, ἀλλά, ἐάν τις ἀπὸ νεκρῶν ἀπέλθῃ, αὐτῷ πιστεύσουσι».*

Ταῦτα δὴ τὰ τῶν πολλῶν ῥήματα. Ποῦ νῦν εἰσιν οἱ λέγοντες, ‘τίς ἦλθεν ἐκεῖθεν; τίς ἐκ τῶν νεκρῶν ἀνέστη; τίς εἶπε τὰ ἐν ᾅδου;’ Πόσα τοιαῦτα καὶ τηλικαῦτα πρὸς ἑαυτὸν εἶπεν ὁ πλούσιος ἐκεῖ-
25 *νος, ἡνίκα ἐτρύφα; Οὐδὲ γὰρ ἁπλῶς παρεκάλεσεν ἀναστῆναί τινα ἐκ τῶν νεκρῶν· ἀλλ' ἐπειδὴ τῶν Γραφῶν ἀκούων κατεφρόνει, κατεγέλα, μύθους εἶναι ἐνόμιζε τὰ λεγόμενα, ἀφ' ὧν αὐτὸς ἔπασχε, καὶ περὶ τῶν ἀδελφῶν ἐνόμιζε. Κἀκεῖνοι, φησίν, οὕτως ὑποπτεύουσιν· ἐὰν δέ τις ἀπὸ νεκρῶν ἀπέλθῃ, οὐκ ἀπιστήσουσιν αὐτῷ, οὐ*
30 *καταγελάσονται, ἀλλὰ μᾶλλον τοῖς λεγομένοις προσέξουσι. Τί οὖν ὁ Ἀβραάμ; «Εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν,*

4. Λουκᾶ 16,29.
5. Λουκᾶ 16,30.

τυχε γιὰ τὸν ἑαυτό του, τώρα παρακαλεῖ γιὰ τοὺς ἄλλους. Πρόσεχε πῶς ἔγινε φιλάνθρωπος καὶ ἥμερος ἐξ αἰτίας τῆς κολάσεως. Διότι, αὐτὸς ποὺ περιφρονοῦσε τὸν Λάζαρο, ἐνῶ ἦταν μπροστά του, φροντίζει τοὺς ἄλλους ποὺ εἶναι μακριά· αὐτὸς ποὺ ἀδιαφοροῦσε γι' αὐτὸν ποὺ ἦταν μπροστὰ στὰ μάτια του, ἐνδιαφέρεται γι' αὐτοὺς ποὺ δὲν βλέπει, καὶ μὲ μεγάλο σεβασμὸ καὶ βιασύνη ζητεῖ νὰ δειχθῆ κάποια πρόνοια γι' αὐτούς, γιὰ ν' ἀποφύγουν τὰ βάσανα ποὺ θὰ τοὺς καταλάβουν. Καὶ παρακαλεῖ νὰ σταλῆ ὁ Λάζαρος στὸ σπίτι τοῦ πατέρα του, ἐκεῖ ὅπου ἦταν τὰ σκάμματα γι' αὐτὸν καὶ εἶχε ἀνοιχθῆ τὸ στάδιο τῆς ἀρετῆς.

Ἂς τὸν δοῦν, λέγει, τώρα μὲ τὰ στεφάνια, ἐκεῖνοι ποὺ τὸν εἶδαν καθὼς ἀγωνιζόταν· ἐκεῖνοι ποὺ ἦταν μάρτυρες τῆς φτώχειας καὶ τῆς πείνας καὶ τῶν μυρίων συμφορῶν του, νὰ γίνουν μάρτυρες τῆς τιμῆς, τῆς μεταβολῆς, ὅλης τῆς δόξας, γιὰ νὰ διδαχθοῦν καὶ νὰ μάθουν καὶ ἀπὸ τὰ δύο, ὅτι δὲν θὰ τελειώσουν τὰ πράγματά μας σ' αὐτὴ τὴ ζωή, καὶ νὰ ἑτοιμασθοῦν ἔτσι, γιὰ νὰ μπορέσουν ν' ἀποφύγουν αὐτὴν τὴν κόλασι καὶ τιμωρία. Τί εἶπε τότε ὁ Ἀβραάμ; «Ἔχουν τὸν Μωϋσῆ καὶ τοὺς προφῆτες», λέγει, «αὐτοὺς ἂς ἀκούσουν»[4]. Δὲν ἐνδιαφέρεσαι ἐσύ, λέγει, γιὰ τοὺς ἀδελφούς σου περισσότερο ἀπὸ τὸν Θεὸ ποὺ τοὺς δημιούργησε. Τοὺς ἔδωσε ἄπειρους διδασκάλους ποὺ τοὺς παροτρύνουν, τοὺς συμβουλεύουν, τοὺς νουθετοῦν. Τί λοιπὸν εἶπε πάλι αὐτός; «Ὄχι, πάτερ Ἀβραάμ», λέγει, «ἀλλά, ἐὰν πάη κάποιος ἀπὸ τοὺς νεκρούς, θὰ τὸν πιστέψουν»[5].

Αὐτὰ δηλαδὴ εἶναι τὰ λόγια τῶν πολλῶν. Ποῦ εἶναι τώρα αὐτοὶ ποὺ λένε, ποιός ἦρθε ἀπὸ ἐκεῖ; ποιός ἀναστήθηκε ἀπὸ τοὺς νεκρούς; ποιός εἶπε αὐτὰ ποὺ συμβαίνουν στὸν ᾅδη; Πόσα τέτοια καὶ τόσο μεγάλα εἶπε στὸν ἑαυτό του ὁ πλούσιος ἐκεῖνος ὅταν ἀπολάμβανε τὶς τρυφές; Διότι οὔτε ἀπὸ ὠφέλεια παρεκάλεσε νὰ ἀναστηθῆ κάποιος ἀπὸ τοὺς νεκρούς· ἀλλ' ἐπειδὴ περιφρονοῦσε τὶς Γραφὲς ὅταν τὶς ἄκουγε καὶ τὶς περιγελοῦσε, καὶ νόμιζε ὅτι εἶναι μῦθοι τὰ λεγόμενα, ἀπὸ ἐκεῖνα λοιπὸν ποὺ ἔπασχε αὐτός, πίστευε ὅτι καὶ τὰ ἀδέλφια του πάθαιναιν. Κι' ἐκεῖνοι, λέγει, ἔτσι τὰ θεωροῦν· ἐὰν ὅμως πάη κάποιος ἀπὸ τοὺς νεκρούς, δὲν θ' ἀρνηθοῦν νὰ τὸν πιστέψουν, δὲν θὰ τὸν περιγελάσουν, ἀλλὰ θὰ προσέξουν πολὺ τὰ λεγόμενά του. Τί εἶπε τότε ὁ Ἀβραάμ; «Ἐὰν δὲν ἀκοῦν τὸν Μωϋσῆ καὶ τοὺς προφῆτες, οὔτε, ἐὰν κάποιος ἀπὸ τοὺς νεκροὺς ἀναστηθῆ, θὰ

οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, ἀκούσονται». Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ὅτι ὁ τῶν Γραφῶν οὐκ ἀκούων οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσεται, ἔδειξαν οἱ Ἰουδαῖοι, οἵ, ἐπειδὴ Μωϋσέως οὐκ ἤκουσαν καὶ τῶν προφητῶν, οὐδὲ νεκροὺς ἀναστάντας ἰδόντες ἐπίστευσαν· 5 ἀλλὰ νῦν μὲν ἀναιρεῖν τὸν Λάζαρον ἐπεχείρουν, νῦν δὲ τοῖς ἀποστόλοις ἐπεπήδων, καίτοι πολλῶν ἀναστάντων νεκρῶν ἐν τῷ καιρῷ τοῦ σταυροῦ.

γ'. Ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς, ὅτι ἀξιοπιστοτέρα ἡ τῶν προφητῶν διδασκαλία τῆς τῶν ἀνισταμένων ἀπαγγελίας, ἐκεῖνο σκό- 10 πησον, ὅτι νεκρὸς μὲν ἅπας δοῦλός ἐστιν· ἃ δὲ αἱ Γραφαὶ φθέγγονται, ταῦτα ὁ Δεσπότης ἐφθέγξατο· ὥστε κἂν νεκρὸς ἀναστῇ, κἂν ἄγγελος ἐξ οὐρανοῦ καταβῇ, πάντων ἔστωσαν αἱ Γραφαὶ ἀξιοπιστότεραι. Ὁ γὰρ τῶν ἀγγέλων Δεσπότης καὶ τῶν νεκρῶν καὶ τῶν ζώντων Κύριος, αὐτὸς ἐκείνας ἐνομοθέτησε. Καὶ ὅτι περιττὰ 15 ζητοῦσιν οἱ ζητοῦντες νεκροὺς ἐκεῖθεν ἐλθεῖν, πρὸς τοῖς εἰρημένοις καὶ ἀπὸ τῶν παρόντων ἔστι δεῖξαι δικαστηρίων τοῦτο. Ἡ γέεννα οὐ φαίνεται τοῖς ἀπίστοις· τοῖς γὰρ πιστοῖς ἐστι δήλη καὶ φανερά, ἀλλ' ὅμως τοῖς ἀπίστοις οὐ φαίνεται· τὰ μέντοι δικαστήρια φαίνεται καὶ καθ' ἑκάστην ἡμέραν ἀκούομεν, ὅτι ὁ δεῖνα ἐκολάσθη, τοῦ 20 δεῖνος ἡ οὐσία ἐδημεύθη, ἕτερος τὰ μέταλλα ἐργάζεται, ἄλλος κατεκάη πυρί, ἄλλος ἑτέρῳ τρόπῳ κολάσεως καὶ τιμωρίας ἀπώλετο. Ἀλλ' ὅμως ταῦτα ἀκούοντες οἱ πονηροὶ καὶ κακοῦργοι καὶ γόητες οὐ σωφρονίζονται. Καὶ τί λέγω, εἰ οἱ μηδέποτε τούτοις περιπεσόντες οὐ σωφρονίζονται; Πολλάκις πολλοὶ τούτων ἁλόντες καὶ δια- 25 φυγόντες τὴν κόλασιν καὶ τὸ δεσμωτήριον διορύξαντες καὶ ἀποπηδήσαντες, πάλιν τοῖς αὐτοῖς ἐπέθεντο καὶ πολλῷ χαλεπωτέρα τούτων εἰράσαντο.

Μὴ τοίνυν ζητῶμεν παρὰ νεκρῶν ἀκούειν ταῦτα ἃ πολλῷ σαφέστερον αἱ Γραφαὶ καθ' ἑκάστην ἡμᾶς παιδεύουσι τὴν ἡμέραν. 30 Εἰ γὰρ ᾔδει τοῦτο ὁ Θεός, ὅτι νεκροὶ ἀνιστάμενοι τοὺς ζῶντας ὠφέλησαν ἄν, οὐκ ἂν παρέλιπεν, οὐδ' ἂν παρῆκε τοσοῦτον κέρδος ὁ πάντα ἡμῖν πρὸς τὸ συμφέρον πραγματευόμενος. Χωρὶς δὲ τούτων, εἰ συνεχῶς ἔμελλον ἀνίστασθαι νεκροὶ καὶ τὰ ἐκεῖ πάντα ἀπαγγέλλειν ἡμῖν, καὶ τοῦτο ἂν τῷ χρόνῳ κατεφρονήθη πάλιν·

τὸν ἀκούσουν». Καὶ ὅτι εἶναι ἀληθινὸ αὐτό, ὅτι ὅποιος δὲν ἀκούει τὶς Γραφές, οὔτε τοὺς νεκροὺς ἐὰν ἀναστηθοῦν θὰ τοὺς ἀκούση, τὸ ἀπέδειξαν οἱ Ἰουδαῖοι, οἱ ὁποῖοι, ἐπειδὴ δὲν ἄκουσαν τὸν Μωϋσῆ καὶ τοὺς προφῆτες, οὔτε ὅταν εἶδαν ἀναστημένους νεκροὺς πίστεψαν· ἀλλ' ἄλλοτε ἐπιχειροῦσαν νὰ σκοτώσουν τὸν Λάζαρο, κι' ἄλλοτε ὁρμοῦσαν ἐπάνω στοὺς ἀποστόλους, ἂν καὶ βέβαια πολλοὶ ἀπὸ τοὺς νεκροὺς ἀναστήθηκαν κατὰ τὴν ὥρα τοῦ σταυροῦ.

3. Ἀλλὰ γιὰ νὰ μάθῃς καὶ ἀπὸ ἀλλοῦ, ὅτι ἡ διδασκαλία τῶν προφητῶν εἶναι πιὸ ἀξιόπιστη ἀπὸ τὴν ἐξιστόρησι τῶν ἀναστημένων, ἐκεῖνο πρόσεξε, ὅτι ὁ κάθε νεκρὸς εἶναι δοῦλος· αὐτὰ ὅμως ποὺ λένε οἱ Γραφές, αὐτὰ τὰ εἶπε ὁ Θεός· ὥστε, εἴτε ἀναστηθῆ νεκρός, εἴτε κατεβῆ ἄγγελος ἀπὸ τὸν οὐρανό, οἱ Γραφὲς ἂς εἶναι πιὸ ἀξιόπιστες ἀπὸ ὅλους. Διότι ὁ Κύριος τῶν ἀγγέλων καὶ τῶν νεκρῶν καὶ τῶν ζωντανῶν Κύριος, αὐτὸς τὶς νομοθέτησε. Καὶ ὅτι περιττὰ πράγματα ζητοῦν, αὐτοὶ ποὺ ζητοῦν νὰ ἔλθουν ἀπὸ ἐκεῖ οἱ νεκροί, ἐκτὸς ἀπ' αὐτὰ ποὺ ἔχουν λεχθῆ, εἶναι δυνατὸ νὰ ἀποδειχθῆ αὐτὸ καὶ ἀπὸ τὰ ὑπάρχοντα δικαστήρια. Ἡ γέεννα δὲν φαίνεται στοὺς ἀπίστους· στοὺς πιστοὺς εἶναι γνωστὴ καὶ φανερή, ἀλλ' ὅμως στοὺς ἀπίστους δὲν φαίνεται· τὰ δικαστήρια ὅμως φαίνονται καὶ κάθε μέρα ἀκοῦμε, ὅτι ὁ τάδε δικάσθηκε, τοῦ τάδε ἡ περιουσία δημεύθηκε, ἄλλος δουλεύει στὰ μεταλλεῖα, ἄλλος κάηκε στὴ φωτιά, καὶ ἄλλος μὲ ἄλλον τρόπο καταδίκης καὶ τιμωρίας χάθηκε. Ἀλλ' ὅμως, ἂν καὶ τὰ ἀκοῦν αὐτὰ οἱ πονηροὶ καὶ κακοῦργοι καὶ ἀπατεῶνες δὲν σωφρονίζονται. Καὶ τί λέγω, ὅτι δὲν σωφρονίζονται, αὐτοὶ ποὺ ποτὲ δὲν ἔπεσαν σ' αὐτά; Πολλὲς φορὲς καὶ πολλοὶ ἀπὸ αὐτοὺς ποὺ πιάσθηκαν καὶ ξέφυγαν τὴν τιμωρία, ἀνοίγοντας τρύπα στὴ φυλακὴ καὶ πηδώντας ἔξω, πάλι ἐπέστρεψαν στὰ ἴδια καὶ ἔκαναν πολὺ χειρότερα ἀπὸ αὐτά.

Ἂς μὴ ζητοῦμε λοιπὸν ν' ἀκοῦμε ἀπὸ τοὺς νεκροὺς αὐτὰ τὰ ὁποῖα μὲ μεγαλύτερη σαφήνεια κάθε ἡμέρα μᾶς διδάσκουν οἱ Γραφές. Διότι, ἐὰν τὸ γνώριζε αὐτὸ ὁ Θεός, ὅτι οἱ ἀναστημένοι νεκροὶ θὰ ὠφελοῦσαν τοὺς ζωντανούς, δὲν θὰ παρέλειπε, οὔτε θὰ παρέβλεπε τόσο κέρδος, αὐτὸς ποὺ ὅλα τὰ κάνει γιὰ τὸ συμφέρον μας. Καὶ ἐκτὸς ἀπὸ αὐτά, ἐὰν διαρκῶς ἐπρόκειτο νὰ ἀνασταίνωνται οἱ νεκροὶ καὶ νὰ μᾶς ἀναγγέλλουν ὅλα ὅσα συμβαίνουν ἐκεῖ, καὶ αὐτὸ πάλι μὲ

πρὸς δὲ τούτοις καὶ πονηρὰ ἂν εἰσήγαγε δόγματα ὁ διάβολος μετὰ πολλῆς τῆς εὐκολίας. Εἴδωλα γὰρ ἠδύνατο δεικνύναι πολλάκις, ἢ καὶ παρασκευάζων τινὰς ὑποκρίνασθαι θάνατον καὶ κατορύττεσθαι, δεικνύναι πάλιν ὡς ἐκ νεκρῶν ἀναστάντας, καὶ δι' ἐκείνων
5 *ὅσα ἐβούλετο πιστεύεσθαι ταῖς τῶν ἀπατωμένων διανοίαις. Εἰ γὰρ νῦν, οὐδενὸς ὄντος τοιούτου, ὄνειροι πολλάκις φανέντες ἐν τύποις τῶν ἀπελθόντων, πολλοὺς ἠπάτησαν καὶ διέφθειραν, πολλῷ μᾶλλον, εἰ τοῦτο γεγενημένον ἦν καὶ κεκρατηκὸς ἐν ταῖς τῶν ἀνθρώπων διανοίαις, οἷον ὅτι πολλοὶ τῶν ἀπελθόντων ἐπανῆλθον πάλιν,*
10 *μυρίοις ἂν ὁ μιαρὸς δαίμων ἐκεῖνος δόλοις ἔπλεξε, καὶ πολλὴν ἀπάτην εἰς τὸν βίον εἰσήγαγε. Διὰ τοῦτο ἀπέκλεισε τὰς θύρας ὁ Θεὸς καὶ οὐκ ἀφίησί τινα τῶν ἀπελθόντων ἐπανελθόντα εἰπεῖν τὰ ἐκεῖ, ἵνα μὴ λαβὼν ἀφορμὴν ἐντεῦθεν ἐκεῖνος, τὰ παρ' ἑαυτοῦ πάντα εἰσαγάγῃ.*

15 *Καὶ γὰρ ὅτε προφῆται ἦσαν, ψευδοπροφήτας ἤγειρε· καὶ ὅτε ἀπόστολοι, ψευδαποστόλους· καὶ ὅτε Χριστὸς ἐφάνη, ψευδοχρίστους, καὶ ὅτε δόγματα εἰσηνέχθη ὑγιῆ, διεφθαρμένα εἰσήγαγε, τὰ ζιζάνια πανταχοῦ διασπείρων. Ὥστε, εἰ καὶ τοῦτο συνέβη, καὶ τοῦτο ἐπεχείρησεν ἂν ὑποκρίνεσθαι διὰ τῶν οἰκείων ὀργάνων, οὐχὶ*
20 *νεκροὺς ἀληθῶς ἀνιστάς, ἀλλὰ μαγγανείαις τισὶ καὶ ἀπάταις τὰς ὄψεις τῶν ὁρώντων ἀπατῶν, ἢ καί τινας παρασκευάζων, ὥσπερ ἔφθην εἰπών, ὑποκρίνεσθαι τελευτήν, τὰ ἄνω κάτω πάντα ἐποίησεν ἂν καὶ συνέχεεν. Ἀλλ' ὁ Θεὸς ἅπαντα ταῦτα προειδώς, ἀπετείχισεν αὐτῷ τὴν ἐπιβουλὴν ταύτην, καὶ φειδόμενος ἡμῶν, οὐ συνε-*
25 *χώρησεν ἐλθόντι τινί ποτε ἐκεῖθεν περὶ τῶν ἐκεῖ διαλεχθῆναι τοῖς ζῶσιν ἀνθρώποις, παιδεύων ἡμᾶς πάντων ἀξιοπιστοτέρας ἡγεῖσθαι τὰς θείας Γραφάς. Πολὺ γὰρ τῆς τῶν νεκρῶν ἀναστάσεως σαφέστερα ἡμῖν ἔδειξε πράγματα· τὴν οἰκουμένην ἐπέστρεψεν ἅπασαν, τὴν πλάνην ἀπήλασε, τὴν ἀλήθειαν ἐπανήγαγε, δι' ἁλιέων καὶ*
30 *εὐτελῶν ἀνθρώπων ταῦτα πάντα κατώρθωσε, καὶ ἱκανὰς ἀποδείξεις τῆς ἑαυτοῦ προνοίας πανταχοῦ παρέσχεν ἡμῖν.*

Μὴ τοίνυν μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα συγκεκλεῖσθαι νομίζωμεν, ἀλλὰ πιστεύωμεν, ὅτι πάντως ἔσται κρίσις καὶ

τὴν πάροδο τοῦ χρόνου θὰ εἶχε καταφρονηθῆ· ἐπὶ πλέον ὁ διάβολος θὰ εἰσήγαγε πονηρὰ δόγματα μὲ μεγάλη εὐκολία. Διότι πολλὲς φορὲς θὰ μποροῦσε νὰ δείξη εἴδωλα ἢ καὶ θὰ ἔβαζε κάποιους νὰ ὑποκρίνωνται ὅτι πέθαναν καὶ τάφηκαν κι' ἔπειτα πάλι θὰ ἔδειχνε ὅτι ἀναστήθηκαν καὶ μέσω ἐκείνων θὰ ἔκανε πιστευτὰ ὅσα ἤθελε στὶς ψυχὲς ἐκείνων ποὺ θὰ ἀπατοῦσε. Διότι, ἐὰν τώρα, ἐνῶ δὲν ὑπάρχει κάτι τέτοιο, πολλὲς φορὲς ὄνειρα ποὺ παρουσιάζονται μὲ τὴ μορφὴ τῶν ἀνθρώπων ποὺ ἔφυγαν, πολλοὺς ξεγέλασαν καὶ τοὺς κατέστρεψαν, πολὺ περισσότερο ἐὰν αὐτὸ εἶχε γίνει καὶ εἶχε ἐπικρατήσει στὶς ψυχὲς τῶν ἀνθρώπων, ὅπως δηλαδὴ ἐὰν πολλοὶ ἀπὸ αὐτοὺς ποὺ πέθαναν, ἐπέστρεφαν πάλι, μυρίους δόλους θὰ ἔπλεκε ὁ μιαρὸς ἐκεῖνος δαίμονας καὶ πολλὴ ἀπάτη θὰ εἰσήγαγε στὴ ζωή μας. Γι' αὐτὸ ἔκλεισε καλὰ τὶς θύρες ὁ Θεὸς καὶ δὲν ἀφήνει κάποιον ἀπὸ αὐτοὺς ποὺ ἔφυγαν νὰ ἐπανέλθη καὶ νὰ πῆ ὅσα συμβαίνουν ἐκεῖ, γιὰ νὰ μὴν πάρη ἀφορμὴ ἀπὸ αὐτὸ ὁ διάβολος καὶ εἰσαγάγη ὅλα τὰ δικά του.

Πραγματικά, ὅταν ὑπῆρχαν οἱ προφῆτες, αὐτὸς παρουσίασε ψευδοπροφῆτες· καὶ ὅταν ἦταν οἱ ἀπόστολοι, ψευδαποστόλους· καὶ ὅταν παρουσιάσθηκε ὁ Χριστός, ψευδοχρίστους, καὶ ὅταν μᾶς δόθηκαν οἱ σωστὲς διδασκαλίες, εἰσήγαγε τὶς διεφθαρμένες, σπέρνοντας παντοῦ τὰ ζιζάνια. Ὥστε, ἂν συνέβαινε κι' αὐτό, θὰ ἐπιχειροῦσε νὰ τὸ κάνη καὶ αὐτὸ ὑποκριτικὰ μὲ τὰ ὄργανά του, καὶ δὲν θὰ ἀνέσταινε πραγματικὰ νεκρούς, ἀλλὰ μὲ κάποιες μαγεῖες καὶ ἀπάτες θὰ ἀπατοῦσε τὰ μάτια τῶν ἀνθρώπων, ἢ καὶ θὰ ἑτοίμαζε κάποιους, ὅπως προανέφερα, νὰ ὑποκριθοῦν ὅτι πέθαναν, καὶ θὰ τὰ ἔκανε ὅλα ἄνω κάτω, προκαλώντας σύγχυσι. Ἀλλ' ὁ Θεός, ἐπειδὴ ὅλα αὐτὰ τὰ προγνώριζε, τοῦ ἀπέκλεισε αὐτὴν τὴν ἐποβουλή, καὶ φροντίζοντας γιὰ μᾶς, δὲν ἐπέτρεψε νὰ ἔλθη ποτὲ κανεὶς ἀπὸ εκεῖ καὶ νὰ συζητήση μὲ τοὺς ζωντανοὺς ἀνθρώπους, γιὰ νὰ μᾶς διδάξη νὰ θεωροῦμε τὶς θεῖες Γραφὲς πιὸ ἀξιόπιστες ἀπὸ ὅλους. Διότι μᾶς ἔδειξε πολὺ πιὸ φανερὰ πράγματα ἀπὸ τὴν ἀνάστασι τῶν νεκρῶν· ὅλη τὴν οἰκουμένη ἐπέστρεψε, ἀπομάκρυνε τὴν πλάνη, ἐπανέφερε τὴν ἀλήθεια, ὅλα αὐτὰ τὰ κατώρθωσε μὲ ἁλιεῖς καὶ ἀσήμαντους ἀνθρώπους, δίνοντάς παντοῦ ἀρκετὲς ἀποδείξεις τῆς πρόνοιάς του.

Ἂς μὴ νομίζουμε λοιπὸν ὅτι ὅλα τὰ σχετικὰ μὲ μᾶς σταματοῦν σ' αὐτὴ τὴ ζωή, ἀλλὰ ἂς πιστεύουμε ὅτι ὁπωσδήποτε θὰ ὑπάρ-

ἀνταπόδοσις τῶν ἐνταῦθα παρ' ἡμῶν γινομένων ἁπάντων. Τοῦτο γὰρ οὕτως ἐστὶ σαφὲς καὶ ἐναργὲς πᾶσιν, ὡς καὶ Ἰουδαίους καὶ Ἕλληνας καὶ αἱρετικοὺς καὶ πάντα ὁντιναοῦν ἄνθρωπον ὑπὲρ τούτων ὁμογνωμονεῖν. Εἰ γὰρ καὶ μὴ καθὼς προσῆκε περὶ ἀναστάσε-
5 *ως φιλοσοφοῦσιν ἅπαντες, ἀλλ' ὅμως περὶ τῆς κρίσεως καὶ τῆς κολάσεως καὶ τῶν ἐκεῖ δικαστηρίων ἅπαντες συμφωνοῦσιν, ὅτι ἔστι τις τῶν ἐνταῦθα γινομένων ἀντίδοσις ἐκεῖ. Εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν οὐρανὸν τοσοῦτον ἔτεινε, γῆν ὑπεστόρησε, θάλασσαν ἥπλωσεν, ἀέρα ἐξέχεε, τοσαύτην πρόνοιαν ἐπεδείξατο, εἰ μὴ μέχρι*
10 *τέλους ἔμελλεν ἡμῶν προστήσεσθαι;*

δ'. Οὐχ ὁρᾷς πόσοι βιώσαντες ἐν ἀρετῇ, μυρία παθόντες δεινὰ ἀπῆλθον, μηδὲν ἀπολαβόντες ἀγαθόν; ἕτεροι δὲ πάλιν πονηρίαν πολλὴν ἐπιδειξάμενοι, τὰς ἑτέρων ἁρπάσαντες οὐσίας, χήρας καὶ ὀρφανοὺς ἀποδύσαντες καὶ καταδυναστεύσαντες, πλούτου καὶ τρυ-
15 *φῆς καὶ μυρίων ἀπολαύσαντες ἀγαθῶν ἀπῆλθον, οὐδὲ τὸ τυχὸν παθόντες δεινόν; Πότε οὖν ἢ ἐκεῖνοι οἱ πρότεροι τῆς ἀρετῆς ἀπολήψονται τὰς ἀμοιβάς, ἢ οὗτοι τῆς πονηρίας δώσουσι τὰς τιμωρίας, εἰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα δώσουσι τὰς τιμωρίας, εἰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα ἵσταται πράγματα; Ὅτι γάρ, εἰ ἔστι*
20 *Θεός, ὥσπερ οὖν καὶ ἔστι, δίκαιός ἐστι, πᾶς ὁστισοῦν ἂν εἴποι· ὅτι δέ, εἰ δίκαιός ἐστι, καὶ τούτοις κἀκείνοις ἀποδώσει τὰ κατ' ἀξίαν, καὶ τοῦτο συνωμολόγηται. Εἰ δὲ μέλλοι κἀκείνοις καὶ τούτοις ἀποδιδόναι κατ' ἀξίαν, ἐνταῦθα δὲ οὐδεὶς αὐτῶν ἀπέλαβεν, οὔτε ἐκεῖνος τῆς πονηρίας τὴν κόλασιν, οὔτε οὗτος τῆς ἀρετῆς τὰς ἀμοιβάς,*
25 *εὔδηλον ὅτι λείπεταί τις καιρός, ἐν ᾧ τὴν προσήκουσαν ἀντίδοσιν τούτων ἕξουσι.*

Τίνος δὲ ἕνεκεν ὅλως ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ κριτὴν οὕτω διηνεκῶς ἐγρηγορότα καὶ νήφοντα κατέστησεν ἡμῖν ὁ Θεός; τὸ συνειδὸς λέγω. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς δικαστὴς οὕτως
30 *ἄγρυπνος ἐν ἀνθρώποις, οἷον τὸ ἡμέτερον συνειδός. Οἱ μὲν γὰρ ἔξωθεν δικασταὶ καὶ ὑπὸ χρημάτων διαφθείρονται καὶ κολακείαις χαυνοῦνται, καὶ διὰ φόβον καθυποκρίνονται, καὶ πολλὰ ἕτερά ἐστι τὰ λυμαινόμενα τὴν ὀρθὴν ἐκείνων ψῆφον· τὸ δὲ τοῦ συνειδότος δικαστήριον οὐδενὶ τούτων εἴκειν οἶδεν· ἀλλὰ κἂν χρήματα δῷς,*

ξη κρίσις καὶ ἀνταπόδοσις γιὰ ὅλα αὐτὰ ποὺ κάμνουμε ἐδῶ. Διότι αὐτὸ εἶναι τόσο σαφὲς καὶ ὁλοφάνερο σὲ ὅλους, ὥστε καὶ οἱ Ἰουδαῖοι καὶ οἱ Ἕλληνες καὶ οἱ αἱρετικοὶ καὶ ὁ ὁποιοσδήποτε ἄνθρωπος ἔχουν τὴν ἴδια γνώμη γι' αὐτὸ τὸ θέμα. Ἂν καὶ δὲν πιστεύουν δηλαδὴ ὅλοι στὴν ἀνάστασι ὅπως θὰ ἔπρεπε, ἀλλ' ὅμως γιὰ τὴν κρίσι καὶ τὴν κόλασι καὶ γιὰ τὰ ἐκεῖ δικαστήρια ὅλοι συμφωνοῦν, ὅτι ὑπάρχει κάποια ἀνταπόδοσις ἐκεῖ γιὰ ὅσα γίνονται ἐδῶ. Διότι, ἐὰν αὐτὸ δὲν συνέβαινε, γιὰ ποιό λόγο ἅπλωσε τόσο μεγάλο οὐρανό, ἔστρωσε κάτω τὴ γῆ, ἅπλωσε τὴ θάλασσα, ἄφησε νὰ χυθῆ παντοῦ ὁ ἀέρας, ἔδειξε τόσο μεγάλη πρόνοια, ἐὰν δὲν ἐπρόκειτο νὰ μᾶς φροντίση μέχρι τέλους;

4. Δὲν βλέπεις πόσοι ποὺ ἔζησαν στὴν ἀρετή, ἂν καὶ ἔπαθαν μύρια δεινά, ἔφυγαν χωρὶς ν' ἀπολαύσουν κανένα ἀγαθό; Καὶ ἄλλοι πάλι, ἂν καὶ ἔδειξαν μεγάλη κακία, ἅρπαξαν τὶς περιουσίες τῶν ἄλλων, ξεγύμνωσαν χῆρες καὶ ὀρφανὰ καὶ τὰ καταπιέσαν, ἀφοῦ ἀπήλαυσαν τὸν πλοῦτο καὶ τὴν τρυφὴ καὶ μύρια ἀγαθά, ἔφυγαν χωρὶς νὰ πάθουν οὔτε τὸ παραμικρὸ κακό; Πότε λοιπὸν ἢ ἐκεῖνοι οἱ πρῶτοι θὰ ἀπολαύσουν τὶς ἀμοιβὲς τῆς ἀρετῆς ἢ αὐτοὶ θὰ πληρώσουν γιὰ τὴν κακία τους, ἐὰν στὸ τέλος αὐτῆς τῆς ζωῆς σταματοῦν τὰ δικά μας πράγματα; Διότι, τὸ ὅτι ἐὰν ὑπάρχη Θεός, ὅπως βέβαια καὶ ὑπάρχει, εἶναι δίκαιος, ὁ καθένας θὰ μποροῦσε νὰ τὸ πῆ· καὶ ὅτι, ἐὰν εἶναι δίκαιος, καὶ αὐτοὺς καὶ ἐκείνους θὰ τοὺς ἀνταποδώση αὐτὰ ποὺ τοὺς ἀξίζουν, καὶ αὐτὸ ἀπ' ὅλους ἔχει ὁμολογηθῆ. Ἀλλά, ἐὰν πρόκειται κι' ἐκείνους κι' αὐτοὺς νὰ τοὺς ἀνταποδώση κατὰ τὴν ἀξία τους καὶ ἐδῶ κανεὶς ἀπὸ αὐτοὺς δὲν ἔλαβε τὴν ἀμοιβή, οὔτε ἐκεῖνος τῆς κακίας τὴν τιμωρία, οὔτε αὐτὸς τῆς ἀρετῆς τὶς ἀμοιβές, εἶναι ὁλοφάνερο ὅτι ὑπολείπεται κάποιος καιρός, κατὰ τὸν ὁποῖο καὶ οἱ δυὸ θὰ ἔχουν τὴν ἀνταπόδοσι ποὺ τοὺς ἁρμόζει.

Καὶ γιὰ ποιό λόγο ὁ Θεὸς ἔβαλε μέσα στὴ διάνοιά μας ἕναν κριτὴ ποὺ ἀγρυπνᾶ καὶ προσέχει ἀκατάπαυστα; ἐννοῶ τὴ συνείδησι. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει κανένας δικαστὴς τόσο ἄγρυπνος μεταξὺ τῶν ἀνθρώπων, ὅπως εἶναι ἡ συνείδησίς μας. Καθόσον οἱ κοσμικοὶ δικαστὲς καὶ ἀπὸ χρήματα διαφθείρονται, καὶ ἀπὸ τὶς κολακεῖες ἐξαπατοῦνται, καὶ πολλὰ ἄλλα ὑπάρχουν ποὺ δὲν τοὺς ἀφήνουν νὰ ἐκφέρουν σωστὴ κρίσι· τὸ δικαστήριο ὅμως τῆς συνειδήσεως δὲν γνωρίζει νὰ ὑποχωρῆ σὲ τίποτε ἀπὸ αὐτά· ἀλλὰ κι' ἂν

κἂν κολακεύσῃς, κἂν ἀπειλήσῃς, κἂν ἕτερον ὁτιοῦν ἐργάσῃ, δικαίαν ἐξοίσει τὴν ψῆφον κατὰ τῶν ἡμαρτηκότων λογισμῶν· καὶ αὐτὸς ὁ τὴν ἁμαρτίαν ἐργασάμενος αὐτὸς ἑαυτὸν καταδικάζει, κἂν μηδεὶς ἕτερος κατηγορῇ.

5 *Καὶ οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις καὶ διὰ παντὸς τοῦ βίου τοῦτο ποιῶν διατελεῖ· κἂν πολὺς παρέλθῃ χρόνος, οὐδέποτε ἐπιλήσεται τῶν γεγενημένων, ἀλλὰ καὶ ἐν τῷ γίνεσθαι τὴν ἁμαρτίαν, καὶ πρὶν γενέσθαι, καὶ μετὰ τὸ γενέσθαι σφοδρὸς ἐφέστηκεν ἡμῖν κατήγορος, καὶ μάλιστα μετὰ τὸ γενέσθαι. Ἐν μὲν γὰρ* 10 *τῷ πράττειν τὴν ἁμαρτίαν ὑπὸ τῆς ἡδονῆς μεθύοντες οὐχ οὕτως αἰσθανόμεθα· ἐπειδὰν δὲ γένηται καὶ λάβῃ τέλος, τότε δὴ μάλιστα, τῆς ἡδονῆς σβεσθείσης ἁπάσης, τὸ πικρὸν τῆς μετανοίας ἐπεισέρχεται κέντρον ἀπενατίας ταῖς ὠδινούσαις γυναιξίν. Ἐπ' ἐκείνων μὲν γὰρ πρὸ τοῦ τόκου πολὺς καὶ ἀφόρητος ὁ πόνος καὶ ὠδῖνες* 15 *δριμεῖαι διακόπτουσαι ταῖς ἀλγηδόσιν αὐτάς· μετὰ δὲ τὸν τόκον ἄνεσις, τῷ βρέφει τῆς ὀδύνης συνεξελθούσης· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἕως μὲν ἂν ὠδίνωμεν καὶ συλλαμβάνωμεν τὰ διεφθερμένα βουλεύματα, εὐφραινόμεθα καὶ χαίρομεν· ἐπειδὰν δὲ ἀποτέκωμεν τὸ πονηρὸν παιδίον τὴν ἁμαρτίαν, τότε τὸ αἶσχος τοῦ τε-* 20 *χθέντος ἰδόντες ὀδυνώμεθα, τότε διακοπτόμεθα τῶν ὠδινουσῶν γυναικῶν χαλεπώτερον.*

Διὸ παρακαλῶ μὴ δέχεσθαι μὲν μάλιστα παρὰ τὴν ἀρχὴν ἐπιθυμίαν διεφθαρμένην· εἰ δὲ καὶ δεξόμεθα, ἀποπνίγειν ἔνδον τὰ σπέρματα. Εἰ δὲ καὶ μέχρι τούτου ῥᾳθυμήσαιμεν, ἐξελθοῦσαν εἰς 25 *ἔργον τὴν ἁμαρτίαν ἀποκτείνειν πάλιν δι' ἐξομολογήσεως καὶ δακρύων, διὰ τοῦ κατηγορεῖν ἑαυτῶν. Οὐδὲν γὰρ οὕτως ὀλέθριον τῇ ἁμαρτίᾳ, ὡς κατηγορία καὶ κατάγνωσις σὺν μετανοίᾳ καὶ δάκρυσι. Κατέγνως σου τὴν ἁμαρτίαν; ἀπέθου τὸ φορτίον. Καὶ τίς ταῦτά φησιν; Αὐτὸς ὁ δικάζων Θεός. «Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος,* 30 *ἵνα δικαιωθῇς». Τίνος γὰρ ἕνεκεν αἰσχύνῃ καὶ ἐρυθριᾷς, εἰπέ μοι, τὰ ἁμαρτήματα εἰπεῖν; μὴ γὰρ ἀνθρώπῳ λέγεις, ἵνα ὀνειδίσῃ σε; μὴ*

6. Ἡσ. 43,26.

δώσης χρήματα, κι' ἂν κολακέψης, κι' ἂν ἀπειλήσης, κι' ἂν ὁ,τιδήποτε ἄλλο κάνης, θὰ βγάλη δίκαιη τὴν ἀπόφασι ἐναντίον τῶν ἁμαρτωλῶν λογισμῶν· καὶ αὐτὸς ποὺ ἔκανε τὴν ἁμαρτία καταδικάζει ὁ ἴδιος τὸν ἑαυτό του, κι' ἂς μὴν τὸν κατηγορῆ κανεὶς ἄλλος.

Καὶ δὲν τὸ κάνει μία ἢ δύο φορές, ἀλλὰ πολλὲς φορὲς καὶ σὲ ὅλη τὴ ζωὴ κάνει τὸ ἴδιο· κι' ἂν περάση πολὺς χρόνος, ποτὲ δὲν θὰ ξεχάση αὐτὰ ποὺ ἔχουν γίνει, ἀλλὰ καὶ ὅταν γίνεται ἡ ἁμαρτία καὶ πρίν γίνη καὶ ἀφοῦ γίνη, στέκεται ἀπέναντί μας σὰν σφοδρὸς κατήγορος καὶ μάλιστα μετὰ τὴ διάπραξι τῆς ἁμαρτίας. Διότι ὅταν κάνουμε τὴν ἁμαρτία μεθυσμένοι ἀπὸ τὴν ἡδονή, δὲν τὴν αἰσθανόμαστε τόσο· ὅταν ὅμως γίνη ἡ ἁμαρτία καὶ ὁλοκληρωθῆ, τότε μάλιστα, ὅταν σβήση ὅλη ἡ ἡδονή, ὑπεισέρχεται τὸ πικρὸ κεντρὶ τῆς μετανοίας, ἀντίθετα μὲ ὅτι συμβαίνει στὶς γυναῖκες ποὺ ἔχουν ὠδῖνες τοκετοῦ. Διότι στὴν περίπτωσι ἐκείνων πρὶν ἀπὸ τὸν τοκετὸ εἶναι πολὺς καὶ ἀφόρητος ὁ πόνος καὶ ὠδῖνες δριμύτατες τὶς τρυποῦν μὲ ἀνυπόφορους πόνους· ἀλλὰ μετὰ τὸν τοκετὸ νοιώθουν ἀνακούφισι, ἐπειδὴ μαζὶ μὲ τὸ βρέφος βγῆκε ἔξω καὶ ὁ πόνος. Ὅμως ἐδῶ δὲν συμβαίνει τὸ ἴδιο, ἀλλ' ὅσο μᾶς περιζώνουν οἱ ὠδῖνες καὶ συλλαμβάνουμε τὶς διεφθαρμένες ἐπιθυμίες, εὐφραινόμαστε καὶ χαιρόμαστε· ὅταν ὅμως γεννήσουμε τὸ πονηρὸ παιδί, τὴν ἁμαρτία, τότε πονοῦμε, ἐπειδὴ βλέπουμε τὸ αἶσχος ποὺ γεννήσαμε, τότε βασανιζόμαστε ἀπὸ τὴν ὀδύνη πιὸ φοβερὰ καὶ ἀπὸ τὶς γυναῖκες ποὺ πρόκειται νὰ γεννήσουν.

Γι' αὐτό, σᾶς παρακαλῶ, μὴ δέχεσθε τὴν ἁμαρτωλὴ ἐπιθυμία καὶ ἀπὸ τὴν ἀρχὴ ἀκόμη· ἀλλὰ καὶ ἐὰν τὴν δεχθοῦμε νὰ καταπνίξουμε μέσα μας τὰ σπέρματά της. Ἐὰν ὅμως ἡ ἀδιαφορία μας ἔφθασε καὶ μέχρις ἐδῶ καὶ ὡλοκληρώθηκε στὴν πρᾶξι ἡ ἁμαρτία, νὰ τὴν ἐξολοθρεύσουμε πάλι μὲ τὴν ἐξομολόγησι καὶ τὰ δάκρυα, κατηγορώντας τὸν ἑαυτό μας. Διότι τίποτε δὲν εἶναι τόσο ὀλέθριο γιὰ τὴν ἁμαρτία, ὅσο ἡ κατηγορία καὶ ἡ κατάκρισις μαζὶ μὲ τὴ μετάνοια καὶ τὰ δάκρυα. Καταδίκασες τὴν ἁμαρτία σου; ἀπέβαλες τὸ φορτίο. Καὶ ποιός τὰ λέγει αὐτά; Ὁ ἴδιος ὁ Θεὸς ποὺ δικάζει. «Λέγε ἐσὺ τὶς ἁμαρτίες σου πρῶτος, γιὰ νὰ δικαιωθῆς»[6]. Γιὰ ποιό λόγο δηλαδή, πές μου, ντρέπεσαι καὶ κοκκινίζεις γιὰ νὰ πῆς τὶς ἁμαρτίες σου; Μήπως τὶς λὲς σὲ ἄνθρωπο, γιὰ νὰ σὲ περιγελάση; μήπως τὶς ὁμολογεῖς στὸν σύνδουλό σου, γιὰ νὰ σὲ διαπομπεύση; Στὸν Κύριο,

γὰρ τῷ συνδούλῳ ὁμολογεῖς, ἵνα ἐκπομπεύσῃ; Τῷ Δεσπότῃ, τῷ κηδεμόνι, τῷ φιλανθρώπῳ, τῷ ἰατρῷ τὸ τραῦμα ἐπιδεικνύεις.

Μὴ γάρ, κἂν σὺ μὴ εἴπῃς, ἐκεῖνος οὐκ οἶδεν, ὅς γε καὶ πρὸ τοῦ πραχθῆναι ἠπίστατο; Τίνος οὖν ἕνεκεν οὐ λέγεις; Μὴ γὰρ ἐκ 5 τῆς σῆς κατηγορίας φορτικώτερον γίνεται τὸ ἁμάρτημα; Ἡμερώτερον μὲν οὖν καὶ κουφότερον. Καὶ διὰ τοῦτο βούλεταί σε εἰπεῖν, οὐχ ἵνα κολάσῃ, ἀλλ' ἵνα συγχωρήσῃ· οὐχ ἵνα αὐτὸς μάθῃ τὴν ἁμαρτίαν (πῶς γάρ, ὁ εἰδώς;), ἀλλ' ἵνα σὺ μάθῃς πόσον σοι συγχωρεῖ χρέος. Βούλεται δέ σε μαθεῖν τῆς χάριτος τὸ μέγεθος, ἵνα εὐχαρι- 10 στῶν διατελῇς, ἵνα ὀκνηρότερος πρὸς ἁμαρτίαν ᾖς, ἵνα προθυμότερος εἰς ἀρετήν. Ἂν μὴ εἴπῃς τοῦ χρέους τὸ μέγεθος, οὐκ ἐπιγινώσκεις τῆς χάριτος τὴν ὑπερβολήν. Οὐκ ἀναγκάζω, φησίν, εἰς μέσον ἐλθεῖν σε θέατρον καὶ μάρτυρας περιστῆσαι πολλούς· ἐμοὶ τὸ ἁμάρτημα εἰπὲ μόνῳ κατ' ἰδίαν, ἵνα θεραπεύσω τὸ ἕλκος, καὶ 15 ἀπαλλάξω τῆς ὀδύνης. Διὰ τοῦτο τὸ συνειδὸς ἡμῖν ἐγκατέθηκε καὶ πατρὸς φιλοστοργότερον. Πατὴρ μὲν γὰρ ἅπαξ ἢ δεύτερον ἢ καὶ τρίτον ἢ καὶ δεκάκις ἐπιτιμήσας τῷ παιδί, ἐπειδὰν ἴδῃ μένοντα ἀδιόρθωτον, ἀπαγορεύσας ἀποκηρύττει καὶ τῆς οἰκίας ἐκβάλλει καὶ τῆς συγγενείας διακόπτει· ἀλλ' οὐ τὸ συνειδός· ἀλλά, κἂν ἅπαξ, 20 κἂν δεύτερον, κἂν τρίτον, κἂν μυριάκις εἴπῃ, καὶ παρακούσῃς, πάλιν ἐρεῖ, καὶ οὐκ ἀφίσταται ἕως ἐσχάτης ἀναπνοῆς· καὶ ἐν οἰκίᾳ καὶ ἐν ἀμφόδοις καὶ ἐν τραπέζῃ καὶ ἐν ἀγορᾷ καὶ ἐν ὁδοῖς, πολλάκις δὲ καὶ ἐν ὀνείροις αὐτοῖς τῶν ἡμαρτημένων ἡμῖν τὰ εἴδωλα καὶ τὰς φαντασίας παρίστησι.

25 *ε'. Καὶ ὅρα σοφίαν Θεοῦ. Οὔτε διηνεκῆ τὴν κατηγορίαν ἐποίησεν εἶναι τοῦ συνειδότος (οὐ γὰρ ἂν ἠνέγκαμεν τὸ φορτίον, συνεχῶς ἐγκαλούμενοι), οὔτε οὕτως ἀσθενῆ, ὡς ἐκ πρώτης καὶ δευτέρας ἀπαγορεῦσαι παραινέσεως. Εἰ μὲν γὰρ καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἔμελλεν ἡμᾶς κεντεῖν, κἂν ἀπεπνίγημεν ἀπὸ τῆς ἀθυμίας· εἰ 30 δὲ ἅπαξ καὶ δεύτερον ὑπομνῆσαι ἀπέστη τῆς ἐπιτιμήσεως, οὐκ ἂν πολλὴν ἐκαρπωσάμεθα τὴν ὠφέλειαν. Διὰ τοῦτο διηνεκῆ μὲν ταύτην ἐποίησε εἶναι τὴν ἐπιτίμησιν, οὐ μὴν συνεχῆ· διηνεκῆ μέν, ἵνα*

στὸν προστάτη σου, στὸν φιλάνθρωπο, στὸν γιατρὸ δείχνεις τὸ τραῦμα.

Μήπως δηλαδή, κι' ἂν ἐσὺ δὲν τὸ πῆς, ἐκεῖνος δὲν τὸ γνωρίζει, αὐτὸς ποὺ ἀσφαλῶς καὶ πρὶν νὰ τὸ κάνης τὸ γνώριζε; Γιὰ ποιό λόγο λοιπὸν δὲν τὸ λές; Μήπως ἐξ αἰτίας τῆς δικῆς σου κατακρίσεως γίνεται βαρύτερο τὸ ἁμάρτημα; Ἡμερώτερο γίνεται καὶ ἐλαφρύτερο. Καὶ γι' αὐτὸ θέλει ἐσὺ νὰ τὸ ὁμολογήσης, ὄχι γιὰ νὰ σὲ τιμωρήση, ἀλλὰ γιὰ νὰ σὲ συγχωρήση· ὄχι γιὰ νὰ μάθη αὐτὸς τὴν ἁμαρτία (πῶς δηλαδὴ νὰ τὴν μάθη, ἀφοῦ τὴν γνωρίζει;), ἀλλὰ γιὰ νὰ μάθης ἐσὺ πόσο χρέος σοῦ συγχωρεῖ. Καὶ θέλει νὰ μάθης τὸ μέγεθος τῆς χάριτος, γιὰ νὰ ζῆς εὐχαριστώντας, γιὰ νὰ εἶσαι ὀκνηρότερος πρὸς τὴν ἁμαρτία καὶ προθυμότερος πρὸς τὴν ἀρετή. Ἐὰν δὲν ὁμολογήσης τὸ μέγεθος τοῦ χρέους, δὲν ἀναγνωρίζεις τὸ μέγεθος τῆς χάριτος. Δὲν σὲ ἀναγκάζω, λέγει, νὰ ἔρθης στὸ μέσον τοῦ θεάτρου καὶ νὰ βρεθῆς ἀνάμεσα σὲ πολλοὺς μάρτυρες· σ' ἐμένα μόνο, κατ' ἰδίαν πὲς τὸ ἁμάρτημα, γιὰ νὰ σοῦ θεραπεύσω τὴν πληγὴ καὶ νὰ σ' ἀπαλλάξω ἀπὸ τὸν πόνο. Γι' αὐτὸ ἔβαλε μέσα μας τὴ συνείδησι πιὸ φιλόστοργη κι' ἀπὸ πατέρα. Διότι ὁ πατέρας, ἐὰν μιὰ φορὰ ἢ δύο ἢ καὶ τρεῖς ἢ καὶ δέκα μαλώση τὸ παιδὶ καὶ τὸ δῆ νὰ παραμένη ἀδιόρθωτο, τὸ ἐγκαταλείπει καὶ τὸ ἀποκηρύσσει, τὸ διώχνει ἀπὸ τὸ σπίτι του καὶ τὸ ἀποκόπτει ἀπὸ τὴν οἰκογένειά του· ἡ συνείδησις ὅμως δὲν κάνει τὸ ἴδιο· ἀλλὰ κι' ἂν μιὰ φορά, κι' ἂν δυό, κι' ἂν τρεῖς, κι' ἂν μύριες φορὲς τὸ εἶπε, καὶ παρακούσεις, πάλι θὰ τὸ πῆ, καὶ δὲν σταματᾶ μέχρι τελευταίας ἀναπνοῆς· ἀλλὰ καὶ στὸ σπίτι, καὶ στὴ γειτονιὰ καὶ στὸ τραπέζι καὶ στὴν ἀγορά, καὶ στοὺς δρόμους, καὶ πολλὲς φορὲς καὶ στὰ ὄνειρα μᾶς παρουσιάζει τὰ εἴδωλα καὶ τὶς παραστάσεις τῶν ἁμαρτιῶν μας.

5. Καὶ πρόσεχε σοφία Θεοῦ. Οὔτε διαρκῆ ἔκανε τὴν κατηγορία τῆς συνειδήσεως (διότι δὲν θὰ ἀντέχαμε τὸ βάρος, ἐὰν μᾶς κατηγοροῦσε διαρκῶς), οὔτε τόσο ἀσθενῆ, ὥστε νὰ σταματᾶ μετὰ τὴν πρώτη καὶ τὴ δεύτερη συμβουλή. Διότι, ἐὰν συνέβαινε νὰ μᾶς κεντᾶ κάθε ἡμέρα καὶ ὥρα, θὰ εἴχαμε πνιγῆ ἀπὸ τὴ λύπη· καὶ ἐὰν σταματοῦσε τὸν ἔλεγχο μετὰ τὴν πρώτη καὶ δεύτερη ὑπόμνησι, δὲν θ' ἀποκομίζαμε καὶ πολλὴ ὠφέλεια. Γι' αὐτό, ὥρισε βέβαια νὰ εἶναι διαρκὴς ἡ ἐπιτίμησις, ὄχι ὅμως καὶ συνεχής· διαρκής, γιὰ νὰ μὴν πέσουμε στὴν ἀδιαφορία, ἀλλὰ ν' ἀγρυπνοῦμε πάντα ἀπὸ τὴν ὑπεν-

μὴ εἰς ῥᾳθυμίαν ἐμπίπτωμεν, ἀλλ' ἀεὶ καὶ μέχρι τελευτῆς ὑπομιμνησκόμενοι νήφωμεν· οὐ συνεχῆ δὲ οὐδὲ ἐπάλληλον, ἵνα μὴ καταπίπτωμεν, ἀλλὰ ἀνέσεις τινὰς λαμβάνοντες καὶ παραμυθίας ἀναπνέωμεν. Ὥσπερ γὰρ τὸ μηδ' ὅλως ἀλγεῖν ἐπὶ τοῖς ἁμαρτήμασιν 5 ὀλέθριον, καὶ τὴν ἐσχάτην ἀναισθησίαν ἐντίκτον ἡμῖν, οὕτω τὸ συνεχῶς καὶ πέρα τοῦ μέτρου τοῦτο πάσχειν ἐπιβλαβές.

Ἡ γὰρ ὑπερβολὴ τῆς ἀθυμίας ἴσχυε καὶ τῶν κατὰ φύσιν πολλάκις ἐκβαλοῦσα φρενῶν, ὑποβρύχιον ποιῆσαι τὴν ψυχὴν καὶ πρὸς ἅπαντα ἄχρηστον ἐργάσασθαι τὰ καλά. Διὰ τοῦτο καὶ ἐκ διαλειμ-10 μάτων ἡμῖν τὸν τοῦ συνειδότος ἔλεγχον παρεσκεύασεν ἐπιτίθεσθαι, ἐπειδὴ σφόδρα ἐστὶν ἀπότομος καὶ παντὸς κέντρου σφοδρότερον τὸν ἡμαρτηκότα νύττειν εἴωθεν. Οὐδὲ γὰρ ἡνίκα ἂν ἁμαρτάνωμεν αὐτοί, ἀλλὰ καὶ ἡνίκα ἂν ἕτεροι τὰ αὐτὰ πλημμελῶσιν ἡμῖν, διεγείρεται σφοδρῶς καὶ μετὰ πολλῆς ἡμῶν καταβοᾷ τῆς εὐτονίας. Καὶ 15 γὰρ ὁ πόρνος καὶ ὁ μοιχὸς καὶ ὁ κλέπτης οὐ μόνον ὅταν αὐτὸς κατηγορῆται, ἀλλ' ὅταν καὶ ἑτέρων τοιαῦτα τολμησάντων ἀκούῃ κατηγορουμένων, αὐτὸς ἡγεῖται μαστίζεσθαι, ἐν ταῖς ἑτέρων ἐπιτιμήσεσι τῆς οἰκείας ἁμαρτίας λαμβάνων ἀνάμνησιν, καὶ ἐγκαλεῖται μὲν ἄλλος, πλήττεται δὲ οὗτος ὁ μηδὲν ἐγκαλούμενος, ὅταν ᾖ τὰ 20 αὐτὰ ἐκείνῳ τετολμηκώς· ὥσπερ οὖν καὶ ἐπὶ τοῖς κατορθώμασιν, ἑτέρων ἐγκωμιαζομένων καὶ στεφανουμένων, οἱ τὰ αὐτὰ κατωρθωκότες ἐκείνοις χαίρουσι καὶ ἀγάλλονται, ὡς οὐκ ἐκείνων μᾶλλον ἢ αὐτῶν ἐπαινομένων.

Τί τοίνυν γένοιτ' ἂν τοῦ ἡμαρτηκότος ἀθλιώτερον, ὅταν, ἑτέ-25 ρων κατηγορουμένων, αὐτὸς καταδύηται; Τί δὲ τοῦ ζῶντος ἐν ἀρετῇ μακαριώτερον, ὅταν, ἑτέρων ἐπαινουμένων, αὐτὸς χαίρῃ καὶ διαχέηται, ἐν τοῖς ἑτέρων ἐγκωμίοις ὑπόμνησιν λαμβάνων τῶν οἰκείων κατορθωμάτων; Ταῦτα τῆς τοῦ Θεοῦ σοφίας τὰ ἔργα, ταῦτα τῆς μεγίστης αὐτοῦ προνοίας τὰ σημεῖα. Ἄγκυρα γάρ τίς ἐστιν ἱερὰ 30 τοῦ συνειδότος ἡ ἐπιτίμησις, οὐκ ἐῶσα τέλεον ἡμᾶς εἰς τὸν τῆς ἁμαρτίας καταποντισθῆναι βυθόν. Οὐδὲ γὰρ παρ' αὐτὸν τῶν ἁμαρτημάτων τὸν καιρὸν μόνον, ἀλλὰ καὶ μετὰ πολλὰς ἐνιαυτῶν περιόδους οἶδεν ἡμᾶς πολλάκις παλαιᾶς ἀναμιμνήσκειν ἁμαρτίας· καὶ τούτου καὶ ἀπ' αὐτῶν παραστήσομαι τῶν Γραφῶν σαφῆ τὴν ἀπόδειξιν.

θύμισι ὅσο θὰ ζοῦμε· ὄχι ὅμως συνεχής, οὔτε ἀδιάκοπη, γιὰ νὰ μὴν ἀπογοητευώμαστε, ἀλλὰ νὰ παίρνουμε κάποια ἄνεσι καὶ παρηγοριὰ καὶ νὰ ἀναπνέουμε. Διότι, ὅπως ἀκριβῶς τὸ νὰ μὴν πονοῦμε καθόλου γιὰ τὶς ἁμαρτίες μας εἶναι ὀλέθριο καὶ μᾶς γεννᾶ μέσα μας τὴν χειρότερη ἀναισθησία, ἔτσι καὶ τὸ νὰ πονοῦμε διαρκῶς καὶ πέρα ἀπὸ τὸ μέτρο εἶναι ἐπιβλαβές.

Πράγματι ἡ ὑπερβολικὴ θλῖψις εἶχε τὴ δύναμι νὰ βγάλη τὸν ἄνθρωπο, πολλὲς φορές, ἀπὸ τὰ λογικά του, νὰ καταπνίξη τὴν ψυχὴ καὶ νὰ τὴν καταστήση ἄχρηστη γιὰ ὅλα τὰ καλά. Γι' αὐτὸ καὶ ὥρισε, ὥστε ὁ ἔλεγχος τῆς συνειδήσεως νὰ γίνεται μὲ διαλείμματα, ἐπειδὴ εἶναι ὑπερβολικὰ ἀπότομη, καὶ συνηθίζει νὰ κεντᾶ τὸν ἁμαρτωλὸ σφοδρότερα ἀπὸ κάθε κεντρί. Διότι, ὄχι μόνο ὅταν ἁμαρτάνουμε ἐμεῖς, ἀλλὰ καὶ ὅταν ἄλλοι πέσουν στὶς ἴδιες ἁμαρτίες μ' ἐμᾶς, ἐπαναστατεῖ βίαια καὶ μὲ μεγάλη δύναμι μᾶς καταγγέλλει. Διότι καὶ ὁ πόρνος καὶ ὁ μοιχὸς καὶ ὁ κλέφτης, ὄχι μόνο ὅταν αὐτὸς κατηγορῆται, ἀλλὰ καὶ ὅταν ἀκούη νὰ κατηγοροῦνται ἄλλοι, ποὺ τόλμησαν τὰ ἴδια, νομίζει ὅτι ὁ ἴδιος μαστιγώνεται, ἐπειδὴ κατὰ τὶς ἐπιπλήξεις τῶν ἄλλων θυμᾶται τὴ δική του ἁμαρτία, καὶ ἐνῶ ἄλλος κατηγορεῖται, πληγώνεται αὐτὸς ποὺ δὲν κατηγορεῖται καθόλου, ὅταν ἔχη τολμήσει νὰ κάνη τὰ ἴδια μ' ἐκεῖνον· ὅπως ἀκριβῶς συμβαίνει καὶ στὴν περίπτωσι τῶν κατορθωμάτων, ἐνῶ ἄλλοι ἐγκωμιάζονται καὶ στεφανώνονται, αὐτοὶ ποὺ ἔχουν κατωρθώσει τὰ ἴδια μ' ἐκείνους χαίρονται καὶ ἀγάλλονται, σὰν νὰ ἐπαινοῦνται αὐτοὶ μᾶλλον παρὰ ἐκεῖνοι.

Τί λοιπὸν θὰ ὑπῆρχε ἀθλιώτερο ἀπὸ τὸν ἁμαρτωλό, ὅταν, ἐνῶ οἱ ἄλλοι κατηγοροῦνται, αὐτὸς κρύβεται; Καὶ τί θὰ ἦταν πιὸ μακάριο ἀπὸ τὸν ἐνάρετο, ὅταν, ἐνῶ οἱ ἄλλοι ἐπαινοῦνται, αὐτὸς χαίρεται καὶ προβαίνει σὲ ἐκδηλώσεις ἐνθουσιασμοῦ, διότι κατὰ τοὺς ἐπαίνους τῶν ἄλλων αὐτὸς θυμᾶται τὰ δικά του κατορθώματα; Αὐτὰ εἶναι τὰ ἔργα τῆς σοφίας τοῦ Θεοῦ, αὐτὰ εἶναι οἱ ἀποδείξεις τῆς ὑψίστης πρόνοιάς του. Ὁ ἔλεγχος τῆς συνειδήσεως δηλαδὴ εἶναι σὰν κάποια ἄγκυρα ἱερή, ποὺ δὲν μᾶς ἀφήνει νὰ καταποντισθοῦμε στὸ βυθὸ τῆς ἁμαρτίας. Κι' ὄχι μόνο κατὰ τὸν καιρὸ ποὺ ἁμαρτάνουμε, ἀλλὰ καὶ μετὰ ἀπὸ τὴν πάροδο πολλῶν περιόδων ἐτῶν γνωρίζει πολλὲς φορὲς νὰ μᾶς ὑπενθυμίζει τὶς παλιές μας ἁμαρτίες· καὶ αὐτὸ θὰ σᾶς ἀποδείξω μὲ σαφήνεια ἀπὸ τὶς ἴδιες τὶς Γραφές.

Ἀπέδοντό ποτε τὸν Ἰωσὴφ οἱ ἀδελφοί, ἐγκαλεῖν μὲν οὐδὲν ἔχοντες, ὅτι δὲ ἐνύπνια ἑώρα τὴν μέλλουσαν αὐτῷ προαναφωνοῦντα δόξαν. «Εἶδον», γάρ φησιν, «τὰ δράγματα ὑμῶν προσκυνήσαντα τὸ ἐμὸν δράγμα». Καίτοι ὑπὲρ τούτων φυλάττειν αὐτὸν ἐχρῆν·
5 *στέφανος γὰρ τῆς οἰκίας ἁπάσης ἔμελλεν ἔσεσθαι καὶ λαμπρότης τοῦ γένους παντός. Ἀλλὰ τοιοῦτον ἡ βασκανία· τοῖς οἰκείοις πολεμεῖ καλοῖς, καὶ μᾶλλον ἂν ἕλοιτο μυρία πάσχειν δεινὰ ὁ βασκαίνων, ἢ τὸν πλησίον ἰδεῖν εὐδοκιμοῦντα, κἂν εἰς αὐτὸν διαβαίνειν μέλλοι τὰ τῆς εὐδοξίας· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; Ὅπερ οὖν*
10 *κἀκεῖνοι ἔπαθον, καὶ ἰδόντες αὐτὸν πόρρωθεν ἥκοντα, τροφὴν αὐτοῖς κομίζοντα, πρὸς ἀλλήλους ἔλεγον· «δεῦτε, ἀποκτείνωμεν αὐτὸν καὶ ἴδωμεν τί ἔσται τὰ ἐνύπνια αὐτοῦ». Εἰ καὶ μὴ ὡς ἀδελφὸν ᾐδέσθης, οὐδὲ τὴν φύσιν ἐπέγνως, τὴν γοῦν τράπεζαν αὐτὴν αἰδεσθῆναι ἔδει καὶ τὸν τῆς διακονίας τρόπον, ὅτι θρέψων σε παρεγέ-*
15 *νετο.*

Ἀλλ' ὅρα πῶς καὶ ἄκοντες προφητεύουσι· «δεῦτε», φασίν, «ἀποκτείνωμεν αὐτὸν καὶ ἴδωμεν τί ἔσται αὐτοῦ τὰ ἐνύπνια». Εἰ γὰρ οὐκ ἐβουλεύσαντο καὶ τὸν δόλον ὕφανον καὶ τὴν ἀναιδῆ βουλὴν ἔρραψαν ἐκείνην, οὐκ ἂν ἔγνωσαν τῶν ἐνυπνίων ἐκείνων τὴν
20 *δύναμιν. Οὐ γὰρ ἦν ἴσον, μηδὲν παθόντα δεινὸν ἐπὶ τὸν θρόνον ἀναβῆναι τῆς Αἰγύπτου, καὶ διὰ τοσούτων τῶν κωλυμάτων καὶ τῶν ἐμποδίων τῆς αὐτῆς ταύτης ἐπιλαβέσθαι λαμπρότητος. Εἰ μὴ γὰρ ἐπεβούλευσαν, οὐκ ἂν εἰς Αἴγυπτον ἀπέδοντο· εἰ μὴ ἀπέδοντο εἰς Αἴγυπτον, οὐκ ἂν ἠράσθη ἡ δέσποινα· εἰ μὴ ἠράσθη ἡ δέσποινα,*
25 *οὐκ ἂν ἐνεβλήθη εἰς τὸ δεσμωτήριον, οὐκ ἂν συνέκρινε τὰ ὁράματα, οὐκ ἂν τῆς βασιλείας ἐπέτυχεν· εἰ μὴ τῆς βασιλείας δὲ ἐπέτυχεν ἐκείνης, οὐκ ἂν ἦλθον οὗτοι κατ' ἐμπορίαν σίτου καὶ προσεκύνησαν αὐτόν. Ὥστε, ἐπειδὴ ἀπέκτειναν αὐτόν, διὰ τοῦτο μάλιστα ἔγνωσαν αὐτοῦ τὰ ἐνύπνια. Τί οὖν; αὐτοὶ πρόξενοι τῶν μελλόντων*
30 *ἀγαθῶν αὐτῷ πάντων ἐγένοντο καὶ τῆς περιφανείας ἐκείνης; Οὐδαμῶς, ἀλλὰ αὐτοὶ μὲν θανάτῳ καὶ ἀθυμίᾳ καὶ τῇ δουλείᾳ καὶ τοῖς*

7. Γεν. 37,7.
8. Γεν. 37,20.

Πούλησαν κάποτε τὸν Ἰωσὴφ οἱ ἀδελφοί του, χωρὶς νὰ ἔχουν καμμιὰ κατηγορία ἐναντίον του, ἀλλ' ἐπειδὴ ἔβλεπε ὄνειρα ποὺ τοῦ προέλεγαν τὴ μελλοντική του δόξα. Διότι λέγει, «εἶδα τὰ δεμάτια σας ὅτι προσκύνησαν τὸ δικό μου δεμάτι»[7]. Ἂν καὶ βέβαια ἔπρεπε ἐξ αἰτίας αὐτῶν νὰ τὸν προστατεύουν· διότι ἐπρόκειτο νὰ γίνη στέφανος ὅλης τῆς οἰκογένειας καὶ δόξα ὅλου τοῦ γένους. Ἀλλὰ τέτοια εἶναι ἡ ζηλοφθονία· ὁ ζηλόφθονος πολεμᾶ ἐναντίον τῶν δικῶν του καλῶν, καὶ θὰ προτιμοῦσε πολὺ περισσότερο νὰ ὑποφέρη μύρια κακά, παρὰ νὰ δῆ τὸν πλησίον του νὰ εὐδοκιμῆ, ἔστω κι' ἂν ἐπρόκειτο ὁ ἴδιος νὰ ὠφεληθῆ ἀπὸ τὴν πρόοδο αὐτή, πρᾶγμα ἀπὸ τὸ ὁποῖο τί θὰ μποροῦσε νὰ ὑπάρξη ἀθλιώτερο; Αὐτὸ ἀκριβῶς ἔπαθαν κι' ἐκεῖνοι καὶ ὅταν τὸν εἶδαν νὰ ἔρχεται ἀπὸ μακριά, φέρνοντάς τους φαγητό, εἶπαν μεταξύ τους· «ἐλᾶτε, νὰ τὸν σκοτώσουμε, καὶ νὰ δοῦμε τί θὰ γίνουν τὰ ὄνειρά του»[8]. Κι' ἂν ἀκόμη δὲν τὸν σεβάσθηκες σὰν ἀδελφό, οὔτε τὴ φύσι σεβάσθηκες, ἔπρεπε τοὐλάχιστο νὰ σεβασθῆς αὐτὸ τὸ φαγητὸ καὶ τὴ φροντίδα του νὰ σὲ ὑπηρετήση, διότι ἦρθε γιὰ νὰ σὲ θρέψη.

Ὅμως πρόσεχε πῶς καὶ παρὰ τὴ θέλησί τους προφητεύουν· «ἐλᾶτε», λέγει, «νὰ τὸν φονεύσουμε, καὶ νὰ δοῦμε τί θὰ γίνουν τὰ ὄνειρά του». Διότι, ἐὰν δὲν ἔπαιρναν τὴν ἀπόφασι καὶ δὲν ὕφαιναν τὸν δόλο καὶ δὲν ἐκτελοῦσαν τὴν ἀδιάντροπη ἐκείνη ἀπόφασι, δὲν θὰ γνώριζαν τὴ δύναμι ἐκείνων τῶν ὀνείρων. Καθόσον δὲν θὰ ἦταν τὸ ἴδιο, χωρὶς νὰ πάθη κανένα κακό, νὰ ἀνεβῆ στὸν θρόνο τῆς Αἰγύπτου καὶ νὰ ἀξιωθῆ τόση λαμπρότητα, ὕστερα ἀπὸ τόσα προσκόμματα καὶ ἐμπόδια. Διότι, ἐὰν δὲν εἶχαν σχεδιάσει τὸ κακὸ δὲν θὰ τὸν πουλοῦσαν στὴν Αἴγυπτο· ἐὰν δὲν τὸν πουλοῦσαν στὴν Αἴγυπτο, δὲν θὰ τὸν ἐρωτευόταν ἡ βασίλισσα· ἐὰν δὲν τὸν ἐρωτευόταν ἡ βασίλισσα, δὲν θὰ τὸν ἔρριχναν στὴ φυλακή, δὲν θὰ ἑρμήνευε τὰ ὄνειρα, δὲν θὰ πετύχαινε τὴ βασιλεία· καὶ ἐὰν δὲν πετύχαινε ἐκείνη τὴ βασιλεία, δὲν θὰ ἔρχονταν τὰ ἀδέλφια του ν' ἀγοράσουν σιτάρι καὶ νὰ τὸν προσκυνήσουν. Ὥστε, ἐπειδὴ τὸν σκότωσαν, γι' αὐτὸ κατάλαβαν καλύτερα τὰ ὄνειρά του. Τί λοιπόν; Αὐτοὶ ἔγιναν πρόξενοι ὅλων τῶν μελλοντικῶν ἀγαθῶν του καὶ τῆς δόξας ἐκείνης; Καθόλου, διότι αὐτοὶ ἀποφάσισαν νὰ τὸν θανατώσουν καὶ νὰ τὸν παραδώσουν στὴ θλῖψι καὶ τὴν ὑποδούλωσι καὶ στὰ φοβε-

ἐσχάτοις παραδοῦναι ἐβουλεύσαντο κακοῖς· ὁ δὲ εὐμήχανος Θεὸς τῇ τῶν ἐπιβουλευόντων πονηρίᾳ πρὸς τὴν τοῦ πραθέντος καὶ ἐπιβουλευθέντος εὐδοκίμησιν ἀπεχρήσατο.

στ'. Ἵνα δὲ μὴ συντυχίας τινός, μηδὲ πραγμάτων περιπετείας τὰ συμβάντα εἶναι νομίζηται, δι' αὐτῶν τῶν ἐναντιουμένων, δι' αὐτῶν τῶν κωλυόντων, αὐτὰ κατασκευάζει τὰ κωλυόμενα ὁ Θεός, τοῖς ἐχθροῖς αὐτοῦ πρὸς τὴν εὐδοκίμησιν διακόνοις χρώμενος, ἵνα μάθῃς, ὅτι ἃ ὁ Θεὸς βεβούλευται, οὐδεὶς διασκεδάσει· καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν οὐδεὶς ἀποστρέψει· ἵν', ὅταν ἐπιβουλεύῃ παρά τινων, μὴ καταπίπτῃς, μηδὲ δυσχεραίνῃς, ἀλλ' εἰδέναι ἔχῃς, ὅτι πρὸς τέλος ἀπαντᾷ χρηστὸν ἡ ἐπιβουλή, μόνον ἂν γενναίως φέρῃς τὰ συμπίπτοντα.

Ἰδοὺ γοῦν καὶ ἐνταῦθα φθόνος βασιλείαν ἔτεκε, καὶ βασκανία διάδημα προεξένησε, καὶ θρόνον ἐκόμισε, καὶ αὐτοὶ οἱ ἐπιβουλεύσαντες, αὐτοὶ συνώθησαν αὐτὸν πρὸς τὸ μέγεθος ἐκείνης τῆς ἀρχῆς· καὶ ὁ μὲν ἐπιβουλευθεὶς ἐβασίλευσεν, οἱ δὲ ἐπιβουλεύσαντες ἐδούλευον· κἀκεῖνος μὲν προσεκυνεῖτο, οὗτοι δὲ προσεκύνουν. Ὅταν τοίνυν ἐπέλθῃ σοι δεινὰ συνεχῆ καὶ ἐπάλληλα, μὴ θορυβοῦ, μηδὲ δυσχέραινε, ἀλλ' ἀνάμενε τὸ τέλος· πάντως γὰρ ἀπαντήσεται τῆς τοῦ Θεοῦ μεγαλοδωρεᾶς ἄξιον, μόνον ἐὰν εὐχαρίστως τὰ ἐν μέσῳ συμπίπτοντα ἐνέγκῃς. Ἐπεὶ καὶ οὗτος μετὰ τὰ ὀνείρατα ἐκεῖνα περὶ τῶν ἐσχάτων κινδυνεύσας, καὶ πραθεὶς ὑπὸ τῶν ἀδελφῶν, καὶ παρὰ τῆς δεσποίνης ἐπιβουλευθείς, καὶ πάλιν εἰς δεσμωτήριον ἐμπεσών, οὐκ εἶπε πρὸς ἑαυτόν, τί ποτε τοῦτό ἐστιν; ἀπάτη τὰ ὀνείρατα ἐκεῖνα ἦν, ἐξέπεσον τῆς πατρίδος, ἀπεστερήθην ἐλευθερίας· διὰ τὸν Θεὸν οὐκ εἶξα τῇ δεσποίνῃ πρὸς μοιχείαν καλούσῃ· διὰ σωφροσύνην καὶ ἀρετὴν κολάζομαι· καὶ οὐδὲ οὕτως ἤμυνεν, οὐδὲ χεῖρα ὤρεξεν, ἀλλ' εἴασε παραδοθῆναι δεσμοῖς ἐπαλλήλοις καὶ συνεχέσι συμφοραῖς· μετὰ γὰρ τὸν λάκκον δουλεία, μετὰ δουλείαν ἐπιβουλή, μετὰ ἐπιβουλὴν συκοφαντία, μετὰ συκοφαντίαν δεσμωτήριον.

Ἀλλ' οὐδὲν τούτων αὐτὸν ἐθορύβει, ἀλλ' ἔμενε τῇ ἐλπίδι θαρρῶν, καὶ εἰδὼς ὅτι τὰ εἰρημένα οὐ διαπεσεῖται οὐδέποτε. Ἐδύνατο μὲν γὰρ ὁ Θεὸς καὶ παρ' αὐτὴν αὐτὰ πληρῶσαι τὴν ἡμέραν,

ρώτερα κακά· ὁ πάνσοφος ὅμως Θεὸς χρησιμοποίησε τὴν κακία τῶν κακοποιῶν γιὰ τὴν εὐδοκίμησι ἐκείνου ποὺ πούλησαν καὶ σκέφθηκαν κακὰ ἐναντίον του.

6. Καὶ γιὰ νὰ μὴν θεωρηθῆ ὅτι συμπτωματικά, ἢ ἀπὸ αἰφνίδια μεταβολὴ τῆς καταστάσεως, ἔγιναν αὐτά, μέσω αὐτῶν ποὺ ἐναντιώνονται, μέσω αὐτῶν ποὺ ἐμποδίζουν ὁ Θεὸς ἑτοιμάζει αὐτὰ ποὺ ἐμποδίζονται, χρησιμοποιώντας τοὺς ἐχθρούς του ὡς ὑπηρέτες του γιὰ τὴν εὐδοκίμησί του, γιὰ νὰ μάθης, ὅτι αὐτὰ ποὺ ὁ Θεὸς ἔχει ἀποφασίσει, κανεὶς δὲν μπορεῖ νὰ τὰ διαλύση, καὶ τὸ χέρι του τὸ δυνατὸ κανεὶς δὲν μπορεῖ νὰ τὸ ἀντιστρέψῃ· ὥστε, ὅταν οἱ ἄλλοι σὲ ἐπιβουλεύωνται, μὴν ἀπογοητεύεσαι οὔτε νὰ δυσανασχετῆς, ἀλλὰ πρέπει νὰ ξέρης, ὅτι ἡ ἐπιβουλή τους σὲ ὁδηγεῖ σὲ καλὸ τέλος, μόνο ἐὰν ὑπομένης μὲ γενναιότητα τὰ προσκόμματα.

Νά, λοιπὸν καὶ ἐδῶ ὁ φθόνος γέννησε τὴ βασιλεία, καὶ ἡ ζήλεια προξένησε τὸ διάδημα, κι' ἔφερε τὸν θρόνο, καὶ αὐτοὶ ποὺ τὸν ἐπιβουλεύθηκαν, αὐτοὶ οἱ ἴδιοι τὸν ἔσμπρωξαν στὸ μέγεθος ἐκείνης τῆς ἐξουσίας· καὶ ἐκεῖνος ποὺ ἐπιβουλεύθηκε ἐβασίλευσε, ἐνῶ αὐτοὶ ποὺ τὸν ἐπιβουλεύθηκαν ἔγιναν δοῦλοι· καὶ ἐκεῖνος προσκυνοῦνταν, ἐνῶ ἐκεῖνοι τὸν προσκυνοῦσαν. Ὅταν λοιπὸν σοῦ ἔλθουν δεινὰ συνεχῆ καὶ ἀδιάκοπα, μὴ θορυβῆσαι, μὴ δυσανασχετῆς, ἀλλὰ περίμενε τὸ ἀποτέλεσμα· διότι ὁπωσδήποτε θ' ἀξιωθῆς τῆς μεγάλης δωρεᾶς τοῦ Θεοῦ, φτάνει μὲ εὐχαρίστησι νὰ ὑπομένης τὰ κακὰ ποὺ σοῦ ἔρχονται. Ἀφοῦ κι' ἐκεῖνος μετὰ τὰ ὄνειρα αὐτὰ ἔφθασε στὸ ἔσχατο σημεῖο τῶν κινδύνων, καὶ ἂν καὶ πουλήθηκε ἀπὸ τὰ ἀδέλφια του, καὶ ἂν καὶ συκοφαντήθηκε ἀπὸ τὴ βασίλισσα, καὶ πάλι ρίχθηκε στὴ φυλακή, δὲν εἶπε στὸν ἑαυτό του, 'τί σημαίνει ἄραγε αὐτό; Ἦταν ἀπατηλὰ τὰ ὄνειρα ἐκεῖνα· ἐκδιώχθηκα ἀπὸ τὴν πατρίδα μου, στερήθηκα τὴν ἐλευθερία μου· πρὸς χάριν τοῦ Θεοῦ δὲν πῆγα στὴ βασίλισσα ποὺ μὲ καλοῦσε γιὰ μοιχεία· τιμωροῦμαι γιὰ τὴ σωφροσύνη καὶ τὴν ἀρετή μου'· καὶ οὔτε τότε ἀντέδρασε, οὔτε ἅπλωσε τὸ χέρι, ἀλλ' ἄφησε νὰ παραδοθῆ σὲ συνεχῆ δεσμὰ καὶ σὲ διαρκεῖς συμφορές. Διότι μετὰ τὸν λάκκο ἦρθε ἡ δουλεία, μετὰ τὴ δουλεία ἡ ἐπιβουλή, μετὰ τὴν ἐπιβουλὴ ἡ συκοφαντία, μετὰ τὴ συκοφαντία ἡ φυλακή.

Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν τὸν θορύβησε, ἀλλὰ διατηροῦσε μὲ θάρρος τὴν ἐλπίδα καὶ γνώριζε ὅτι ποτὲ δὲν θὰ μείνουν ἀνεκπλήρωτα ἐκεῖνα ποὺ ἔχουν λεχθῆ ἀπὸ τὸν Θεό. Διότι μποροῦσε ὁ

ἀλλ' ἵνα καὶ τὴν αὐτοῦ δύναμιν ἐπιδείξηται, καὶ τὴν πίστιν τῶν αὐτοῦ δούλων, ἀφίησι χρόνον μεταξὺ παρεμπεσεῖν μακρόν, καὶ πολλὰ γενέσθαι κωλύματα, ἵνα καὶ τὴν αὐτοῦ μάθῃς ἰσχύν, τότε πληροῦντος τὰ ἐπηγγελμένα, ὅταν εἰς ἀπόγνωσιν ἐμπέσῃ, καὶ τὴν 5 τῶν δούλων ἴδῃς ὑπομονὴν καὶ πίστιν, οὐδενὶ τῶν ἐν μέσῳ συμβαινόντων τῆς ἀγαθῆς προσδοκίας ἐκπιπτόντων.

Ἀλλ', ὅπερ ἔλεγον, ἐπανῆλθον οὗτοι, τοῦ λιμοῦ, καθάπερ στρατιώτου τινός, ἐπὶ κεφαλὴν αὐτοὺς ὠθοῦντος καὶ παριστάντος ἄρχοντι τῷ Ἰωσήφ, καὶ ἐβούλοντο πρίασθαι σῖτον· ὁ δὲ τί φησι 10 πρὸς αὐτούς; «Κατάσκοποί ἐστε». Οἱ δὲ εἶπον ἐν ἑαυτοῖς, τί ποτε τοῦτό ἐστι; τροφὴν ἤλθομεν ἐμπορευσόμενοι, καὶ περὶ ψυχῆς κινδυνεύομεν; Εἰκότως, ἐπεὶ καὶ αὐτὸς τροφὴν ὑμῖν ἐκόμισε, καὶ περὶ τῆς ζωῆς ἐκινδύνευσεν· ἀλλ' αὐτὸς μὲν ἀληθείᾳ ὑπέμενεν, ὑμεῖς δὲ ὑποκρίσει τοῦτο πάσχετε· οὐ γὰρ ἐχθρὸς ἦν, ἀλλὰ προσωπεῖον ἀνέ- 15 λαβεν ἐχθροῦ, ἵνα τὰ κατὰ τὴν οἰκίαν μετὰ ἀκριβείας μάθῃ. Ἐπειδὴ γὰρ πονηροὶ περὶ αὐτὸν ἐγένοντο καὶ ἀγνώμονες, τόν τε Βενιαμὶν οὐκ εἶδε μετ' αὐτῶν ὄντα, δείσας ὑπὲρ τοῦ παιδός, μήποτε κἀκεῖνος τὰ ἀδελφὰ αὐτῷ πέπονθε, κελεύει δεθῆναί τινα ἕνα καὶ ἀφεθῆναι ἐκεῖ· εἶτα αὐτοὺς λαβόντας τὸν σῖτον ἅπαντας ἀπελθεῖν, ἀπει- 20 λήσας θάνατον αὐτοῖς, εἰ μὴ τὸν ἀδελφὸν τὸν ἑαυτῶν ἐπαγάγοιεν. Ἐπεὶ οὖν ταῦτα ἐγένετο, καὶ εἶπεν, «ἄφετέ τινα ἐνταῦθα, καὶ τὸν ἀδελφὸν ὑμῶν ἀγάγετε· εἰ δὲ μή, θανάτῳ ἀποθανεῖσθε», τί πρὸς ἀλλήλους ἔλεγον ἐκεῖνοι; «Ναί, ἐν ἁμαρτίαις ἐσμὲν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτε κατεδέετο ἡμῶν».

25 Εἶδες μετὰ πόσον χρόνον τῆς ἁμαρτίας ἀνεμνήσθησαν ἐκείνης; Καὶ πρὸς μὲν τὸν πατέρα ἔλεγον· «θηρίον πονηρὸν κατέφαγε τὸν Ἰωσήφ»· αὐτοῦ δὲ τοῦ Ἰωσὴφ παρόντος καὶ ἀκούοντος, τὴν ἁμαρτίαν ἐξήλεγχον. Τί τούτου παραδοξότερον γένοιτ' ἄν; Δικαστήριον χωρὶς ἐλέγχων γίνεται, καὶ ἀπολογία χωρὶς κατηγορίας, καὶ 30 ἀπόδειξις ἄνευ μαρτύρων, αὐτῶν τῶν τὸ πρᾶγμα ἐργασαμένων ἑαυτοὺς ἐλεγχόντων, καὶ τὸ λάθρα γεγενημένον ἐκπομπευόντων. Τίς ἔπεισε, τίς ἠνάγκασεν εἰς μέσον ἐξενεγκεῖν τὰ πρὸ τοσούτου τολμηθέντα χρόνου; Οὐκ εὔδηλον, ὅτι τὸ συνειδός, ὁ ἀπαραλόγι-

9. Γεν. 42,9.
10. Γεν. 37,35.

Θεὸς καὶ τὴν ἴδια ἐκείνη ἡμέρα νὰ τὰ ἐκπληρώση, ἀλλὰ γιὰ νὰ δείξη καὶ τὴν δική του δύναμι, καὶ τὴν ἀφοσίωσι τῶν δούλων του, ἀφήνει νὰ μεσολαβήση πολὺς χρόνος καὶ νὰ ἐμφανισθοῦν πολλὰ ἐμπόδια, γιὰ νὰ μάθης καὶ τὴ δική του δύναμι, καὶ τότε ἐκπληρώνει τὶς ὑποσχέσεις του, ὅταν φθάσης στὴν ἀπελπισία, καὶ δῆς τὴν ὑπομονὴ καὶ τὴν πίστι τῶν δούλων, καὶ ὅτι δὲν ἀπομακρύνονται ἀπὸ τὴν καλὴ προσδοκία τους μ' ὁ,τιδήποτε κι' ἂν τοὺς συμβῆ.

Ἀλλά, ὅπως ἔλεγα, ἐπανῆλθαν αὐτοί, ὅταν ἡ πεῖνα, σὰν νὰ ἦταν κάποιος στρατιώτης ποὺ τοὺς ἔσπρωχνε, τοὺς ἔφερε μπροστὰ στὸν ἄρχοντα Ἰωσήφ, καὶ ἤθελαν ν' ἀγοράσουν σιτάρι· καὶ αὐτὸς τί τοὺς εἶπε; «Εἶσθε κατάσκοποι»[9]. Κι' ἐκεῖνοι εἶπαν μεταξύ του· 'Τί σημαίνει ἄραγε αὐτό; Ἤρθαμε ν' ἀγοράσουμε τρόφιμα, καὶ κινδυνεύουμε νὰ χάσουμε τὴ ζωή μας; Δίκαια, διότι καὶ αὐτὸς τρόφιμα σᾶς ἔφερε, καὶ κινδύνευσε ἡ ζωή του· ἀλλὰ αὐτὸς ὑπέφερε πραγματικά, ἐνῶ ἐσεῖς στὰ ψέματα τὸ παθαίνετε αὐτό· διότι δὲν ἦταν ἐχθρός, ἀλλὰ φόρεσε τὸ προσωπεῖο τοῦ ἐχθροῦ, γιὰ νὰ πληροφορηθῆ μὲ λεπτομέρεια τὴν ἀλήθεια γιὰ τὴν οἰκογένειά του. Ἐπειδὴ δηλαδὴ φάνηκαν πονηροὶ καὶ ἀγνώμονες ἀπέναντί του, καὶ δὲν εἶδε τὸν Βενιαμὶν ἀνάμεσά τους, φοβούμενος γιὰ τὸ παιδί, μήπως κι' ἐκεῖνο ἔπαθε τὰ ἴδια, διατάσσει νὰ δεθῆ ἕνας καὶ νὰ μείνη ἐκεῖ· κι' ἔπειτα, ἀφοῦ πάρουν αὐτοὶ τὸ σιτάρι γιὰ νὰ φύγουν ὅλοι, νὰ τοὺς ἀπειλήση μὲ θάνατο, ἐὰν δὲν ἔφερναν στὸν ἐπανερχομό τους μαζί τους τὸν ἀδελφό τους. Ὅταν λοιπὸν ἔγιναν αὐτὰ καὶ εἶπε, 'ἀφῆστε κάποιον ἐδῶ καὶ φέρτε μοῦ τὸν ἀδελφό σας, διότι ἀλλιῶς θὰ πεθάνετε', τί ἔλεγαν μεταξύ τους ἐκεῖνο; 'Ναί, ἁμαρτήσαμε ἀπέναντι στὸν ἀδελφό μας, ὅταν μᾶς θερμοπαρακαλοῦσε'.

Εἶδες μετὰ ἀπὸ πόσο χρόνο θυμήθηκαν ἐκείνη τὴν ἁμαρτία; Καὶ βέβαια στὸν πατέρα τους ἔλεγαν, «ἄγριο θηρίο κατέφαγε τὸν Ἰωσήφ»[10], τώρα ὅμως ποὺ ἦταν μπροστά τους ὁ Ἰωσὴφ καὶ τοὺς ἄκουγε, παραδέχονταν τὸ σφάλμα τους. Τί πιὸ παράξενο θὰ μποροῦσε νὰ συμβῆ ἀπὸ αὐτό; Δικαστήριο χωρὶς ἀνακρίσεις γίνεται, καὶ ἀπολογία χωρὶς κατηγορία, καὶ ἀπόδειξις χωρὶς μάρτυρες, διότι αὐτοὶ ποὺ ἔκαναν τὴν πρᾶξι ἐλέγχουν τοὺς ἑαυτούς τους, καὶ διαπομπεύουν ἐκεῖνο ποὺ εἶχε γίνει κρυφά. Ποιός τοὺς ἔπεισε, ποιός τοὺς ἀνάγκασε νὰ φέρουν στὸ προσκήνιο ἐκεῖνα ποὺ πρὶν ἀπὸ τόσα χρόνια τόλμησαν; Δὲν εἶναι ὁλοφάνερο, ὅτι ἡ συνείδη-

στος δικαστής, συνεχῶς αὐτῶν κατέσειε τὴν διάνοιαν, καὶ τὴν ψυχὴν ἐθορύβει; Καὶ ὁ φονευθεὶς τότε ἐκάθητο σιγῇ δικάζων αὐτούς· καὶ μηδεμιᾶς ἐξενεχθείσης ἀποφάσεως καθ' ἑαυτῶν τὴν καταδικάζουσαν αὐτοὺς ψῆφον αὐτοὶ ἔφερον.

5 Καὶ οὗτοι μὲν ταῦτα ἔλεγον· ἕτερος δὲ ἀπελογεῖτο, λέγων· «οὐκ ἐλάλησα πρὸς ὑμᾶς, οὕτω λέγων· μὴ ἀδικήσητε τὸ παιδάριον, μηδὲ ποιήσητε αὐτὸν μηδὲν κακόν, ὅτι ἀδελφὸς ἡμῶν ἐστι· καὶ ἰδοὺ νῦν τὸ αἷμα αὐτοῦ ἐκζητεῖται», φησίν, «ἐκ τῶν χειρῶν ἡμῶν;». Καίτοι οὐδὲν αὐτὸς ὁ ταῦτα λέγων περὶ τοῦ φόνου καὶ τῆς 10 σφαγῆς ἐκείνης εἶπεν, ἀλλ' αὐτὸς μὲν καθήμενος οὐδὲν τοιοῦτον ἐζήτει, ἀλλὰ τὸν ἕτερον ἀδελφὸν ἐπεζήτει· τὸ δὲ συνειδὸς αὐτῶν ἐπιλαβόμενον καιροῦ, διανέστη καὶ καθήψατο τῆς ἐκείνων διανοίας, καὶ μηδενὸς ἀναγκάζοντος, τὰ τετολμημένα ὁμολογῆσαι παρεσκεύασε. Ταῦτα καὶ ἡμεῖς πολλάκις πάσχομεν, παρελθόντων 15 τῶν ἁμαρτημάτων· ἐν δεινοῖς γὰρ ἐξεταζόμενοι καὶ περιστάσεσι, μνημονεύομεν τῶν προτέρων ἁμαρτημάτων.

ζ'. Ἅπερ οὖν ἅπαντα εἰδότες, ἐπειδάν τι πράξωμεν πονηρόν, μὴ ἀναμένωμεν συμφορὰς καὶ περιστάσεις μηδὲ κινδύνους καὶ δεσμά, ἀλλὰ καθ' ἑκάστην ὥραν τε καὶ ἡμέραν ἀνακινῶμεν παρ' ἑαυτοῖς 20 τὸ δικαστήριον τοῦτο, καὶ τὰς ψήφους καθ' ἑαυτῶν φέρωμεν, καὶ πειρώμεθα παντὶ τρόπῳ ἀπολογεῖσθαι τῷ Θεῷ, καὶ μήτε αὐτοὶ περὶ τῆς ἀναστάσεως καὶ τῆς κρίσεως ἀμφισβητῶμεν, μήτε ἑτέρων λεγόντων ἀνεχώμεθα, ἀλλὰ παντὶ τρόπῳ διὰ τῶν εἰρημένων αὐτοὺς ἐπιστομίζωμεν. Οὐ γὰρ ἄν, εἰ μὴ τότε ἐμέλλομεν εὐθύνας 25 ὑφέξειν τῶν πεπλημμελημένων, τοιοῦτον ἡμῖν ἐνταῦθα τὸ δικαστήριον ἐγκατέστησεν ὁ Θεός. Ἀλλὰ καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας τεκμήριον. Ἐπειδὴ γὰρ τότε μέλλει λόγον ἡμᾶς ἀπαιτεῖν τῶν πεπλημμελημένων, ἐγκατέστησε τοῦτον τὸν ἀδέκαστον κριτήν, ἵνα οὗτος ἐνταῦθα ὑπὲρ τῶν ἡμαρτημένων δικάζων ἡμῖν, καὶ 30 σωφρονεστέρους ποιῶν, ἐξαρπάσῃ τῆς μελλούσης ἐκεῖ κρίσεως. Ὅπερ οὖν καὶ ὁ Παῦλος λέγει· «εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα ὑπὸ τοῦ Κυρίου».

Ἵνα οὖν μὴ τότε κολαζώμεθα, μὴ τότε εὐθύνας ὑπέχωμεν, ἕκαστος εἰς τὸ συνειδὸς εἰσελθέτω τὸ ἑαυτοῦ, καὶ τὴν ζωὴν ανα-

11. Γεν. 42,22.
12. Α' Κορ. 11,31.

σις, ὁ ἀλάθητος δικαστής, ἦταν ἐκεῖνος ποὺ σάλευε διαρκῶς τὴ διάνοιά τους καὶ θορυβοῦσε τὴν ψυχή τους; Κι' ἐκεῖνος ποὺ τότε φονεύθηκε, καθόταν σιωπηλὰ καὶ τοὺς δίκαζε τώρα· καὶ ἂν καὶ δὲν εἶχε βγῆ καμμιὰ καταδικαστικὴ ἀπόφασις ἐναντίον τους, οἱ ἴδιοι ἔβγαλαν τὴν ἀπόφασι ποὺ τοὺς κατεδίκαζε.

Καὶ αὐτοὶ βέβαια ἔλεγαν αὐτά· ἐνῶ ἄλλος ἀπολογοῦνταν λέγοντας· «δὲν σᾶς μίλησα καὶ δὲν σᾶς εἶπα, μὴν ἀδικήσετε τὸ μικρὸ παιδί, καὶ μὴν τοῦ κάνετε κανένα κακό, διότι εἶναι ἀδελφός μας; καὶ νά, τώρα, μᾶς ζητοῦν νὰ δώσουμε λόγο γιὰ τὴν ζωή του, ποὺ χάθηκε», λέγει, «ἀπὸ τὰ χέρια μας»[11]. Ἂν καὶ τίποτε δὲν εἶπε αὐτὸς ποὺ τὰ ἔλεγε αὐτὰ γιὰ τὸν φόνο καὶ τὴν σφαγὴ ἐκείνη· ὁ Ἰωσὴφ καθόταν καὶ δὲν ζητοῦσε τίποτα τέτοιο, ἀλλὰ ἀναζητοῦσε τὸν ἄλλο ἀδελφό του· ἡ συνείδησίς τους ὅμως ἅρπαξε τὴν εὐκαιρία, ἐπαναστάτησε καὶ ἄγγιξε τὴ διάνοιά τους, καὶ ἂν καὶ κανεὶς δὲν τοὺς ἀνάγκαζε, τοὺς ἔκανε νὰ ὁμολογήσουν ἐκεῖνα ποὺ εἶχαν τολμήσει. Αὐτὰ πολλὲς φορὲς κι' ἐμεῖς τὰ παθαίνουμε, ὅταν περάσουν οἱ ἁμαρτίες· διότι, ὅταν δοκιμαζώμαστε ἀπὸ τὰ δεινὰ καὶ τὶς περιστάσεις, θυμόμαστε τὰ προηγούμενα ἁμαρτήματά μας.

7. Γνωρίζοντας λοιπὸν ὅλα αὐτά, ὅταν κάμνουμε κάποιο κακό, ἂς μὴ περιμένουμε συμφορὲς καὶ περιστάσεις, οὔτε κινδύνους καὶ δεσμά, ἀλλὰ κάθε ὥρα καὶ ἡμέρα ν' ἀνανεώνουμε μέσα μας αὐτὸ τὸ δικαστήριο καὶ νὰ προσπαθοῦμε μὲ κάθε τρόπο ν' ἀπολογηθοῦμε στὸν Θεό, καὶ οὔτε οἱ ἴδιοι ν' ἀμφισβητοῦμε τὴν ἀνάστασι καὶ τὴν κρίσι, οὔτε τοὺς ἄλλους ὅταν τὰ λένε νὰ τοὺς ἀνεχώμαστε, ἀλλὰ μὲ κάθε τρόπο νὰ τοὺς ἀποστομώνουμε μὲ ὅσα ἔχουμε πεῖ. Διότι, ἐὰν δὲν ἐπρόκειτο νὰ μᾶς ζητηθοῦν εὐθύνες γιὰ τὶς ἁμαρτίες μας, δὲν θὰ ἔβαζε μέσα μας ὁ Θεὸς ἕνα τέτοιου εἴδους δικαστήριο. Ἀλλὰ καὶ αὐτὸ εἶναι ἀπόδειξις τῆς φιλανθρωπίας του. Ἐπειδὴ δηλαδὴ τότε πρόκειται νὰ μᾶς ζητηθῆ λόγος γιὰ τὶς ἁμαρτίες μας, ἔβαλε μέσα μας αὐτὸν τὸν ἀδιάβλητο δικαστή, ὥστε αὐτὸς νὰ μᾶς δικάζη ἐδῶ γιὰ τὰ ἁμαρτήματά μας καί, κάνοντάς μας πιὸ σώφρονες, νὰ μᾶς ἀπαλλάξη ἀπὸ τὴ μέλλουσα ἐκεῖ κρίσι. Πρᾶγμα βέβαια ποὺ καὶ ὁ Παῦλος λέγει· «ἂν κρίναμε τοὺς ἑαυτούς μας, δὲν θὰ μᾶς ἔκρινε ὁ Κύριος»[12].

Γιὰ νὰ μὴ τιμωρούμαστε λοιπὸν τότε, γιὰ νὰ μὴν εἴμαστε ὑπόλογοι γιὰ κάτι, καθένας ἂς εἰσέλθη στὴ συνείδησί του, καὶ

πτύξας καὶ ἅπαντα τὰ πεπλημμελημένα μετὰ ἀκριβείας ἐπελθών, καταγινωσκέτω τῆς ψυχῆς τῆς ταῦτα ἐργασαμένης, κολαζέτω τοὺς λογισμούς, θλιβέτω, στενοχωρείτω τὴν ἑαυτοῦ διάνοιαν, δίκην ἑαυτὸν ἀπαιτείτω τῶν ἡμαρτημένων διὰ τῆς καταγνώσεως, διὰ 5 *τῆς μετανοίας τῆς ἠκριβωμένης, διὰ δακρύων, διὰ ἐξομολογήσεως, διὰ νηστείας καὶ ἐλεημοσύνης, διὰ ἐγκρατείας καὶ ἀγάπης, ἵνα παντὶ τρόπῳ δυνηθῶμεν πάντα ἐνταῦθα ἀποθέμενοι τὰ ἁμαρτήματα, μετὰ πολλῆς ἀπελθεῖν ἐκεῖ τῆς παρρησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ* 10 *Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἀφοῦ ξεδιπλώση τὴ ζωή του καὶ πλησιάση μὲ προσοχὴ ὅλα τὰ λάθη ποὺ ἔχει διαπράξει, ἂς κατηγορήση τὴν ψυχή του ποὺ τὰ ἔκανε αὐτά, ἂς καταδικάση τοὺς λογισμούς του, ἂς νοιώση θλῖψι, ἂς στενοχωρήση τὴ διάνοιά του, ἂς τιμωρήση τὸν ἑαυτό του μὲ τὴν παραδοχὴ τῶν ἁμαρτιῶν του, μὲ τὴν εἰλικρινῆ μετάνοια, μὲ δάκρυα, μὲ ἐξομολόγησι, μὲ νηστεία, καὶ ἐλεημοσύνη, μὲ ἐγκράτεια καὶ ἀγάπη, γιὰ νὰ μπορέσουμε μὲ κάθε τρόπο, ἀφοῦ ἀποβάλουμε ἐδῶ ὅλα τὰ ἁμαρτήματα, μὲ μεγάλη παρρησία νὰ φύγουμε γιὰ ἐκεῖ, τὴν ὁποία εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα ἀνήκει ἡ δόξα, καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

«Περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε»· καὶ εἰς τὸν Ἰὼβ καὶ τὸν Ἀβραάμ.

α΄. Ἡμέρας τέσσαρας ἀνηλώσαμεν τὴν κατὰ τὸν Λάζαρον παραβολὴν ὑμῖν ἐξηγούμενοι, τὸν θησαυρὸν ἐξαντλοῦντες, ὃν εὑρήκαμεν ἐν ἡλκωμένῳ κείμενον σώματι· θησαυρὸν οὐχὶ χρυσίον καὶ ἀργύριον καὶ λίθους ἔχοντα πολυτελεῖς, ἀλλὰ φιλοσοφίαν, καὶ ἀνδρείαν,
5 καὶ ὑπομονήν, καὶ καρτερίαν πολλήν. Καθάπερ γὰρ ἐπὶ τῶν αἰσθητῶν θησαυρῶν τούτων συμβαίνει, τὴν μὲν ἐπιφάνειαν ἀκάνθας ἔχειν καὶ τριβόλους ἁπλῶς καὶ γῆν τραχυτέραν, εἰ δέ τις κάτω διασκάψει, πολὺς ὁ πλοῦτος φαίνεται· οὕτω δὴ καὶ ἐπὶ τοῦ Λαζάρου συνέβαινεν· ἄνωθεν τραύματα, καὶ κάτωθεν πλοῦτος ἄφατος· πα-
10 ρειμένον τὸ σῶμα, ἀλλὰ γενναία καὶ ἐγρηγορυῖα ψυχή, καὶ τὸ ἀποστολικὸν ἦν ἰδεῖν ἐκεῖνο πληρούμενον ἐπὶ τούτου· «ὅσον ὁ ἔξω ἄνθρωπος διαφθείρεται, τοσοῦτον ὁ ἐντὸς ἀνακαινοῦται»[1].

Καὶ ἐνῆν μὲν καὶ τήμερον εἰς τὴν αὐτὴν παραβολὴν εἰπεῖν, καὶ πρὸς τοὺς αἱρετικοὺς μαχήσασθαι τοὺς τὴν Παλαιὰν διαβάλ-
15 λοντας, τοὺς τῶν πατριαρχῶν κατηγοροῦντας, τοὺς κατὰ τοῦ δημιουργοῦ τῶν ὅλων Θεοῦ τὴν γλῶτταν ἠκονηκότας· ἀλλ᾽ ἵνα μὴ προσκορὴς ὑμῖν ὁ λόγος γένηται, τούτους εἰς ἕτερον ταμιευσάμενοι καιρὸν τοὺς ἀγῶνας, φέρε, πρὸς ἄλλην ὑπόθεσιν τὸν λόγον ἀγάγωμεν· ἐπεὶ καὶ τράπεζα μονοειδὴς μὲν οὖσα κόρον ἐντίθησιν, αἱ δὲ
20 ποικίλαι τῇ συνεχείᾳ διεγείρουσι τὴν ὄρεξιν. Ἵν᾽ οὖν καὶ ἐπὶ τῆς ἀκροάσεως τοῦτο γένηται, πρὸς τὸν μακάριον Παῦλον διὰ μακροῦ τοῦ χρόνου τήμερον ἐπανέλθωμεν· καὶ γὰρ εἰς εὔκαιρον ἡμῖν τήμε-

1. Β΄ Κορ. 4,16.

ΣΤΟΝ ΦΤΩΧΟ ΛΑΖΑΡΟ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

ΣΤΟ ΡΗΤΟ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

«Δὲν θέλω, ἀδελφοί μου, νὰ ἔχετε ἄγνοια γιὰ ὅσους κοιμήθηκαν, γιὰ νὰ μὴ λυπᾶσθε», καὶ στὸν Ἰὼβ καὶ τὸν Ἀβραάμ.

1. Τέσσερις ἡμέρες διέθεσα γιὰ νὰ σᾶς ἐξηγήσω τὴν παραβολὴ τοῦ Λαζάρου, ἐξαντλώντας τὸν θησαυρὸ ποὺ βρήκαμε νὰ ὑπάρχη μέσα στὸ γεμᾶτο πληγὲς σῶμα· θησαυρὸ ποὺ ἀποτελεῖται ὄχι ἀπὸ χρυσὸ καὶ ἄργυρο καὶ λίθους πολυτελεῖς, ἀλλὰ ἀπὸ εὐσέβεια, καὶ ἀνδρεία, καὶ ὑπομονή, καὶ καρτερία πολλή. Διότι, ὅπως ἀκριβῶς συμβαίνει στὴν περίπτωσι τῶν ὑλικῶν αὐτῶν θησαυρῶν, ἡ ἐπιφάνεια ἔχει ἀγκάθια καὶ τριβόλια καὶ τὸ ἔδαφος εἶναι τραχύτερο, ἐὰν ὅμως κάποιος σκάψη βαθιά, ἀποκαλύπτεται πολὺς ὁ πλοῦτος, τὸ ἴδιο λοιπὸν συνέβαινε καὶ μὲ τὸν Λάζαρο· ἐπάνω εἶχε τραύματα καὶ κάτω πλοῦτο ἀπερίγραπτο· παραλυμένο τὸ σῶμα, ἀλλὰ γενναία καὶ ἄγρυπνη ἡ ψυχή. Καὶ μποροῦσες νὰ δῆς νὰ ἐκπληρώνεται σ' αὐτὸν ἐκεῖνο τὸ ἀποστολικό· «ὅσο καταστρέφεται ὁ ἐξωτερικὸς ἄνθρωπος, τόσο ὁ ἐσωτερικὸς ἀνακαινίζεται»[1].

Καὶ θὰ ἦταν δυνατὸ βέβαια καὶ σήμερα νὰ μιλήσουμε πάνω στὴν ἴδια παραβολή, καὶ νὰ ἀντικρούσουμε τοὺς αἱρετικοὺς ποὺ διαβάλλουν τὴν Παλαιὰ Διαθήκη, ποὺ κατηγοροῦν τοὺς πατριάρχες, ποὺ ἔχουν ἀκονίσει τὴ γλῶσσα κατὰ τοῦ Θεοῦ, τοῦ δημιουργοῦ τῶν ὅλων· ἀλλὰ γιὰ νὰ μὴ σᾶς γίνη βαρετὸς ὁ λόγος, ἀφοῦ τοὺς ἀποταμιεύσουμε γιὰ ἄλλον καιρὸ αὐτοὺς τοὺς ἀγῶνες, ἐμπρός, ἂς φέρουμε τὸν λόγο σὲ ἄλλο ζήτημα· ἀφοῦ καὶ τὸ τραπέζι, ὅταν ἔχη πάντα τὸ ἴδιο φαγητό, προκαλεῖ τὸν κορεσμό, ἐνῶ ἡ ποικιλία διεγείρει διαρκῶς τὴν ὄρεξι. Γιὰ νὰ γίνη λοιπὸν αὐτὸ καὶ στὴν περίπτωσι τῆς ἀκροάσεως, ἂς ἐπανέλθουμε σήμερα στὸν μακάριο Παῦλο, μετὰ ἀπὸ πολὺν χρόνο· διότι μᾶς δίνει σήμερα τὴν εὐκαιρία καὶ

ρον τὸ χωρίον ἀνεγνώσθη τὸ ἀποστολικόν, καὶ συνῳδὰ ἔσται τοῖς πρώην λεχθεῖσι τὰ ρηθησόμενα. Ἠκούσατε τοίνυν τοῦ Παύλου σήμερον βοῶντος καὶ λέγοντος· «περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες 5 ἐλπίδα». Ἐκείνη εὐαγγελικὴ νευρὰ ἡ τοῦ Λαζάρου, οὗτος ἀποστολικὸς ὁ φθόγγος, ἀλλὰ μία ἡ συμφωνία. Καὶ γὰρ καὶ ἐν ἐκείνῃ τῇ παραβολῇ πολλὰ περὶ ἀναστάσεως καὶ τῶν ἐκεῖ δικαστηρίων ἐφιλοσοφήσαμεν, καὶ νῦν εἰς τὴν αὐτὴν ἡμᾶς ὑπόθεσιν ὁ λόγος ἤγεγε πάλιν. Ὥστε, εἰ καὶ ἀποστολικὸν ἀνορύττομεν χωρίον, ἀλλὰ τὸν 10 αὐτὸν καὶ ἐνταῦθα θησαυρὸν εὑρήσομεν. Καὶ γὰρ καὶ τότε ὁ λόγος ἡμῖν ἅπας τοῦτο παιδεῦσαι τοὺς ἀκροατὰς ἔσπευδε, μηδὲν τοῦ παρόντος βίου τὰ λαμπρὰ νομίζειν εἶναι πράγματα, ἀλλὰ περαιτέρω προϊέναι ταῖς ἐλπίσι, καὶ τὰς ἐκεῖ ψήφους καθ' ἑκάστην ἐννοεῖν τὴν ἡμέραν, καὶ τὸ φοβερὸν κριτήριον, καὶ τὸν ἀπαραλόγιστον δικα- 15 στήν. Ταῦτα καὶ ὁ Παῦλος διὰ τῶν ἀνεγνωσμένων ἡμῖν συμβουλεύει τήμερον. Ἀλλὰ προσέχετε· «περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν 20 αὐτῷ».

Τοῦτο πρῶτον ἄξιον ἐπιστήσαντας ἐξετάσαι, τί δήποτε ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται, «θάνατον» καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, «κοίμησιν» αὐτὴν καὶ οὐ θάνατον ὀνομάζει. Οὐ γὰρ εἶπε, 'περὶ δὲ τῶν ἀποθανόντων', 25 ἀλλὰ τί; «Περὶ δὲ τῶν κεκοιμημένων». Καὶ πάλιν· «οὕτως ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ»· καὶ οὐκ εἶπε, 'τοὺς ἀποθανόντας'. Καὶ πάλιν· «ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας». Καὶ οὐδὲ ἐνταῦθα εἶπε 'τοὺς ἀποθανόντας', ἀλλὰ τρίτον 30 μνημονεύσας, τὸ τρίτον «κοίμησιν» τὸν θάνατον αὐτῶν ὠνόμασε. Περὶ δὲ τοῦ Χριστοῦ οὐχ οὕτως, ἀλλὰ πῶς; «Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε». Καὶ οὐκ εἶπεν, 'ἐκοιμήθη', ἀλλά, «ἀπέθανε».

Τίνος οὖν ἕνεκεν τὸν μὲν τοῦ Χριστοῦ «θάνατον» ἐκάλεσε,

2. Α' Θεσ. 4,13.
3. Α' Θεσ. 4,13.
4. Α' Θεσ. 4,14.
5. Α' Θεσ. 4,16.

τὸ ἀποστολικὸ χωρίο ποὺ διαβάσθηκε, καὶ θὰ εἶναι αὐτὰ ποὺ πρόκειται νὰ λεχθοῦν σχετικὰ μὲ τὰ λεχθέντα πρὸ ἡμερῶν. Ἀκούσατε λοιπὸν τὸν Παῦλο σήμερα νὰ φωνάζῃ καὶ νὰ λέγῃ· «καὶ δὲν θέλω νὰ ἔχετε ἄγνοια γιὰ ἐκείνους ποὺ κοιμήθηκαν, γιὰ νὰ μὴ λυπᾶσθε, ὅπως καὶ οἱ ἄλλοι ποὺ δὲν ἔχουν ἐλπίδα»[2]. Ἐκείνη ἦταν εὐαγγελικὴ χορδή, ἡ τοῦ Λαζάρου, αὐτὸς ὁ φθόγγος εἶναι ἀποστολικός, ἀλλὰ ἡ συμφωνία εἶναι μία. Διότι καὶ σ' ἐκείνην τὴν παραβολὴ πολλὰ ἐξηγήσαμε γιὰ τὴν ἀνάστασι καὶ τὰ ἐκεῖ δικαστήρια, καὶ τώρα πάλι στὴν ἴδια ὑπόθεσι μᾶς ἔφερε ὁ λόγος. Ὥστε, ἂν καὶ ἀνασκάπτουμε ἀποστολικὸ χωρίο, ὅμως κι' ἐδῶ τὸν ἴδιο θησαυρὸ θὰ βροῦμε. Καὶ τότε δηλαδὴ ὁ λόγος μας ὅλος αὐτὸ προσπαθοῦσε νὰ διδάξῃ τοὺς ἀκροατές, ὅτι τίποτε δὲν εἶναι τὰ λαμπρὰ πράγματα αὐτῆς τῆς ζωῆς, ἀλλὰ ν' ἀποβλέπουν μ' ἐλπίδες στὸ μέλλον καὶ κάθε ἡμέρα νὰ σκέφτωνται τὶς ἐκεῖ ἀποφάσεις καὶ τὸ φοβερὸ δικαστήριο καὶ τὸν ἀδιάβλητο δικαστή. Αὐτὰ καὶ ὁ Παῦλος σήμερα μᾶς συμβουλεύει μ' αὐτὰ ποὺ ἔχουν διαβασθῆ. Ἀλλὰ προσέχετε· «δὲν θέλω, ἀδελφοί μου, νὰ ἔχετε ἄγνοια γιὰ ἐκείνους ποὺ ἔχουν κοιμηθῆ, γιὰ νὰ μὴν λυπᾶσθε, ὅπως καὶ οἱ ὑπόλοιποι ποὺ δὲν ἔχουν ἐλπίδα. Διότι ἐὰν πιστεύουμε, ὅτι ὁ Ἰησοῦς πέθανε καὶ ἀναστήθηκε, ἔτσι καὶ ὁ Θεὸς ἐκείνους ποὺ ἔχουν κοιμηθῆ ἑνωμένοι διὰ τῆς πίστεως μὲ τὸν Ἰησοῦ θὰ τοὺς φέρῃ μαζί του»[3].

Σ' αὐτὸ πρῶτα ἀξίζει νὰ στρέψουμε τὴν προσοχή μας καὶ νὰ ἐξετάσουμε, γιατί ἄραγε ὅταν κάνῃ λόγο γιὰ τὸν Χριστὸ ἀποκαλεῖ «θάνατο» τὸν θάνατό του, ἐνῶ ὅταν ὁμιλῆ γιὰ τὸ δικό μας τέλος, τὸ ὀνομάζει «κοίμησι» καὶ ὄχι θάνατο. Διότι δὲν εἶπε, 'γιὰ ὅσους πέθαναν', ἀλλὰ τί; «Γιὰ ὅσους ἔχουν κοιμηθῆ». Καὶ πάλι· «ἔτσι ὁ Θεὸς καὶ αὐτοὺς ποὺ ἔχουν κοιμηθῆ μὲ πίστι στὸν Ἰησοῦ, θὰ τοὺς φέρῃ μαζί του»[4]. Καὶ δὲν εἶπε, 'αὐτοὺς ποὺ πέθαναν'. Καὶ πάλι. «Ἐμεῖς οἱ ζωντανοὶ ποὺ θ' ἀπομείνουμε καὶ θὰ ζοῦμε ὅταν θὰ ἔλθῃ ὁ Κύριος, δὲν θὰ προφθάσουμε ὅσους θὰ ἔχουν κοιμηθῆ»[5]. Καὶ οὔτε ἐδῶ εἶπε, 'αὐτοὺς ποὺ ἔχουν πεθάνει', ἀλλά, ἂν καὶ τρίτη φορὰ τὸ μνημόνευσε, γιὰ τρίτη φορὰ ὠνόμασε «κοίμησι» τὸν θάνατό τους. Ὅταν ὅμως ὁμιλῆ γιὰ τὸν Χριστό, δὲν τὸ λέει ἔτσι, ἀλλὰ πῶς; «Διότι, ἐὰν πιστεύουμε ὅτι ὁ Ἰησοῦς πέθανε». Καὶ δὲν εἶπε 'κοιμήθηκε' ἀλλὰ «πέθανε».

Γιὰ ποιό λόγο λοιπὸν τὸν θάνατο τοῦ Χριστοῦ τὸν ὠνόμασε

τὸν δὲ ἡμέτερον «κοίμησιν»; Οὐ γὰρ ἁπλῶς, οὐδὲ παρέργως ταύτη κέχρηται τῶν λέξεων τῇ παρατηρήσει, ἀλλὰ σοφόν τι καὶ μέγα κατασκευάζων. Ἐπὶ μὲν γὰρ τοῦ Χριστοῦ «θάνατον» ἐκάλεσεν, ἵνα τὸ πάθος πιστώσηται· ἐπὶ δὲ ἡμῶν «κοίμησιν» ἐκάλεσεν, ἵνα τὴν 5 *ὀδύνην παραμυθήσηται. Ἔνθα μὲν γὰρ προεχώρησεν ἡ ἀνάστασις, θαρρῶν καλεῖ θάνατον· ἔνθα δὲ ἐν ἐλπίσιν ἐστὶ τὸ πρᾶγμα, κοίμησιν καλεῖ, καὶ δι' αὐτῆς παραμυθούμενος τῆς προσηγορίας ἡμᾶς, καὶ χρηστὰς ὑποτείνων ἐλπίδας. Ὁ γὰρ κοιμώμενος ἀναστήσεται πάντως, καὶ οὐδὲν ἕτερόν ἐστι θάνατος, ἀλλ' ἢ ὕπνος μακρός. Μὴ* 10 *γάρ μοι τοῦτο εἴπῃς, ὅτι οὔτε ἀκούει, οὔτε φθέγγεται, οὔτε ὁρᾷ, οὔτε αἰσθάνεται ὁ τετελευτηκώς· οὐδὲ γὰρ ὁ καθεύδων. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τοῦ μὲν καθεύδοντος καὶ ἡ ψυχή πως καθεύδει, τοῦ δὲ τελευτήσαντος οὐχ οὕτως, ἀλλ' ἐγρήγορεν.*

Ἀλλ' ὁ τελευτήσας σήπεται καὶ διαφθείρεται, φησί, καὶ κόνις 15 *γίνεται καὶ τέφρα. Καὶ τί τοῦτο, ἀγαπητέ; δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα χαίρειν δεῖ. Καὶ γὰρ οἰκίαν τις μέλλων οἰκοδομεῖν σαθρωθεῖσαν καὶ παλαιὰν γενομένην, ἐκβαλὼν πρῶτον τοὺς οἰκοῦντας, οὕτω καταλύει τὴν οἰκίαν, καὶ ἀνοικοδομεῖ λαμπροτέραν. Καὶ τοὺς ἐκβληθέντας οὐ λυπεῖ τὸ γινόμενον, ἀλλὰ καὶ εὐφραίνει πλέον· οὐ* 20 *γὰρ τῇ καθαιρέσει προσέχουσι τῇ βλεπομένῃ. Οὕτω δὴ καὶ ὁ Θεὸς ποιεῖν μέλλων καταλύει ἡμῶν τὸ σῶμα, καὶ τὴν ἐνοικοῦσαν ἐν αὐτῷ ψυχὴν ἐξάγει πρότερον, καθάπερ ἐξ οἰκίας τινός, ἵνα λαμπροτέραν αὐτὴν οἰκοδομήσας, μετὰ πλείονος αὐτὴν δόξης εἰσαγάγῃ πάλιν. Μὴ τοίνυν τῇ καθαιρέσει προσέχωμεν, ἀλλὰ τῇ μελλούσῃ* 25 *λαμπρότητι.*

β'. Πάλιν ἀνδριάντα τις ἔχων ἰῷ καὶ χρόνῳ διεφθαρμένον, καὶ πολλὰ τῶν μερῶν ἀποτεθλασμένον, συντρίψας αὐτὸν εἰς χωνευτήριον ἐμβάλλει, καὶ τήξας αὐτὸν ἀκριβῶς, οὕτω λαμπρότερον ἀποδίδωσιν. Ὥσπερ οὖν ἡ ἐν τῷ χωνευτηρίῳ συντριβὴ οὐκ 30 *ἀφανισμός, ἀλλὰ ἀνακαινισμός τίς ἐστι τοῦ ἀνδριάντος ἐκείνου, οὕτω καὶ τῶν ἡμετέρων σωμάτων ὁ θάνατος οὐκ ἀπώλειά τίς*

«θάνατο», ἐνῶ τὸν δικό μας «κοίμησι»; Διότι δὲν χρησιμοποίησε τὴ διάκρισι τῶν λέξεων μὲ ἐπιπολαιότητα, οὔτε ἄσκοπα, ἀλλὰ γιὰ νὰ διδάκη κάτι σοφὸ καὶ μεγάλο. Στὴν περίπτωσι δηλαδὴ τοῦ Χριστοῦ τὸν ὠνόμασε «θάνατο», γιὰ νὰ βεβαιώση τὸ πάθος του· στὴν περίπτωσι ὅμως τὴ δική μας «κοίμησι», γιὰ νὰ παρηγορήση τὸν πόνο μας. Διότι, ὅπου ἡ ἀνάστασις ἔγινε πραγματικότης, μὲ θάρρος τὸ ὀνομάζει «θάνατο»· ὅπου ὅμως ποὺ τὸ πρᾶγμα βρίσκεται στὴν ἐλπίδα, τὸ ὀνομάζει «κοίμησι», καὶ μ' αὐτὴν τὴν ὀνομασία μᾶς παρηγορεῖ καὶ μᾶς γεμίζει μὲ καλὲς ἐλπίδες. Διότι αὐτὸς ποὺ κοιμᾶται, ὁπωσδήποτε θ' ἀναστηθῆ, καὶ τίποτε ἄλλο δὲν εἶναι ὁ θάνατος, παρὰ ὕπνος μακρύς. Καὶ μὴν μοῦ πῆς αὐτό, ὅτι οὔτε ἀκούει, οὔτε βλέπει, οὔτε αἰσθάνεται αὐτὸς ποὺ ἔχει τελειώσει τὴ ζωή του· διότι οὔτε αὐτὸς ποὺ κοιμᾶται. Καὶ ἐὰν πρέπει νὰ ποῦμε κάτι ἀξιοθαύμαστο, εἶναι ὅτι, ἐκείνου ποὺ κοιμᾶται καὶ ἡ ψυχὴ κάπως κοιμᾶται, ἐνῶ σ' αὐτὸν ποὺ ἔχει πεθάνει δὲν συμβαίνει τὸ ἴδιο, ἀλλ' ἡ ψυχή του εἶναι ἄγρυπνη.

Ἀλλά, λέγει, αὐτὸς ποὺ τελείωσε τὴ ζωή του σαπίζει καὶ καταστρέφεται καὶ γίνεται σκόνη καὶ στάχτη. Καὶ τί σημασία ἔχει αὐτό, ἀγαπητέ; Γι' αὐτὸ ἀκριβῶς πρέπει νὰ χαίρεται κανείς. Διότι, κι' ὅταν κάποιος πρόκειται νὰ οἰκοδομήση ἕνα σπίτι ποὺ χάλασε καὶ ἔγινε παλιό, πρῶτα βγάζει ἔξω τοὺς ἐνοίκους, καὶ μετὰ γκρεμίζει τὸ σπίτι καὶ χτίζει λαμπρότερο. Καὶ ἐκείνους ποὺ τοὺς ἔβγαλε ἔξω δὲν τοὺς λυπεῖ αὐτὸ ποὺ ἔγινε, ἀλλὰ περισσότερο τοὺς εὐφραίνει· διότι δὲν προσέχουν τὸ γκρέμισμα ποὺ βλέπουν, ἀλλὰ φαντάζονται τὴ μελλοντικὴ οἰκοδομή, τὴν ὁποία δὲν βλέπουν. Ἔτσι λοιπὸν καὶ ὁ Θεός, ἐπειδὴ θέλει νὰ κατασκευάση, διαλύει τὸ σῶμα μας, καὶ τὴν ψυχὴ ποὺ κατοικεῖ μέσα σ' αὐτὸ τὴν βγάζει ἔξω πρῶτα, σὰν ἀπὸ κάποιο σπίτι, γιὰ νὰ τὴν κατασκευάση λαμπρότερη καὶ νὰ τὴν βάλη πάλι μέσα μὲ μεγαλύτερη δόξα. Ἂς μὴ προσέχουμε λοιπὸν τὸ γκρέμισμα, ἀλλὰ τὴ μελλοντικὴ λαμπρότητα.

2. Καὶ ἐὰν πάλι κάποιος ἔχη ἕναν ἀνδριάντα καταστραμμένο ἀπὸ τὴ σκουριὰ καὶ τὸν χρόνο, καὶ σὲ πολλὰ μέρη σπασμένο, ἀφοῦ τὸν κομματιάση, τὸν βάζει μέσα στὸ καμίνι καὶ λειώνοντάς τον ἐντελῶς, τὸν παρουσιάζει ἔτσι πιὸ λαμπρό. Ὅπως λοιπὸν ἡ διάλυσις στὸ καμίνι δὲν εἶναι ἀφανισμός, ἀλλὰ κάποια ἀνακαίνισις τοῦ ἀνδριάντος ἐκείνου, ἔτσι καὶ ὁ θάνατος τῶν δικῶν μας σωμάτων, δὲν

ἐστιν, ἀλλὰ ἀνανέωσις. Ὅταν τοίνυν ἴδῃς, καθάπερ ἐν χωνευτηρίῳ, καταρρέουσαν ἡμῶν τὴν σάρκα καὶ σηπομένην, μὴ στῇς μέχρι τῆς ὄψεως ταύτης, ἀλλὰ τὴν ἀναχώνευσιν ἀνάμενε· καὶ μηδὲ τῷ μέτρῳ τοῦ παραδείγματος ἀρκεσθῇς τούτῳ, ἀλλ' ἐπὶ τὸ πρότερον 5 πρόελθε τῷ λόγῳ. Ὁ μὲν γὰρ ἀνδριαντοποιὸς χαλκοῦν ἐμβαλὼν σῶμα, οὐ χρυσοῦν καὶ ἀθάνατόν σοι ἀποδίδωσι τὸν ἀνδριάντα, ἀλλὰ χαλκοῦν ἐργάζεται πάλιν· ὁ δὲ Θεὸς οὐχ οὕτως, ἀλλὰ πήλινον καὶ θνητὸν ἐμβαλὼν σῶμα, χρυσοῦν καὶ ἀθάνατον ἀποδίδωσί σοι τὸν ἀνδριάντα· φθαρτὸν γὰρ ἡ γῆ δεξαμένη τὸ σῶμα καὶ ἐπίκηρον, 10 ἄφθαρτον καὶ ἀκήρατον ἀποδίδωσι τὸ αὐτό.

Μὴ τοίνυν ἴδῃς ἐκεῖνον τὸν μεμυκότα τοὺς ὀφθαλμούς, τὸν ἄφωνον κείμενον, ἀλλὰ τὸν ἀνιστάμενον, τὸν ἀπολαμβάνοντα δόξαν ἄρρητον καὶ φρικώδη καὶ θαυμαστήν, καὶ ἀπὸ τῆς παρούσης ὄψεως πρὸς τὴν μέλλουσαν ἐλπίδα μετάγαγε τοὺς λογισμούς. 15 Ἀλλὰ συνήθειαν ἐπιζητεῖς, καὶ διὰ τοῦτο ὀδύρῃ καὶ θρηνεῖς; Καὶ πῶς οὐκ ἄτοπον, εἰ μὲν νυμφίῳ τὸ θυγάτριον δοίης, εἶτα λαβὼν εἰς μακρὰν ἐκεῖνος ἀπέλθοι χώραν, καὶ καλῶς πράττων διατελοίη, μηδὲν ἡγεῖσθαι δεινὸν τὸ γεγενημένον, τῇ τῆς εὐπραγίας φήμῃ παραμυθεῖσθαι τῆς ἀποδημίας τὴν ἀθυμίαν· ἐνταῦθα δὲ οὐκ ἀνθρώ- 20 που, οὐδὲ συνδούλου τινός, ἀλλ' αὐτοῦ τοῦ Δεσπότου λαβόντος τὸν προσήκοντα, ἀλγεῖν καὶ ὀδύρεσθαι;

Καὶ πῶς οἷόν τε, φησί, μὴ ἀλγεῖν ἄνθρωπον ὄντα; Οὐδὲ ἐγὼ τοῦτο λέγω· οὐδὲ τὴν ἀθυμίαν, ἀλλὰ τὴν ἐπίτασιν τῆς ἀθυμίας ἀναιρῶ· τὸ μὲν γὰρ ἀθυμεῖν τῆς φύσεως, τὸ δὲ πέραν τοῦ μέτρου 25 τοῦτο ποιεῖν μανίας καὶ παραφροσύνης καὶ γυναικώδους ψυχῆς. Ἄλγησον, δάκρυσον, ἀλλὰ μὴ ἀποδυσπετήσῃς, μὴ δυσχεράνῃς, μὴ ἀγανακτήσῃς, εὐχαρίστησον τῷ λαμβάνοντι, ἵνα κοσμήσῃς τὸν ἀπελθόντα, καὶ λαμπρὰ ταῦτα αὐτῷ συμπέμψῃ ἐντάφια. Ἂν μὲν γὰρ δυσχεράνῃς, κἀκεῖνον καθύβρισας καὶ τὸν λαβόντα παρώξυνας 30 καὶ σαυτὸν κατέβλαψας, ἂν δὲ εὐχαριστήσῃς, κἀκεῖνον ἐκόσμησας καὶ τὸν λαβόντα ἐδόξασας καὶ σαυτὸν ὠφέλησας. Δάκρυσον ὡς ὁ Δεσπότης σου ἐδάκρυσε τὸν Λάζαρον, μέτρα τιθεὶς ἡμῖν καὶ κανόνας καὶ ὅρους ἀθυμίας, οὓς ὑπερβαίνειν οὐ δεῖ. Οὕτω καὶ Παῦλος εἶπε· «περὶ δὲ τῶν κεκοιμημένων», φησίν, «οὐ θέλω ὑμᾶς ἀγνοεῖν,

εἶναι κάποια καταστροφή, ἀλλὰ ἀνανέωσις. Ὅταν λοιπὸν δῆς, ὅπως ἀκριβῶς στὸ καμίνι, νὰ διαλύεται ἡ σάρκα μας καὶ νὰ σαπίζη, μὴ σταματήσης σ' αὐτὸ ποὺ βλέπεις, ἀλλὰ περίμενε τὴν ἀνανέωσι· καὶ νὰ μὴν ἀρκεσθῆς οὔτε στὸ μέτρο αὐτοῦ τοῦ παραδείγματος, ἀλλὰ γύρνα μὲ τὴ σκέψι σου στὰ προηγούμενα. Διότι ὁ ἀνδριαντοποιὸς ὅταν βάζη χάλκινο σῶμα, δὲν σοῦ δίνει χρυσὸ καὶ ἀθάνατο ἀνδριάντα, ἀλλὰ χάλκινο πάλι κατασκευάζει· ὁ Θεὸς ὅμως δὲν κάνει τὸ ἴδιο, ἀλλά, ἐνῶ βάζει μέσα πήλινο καὶ θνητὸ σῶμα, σοῦ ἐπιστρέφει χρυσὸ καὶ ἀθάνατο τὸν ἀνδριάντα. Δέχεται ἡ γῆ τὸ σῶμα φθαρτὸ καὶ θνητὸ καὶ σοῦ τὸ ἐπιστρέφει ἄφθαρτο καὶ ἀθάνατο.

Μὴ λοιπὸν δῆς ἐκεῖνον ποὺ ἔκλεισε τὰ μάτια καὶ κείτεται ἄφωνος, ἀλλὰ ἐκεῖνον ποὺ ἀνασταίνεται, ποὺ ἀπολαμβάνει δόξα ἀνέκφραστη καὶ τρομερὴ καὶ θαυμαστή, καὶ ἀπὸ τὴν παροῦσα θέα στρέψε τοὺς λογισμούς σου στὴ μελλοντικὴ ἐλπίδα. Ἀλλὰ ἐπιθυμεῖς τὴ συντροφιά του καὶ γι' αὐτὸ ὀδύρεσαι καὶ θρηνεῖς; Καὶ πῶς δὲν εἶναι παράλογο, ὅταν δίνης τὴν κόρη σου στὸν νυμφίο κι' αὐτός, ἀφοῦ τὴν πῆρε, ἔφυγε σὲ μακρυνὴ χώρα καὶ περνᾶ εὐτυχισμένη, καὶ δὲν θεωρεῖς φοβερὸ αὐτὸ ποὺ ἔχει γίνει, ἀλλ' ἡ εἴδησις τῆς εὐτυχίας σὲ παρηγορεῖ γιὰ τὸν χωρισμό, καὶ ἐδῶ ποὺ ὄχι ἄνθρωπος, οὔτε κάποιος σύνδουλός σου, ἀλλὰ ὁ ἴδιος ὁ Κύριος πῆρε τὸν συγγενῆ σου, πονᾶς καὶ ὀδύρεσαι;

Καὶ πῶς εἶναι δυνατό, λέγει, νὰ μὴ πονάη κανείς, ὅταν εἶναι ἄνθρωπος; Οὔτε κι' ἐγὼ τὸ λέγω αὐτό· οὔτε τὴ λύπη, ἀλλὰ τὴν ὑπερβολὴ τῆς λύπης ἀναιρῶ· διότι τὸ νὰ λυπᾶται κανεὶς εἶναι φυσικό, τὸ νὰ τὸ κάνη ὅμως πέρα ἀπὸ τὸ μέτρο, αὐτὸ εἶναι δεῖγμα μανίας καὶ παραφροσύνης καὶ γυναικείας ψυχῆς. Πόνεσε, δάκρυσε, ἀλλὰ μὴν ἀπογοητεύεσαι, μὴν ὀργίζεσαι, μὴν ἀγανακτῆς· εὐχαρίστησε ἐκεῖνον ποὺ τὸν παίρνει, γιὰ νὰ τιμήσης ἐκεῖνον ποὺ ἔφυγε, καὶ θὰ στείλης ἔτσι μαζί του λαμπρὰ ἐντάφια δῶρα. Ἂν ὅμως ἀπελπισθῆς, καὶ ἐκεῖνον τὸν ἐξύβρισες, καὶ αὐτὸν ποὺ τὸν πῆρε τὸν ἐξώργισες, καὶ τὸν ἑαυτό σου τὸν κατέβλαψες· ἂν ὅμως τὸν εὐχαριστήσης, κι' ἐκεῖνον τὸν ἐτίμησες, καὶ αὐτὸν ποὺ τὸν πῆρε τὸν ἐδόξασες, καὶ τὸν ἑαυτό σου τὸν ὠφέλησες. Δάκρυσε, ὅπως ὁ Κύριός σου δάκρυσε γιὰ τὸν Λάζαρο, κι' ἔθεσε μέτρα σ' ἐμᾶς καὶ κανόνες καὶ ὅρους τῆς λύπης, τοὺς ὁποίους δὲν πρέπει νὰ ὑπερβαίνουμε. Ἔτσι εἶπε καὶ ὁ Παῦλος· «καὶ γιὰ ἐκείνους», λέγει, «ποὺ κοιμήθηκαν δὲν θέλω νὰ

ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Λυποῦ, φησίν, ἀλλὰ μὴ ὡς Ἕλλην ὁ ἀπογινώσκων ἀναστάσεως, ὁ ἀπελπίζων τὴν μέλλουσαν ζωήν.

Αἰσχύνομαι, πιστεύσατε, καὶ ἐρυθριῶ, διὰ τῆς ἀγορᾶς χοροὺς γυναικῶν ὁρῶν ἀσχημονοῦντας, τρίχας τιλλομένας, βραχίονας τεμνομένας, παρειὰς σπαραττομένας, ὑπὸ τοῖς ὀφθαλμοῖς τῶν Ἑλλήνων ταῦτα γινόμενα. Τί γὰρ οὐκ ἐροῦσιν ἐκεῖνοι; τί δὲ οὐ φθέγξονται περὶ ἡμῶν; Οὗτοί εἰσιν οἱ περὶ ἀναστάσεως φιλοσοφοῦντες; Πάνυ γε. Οὐ γὰρ συμβαίνει τοῖς δόγματι τὰ γινόμενα· ἐν ρήμασι τὰ περὶ ἀναστάσεως φιλοσοφοῦσι, καὶ ἐν τοῖς πράγμασι τὰ τῶν ἀπεγνωκότων ποιοῦσιν· εἰ ἐθάρρουν οὗτοι, ὅτι ἀνάστασίς ἐστιν, οὐκ ἂν ταῦτα ἐποίησαν· εἰ πεπεικότες ἦσαν ἑαυτούς, ὅτι πρὸς βελτίονα λῆξιν ἀπῆλθεν οὗτος, οὐκ ἂν ἐθρήνησαν'. Ταῦτα καὶ πλείονα τούτων λέγουσιν οἱ ἄπιστοι τῶν θρήνων ἐκείνων ἀκούοντες. Αἰσχυνώμεθα τοίνυν, καὶ σωφρωνῶμεν, καὶ μὴ τοσαύτην καὶ ἑαυτοῖς καὶ τοῖς ὁρῶσι προξενῶμεν τὴν βλάβην.

Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, δακρύεις οὕτω τὸν ἀπελθόντα; ὅτι πονηρὸς ἦν; Οὐκοῦν διὰ τοῦτο εὐχαριστεῖν δεῖ, ὅτι ἐνεκόπη τὰ τῆς κακίας αὐτῷ. Ἀλλὰ χρηστὸς καὶ ἐπιεικής; Καὶ διὰ τοῦτο χαίρειν δεῖ, ὅτι ταχέως ἡρπάγη, πρὶν ἢ τῇ κακίᾳ ἀλλάξῃ σύνεσιν, καὶ ἀπῆλθεν εἰς χωρίον ἔνθα ἐπ' ἀσφαλείας λοιπὸν ἕστηκε καὶ μεταβολὴν οὐκ ἔστιν ὑποπτεῦσαί τινα. Ἀλλὰ νέος ἦν; Καὶ διὰ τοῦτο δόξασον τὸν λαβόντα, ὅτι ταχέως αὐτὸν πρὸς τὴν βελτίονα λῆξιν ἐκάλεσεν. Ἀλλὰ γεγηρακώς; Καὶ διὰ τοῦτο εὐχαρίστησον, καὶ τὸν λαβόντα δόξασον πάλιν. Αἰσχύνθητι τὸ σχῆμα τῆς ἐκφορᾶς· ψαλμῳδίαι, καὶ εὐχαί, καὶ πατέρων σύλλογος, καὶ πλῆθος ἀδελφῶν τοσοῦτον, οὐχ ἵνα κλαίῃς καὶ ὀδύρῃ καὶ ἀποδυσπετεῖς, ἀλλ' ἵνα εὐχαριστῇς τῷ λαβόντι. Καθάπερ γὰρ τοὺς ἐπ' ἀρχὴν καλουμένους πολλοὶ προπέμπουσι ταῖς εὐφημίαις, οὕτω καὶ τῶν ἁγίων τοὺς ἀπιόντας, ἅτε ἐπὶ μείζονα κληθέντας τιμήν, μετὰ πολλῆς ἅπαντες προπέμπουσι τῆς εὐφημίας.

Ἀνάπαυσίς ἐστιν ὁ θάνατος, ἱδρώτων καὶ φροντίδων βιωτι-

ἔχετε ἄγνοια, γιὰ νὰ μὴν λυπᾶσθε, ὅπως καὶ οἱ ὑπόλοιποι ποὺ δὲν ἔχουν ἐλπίδα». Νὰ λυπᾶσαι, λέγει, ἀλλὰ ὄχι ὅπως ὁ εἰδωλολάτρης, ποὺ δὲν γνωρίζει ἀνάστασι, ποὺ δὲν ἐλπίζει στὴ μέλλουσα ζωή.

Ντρέπομαι, πιστέψτε με, καὶ κοκκινίζω, ὅταν βλέπω ὁμάδες γυναικῶν διασχίζοντας τὴν ἀγορὰ νὰ ἀσχημονοῦν, νὰ μαδοῦν τὰ μαλλιά τους, νὰ πληγώνουν τὰ χέρια τους, νὰ ξεσχίζουν τὰ μάγουλά τους κι' ὅλα αὐτὰ νὰ γίνωνται κάτω ἀπὸ τὰ μάτια τῶν εἰδωλολατρῶν. Πράγματι, τί δὲν θὰ ποῦν ἐκεῖνοι; ποιός λόγος δὲν θὰ βγῆ ἀπὸ τὸ στόμα τους; 'Αὐτοὶ εἶναι ποὺ πιστεύουν στὴν ἀνάστασι; Πάρα πολὺ μάλιστα. Δὲν συμφωνοῦν ὅμως οἱ πράξεις τους μὲ τὰ λόγια τους· μὲ τὰ λόγια πιστεύουν στὴν ἀνάστασι, μὲ τὰ ἔργα τους ὅμως κάνουν ὅπως ἐκεῖνοι ποὺ δὲν ἔχουν ἐλπίδα· ἐὰν πίστευαν αὐτοί, ὅτι ὑπάρχει ἀνάστασις, δὲν θὰ τὰ ἔκαναν αὐτά· ἐὰν εἶχαν πείσει τοὺς ἑαυτούς τους ὅτι αὐτὸς ἔφυγε γιὰ νὰ λάβη καλύτερη κληρονομία, δὲν θὰ θρηνοῦσαν'. Αὐτὰ καὶ πολὺ περισσότερα ἀπὸ αὐτὰ λένε οἱ ἄπιστοι ὅταν ἀκοῦν ἐκείνους τοὺς θρήνους. Ἂς ντρεπώμαστε λοιπὸν κι' ἂς εἴμαστε φρόνιμοι, γιὰ νὰ μὴν προξενοῦμε τόση βλάβη καὶ στοὺς ἑαυτούς μας καὶ σ' αὐτοὺς ποὺ μᾶς βλέπουν.

Πές μου δηλαδή, γιὰ ποιό λόγο κλαῖς ἔτσι αὐτὸν ποὺ ἔφυγε; Ἐπειδὴ ἦταν κακός; Λοιπὸν γι' αὐτὸ πρέπει νὰ εὐχαριστῆς, διότι σταμάτησε ἡ κακία του. Ἀλλ' ἐπειδὴ ἦταν καλὸς καὶ ἐπιεικής; Καὶ γι' αὐτὸ πρέπει νὰ χαίρεσαι, διότι γρήγορα ἁρπάχθηκε, πρὶν ἀλλάξη τὴ σύνεσί του ἐξ αἰτίας τῆς κακίας, καὶ ἔφυγε σὲ τόπο ὅπου πλέον εἶναι ἀσφαλισμένος, καὶ δὲν μπορεῖ νὰ σκεφθῆ κανεὶς μεταβολή. Ἀλλ' ἦταν νέος; Καὶ γι' αὐτὸ δόξασε αὐτὸν ποὺ τὸν πῆρε, διότι γρήγορα τὸν κάλεσε πρὸς τὴν καλύτερη κληρονομιά. Ἀλλ' ἐπειδὴ εἶχε γεράσει; Καὶ γι' αὐτὸ εὐχαρίστησε καὶ αὐτὸν ποὺ τὸν πῆρε δόξασέ τον πάλι. Σεβάσου τὸν τρόπο τῆς κηδείας· οἱ ψαλμωδίες καὶ οἱ εὐχὲς εἶναι τόσες, καὶ ἡ συγκέντρωσις τῶν πατέρων καὶ τὸ πλῆθος τῶν ἀδελφῶν τόσο μεγάλο, ὄχι γιὰ νὰ κλαῖς καὶ νὰ ὀδύρεσαι καὶ νὰ ἀγανακτῆς, ἀλλὰ γιὰ νὰ εὐχαριστῆς αὐτὸν ποὺ τὸν ἔλαβε. Διότι, ὅπως ἀκριβῶς ἐκείνους ποὺ τοὺς καλοῦν γιὰ νὰ λάβουν τὴν ἐξουσία, πολλοὶ τοὺς προπέμπουν μὲ ζητοκραυγές, ἔτσι καὶ αὐτοὺς ποὺ φεύγουν ἀπὸ τοὺς πιστούς, ἐπειδὴ καλοῦνται γιὰ μεγαλύτερη τιμή, ὅλοι τοὺς προπέμπουν μὲ πολλὲς εὐχές.

Ὁ θάνατος εἶναι ἀνάπαυσις, ἀπαλλαγὴ ἀπὸ ἱδρῶτες καὶ φρο-

κῶν ἀπαλλαγή. Ὅταν οὖν ἴδῃς τινὰ τῶν προσηκόντων ἀπελθόντα ἐντεῦθεν, μὴ δυσχεράνῃς, ἀλλὰ κατανύγηθι, πρὸς σεαυτὸν ἐπάνελθε, τὸ συνειδὸς ἐξέτασον, σκόπησον ὅτι καὶ σὲ μικρὸν ὕστερον τοῦτο μένει τὸ τέλος. Γενοῦ σωφρονέστερος καὶ δέξαι φόβον ἀπὸ 5 *τῆς ἑτέρου τελευτῆς, καὶ ῥᾳθυμίαν περίκοψον ἅπασαν, ἀναλόγισαι τὰ πεπραγμένα, διόρθωσον τὰ ἡμαρτημένα, ἀρίστην ποίησον μεταβολήν. Τούτῳ διεστήκαμεν τῶν ἀπίστων, τῷ κρίσεις ἑτέρας περὶ τῶν πραγμάτων ἔχειν. Ὁρᾷ τὸν οὐρανὸν ὁ ἄπιστος, καὶ προσκυνεῖ· Θεὸν γὰρ εἶναι νομίζει· ὁρᾷ τὴν γῆν, καὶ θεραπεύει, καὶ πρὸς τὰ αἰ-* 10 *σθητὰ κέχηνεν.*

Ἀλλ' ἡμεῖς οὐχ οὕτως· ἀλλ' ὁρῶμεν τὸν οὐρανόν, καὶ τὸν πεποιηκότα αὐτὸν θαυμάζομεν· οὐ γὰρ θεὸν αὐτόν, ἀλλ' ἔργον εἶναι Θεοῦ πεπιστεύκαμεν. Ὁρῶ τὴν κτίσιν ἅπασαν, καὶ δι' αὐτῆς χειραγωγοῦμαι πρὸς τὸν δημιουργόν. Ὁρᾷ πλοῦτον ἐκεῖνος, καὶ κέχηνε 15 *καὶ ἐκπέπληκται· ὁρῶ πλοῦτον ἐγώ, καὶ καταγελῶ. Ὁρᾷ πενίαν ἐκεῖνος, καὶ ὀδύρεται· ὁρῶ πενίαν ἐγώ, καὶ ἀγάλλομαι. Ἑτέρως ἐγὼ βλέπω τὰ πράγματα, καὶ ἑτέρως ἐκεῖνος. Οὕτω καὶ ἐπὶ τοῦ θανάτου ποιοῦμεν· ὁρᾷ νεκρὸν ἐκεῖνος, καὶ νομίζει νεκρὸν εἶναι· ὁρῶ νεκρὸν ἐγώ, καὶ ὕπνον ἀντὶ θανάτου βλέπω. Καὶ καθάπερ ἐπὶ* 20 *τῶν γραμμάτων τοῖς μὲν αὐτοῖς ὁρῶμεν αὐτὰ ὀφθαλμοῖς οἵ τε εἰδότες, οἵ τε ἀγνοοῦντες τὰ γράμματα, οὐ τῇ αὐτῇ δὲ διανοίᾳ, ἀλλ' οἱ μὲν οὐκ εἰδότες γράμματα, ἁπλῶς εἶναι νομίζουσι τὰ βλεπόμενα, οἱ δὲ ἐπιστάμενοι μετὰ πολλῆς τέχνης τὸν ἐναποκείμενον νοῦν ἀναλέγονται· οὕτω δὴ καὶ ἐπὶ τῶν πραγμάτων· τοῖς μὲν αὐτοῖς ὀφθαλ-* 25 *μοῖς ὁρῶμεν τὰ συμβαίνοντα, οὐ τῇ αὐτῇ δὲ διανοίᾳ καὶ γνώμῃ. Οἱ τοίνυν ἐπὶ τῶν ἄλλων ἁπάντων διεστηκότες αὐτῶν, ἐν ταῖς περὶ τοῦ θανάτου συμπέσωμεν ψήφοις.*

γ'. Ἐννόησον πρὸς τίνα ἀπῆλθε, καὶ λαβὲ παραμυθίαν· ἔνθα Παῦλός ἐστιν, ἔνθα Πέτρος, ἔνθα τῶν ἁγίων ὁ χορὸς ἅπας· ἐννόη- 30 *σον πῶς ἀναστήσεται, μεθ' ὅσης δόξης καὶ λαμπρότητος· ἐννόησον ὅτι πενθῶν καὶ ὀδυρόμενος οὔτε τὸ γεγενημένον δυνήσῃ διορθώσασθαι τοῖς ὀδυρμοῖς, καὶ σαυτὸν καταβλάψεις τὰ ἔσχατα· ἐννόησον τίνας μιμῇ τοῦτο ποιῶν, καὶ φεῦγε τὴν κοινωνίαν τῆς ἁμαρ-*

ντίδες βιωτικές· ὅταν λοιπὸν δῆς κάποιον ἀπὸ τοὺς δικούς σου νὰ φεύγῃ ἀπὸ ἐδῶ, μὴν ἀγανακτῆς, ἀλλὰ συγκινήσου, γύρισε στὸν ἑαυτό σου, ἐξέτασε τὴ συνείδησί σου, σκέψου ὅτι κι' ἐσένα μετὰ ἀπὸ λίγο τὸ ἴδιο τέλος σὲ περιμένει. Γίνε φρονιμότερος καὶ νοιῶσε φόβο ἀπὸ τὸν θάνατο τοῦ ἄλλου, καὶ σταμάτησε ὅλη τὴν ἀδιαφορία, ἀναλογίσου τὶς πράξεις σου, διώρθωσε τὰ λάθη ποὺ ἔκανες, κάνε ἄριστη μεταβολή. Ὡς πρὸς αὐτὸ διαφέρουμε ἀπὸ τοὺς ἀπίστους, ὅτι μὲ ἄλλον τρόπο κρίνομε τὰ πράγματα ἐμεῖς. Βλέπει τὸν οὐρανὸ ὁ ἄπιστος καὶ τὸν προσκυνεῖ, ἐπειδὴ νομίζει ὅτι εἶναι θεός· βλέπει τὴ γῆ καὶ τὴν λατρεύει καὶ θαυμάζει τὰ ὑλικὰ πράγματα.

Ἐμεῖς ὅμως δὲν κάνουμε τὸ ἴδιο· ἀλλὰ βλέπομε τὸν οὐρανὸ καὶ θαυμάζομε αὐτὸν ποὺ τὸν ἔχει κάνει· ἐπειδὴ ἔχομε πιστέψει ὅτι εἶναι ἔργο τοῦ Θεοῦ καὶ ὄχι θεός. Βλέπω ὅλη τὴν κτίσι καὶ χειραγωγοῦμαι ἀπὸ αὐτὴν πρὸς τὸν δημιουργό. Βλέπει τὸν πλοῦτο ἐκεῖνος καὶ θαυμάζει καὶ ἐκπλήσσεται· βλέπω τὸν πλοῦτο ἐγὼ καὶ τὸν περιφρονῶ. Βλέπει τὴ φτώχεια ἐκεῖνος καὶ ὀδύρεται· βλέπω ἐγὼ τὴ φτώχεια καὶ ἀγάλλομαι. Διαφορετικὰ βλέπω τὰ πράγματα ἐγώ, καὶ διαφορετικὰ τὰ βλέπει ἐκεῖνος. Τὸ ἴδιο κάνουμε καὶ στὸν θάνατο· βλέπει τὸν νεκρὸ ἐκεῖνος, καὶ τὸν θεωρεῖ νεκρό· βλέπω τὸν νεκρὸ ἐγώ, καὶ βλέπω ὕπνο ἀντὶ θανάτου. Καὶ ὅπως στὴν περίπτωσι τῶν γραμμάτων, μὲ τὰ ἴδια μάτια τὰ βλέπουμε ὅλοι, καὶ αὐτοὶ ποὺ τὰ γνωρίζουν καὶ ἐκεῖνοι ποὺ τὰ ἀγνοοῦν, ὄχι ὅμως μὲ τὴν ἴδια σκέψι, ἀλλὰ αὐτοὶ ποὺ δὲν ξέρουν γράμματα, ἁπλῶς πιστεύουν ὅτι ὑπάρχουν αὐτὰ ποὺ βλέπουν, ἐνῶ ἐκεῖνοι ποὺ τὰ γνωρίζουν καλά, μὲ πολλὴ τέχνη συλλέγουν τὴ σκέψι ποὺ ὑπάρχει σ' αὐτά· ἔτσι λοιπὸν καὶ στὴν περίπτωσι τῶν πραγμάτων, μὲ τὰ ἴδια μάτια βλέπουμε αὐτὰ ποὺ συμβαίνουν, ὄχι ὅμως μὲ τὴν ἴδια σκέψι καὶ γνώμη. Ἐνῶ λοιπὸν διαφέρουμε ὡς πρὸς ὅλα τὰ ἄλλα ἀπὸ αὐτούς, θὰ συμφωνήσουμε στὶς ἀπόψεις τους γιὰ τὸν θάνατο;

3. Σκέψου γιὰ ποιόν τόπο ἔφυγε καὶ παρηγορήσου· ἐκεῖ ποὺ εἶναι ὁ Παῦλος, ἐκεῖ ποὺ εἶναι ὁ Πέτρος, ἐκεῖ ποὺ εἶναι ὁ χορὸς ὅλων τῶν ἁγίων· σκέψου πῶς θ' ἀναστηθῇ, μὲ πόση δόξα καὶ λαμπρότητα· σκέψου ὅτι μὲ τὸ νὰ πενθῇς καὶ νὰ ὀδύρεσαι, οὔτε αὐτὸ ποὺ ἔχει γίνει θὰ μπορέσῃς νὰ διορθώσῃς μὲ τοὺς ὀδυρμούς, ἀλλὰ καὶ τὸν ἑαυτό σου θὰ βλάψῃς πάρα πολύ· σκέψου ποιούς μιμῆσαι ὅταν τὸ κάνῃς αὐτὸ καὶ ἀπόφευγε τὴ συμμετοχὴ στὴν ἁμαρτία. Ποιούς

τίας. Τίνας οὖν μιμῇ καὶ ζηλοῖς; Τοὺς ἀπίστους, τοὺς οὐκ ἔχοντας ἐλπίδα, καθάπερ καὶ ὁ Παῦλος εἶπεν· «ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Καὶ πρόσεχε τῇ τοῦ ῥήματος ἀκριβείᾳ· οὐ γὰρ εἶπεν, «οἱ μὴ ἔχοντες ἐλπίδα». Ὁ γὰρ ἐλπίδα τῆς ἐκεῖ
5 *κρίσεως μὴ ἔχων, οὐδεμίαν ἐλπίδα ἔχει, οὐδ' ὅτι Θεός ἐστιν οἶδεν, οὐδ' ὅτι προνοεῖται τῶν παρόντων πραγμάτων, οὐδ' ὅτι τὰ πάντα θεία τις ἐφορᾷ δίκη. Ὁ ταῦτα δὲ οὐκ εἰδὼς οὐδὲ νομίζων, θηρίου παντός ἐστιν ἀλογώτερος, καὶ νόμους καὶ δικαστήρια καὶ θεσμοὺς καὶ πάντα ἁπλῶς τὰ ἀγαθὰ ἀπὸ τῆς οἰκείας ἐξορίσας ψυχῆς· ὁ γὰρ*
10 *μὴ προσδοκῶν εὐθύνας ὑφέξειν τῶν πεπραγμένων, πάσης μὲν ἀρετῆς ἀφέξεται, πάσης δὲ κακίας ἀνθέξεται.*

Ταῦτα οὖν ἐννοήσαντες καὶ τὴν ἄνοιαν καὶ τὴν παραπληξίαν τῶν Ἑλλήνων, οἷς κοινωνοῦμεν διὰ τῶν θρήνων, λογισάμενοι, φεύγωμεν τὴν πρὸς αὐτοὺς συμφωνίαν. Διὰ γὰρ τοῦτο καὶ Παῦλος
15 *αὐτῶν ἀνεμνήσθη, ἵνα τὴν ἀτιμίαν ἐννοήσας πρὸς ἣν καταπίπτεις, ἐκ τῆς πρὸς ἐκείνους συμφωνίας ἀνανήψῃς, καὶ πρὸς τὴν οἰκείαν εὐγένειαν ἐπανέλθῃς. Καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ πολλαχοῦ τοῦτο ποιεῖ καὶ συνεχῶς ὁ μακάριος Παῦλος. Ὅταν γὰρ ἀπαγαγεῖν τῶν ἁμαρτημάτων, ἵνα τῇ ποιότητι τοῦ προσώπου δηχθείς, τὴν*
20 *κοινωνίαν φύγῃς. Θεσσαλονικεῦσι γοῦν γράφων, οὕτως ἔλεγεν· «ἕκαστος τὸ ἑαυτοῦ σῶμα κτᾶσθε ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἀτιμίας, καθάπερ ἔθνη τὰ μὴ εἰδότα Θεόν». Καὶ πάλιν· «μὴ καθὼς τὰ λοιπὰ ἔθνη περιπατεῖτε ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν».*

Οὕτω δὴ καὶ ἐνταῦθα· «οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί,
25 *περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Οὐ γὰρ ἡ φύσις τῶν πραγμάτων, ἀλλ' ἡ προαίρεσις ἡ ἡμετέρα λυπεῖν ἡμᾶς εἴωθεν· οὐχ ὁ θάνατος τοῦ ἀπελθόντος, ἀλλ' ἡ ἀσθένεια τῶν θρηνούντων. Τὸν γοῦν πιστὸν οὐδὲν τῶν παρόντων λυπῆσαι δυνήσεται, ἀλλὰ πρὸ τῶν μελλόντων ἀγα-*
30 *θῶν καὶ ἐν τῷ παρόντι διέστηκε τῶν ἀπίστων, οὐ μικρὰ ἀπολαμ-*

6. Α' Θεσ. 4,4-5.
7. Ἐφ. 4,17.

δηλαδὴ μιμῆσαι καὶ ζηλεύεις; Τοὺς ἀπίστους, ποὺ δὲν ἔχουν ἐλπίδα, ὅπως εἶπε καὶ ὁ Παῦλος· «γιὰ νὰ μὴ λυπᾶσθε, ὅπως καὶ οἱ ὑπόλοιποι, ποὺ δὲν ἔχουν ἐλπίδα». Καὶ πρόσεχε τὴν ἀκρίβεια τοῦ λόγου· διότι δὲν εἶπε, 'αὐτοὶ ποὺ δεν ἔχουν ἐλπίδα ἀναστάσεως', ἀλλὰ μόνο, «αὐτοὶ ποὺ δὲν ἔχουν ἐλπίδα». Διότι, αὐτὸς ποὺ δὲν ἐλπίζει στὴ μέλλουσα κρίσι, δὲν ἔχει καμμιὰ ἐλπίδα, οὔτε γνωρίζει ὅτι ὑπάρχει Θεός, οὔτε ὅτι φροντίζει γιὰ τὰ παρόντα πράγματα, οὔτε ὅτι ὅλα τὰ ἐπιβλέπει κάποια θεία δίκη. Καὶ αὐτὸς ποὺ δὲν τὰ γνωρίζει αὐτά, οὔτε τὰ πιστεύει, εἶναι πιὸ ἀνόητος ἀπὸ κάθε θηρίο, καὶ νόμους καὶ δικαστήρια καὶ θεσμοὺς καὶ ὅλα γενικὰ τὰ ἀγαθὰ τὰ ἔχει ἀποβάλει ἀπὸ τὴν ψυχή του· διότι αὐτὸς ποὺ δὲν περιμένει ὅτι θὰ τιμωρηθῆ γιὰ ὅ,τι ἔχει κάνει, θ' ἀπομακρυνθῆ ἀπὸ κάθε ἀρετὴ καὶ θὰ προσκολληθῆ σὲ κάθε κακία.

Ἀφοῦ λοιπὸν τὰ κατανοήσαμε αὐτά, καὶ σκεπτόμενοι τὴν ἀνοησία καὶ τὴν παραφροσύνη τῶν ἀπίστων, πρὸς τοὺς ὁποίους μοιάζουμε μὲ τοὺς θρήνους, ἂς ἀποφεύγουμε τὴ συμφωνία μ' αὐτούς. Διότι καὶ ὁ Παῦλος γι' αὐτὸ τοὺς θυμήθηκε, γιὰ νὰ καταλάβης τὴν ἀτιμία στὴν ὁποία πέφτεις, καὶ ἀφοῦ συνέλθης καὶ ἀποφύγης τὴ συμφωνία μαζί τους, νὰ ἐπανέλθης στὴν δική σου εὐγένεια. Καὶ ὄχι μόνο ἐδῶ, ἀλλὰ σὲ πολλὲς περιπτώσεις τὸ κάνει αὐτὸ συνεχῶς ὁ μακάριος Παῦλος. Διότι, ὅταν θέλη νὰ μᾶς ἀπομακρύνη ἀπὸ τὶς ἁμαρτίες μας, μᾶς δείχνει μὲ ποιούς μοιάζουμε ἐξ αἰτίας τῶν ἁμαρτιῶν, ὥστε, ἀφοῦ νοιώσης ντροπὴ ἀπὸ τὴν ποιότητα τοῦ προσώπου, ν' ἀποφύγης τὴν ὁμοιότητα. Γράφοντας λοιπὸν στοὺς Θεσσαλονικεῖς ἔλεγε τὰ ἑξῆς· «καθένας νὰ συγκρατῆ τὸ σῶμα του καὶ νὰ τὸ διατηρῆ ἁγιασμένο καὶ τιμημένο, καὶ νὰ μὴν εἶσθε αἰχμάλωτοι τοῦ πάθους τῆς ἀτιμίας, ὅπως ἀκριβῶς οἱ ἐθνικοί, ποὺ δὲν γνωρίζουν τὸν Θεό»[6]. Καὶ πάλι· «νὰ μὴ ζῆτε ὅπως καὶ οἱ εἰδωλολάτρες, ποὺ συμπεριφέρονται σύμφωνα με τὶς μάταιες ἰδέες τοῦ νοῦ τους»[7].

Ἔτσι λοιπὸν καὶ ἐδῶ· «δὲν θέλω νὰ ἔχετε ἄγνοια, ἀδελφοί μας, γιὰ ἐκείνους ποὺ κοιμήθηκαν, γιὰ νὰ μὴ λυπᾶσθε, ὅπως καὶ οἱ ὑπόλοιποι ποὺ δὲν ἔχουν ἐλπίδα». Διότι ὄχι ἡ φύσις τῶν πραγμάτων, ἀλλ' ἡ προαίρεσίς μας μᾶς κάνει νὰ λυπώμαστε· ὄχι ὁ θάνατος ἐκείνου ποὺ ἔφυγε, ἀλλ' ἡ ἀδυναμία ἐκείνων ποὺ θρηνοῦν. Τὸν πιστὸ λοιπὸν τίποτε ἀπὸ τὰ παρόντα δὲν μπορεῖ νὰ τὸν λυπήση, ἀλλὰ μπροστὰ στὰ μελλοντικὰ ἀγαθὰ καὶ σ' αὐτὴν τὴ ζωὴ διαφέρει ἀπὸ

βάνων ἐκ τῆς κατὰ Χριστὸν φιλοσοφίας ἀγαθά, καὶ μεγίστην ἐκ τούτου καρπούμενος εὐθυμίαν καὶ διηνεκῆ χαράν. Διὸ καὶ ὁ Παῦλός φησι· «Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε». Ὥστε καὶ πρὸ τῆς ἀναστάσεως οὐ μικρὰν ταύτην ἐλάβομεν ἀμοιβήν, τῷ
5 *μὴ καταπίπτειν ἐπὶ μηδενὶ τῶν συμπιπτόντων δεινῶν, ἀλλὰ τῇ τῶν μελλόντων ἐλπίδι παραμυθίας ἀπολαύειν πολλῆς. Ὥσπερ οὖν ἑκατέρωθεν ἡμεῖς κερδαίνομεν, οὕτως ὁ ἄπιστος ἑκατέρωθεν καταβλάπτεται, καὶ τῷ κολάζεσθαι ὕστερον διὰ τὴν τῆς ἀναστάσεως ἀπιστίαν, καὶ τῷ καταπίπτειν ἐπὶ τοῖς παροῦσι πράγμασι, διὰ τὸ*
10 *μηδὲν προσδοκᾶν μετὰ ταῦτα χρηστόν. Οὐ τοίνυν διὰ τὴν ἀνάστασιν μόνον ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ, ἀλλὰ καὶ διὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως, ἣ καὶ τὴν ὀδυνομένην δύναται παραμυθήσεσθαι ψυχήν, καὶ πεῖσαι περὶ τῶν ἀπελθόντων θαρρεῖν, ὡς ἀναστησομένων πάλιν καὶ συνεσομένων ἡμῖν. Εἰ γὰρ ἀλγεῖν χρὴ*
15 *καὶ πενθεῖν, τοὺς ἐν ἁμαρτίαις ζῶντας πενθεῖν δεῖ καὶ ὀδύρεσθαι, οὐ τοὺς ἀπελθόντας μετ' ἀρετῆς.*

Οὕτω καὶ Παῦλος ποιεῖ· Κορινθίοις γὰρ ἐπιστέλλων φησίν· «μήπως ἐλθόντά με πρὸς ὑμᾶς ταπεινώσῃ ὁ Θεός, καὶ πενθήσω πολλούς». Οὐκ εἶπε 'τῶν ἀποθανόντων', ἀλλὰ «τῶν προημαρτη-
20 *κότων», καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν· τούτους δεῖ πενθεῖν. Οὕτω καὶ ἄλλος παραινεῖ λέγων· «κλαῦσον ἐπὶ νεκρῷ, ἐξέλιπε γὰρ φῶς· καὶ ἐπὶ μωρῷ κλαῦσον, ἐξέλιπε γὰρ σύνεσις». Ὀλίγον κλαῦσον ἐπὶ νεκρῷ, ὅτι ἀναπέπαυται, τοῦ δὲ μωροῦ ὑπὲρ τὸν θάνατον ἡ ζωὴ πονηρά. Εἰ δὲ ὁ συνέ-*
25 *σεως ἀπεστερημένος διαπαντὸς ἄξιος ἂν εἴη θρηνεῖσθαι, πολλῷ μᾶλλον ὁ δικαιοσύνης ἔρημος καὶ τῆς κατὰ Θεὸν ἐλπίδος ἐκπεπτωκώς.*

Τούτους οὖν πενθῶμεν ἡμεῖς· τοῦτο μὲν γὰρ ἔχει κέρδος τὸ πένθος. Πολλάκις γοῦν τοὺς τοιούτους θρηνοῦντες διωρθωσάμεθα.
30 *Τὸ δὲ ἐπὶ τοῖς ἀπελθοῦσιν, ἀνόητον ὁμοῦ καὶ βλαβερόν. Μὴ τοίνυν ἀντιστρέψωμεν τὴν τάξιν, ἀλλ' ἁμαρτίαν θρηνῶμεν μόνον· τὰ δὲ ἄλλα πάντα, κἂν πενία, κἂν νόσος, κἂν θάνατος ἄωρος, κἂν ἐπήρεια, κἂν συκοφαντία, κἂν ὁτιοῦν προσπίπτῃ τῶν ἀνθρωπίνων κα-*

8. Φιλιπ. 4,4.
9. Β' Κορ. 12,21.
10. Ἐκκλ. 22,10.

τοὺς ἀπίστους, ἀπολαμβάνοντας ὄχι μικρὰ ἀγαθὰ ἀπὸ τὴν πίστι του στὸν Χριστὸ καὶ καρπούμενος πολὺ μεγάλη εὐφροσύνη καὶ παντοτινὴ χαρὰ ἀπὸ τὴν πίστι του αὐτή. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλι θὰ πῶ, χαίρετε»[8]. Ὥστε καὶ πρὶν ἀπὸ τὴν ἀνάστασι δὲν εἶναι μικρὴ αὐτὴ ἡ ἀμοιβὴ ποὺ ἐλάβαμε, τὸ νὰ μὴν μᾶς καταβάλη κανένα κακὸ ἀπὸ ὅσα μᾶς βροῦν, ἀλλὰ μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν ν' ἀπολαμβάνουμε μεγάλη παρηγοριά. Ὅπως λοιπὸν ἐμεῖς κερδίζουμε καὶ ἀπὸ τὰ δύο μέρη, ἔτσι ὁ ἄπιστος βλάπτεται καὶ ἀπὸ τὰ δύο, καὶ μὲ τὸ ὅτι τιμωρεῖται ὕστερα γιὰ τὴν ἀπιστία του στὴν ἀνάστασι, καὶ μὲ τὸ ὅτι καταβάλλεται ἀπὸ τὰ παρόντα πράγματα, διότι τίποτε τὸ καλὸ δὲν περιμένει μετὰ ἀπὸ αὐτά. Δὲν πρέπει λοιπὸν μόνο γιὰ τὴν ἀνάστασι νὰ εὐχαριστοῦμε τὸν Θεό, ἀλλὰ καὶ γιὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως, ἡ ὁποία μπορεῖ νὰ παρηγορήση καὶ τὴν πονεμένη ψυχή, καὶ νὰ τὴν πείση νὰ ἔχη θάρρος γι' αὐτοὺς ποὺ ἔφυγαν, ὅτι θὰ ἀναστηθοῦν πάλι καὶ θὰ εἶναι μαζί μας. Διότι, ἐὰν πρέπει νὰ πονοῦμε καὶ νὰ πενθοῦμε, πρέπει νὰ θρηνοῦμε γιὰ ὅσους ζοῦν μέσα στὶς ἁμαρτίες, ὄχι γιὰ τοὺς ἐνάρετους ποὺ ἔφυγαν.

Αὐτὸ κάνει καὶ ὁ Παῦλος· διότι γράφοντας στοὺς Κορινθίους λέγει· «μήπως ὅταν ἔλθω σ' ἐσᾶς, μὲ ταπεινώση ὁ Θεὸς καὶ πενθήσω πολλούς»[9]. Δὲν εἶπε αὐτοὺς ποὺ πέθαναν, ἀλλ' αὐτοὺς ποὺ ἔχουν ἁμαρτήσει πρὶν καὶ δὲν μετενόησαν γιὰ τὴν ἀκολασία καὶ τὴν ἀκαθαρσία ποὺ ἔπραξαν· αὐτοὺς πρέπει νὰ πενθοῦμε. Ἔτσι καὶ ἄλλος συμβουλεύει λέγοντας· «κλάψε τὸν νεκρό, διότι ἔχασε τὸ φῶς· καὶ κλάψε τὸν ἀνόητο, διότι ἔχασε τὴ σύνεσι»[10]. Κλάψε λίγο τὸν νεκρό, διότι ἔχει ἀναπαυθῆ, ἐνῶ τοῦ ἀνοήτου ἡ ζωὴ εἶναι χειρότερη ἀπὸ τὸν θάνατο. Καὶ ἐὰν αὐτὸς ποὺ ἔχει στερηθῆ τὴ σύνεσι ἀξίζει παντοτινὰ νὰ θρηνῆται, πολὺ περισσότερο αὐτὸς ποὺ εἶναι ἔρημος ἀπὸ κάθε ἀρετὴ καὶ ἔχει ἐκπέσει ἀπὸ τὴν ἐλπίδα στὸν Θεό.

Αὐτοὺς λοιπὸν ἐμεῖς ἂς πενθοῦμε· διότι τὸ πένθος αὐτὸ ἔχει κέρδος. Πολλὲς φορὲς δηλαδὴ θρηνώντας τους, τοὺς διωρθώσαμε. Τὸ νὰ θρηνοῦμε ὅμως γι' αὐτοὺς ποὺ ἔφυγαν, εἶναι ἀνόητο καὶ συγχρόνως βλαβερό. Ἂς μὴν ἀντιστρέψουμε λοιπὸν τὴν τάξι, ἀλλὰ ἂς θρηνοῦμε μόνο γιὰ τὴν ἁμαρτία· καὶ ὅλα τὰ ἄλλα, εἴτε αὐτὰ εἶναι φτώχεια, εἴτε ἀρρώστια, εἴτε πρόωρος θάνατος, εἴτε προσβολή, εἴτε συκοφαντία, εἴτε ὁ,τιδήποτε ἄλλο ἀνθρώπινο κακὸ συμβαίνει,

κῶν, πάντα γενναίως φέρωμεν. Ὑπόθεσις γὰρ ἡμῖν τὰ δεινὰ ταῦτα στεφάνων εἰσὶ πλειόνων, ἐὰν νήφωμεν.

δ'. Καὶ πῶς ἔστιν ἄνθρωπον ὄντα, φησίν, μὴ ἀλγεῖν; Τοὐναντίον μὲν οὖν λέγω· πῶς ἔστιν ἄνθρωπον ὄντα ἀλγεῖν, λόγῳ τιμηθέντα 5 καὶ λογισμῷ καὶ ταῖς περὶ τῶν μελλόντων ἐλπίσι; Καὶ τίς ἐστιν, ὃς οὐχ ἑάλω τῷ πάθει τούτῳ; φησί. Πολλοὶ καὶ πολλαχοῦ, καὶ ἐφ' ἡμῶν, καὶ ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων. Ὁ γοῦν Ἰώβ, ὁλοκλήρου τοῦ χοροῦ τῶν παίδων ἀπελθόντος, ἄκουσον τί φησιν· «ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω 10 καὶ ἐγένετο». Θαυμαστὰ μὲν οὖν ταῦτα καὶ ἁπλῶς ἀκουόμενα· ἂν δὲ καὶ μετ' ἀκριβείας ἐξετάσῃς αὐτά, τότε μειζόνως ὄψει τὸ θαῦμα. Ἐννόησον γάρ, ὅτι οὐχὶ τοὺς ἡμίσεις ἔλαβεν ὁ διάβολος, καὶ τοὺς ἡμίσεις ἀφῆκεν, οὐδὲ τοὺς πλείονας ἔλαβε, καὶ τοὺς ἐλάττους ἀφῆκεν· ἀλλὰ ὁλόκληρον ἐτρύγησε τὸν καρπόν, καὶ τὸ δένδρον οὐ κα-15 τέβαλε· πᾶσαν ἐπήγαγε τὴν θάλατταν μετὰ τῶν κυμάτων, καὶ τὸ σκάφος οὐ κατεπόντισεν· ὅλην τὴν δύναμιν ἐκένωσε, καὶ τὸν πύργον οὐκ ἔσεισε. Ἀλλὰ εἱστήκει πάντοθεν βαλλόμενος, καὶ ἀκλινὴς μένων, καὶ νιφάδες ἐφέροντο βελῶν, καὶ οὐκ ἐπλήττετο· μᾶλλον δὲ ἐπέμποντο μέν, οὐκ ἐτίτρωσκον δέ.

20 Ἐννόησον ὅσον ἐστί, τοσούτους παῖδας ἰδεῖν ἀπολωλότας. Τί γὰρ οὐκ ἦν ἱκανὸν δάκνειν; τὸ πάντας ἀναρπασθῆναι, τὸ πάντας ἀθρόον καὶ ἐν ἡμέρᾳ μιᾷ, τὸ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει, τὸ πολλὴν ἀρετὴν ἐπιδεδειγμένους, τὸ τρόπῳ τοιούτῳ τιμωρίας καταλῦσαι τὸν βίον, τὸ μετὰ τοσαύτας πληγὰς ἐσχάτην ἐπενεχθῆναι ταύ-25 την, τὸ φιλόστοργον εἶναι τὸν γεγεννηκότα, τὸ ποθεινοὺς εἶναι τοὺς ἀπελθόντας; Ὅταν γὰρ πονηροὺς ἀποβάλῃ τις παῖδας, δάκνεται μὲν τῷ πάθει, πλὴν ἀλλ' οὐ μετὰ πολλῆς τῆς σφοδρότητος· ἡ γὰρ πονηρία τῶν ἀπελθόντων δριμυτέραν οὐκ ἀφίησι γενέσθαι τὴν ὀδύνην· ὅταν δὲ καὶ ἐνάρετοι ὦσι, μόνιμον τὸ τραῦμα γίνεται, ἄλη-30 στος ἡ μνήμη, ἀπαραμύθητον τὸ κακόν, διπλοῦν τὸ κέντρον, τὸ μὲν ἀπὸ τῆς φύσεως, τὸ δὲ ἀπὸ τῆς ἀρετῆς τῶν ἀπελθόντων. Ὅτι δὲ ἦσαν ἐνάρετοι, δῆλον ἐκεῖθεν· πολλὴν αὐτῶν ὁ πατὴρ ἐποιεῖτο τὴν ἐπιμέλειαν, καὶ ἀνιστάμενος θυσίας προσέφερεν ὑπὲρ αὐτῶν, καὶ ὑπὲρ τῶν ἀδήλων ἁμαρτημάτων δεδοικώς, καὶ οὐδὲν αὐτῶν τού-

11. Ἰὼβ 1,21.

ὅλα νὰ τὰ ὑπομένουμε μὲ γενναιότητα. Διότι αὐτὰ τὰ δεινὰ γίνονται ἀφορμὴ περισσότερων στεφάνων, ἐὰν εἴμαστε προσεκτικοί.

4. Καὶ πῶς εἶναι δυνατό, λέγει, νὰ εἶναι κανεὶς ἄνθρωπος καὶ νὰ μὴ πονᾶ; Ἐγὼ ὅμως λέγω τὸ ἀντίθετο· πῶς εἶναι δυνατὸν νὰ εἶναι κανεὶς ἄνθρωπος καὶ νὰ πονᾶ, ἐνῶ τιμήθηκε μὲ λόγο καὶ λογικὴ καὶ μὲ τὶς ἐλπίδες τῶν μελλοντικῶν ἀγαθῶν; Καὶ ποιός εἶναι, λέγει, ποὺ δὲν κυριεύθηκε ἀπὸ τὸ πάθος αὐτό; Πολλοὶ καὶ σὲ πολλὰ μέρη, καὶ ἀπὸ ἐμᾶς τοὺς πιστοὺς καὶ ἀπὸ τοὺς προγόνους μας. Ὁ Ἰὼβ δηλαδή, ὅταν ὅλα τὰ παιδιά του ἔφυγαν, ἄκουσε τί λέγει· «ὁ Κύριος μοῦ τὰ ἔδωσε, ὁ Κύριος τὰ ἀφήρεσε· ὅπως ἄρεσε στὸν Κύριο, ἔτσι καὶ ἔγινε»[11]. Εἶναι βέβαια θαυμαστὰ αὐτὰ καὶ μόνο νὰ τὰ ἀκούη κανείς· ἂν ὅμως τὰ ἐξετάσης καὶ μὲ ἀκρίβεια, τότε θὰ δῆς καλύτερα τὸ θαῦμα. Σκέψου δηλαδὴ ὅτι δὲν ἔλαβε ὁ διάβολος τὰ μισὰ παιδιὰ καὶ τοῦ ἄφησε τὰ ἄλλα μισά, οὔτε πῆρε τὰ περισσότερα κι' ἄφησε τὰ λιγώτερα· ἀλλὰ τρύγησε ὅλον τὸν καρπό, καὶ τὸ δένδρο δὲν τὸ κατέβαλε· ἔρριξε ἐπάνω του ὅλη τὴ θάλασσα μὲ τὰ κύματά της, καὶ τὸ σκάφος δὲν τὸ καταβύθισε· ἄδειασε ὅλη τὴ δύναμί του, καὶ τὸν πύργο δὲν τὸν ἔσεισε. Ἀλλ' ἔμενε ὄρθιος, ἂν καὶ ἀπὸ παντοῦ δεχόταν χτυπήματα, καὶ ἔμενε ἀσάλευτος, ἂν καὶ νιφάδες βελῶν ἔπεφταν ἐπάνω του χωρὶς νὰ πληγώνεται· ἢ καλύτερα στέλνονταν τὰ βέλη, ἀλλὰ δὲν τὸν τραυμάτιζαν.

Σκέψου πόσο βαρὺ εἶναι νὰ δῆ κανεὶς τόσα παιδιά του νὰ ἔχουν χαθῆ. Τί δηλαδὴ ἦταν δυνατὸ νὰ μὴ τὸν πληγώση; Τὸ ὅτι ἁρπάχθηκαν ὅλα τὰ παιδιά του, τὸ ὅτι ἁρπάχθηκαν ὅλα μαζὶ καὶ σὲ μία ἡμέρα, τὸ ὅτι ἦταν στὸ ἄνθος τῆς ἡλικίας τους, τὸ ὅτι εἶχαν δείξει μεγάλη ἀρετή, τὸ ὅτι μὲ τέτοιον τρόπο τιμωρίας τελείωσαν τὴ ζωή τους, τὸ ὅτι μετὰ τὶς τόσες πληγές, εἶχε πέσει αὐτὴ ἡ πιὸ μεγάλη ἐπάνω του, τὸ ὅτι ἦταν φιλόστοργος ὁ πατέρας, τὸ ὅτι ἦταν πάρα πολὺ ἀγαπητὰ αὐτὰ ποὺ ἔφυγαν; Διότι, ὅταν κάποιος χάση παιδιὰ κακά, πληγώνεται βέβαια ἀπὸ τὴ συμφορά, ἀλλ' ὅμως ὄχι τόσο βαριά· καθόσον ἡ κακία αὐτῶν ποὺ ἔφυγαν δὲν ἀφήνει τὴν ὀδύνη νὰ γίνη δριμύτερη· ὅταν ὅμως εἶναι καὶ ἐνάρετα, τὸ τραῦμα γίνεται μόνιμο, ἀξέχαστη ἡ μνήμη, ἀπαρηγόρητο τὸ κακό, διπλὸ τὸ κεντρί, τὸ ἕνα ἀπὸ τὴ φύσι, καὶ τὸ ἄλλο ἀπὸ τὴν ἀρετὴ αὐτῶν ποὺ ἔφυγαν. Καὶ ὅτι ἦταν ἐνάρετα φαίνεται ἀπ' αὐτό· ὁ πατέρας τους τὰ φρόντιζε πολὺ καὶ κάθε πρωὶ πρόσφερνε θυσίες γι' αὐτά, φοβούμενος γιὰ τὶς

του προτιμότερον ἦν. Τοῦτο δὲ οὐ τῶν παίδων τὴν ἀρετην δείκνυσι μόνον, ἀλλὰ καὶ τὴν τοῦ πατρὸς φιλοστοργίαν. Ὅταν οὖν καὶ πατὴρ ἦν, καὶ οὕτω φιλόστοργος, μὴ τὸν ἀπὸ τῆς φύσεως πόθον ἐνδεικνύμενος μόνον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς εὐλαβείας, ἀλλὰ καὶ οἱ
5 *ἀπελθόντες οὕτως ἐνάρετοι, τριπλῆ γίνεται τῆς ἀθυμίας ἡ πυρά.*

Πάλιν, ὅταν κατὰ μέρος ἀναρπάζωνται, ἔχει τινὰ παραμυθίαν τὸ πάθος· οἱ γὰρ ἐπιλειπόμενοι τὴν ἐπὶ τοῖς ἀπελθοῦσι συσκιάζουσιν ἀθυμίαν· ὅταν δὲ ὁλόκληρος ὁ χορὸς ἀπέλθῃ, πρὸς τίνα δυνήσεται ἰδεῖν ὁ πολύπαις ἀθρόον ἄπαις γενόμενος; Μετὰ τούτων πά-
10 *λιν ἔστι καὶ πέμπτην εἰπεῖν πληγήν. Ποίαν δὲ ταύτην; Τὸ ἀθρόον αὐτοὺς ἀναρπασθῆναι πάντας. Εἰ γὰρ ἐν τρισὶν ἢ πέντε ἡμέραις ἀπελθόντων τινῶν, αἱ γυναῖκες καὶ οἱ προσήκοντες ἅπαντες τοῦτο μάλιστα πάντων ὀλοφύρονται, ὅτι ταχέως καὶ ἐξαίφνης ἀνηρπάγη τῆς ἐκείνων ὄψεως ὁ τετελευτηκώς, πολλῷ μᾶλλον οὗτος ἂν*
15 *ἤλγησεν οὐκ ἐν ἡμέραις τρισὶ καὶ δυσὶ καὶ μιᾷ, ἀλλ' ἐν ὥρᾳ μιᾷ πάντας οὕτως ἀφαιρεθείς. Τὸ μὲν γὰρ μελετηθὲν τῷ χρόνῳ δεινόν, κἂν σφόδρα ἀφόρητον ᾖ, τῇ προσδοκίᾳ κοῦφον ἂν γένοιτο ῥᾳδίως· τὸ δὲ παρ' ἐλπίδα συμβὰν καὶ ἐξαίφνης ἀφόρητον γίνεται. Ὅταν οὖν τι καθ' ἑαυτὸ χαλεπὸν ᾖ καὶ τὴν ἐκ τοῦ παρ' ἐλπίδα συμβῆναι*
20 *λαμβάνῃ προσθήκην, ἐννόησον πῶς ἀφόρητον γίνεται καὶ πάντα ὑπερβαίνει λόγον.*

Βούλει καὶ ἕκτην ἀκοῦσαι πληγήν; Ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει πάντας ἀπώλεσεν. Ἴστε δὲ ὅπως οἱ ἄωροι δάκνουσι θάνατοι καὶ ποικίλον ποιοῦσι τὸ πένθος. Οὗτος δὲ οὐκ ἄωρος μόνον ἦν,
25 *ἀλλὰ καὶ βίαιος, ὡς εἶναι καὶ ταύτην ἑβδόμην πληγήν· οὐ γὰρ ἐπὶ κλίνης εἶδεν αὐτοὺς ἀποπνέοντας καὶ ψυχορραγοῦντας, ἀλλὰ τῇ οἰκίᾳ καταχωσθέντας ἅπαντας. Ἐννόησον τοίνυν, τίς ἦν ἀνορύττων ἐκεῖνο τὸ χῶμα, καὶ νῦν μὲν λίθον, νῦν δὲ μέλος ἀνέλκων παιδίου, καὶ χεῖρα ὁρῶν ἔτι φιάλην κατέχουσαν, καὶ δεξιὰν ἑτέραν ἐπι-*
30 *κειμένην τῷ πίνακι, καὶ αὐτὸν τοῦ σώματος διεφθαρμένον τὸν τύπον, ῥινὸς συντριβείσης, κεφαλῆς διαθλασθείσης, ὀφθαλμῶν ἀφανισθέντων, ἐγκεφάλου διεσπαρμένου, πάσης ἁπλῶς τῆς μορφῆς διεφθαρμένης, καὶ τῆς τῶν τραυμάτων ποικιλίας οὐκ ἀφιείσης τὸν*

ἁμαρτίες ποὺ γίνονται κρυφά, καὶ τίποτε δὲν τοῦ ἦταν πιὸ ἀγαπητό. Αὐτὸ βέβαια δείχνει ὄχι μόνο τὴν ἀρετὴ τῶν παιδιῶν, ἀλλὰ καὶ τὴ φιλοστοργία τοῦ πατέρα. Ὅταν λοιπὸν καὶ πατέρας ἦταν καὶ τόσο φιλόστοργος, ποὺ δὲν ἔδειχνε μόνο τὴν φυσικὴ ἀγάπη, ἀλλὰ καὶ τὴν ἀγάπη ποὺ προέρχεται ἀπὸ τὴν εὐλάβεια, καὶ ἐκεῖνοι ποὺ ἔφυγαν ἦταν τόσο ἐνάρετοι, ἡ φωτιὰ τῆς λύπης γίνεται τριπλῆ.

Πάλι, ὅταν σταδιακὰ ἁρπάζωνται, ἔχει κάποια παρηγοριὰ τὸ πάθος· διότι αὐτοὶ ποὺ μένουν πίσω, δροσίζουν τὴ λύπη γι' αὐτοὺς ποὺ ἔφυγαν· ὅταν ὅμως φύγη ὅλος ὁ χορὸς μαζί, σὲ ποιόν μπορεῖ νὰ προσβλέψη ὁ πολύτεκνος, ποὺ ἔγινε ξαφνικὰ ἄτεκνος; Ἀλλὰ μαζὶ μ' αὐτὲς μπορεῖ νὰ πῆ κανεὶς καὶ πέμπτη πληγή. Ποιά εἶναι αὐτή; Τὸ ὅτι ὅλα μονομιᾶς ἁρπάχθηκαν. Διότι ἐάν, φεύγοντας μερικοὶ μέσα σὲ τρεῖς ἢ πέντε ἡμέρες, οἱ γυναῖκες καὶ ὅλοι οἱ συγγενεῖς γι' αὐτὸ πιὸ πολὺ ἀπὸ ὅλα θρηνοῦν, ὅτι γρήγορα καὶ ξαφνικὰ ἁρπάχθηκε ἀπὸ τὰ μάτια τους αὐτὸς ποὺ πέθανε, πολὺ περισσότερο θὰ πονοῦσε αὐτὸς ποὺ ὄχι σὲ τρεῖς ἡμέρες καὶ δύο καὶ μία, ἀλλὰ μέσα σὲ μία ὥρα τὰ ἔχασε ὅλα. Διότι τὸ κακὸ ποὺ μελέτησε κάποιος ἀπὸ καιρό, ἔστω κι' ἂν εἶναι ὑπερβολικὰ ἀφόρητο, μὲ τὴν προσμονή του θὰ γινόταν εὔκολα ἐλαφρύ. Αὐτὸ ὅμως ποὺ παρ' ἐλπίδα συμβαίνει καὶ ξαφνικά, γίνεται ἀφόρητο. Ὅταν λοιπὸν κάτι ἀπὸ μόνο του εἶναι βαρύ, γίνεται βαρύτερο ὅταν προστεθῆ σ' αὐτὸ καὶ τὸ ἀνέλπιστο. Σκέψου πῶς γίνεται ἀφόρητο καὶ ξεπερνᾶ κάθε λογική.

Θέλεις ν' ἀκούσης καὶ ἕκτη πληγή; Ὅλα τὰ ἔχασε πάνω στὸ ἄνθος τῆς ἡλικίας τους. Καὶ γνωρίζετε πόσο πληγώνουν οἱ πρόωροι θάνατοι καὶ πόσο διαφορετικὸ κάνουν τὸ πένθος. Καὶ αὐτὸς ὁ θάνατος δὲν ἦταν μόνο πρόωρος, ἀλλὰ καὶ βίαιος, ποὺ εἶναι καὶ αὐτὸ σὰν ἕβδομη πληγή· διότι δὲν τὰ εἶδε νὰ ἐκπνέουν καὶ νὰ ψυχορραγοῦν ἐπάνω στὸ κρεββάτι, ἀλλὰ νὰ τὰ καταπλακώνη ὅλα τὸ σπίτι. Σκέψου λοιπὸν σὲ ποιὰ κατάσταση βρισκόταν αὐτὸς ποὺ ἔσκαβε ἐκεῖνο τὸ χῶμα καὶ τὴ μιὰ στιγμὴ τραβοῦσε μιὰ πέτρα καὶ τὴν ἄλλη ἀνέσυρε ἕνα μέλος τοῦ παιδιοῦ του, βλέποντας τὸ ἕνα χέρι νὰ κρατᾶ ἀκόμη μιὰ φιάλη καὶ τὸ ἄλλο τὸ δεξὶ χέρι νὰ εἶναι ἁπλωμένο πρὸς τὸ πιάτο, τὸ σχῆμα τοῦ σώματος κατεστραμμένο, συντριμμένη ἡ μύτη, σπασμένο τὸ κεφάλι, βγαλμένα τὰ μάτια, διασκορπισμένος ὁ ἐγκέφαλος, ὅλη γενικὰ ἡ μορφὴ κατεστραμμένη, καὶ ἐξ αἰτίας τοῦ πλήθους τῶν τραυμάτων νὰ μὴ μπορῆ ὁ πατέρας ν' ἀναγνωρίση τὴ

πατέρα τῶν ποθουμένων ὄψεων ἐπιγνῶναι τὸν τύπον.

Συνεχύθητε ταῦτα ἀκούοντες καὶ δακρύετε· ἐννοήσατε τοίνυν, τίς ἦν ἐκεῖνος ταῦτα ὁρῶν. Εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτον χρόνον οὐ δυνάμεθα ἀδακρυτὶ τῆς τραγῳδίας ἐκείνης τὴν ἀκοὴν ἐνεγκεῖν, 5 καὶ ταῦτα ἀλλοτρίας ἀκούοντες συμφοράς, τίς ἦν ὁ ἀδάμας ἐκεῖνος θέᾳ ταῦτα παραλαμβάνων, οὐκ ἐν ἀλλοτρίοις, ἀλλ' ἐν οἰκείοις φιλοσοφῶν κακοῖς; Οὐδὲ γὰρ ἀπεδυσπέτησεν, οὐδὲ τοιοῦτον οὐδὲν εἶπε· 'Τί ποτε τοῦτό ἐστιν; αὕτη μοι τῆς φιλοφροσύνης ἡ ἀμοιβή; διὰ τοῦτο τοῖς ξένοις ἀνέῳξα τὴν οἰκίαν, ἵνα τάφον τῶν παίδων γι- 10 νομένην αὐτὴν ἐπίδω; διὰ τοῦτο πᾶσαν περὶ αὐτοὺς ἀρετὴν ἐπεδειξάμην, ἵνα τοιοῦτον ὑπομείνωσι θάνατον;' Οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἔφερε πάντα γενναίως καὶ μετὰ τοσαύτην ἐπιμέλειαν αὐτῶν ἀφαιρεθείς. Καθάπερ γὰρ ἄριστος ἀνδριαντοποιὸς χρυσοῦς διαπλάττων ἀνδριάντας, μετὰ πολλῆς καλλωπίζει 15 τῆς ἀκριβείας· οὕτω καὶ αὐτὸς τὰς ἐκείνων ἐρρύθμιζε ψυχὰς διαπλάττων, κατακοσμῶν. Καὶ καθάπερ τις γεωργὸς φιλόπονος στελέχη φοινίκων ἢ ἐλαιῶν ἄρδων, τειχίζων, περιφράττων, παντὶ θεραπεύων τρόπῳ διατελεῖ· οὕτω καὶ οὗτος οὐ διελίμπανε, καθάπερ ἐλαίαν τινὰ κατάκαρπον, τὴν ἑκάστου ψυχὴν εἰς πλείονα ἀρετῆς 20 αὔξων ἐπίδοσιν. Ἀλλ' εἶδε στελέχη τῇ τοῦ πονηροῦ πνεύματος προσβολῇ ἀνασπασθέντα καὶ ἐπὶ γῆς ἐκταθέντα καὶ τὸν ἐλεεινὸν τῆς τελευτῆς ὑπομείναντα τρόπον, καὶ οὐδὲν βλάσφημον ἐφθέγξατο, ἀλλὰ καὶ εὐχαρίστησε, καιρίαν δοὺς τῷ διαβόλῳ τὴν πληγήν.

ε'. Εἰ δὲ λέγοις, ὅτι 'πολλοὺς εἶχεν οὗτος υἱούς, ἄλλος δὲ πολλά- 25 κις ἕνα μονογενῆ ἔχων ἀπώλεσε, καὶ οὐκ ἴσον τὸ πένθος', καλῶς λέγεις, κἀγὼ σοί φημι ὅτι οὐκ ἴσον τὸ πένθος, ἀλλὰ πολλῷ μεῖζον τὸ τοῦ Ἰώβ. Τί γὰρ αὐτῷ τῆς πολυπαιδίας ὄφελος; Τρανοτέραν αὐτῷ τὴν συμφορὰν ἐποίησε καὶ πικροτέραν τὴν ὀδύνην τὸ ἐν πλείοσι σώμασι τὸ τραῦμα δέξασθαι. Εἰ δὲ βούλει καὶ ἕτερον ἰδεῖν 30 ἅγιον μονογενῆ παῖδα ἔχοντα, καὶ τὴν αὐτὴν ἢ καὶ πλείονα ἀνδρείαν ἐπιδειξάμενον, ἀναμνήσθητι τοῦ πατριάρχου Ἀβραάμ, ὃς οὐκ εἶδε τὸν Ἰσαὰκ ἀποθανόντα, ἀλλ', ὃ πολλῷ πικρότερον ἦν καὶ ὀδυνηρότερον, αὐτὸς αὐτὸν κατασφάξαι ἐπετάττετο, καὶ οὐκ ἀντεῖ-

μορφὴ τῶν ἀγαπημένων του προσώπων.

Συγκινηθήκατε ἀκούγοντάς τα καὶ δακρύζετε; Σκεφθῆτε λοιπόν, ποιός ἦταν ἐκεῖνος ποὺ τὰ ἔβλεπε αὐτά. Ἐὰν ἐμεῖς δηλαδὴ μετὰ ἀπὸ τόσο χρόνο δὲν μποροῦμε χωρὶς δάκρυα ν' ἀντέξουμε τὴν διήγησι ἐκείνης τῆς τραγωδίας, καὶ αὐτὰ ἂν καὶ εἶναι ξένη ἡ συμφορὰ ποὺ ἀκοῦμε, ποιό ἦταν τὸ διαμάντι ἐκεῖνο, ποὺ τὰ ἔβλεπε αὐτὰ μπροστὰ στὰ μάτια του, καὶ ἀντιμετώπιζε μὲ πίστι καὶ σύνεσι ὄχι ξένες, ἀλλὰ τὶς δικές του συμφορές; Διότι οὔτε ἀπελπίσθηκε, οὔτε εἶπε κάτι τέτοιο· 'Τί λοιπὸν σημαίνει αὐτό; Αὐτὴ εἶναι ἡ ἀμοιβή μου γιὰ τὴν ἀγάπη ποὺ ἔδειξα στοὺς ἀνθρώπους; Γι' αὐτὸ εἶχα ἀνοιχτὸ τὸ σπίτι μου στοὺς ξένους, γιὰ νὰ τὸ δῶ νὰ γίνεται τάφος τῶν παιδιῶν μου; Γι' αὐτὸ ἔδειξα κάθε ἀρετὴ γι' αὐτούς, γιὰ νὰ ὑποστοῦν τέτοιο θάνατο;' Τίποτε ἀπὸ αὐτὰ δὲν εἶπε, τίποτε δὲν σκέφθηκε, ἀλλὰ τὰ ὑπέμεινε ὅλα γενναῖα, ἂν καὶ στερήθηκε τὰ παιδιά του μετὰ ἀπὸ τόση φροντίδα. Καὶ ὅπως ἕνας ἄριστος ἀνδριαντοποιὸς ποὺ κατασκευάζει χρυσοῦς ἀνδριάντες, τοὺς στολίζει μὲ πολλὴ προσοχή, ἔτσι κι' αὐτὸς ρύθμιζε τὶς ψυχές τους, διαπλάθοντας καὶ στολίζοντάς τες. Καὶ ὅπως ἀκριβῶς ἕνας φιλόπονος γεωργὸς ποτίζει τὰ φυτὰ τῶν φοινίκων ἢ τῶν ἐλαιῶν, τὰ περιβάλλει μὲ τεῖχος, τὰ περιφράσσει καὶ τὰ φροντίζει μὲ κάθε τρόπο, ἔτσι κι' αὐτὸς δὲν ἔπαυε νὰ φροντίζη τοῦ καθενὸς τὴν ψυχή, σὰν νὰ ἦταν κάποια ἐληὰ καρποφόρα, γιὰ νὰ τῆς ἐπαυξήση τὴν ἀρετή. Ἀλλ' εἶδε τὰ φυτά του ξερριζωμένα ἀπὸ τὴν ἐπίθεσι τοῦ πονηροῦ πνεύματος καὶ ξαπλωμένα ἐπάνω στὴ γῆ, καὶ ὑπέμεινε τὸν ἄθλιο τρόπο τοῦ θανάτου τους καὶ δὲν εἶπε κανένα βλάσφημο λόγο κατὰ τοῦ Θεοῦ, ἀλλὰ καὶ τὸν εὐχαρίστησε, δίνοντας ἔτσι θανάσιμο πλῆγμα στὸν διάβολο.

5. Ἐὰν ὅμως λές, ὅτι αὐτὸς εἶχε πολλοὺς γυιούς, ἐνῶ ἄλλος πολλὲς φορὲς ἔχασε τὸν ἕνα μονάκριβο ποὺ εἶχε, σωστὰ τὸ λές, κι' ἐγὼ ὅμως σοῦ λέγω, ὅτι δὲν εἶναι ἴδιο τὸ πένθος, ἀλλὰ πολὺ μεγαλύτερο εἶναι τοῦ Ἰώβ. Διότι ποιό ἦταν τὸ ὄφελος τῆς πολυτεκνίας του; Ἔκανε μεγαλύτερη τὴ συμφορὰ καὶ πικρότερη τὴν ὀδύνη τὸ ὅτι δέχθηκε τὸ τραῦμα σὲ περισσότερα σώματα. Ἀλλὰ ἐὰν θέλης νὰ δῆς καὶ ἄλλον ποὺ εἶχε ἕνα μονάκριβο παιδὶ κι' ἔδειξε τὴν ἴδια ἢ καὶ μεγαλύτερη ἀνδρεία, θυμήσου τὸν πατριάρχη Ἀβραάμ, ὁ ὁποῖος δὲν εἶδε τὸν Ἰσαὰκ πεθαμένο, ἀλλά, αὐτὸ ποὺ ἦταν πολὺ πικρότερο καὶ ὀδυνηρότερο, αὐτὸς ὁ ἴδιος διατάχθηκε νὰ τὸν σφάξη, καὶ δὲν πρό-

πε πρὸς τὸ ἐπίταγμα, οὐδὲ ἐδυσχέρανεν, οὐδὲ ἐφθέγξατό τι τοιοῦτον· διὰ τοῦτό με πατέρα ἐποίησας, ἵνα παιδοκτόνον ἀπεργάσῃ; βέλτιον ἦν μὴ δοῦναι τὴν ἀρχήν, ἢ δόντα, τοιούτῳ τρόπῳ αὐτὸν ἀφελέσθαι. Βούλει λαβεῖν; τίνος ἕνεκεν κἀμὲ κατασφάξαι κελεύεις καὶ τὴν δεξιὰν μιᾶναι τὴν ἐμαυτοῦ; Οὐκ ἀπὸ τούτου μοι τοῦ παιδίου τὴν οἰκουμένην ἐμπλῆσαι τῶν ἀπογόνων ὑπέσχου; πῶς οὖν τοὺς καρποὺς δίδως τὴν ρίζαν ἀναιρῶν; πῶς δὲ ἀπογόνους ἐπαγγέλλῃ τὸν υἱὸν κατασφάττειν κελεύων; τίς ταῦτα εἶδε, τίς ταῦτα ἤκουσεν; Ἠπάτημαι, παρελογίσθην'.

Οὐδὲν τοιοῦτο οὐκ εἶπεν, οὐκ ἐνενόησεν, οὐκ ἀντεῖπε τῷ κελεύσαντι, οὐκ ἀπήτησεν εὐθύνας, ἀλλὰ ἀκούσας, «λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ ἀνάγαγε αὐτὸν ἐφ' ἓν τῶν ὀρέων ὧν ἄν σοι εἴπω», μετὰ τοσαύτης προθυμίας τὸ ἐπίταγμα ἐπλήρωσεν, ὡς καὶ πλείονα τῶν ἐπιταχθέντων ποιῆσαι. Καὶ γὰρ τὸ γύναιον ἔκρυψε, καὶ τοὺς παῖδας ἔλαθε κάτω μένειν ἀφείς, καὶ μόνον τὸ ἱερεῖον λαβὼν ἀνῄει· οὕτως οὐκ ἄκων, ἀλλὰ μετὰ προθυμίας πολλῆς τὸ κελευσθὲν ἔπραττεν. Ἐννόησον τοίνυν ἡλίκον ἦν, μόνον μόνῳ διαλέγεσθαι τῷ παιδί, μηδενὸς παρόντος, ὅτε μᾶλλον τὰ σπλάχνα διαθερμαίνεται καὶ σφοδρότερον τὸ φίλτρον γίνεται, καὶ τοῦτο οὐκ ἐν μιᾷ ἢ δυσίν, ἀλλὰ καὶ ἐν πλείοσιν ἡμέραις.

Τὸ μὲν γὰρ ταχέως ποιῆσαι τὸ ἐπιταχθέν, θαυμαστὸν καὶ μέγα, ἀλλ' οὐχ οὕτω θαυμαστὸν ὡς τὸ διὰ πολλῶν ἡμερῶν βασανιζομένης αὐτοῦ καὶ γυμναζομένης τῆς ψυχῆς μηδὲν παθεῖν πρὸς τὸ παιδίον ἀνθρώπινον. Διὰ γὰρ τοῦτο αὐτὸ καὶ μακρότερα σκάμματα ἐπέθηκεν ὁ Θεός, καὶ τὸ στάδιον ἐξέτεινεν, ἵνα ἀκριβέστερον ἴδῃς τὸν ἀθλητήν. Καὶ γὰρ ἦν ἀθλητὴς ὄντως, οὐκ ἀνθρώπῳ παλαίων, ἀλλ' αὐτῇ τῇ τῆς φύσεως τυραννίδι. Ποῖος λόγος παραστῆσαι δυνήσεται τὴν ἀνδρείαν; Ἀνήγαγε τὸ παιδίον, συνεπόδισε, τοῖς ξύλοις ἐπέθηκε, τὴν μάχαιραν ἥρπασεν, ἐπάγειν τὴν πληγὴν ἔμελλε. Πῶς εἴπω καὶ ποίῳ τρόπῳ, οὐκ ἔχω· μόνος αὐτὸς οἶδεν ὁ ταῦτα ἐργασάμενος· λόγος γὰρ οὐδεὶς παραστῆσαι δυνήσεται, πῶς οὐκ ἐνάρ-

12. Γεν. 22,2.

βαλε ἀντίρρησι στὴν ἐντολή, οὔτε ὠργίσθηκε, οὔτε εἶπε κάτι τέτοιο· 'Γι' αὐτὸ μὲ ἔκανες πατέρα, γιὰ νὰ μὲ κάνης παιδοκτόνο; Ἦταν καλύτερα νὰ μὴν μοῦ τὸν ἔδινες ἀπὸ τὴν ἀρχή, παρά, ἀφοῦ μοῦ τὸν ἔδωσες, νὰ μοῦ τὸν πάρης μὲ τέτοιο τρόπο. Θέλεις νὰ τὸν πάρης; Γιατί μὲ διατάσσεις ἐγὼ νὰ τὸν σκοτώσω καὶ νὰ μολύνω τὸ δεξί μου χέρι; Δὲν μοῦ ὑποσχέθηκες ὅτι ἀπὸ αὐτὸ τὸ παιδὶ θὰ γεμίσης τὴν οἰκουμένη μὲ τοὺς ἀπογόνους μου; Πῶς λοιπὸν θὰ δώσης τοὺς καρποὺς καταστρέφοντας τὴ ρίζα; Καὶ πῶς μοῦ ὑπόσχεσαι ἀπογόνους, ὅταν διατάσσης νὰ σκοτώσω τὸ παιδί μου; Ποιός τὰ εἶδε αὐτά, ποιός τὰ ἄκουσε; Ἔχω ἀπατηθῆ, ἔχασα τὰ λογικά μου'.

Τίποτε τέτοιο δὲν εἶπε, οὔτε σκέφθηκε, δὲν ἀντιμίλησε σ' αὐτὸν ποὺ ἔδωσε τὴ διαταγή, δὲν ζήτησε εὐθύνες, ἀλλὰ ὅταν ἄκουσε, «πάρε τὸ παιδί σου τὸ ἀγαπημένο, αὐτὸ ποὺ ἀγάπησες, τὸν Ἰσαάκ, καὶ ἀνέβασέ τον ἐπάνω σὲ ἕνα ἀπὸ τὰ βουνὰ ποὺ θὰ σοῦ πῶ»[12], μὲ τόση μεγάλη προθυμία ἐξεπλήρωσε τὴ διαταγή, ὥστε νὰ κάνη καὶ περισσότερα ἀπὸ αὐτὰ ποὺ διατάχθηκε. Διότι καὶ ἀπὸ τὴ γυναῖκα του τὸ ἔκρυψε, καὶ τοὺς ὑπηρέτες ξεγέλασε, ἀφήνοντάς τους κάτω, καὶ ἀφοῦ πῆρε μόνο τὸ ζῶο ποὺ προωριζόταν γιὰ τὴ θυσία, ἀνέβηκε ψηλά· ἔτσι ὄχι ἀκούσια, ἀλλὰ μὲ μεγάλη προθυμία ἔκανε αὐτὸ ποὺ διατάχθηκε. Σκέψου λοιπὸν πόσο θαυμαστὸ ἦταν, μόνος αὐτὸς νὰ συνομιλῆ μὲ τὸ παιδί, χωρὶς νὰ εἶναι κανεὶς παρών, ὅταν μάλιστα τὰ σπλάγχνα θερμαίνωνται πιὸ πολύ, καὶ ἡ στοργὴ γίνεται πιὸ ὁρμητική, κι' αὐτὸ ὄχι σὲ μιὰ ἢ δύο, ἀλλὰ σὲ περισσότερες ἡμέρες.

Πράγματι τὸ νὰ ἐκτελοῦσε τὴν ἐντολὴ ἀμέσως, θὰ ἦταν θαυμαστὸ καὶ μεγάλο, ἀλλὰ ὄχι τόσο ἀξιοθαύμαστο, ὅσο τὸ νὰ βασανίζεται καὶ νὰ γυμνάζεται ἡ ψυχή του πολλὲς ἡμέρες, χωρὶς νὰ πάθη τίποτε ἀνθρώπινο ἀπέναντι στὸ παιδί. Διότι γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Θεὸς ἔθεσε μπροστά του μεγαλύτερα σκάμματα καὶ ἔκαμε μεγαλύτερο τὸ στάδιο, γιὰ νὰ δῆς τὸν ἀθλητὴ μὲ πιὸ μεγάλη ἀκρίβεια. Διότι πραγματικὰ ἦταν ἀθλητής, ἀφοῦ πάλαιψε ὄχι μὲ ἄνθρωπο, ἀλλὰ μὲ τὴν ἴδια τὴν τυρρανικὴ ἐξουσία τῆς φύσεως. Ποιός λόγος θὰ μπορέση νὰ παραστήση τὴν ἀνδρεία του; Ἀνέβασε ἐπάνω τὸ παιδί, τοῦ ἔδεσε τὰ χέρια καὶ τὰ πόδια, τὸ ἔβαλε ἐπάνω στὰ ξύλα, ἄρπαξε τὸ μαχαίρι, κι' ἦταν ἕτοιμος νὰ δώση τὸ χτύπημα. Πῶς νὰ τὸ πῶ καὶ μὲ ποιόν τρόπο δὲν ξέρω· αὐτὸς μόνος τὰ γνωρίζει, αὐτὸς ποὺ τὰ ἔκανε αὐτά· διότι κανεὶς λόγος δὲν θὰ μπορέση νὰ παραστήση, πῶς

κησεν ἡ χείρ, πῶς οὐκ ἐλύθη τῶν νεύρων ὁ τόνος, πῶς οὐ συνέχεεν αὐτὸν ἡ ποθουμένη τοῦ παιδίου ὄψις.

῞Αξιον ἐνταῦθα θαυμάσαι καὶ τὸν Ἰσαάκ. ῞Ωσπερ γὰρ ἐκεῖνος τῷ Θεῷ, οὕτω καὶ οὗτος ἐπείθετο τῷ πατρί· καθάπερ ἐκεῖνος, 5 τοῦ Θεοῦ κελεύοντος θῦσαι, οὐκ ἀπήτησεν εὐθύνας· οὕτω καὶ οὗτος, τοῦ πατρὸς δεσμεύοντος καὶ ἀνάγοντος ἐπὶ τὸν βωμόν, οὐκ εἶπε· 'Τίνος ἕνεκεν ταῦτα ποιεῖς;' ἀλλ' ὑπέκειτο τῇ χειρὶ τῇ πατρικῇ. Καὶ ἦν ἰδεῖν πατέρα καὶ ἱερέα γινόμενον τὸν αὐτόν, καὶ θυσίαν χωρὶς αἵματος ἀναφερομένην, ὁλοκαύτωμα χωρὶς πυρός, θα-10 νάτου καὶ ἀναστάσεως τύπον ἐπὶ τοῦ βωμοῦ γινόμενον. Καὶ γὰρ ἔσφαξε τὸν υἱόν, καὶ οὐκ ἔσφαξεν· οὐκ ἔσφαξε χειρί, ἀλλὰ τῇ προθυμίᾳ. Ἐπεὶ καὶ ὁ Θεὸς διὰ τοῦτο ἐκέλευσεν, οὐχ αἵματος χύσιν βουλόμενος ἰδεῖν, ἀλλὰ προαίρεσίν σοι δεῖξαι θέλων, καὶ τὸν γενναῖον ἐκεῖνον ἐν μέσῳ τῆς οἰκουμένης ἀνακηρῦξαι πάσης, καὶ παι-15 δεῦσαι τοὺς μετὰ ταῦτα πάντας, ὅτι καὶ παίδων, καὶ φύσεως, καὶ τῶν ὄντων ἁπάντων, καὶ αὐτῆς τῆς ψυχῆς τοῦ Θεοῦ τὰ προστάγματα προτιμᾶν χρή. Κατήει τοίνυν ζῶντα λαβὼν μάρτυρα τὸν Ἰσαάκ. Τίνα οὖν ἕξομεν συγγνώμην, εἰπέ μοι, ποίαν δὲ ἀπολογίαν, εἰ τὸν γενναῖον ἐκεῖνον μετὰ τοσαύτης εἴδομεν προθυμίας τῷ Θεῷ 20 πειθόμενον, καὶ πάντων αὐτῷ παραχωροῦντα, καὶ ἡμεῖς δυσχεραίνομεν; Μὴ δή μοι τὸ πένθος εἴπῃς, μηδὲ τὸ τῆς συμφορᾶς ἀφόρητον, ἀλλ' ἐκεῖνο σκόπησον, ὅτι καὶ τοῦ πένθους χαλεποῦ ὄντος ἀνώτερος ἦν. Ἱκανὸν ἦν τὸ ἐπιταχθὲν θορυβῆσαι αὐτοῦ τὸν λογισμὸν καὶ εἰς ἀπορίαν αὐτὸν ἐμβαλεῖν καὶ τὴν πίστιν ὑπορύξαι τὴν 25 ἐν τοῖς παρελθοῦσι. Τίς γὰρ τῶν πολλῶν οὐκ ἂν ἐνόμιζεν ἀπάτην εἶναι τὰ εἰρημένα περὶ τοῦ πλήθους τῶν ἐγγόνων, ὧν αὐτῷ ἐπηγγείλατο; Ἀλλ' οὐχ ὁ Ἀβραάμ.

Καὶ τὸν Ἰὼβ δὲ τῆς ἐπὶ τῇ συμφορᾷ φιλοσοφίας οὐχ ἧττον, καὶ ὑπὲρ τούτου μάλιστα αὐτὸν θαυμάζειν χρή, ὅτι μετὰ τοσαύτην 30 ἀρετήν, μετὰ ἐλεημοσύνας καὶ φιλανθρωπίας, μετὰ τὸ μηδὲν μήτε ἑαυτῷ, μήτε τοῖς παισὶ συνειδέναι πονηρόν, τοσοῦτον πένθος ἰδὼν οὕτω καινὸν καὶ παράδοξον καὶ μηδενὶ τῶν τὰ ἔσχατα τετολμηκότων συμβεβηκός, οὐκ ἔπαθε τὰ τῶν πολλῶν, οὐδὲ ἐνόμισεν ἀνόνη-

δὲν ναρκωλθηκε τὸ χέρι, πῶς δὲν παρέλυσαν τὰ νεῦρα, πῶς δὲν τὸν συγκλόνισε ἡ ὄψις τοῦ ἀγαπημένου τοῦ παιδιοῦ.

Ἀξίζει ἐδῶ νὰ θαυμάσουμε καὶ τὸν Ἰσαάκ. Διότι, ὅπως ὁ Ἀβραὰμ ὑπάκουσε στὸν Θεό, ἔτσι κι' αὐτὸς ὑπάκουε στὸν πατέρα του· ὅπως ἐκεῖνος, ὅταν τὸν διέταξε ὁ Θεὸς δὲν ζήτησε τὸν λόγο, ἔτσι κι' αὐτός, ὅταν τὸν ἔδενε ὁ πατέρας του καὶ τὸν ἀνέβαζε στὸν βωμό, δὲν εἶπε· 'γιατί τὰ κάνεις αὐτά;' ἀλλ' ἔσκυψε στὸ χέρι τὸ πατρικό. Καὶ μποροῦσες νὰ δῇς τὸν πατέρα καὶ νὰ γίνεται ἱερεὺς ὁ ἴδιος καὶ θυσία νὰ προσφέρεται χωρὶς αἷμα, ὁλοκαύτωμα χωρὶς φωτιά, νὰ γίνεται ἐπάνω στὸν βωμὸ τύπος τοῦ θανάτου καὶ τῆς ἀναστάσεως. Διότι καὶ ἔσφαξε τὸν υἱό του καὶ δὲν τὸν ἔσφαξε· δὲν τὸν ἔσφαξε μὲ τὸ χέρι, ἀλλὰ μὲ τὴν προθυμία. Ἀφοῦ καὶ ὁ Θεὸς γι' αὐτὸ τὸ διέταξε, ὄχι διότι ἤθελε νὰ δῆ νὰ χύνεται αἷμα, ἀλλ' ἐπειδὴ ἤθελε νὰ σοῦ δείξη τὴ διάθεσι του, νὰ καταστήση γνωστὸ σὲ ὅλη την οἰκουμένη ἐκεῖνον τὸν γενναῖο καὶ νὰ διδάξη σ' ὅλους τοὺς μεταγενέστερους, ὅτι πρέπει νὰ προτιμοῦν τὶς ἐντολὲς τοῦ Θεοῦ καὶ ἀπὸ τὰ παιδιά τους, καὶ ἀπὸ τὴν φύσι, καὶ ἀπὸ ὅλα τὰ ὑπάρχοντά τους, καὶ ἀπὸ τὴν ἴδια τὴ ζωή τους. Κατέβαινε λοιπὸν ἔχοντας ζωντανὸ μάρτυρα τὸν Ἰσαάκ. Ποιά λοιπὸν συγγνώμη θὰ ἔχουμε, πές μου, καὶ ποιά ἀπολογία, ἐάν, ἐνῶ εἴδαμε τὸν γενναῖο ἐκεῖνο μὲ τόση μεγάλη προθυμία νὰ ὑπακούη στὸν Θεὸ καὶ νὰ τοῦ τὰ παραχωρῇ ὅλα, ἐμεῖς δυσανασχετοῦμε; Μὴ μοῦ ἀναφέρης τὸ πένθος οὔτε τὸ ἀφόρητο τῆς συμφορᾶς, ἀλλ' ἐκεῖνο ἐξέτασε, ὅτι καὶ τὸ πένθος, ἂν καὶ ἦταν βαρύ, τὸ ξεπέρασε. Ἦταν ἀρκετὸ νὰ τοῦ ταράξη τὸν λογισμὸ τὸ πρόσταγμα, νὰ τὸν ρίξη σὲ ἀμηχανία, καὶ νὰ τοῦ ὑποσκάψη τὴν πίστι ποὺ εἶχε κατὰ τὸ παρελθόν. Διότι ποιός ἀπὸ τοὺς πολλοὺς δὲν θὰ θεωροῦσε, ὅτι εἶναι ἀπάτη αὐτὰ ποὺ λέχθηκαν, γιὰ τὸ πλῆθος τῶν ἀπογόνων ποὺ τοῦ ὑποσχέθηκε ὁ Θεός; Ἀλλ' ὁ Ἀβραὰμ δὲν τὰ θεώρησε.

Καὶ ὁ Ἰὼβ ἐπίσης ἔδειξε τὴν ἴδια πίστι κατὰ τὴ συμφορά του, καὶ γι' αὐτὸ πρέπει κυρίως νὰ τὸν θαυμάζη κανείς, διότι μετὰ ἀπὸ τόση ἀρετή, μετὰ ἀπὸ τόσες ἐλεημοσύνες καὶ φιλανθρωπίες, μετὰ ἀπὸ τὸ ὅτι οὔτε αὐτοῦ ἡ συνείδησις, οὔτε τῶν παιδιῶν του βαρύνονταν μὲ κάτι πονηρό, ὅταν εἶδε τόσο μεγάλο πένθος, ἔτσι καινούργιο καὶ παράδοξο, καὶ ποὺ δὲν εἶχε συμβῆ σὲ κανέναν ἀπὸ ὅσους εἶχαν τολμήσει τὰ φοβερώτερα κακά, δὲν ἔπαθε αὐτὰ ποὺ παθαίνουν

τον εἶναι τὴν ἀρετήν, οὐδὲ κακῶς βεβουλεῦσθαι τοῖς παρελθοῦσιν. Ὥστε δι' ἀμφότερα αὐτοὺς ταῦτα οὐ θαυμάζειν χρὴ μόνον, ἀλλὰ καὶ ζηλοῦν καὶ μιμεῖσθαι τὴν ἀρετήν. Καὶ μὴ λεγέτω τις, ὅτι ἐκεῖνοι θαυμαστοί τινες ἦσαν. Θαυμαστοὶ μὲν γὰρ ἦσαν καὶ μεγάλοι· 5 ἀλλ' ἡμεῖς τὰ νῦν πλείονα ἐκείνων ἀπαιτούμεθα φιλοσοφίαν καὶ τῶν ἐν τῇ Παλαιᾷ βεβιωκότων ἁπάντων. «Ἐὰν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων», φησίν, «οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν».

Πάντοθεν τοίνυν σωφρονισθέντες, καὶ ταῦτα συλλέξαντες, 10 καὶ τὰ περὶ ἀναστάσεως ἡμῖν εἰρημένα, καὶ τὰ περὶ τῶν ἁγίων τούτων, συνεχῶς ἐπᾴδωμεν ταῖς ψυχαῖς, μὴ μόνον κατὰ τὸν καιρὸν τοῦ πένθους, ἀλλὰ καὶ ἡνίκα ἂν καθαρεύωμεν ὀδύνης. Διὰ γὰρ τοῦτο καὶ ἐγώ, καίτοι μηδενὸς ὄντος ἐν ἀθυμίᾳ, νῦν τούτους ἐκίνησα τοὺς λόγους, ἵν', ὅταν ἐμπέσωμεν εἴς τινα τοιαύτην συμφοράν, με- 15 μνημένοι τῶν εἰρημένων, ἱκανῆς ἀπολαύωμεν παραμυθίας· ἐπεὶ καὶ στρατιῶται, εἰρήνης οὔσης, τὰ τοῦ πολέμου μελετῶσιν, ἵνα τῆς μάχης ἐπιστάσης καὶ τοῦ καιροῦ τὴν ἐμπειρίαν ἀπαιτοῦντος, εὐκαίρως ἐπιδείξωνται τὴν τέχνην, ἣν τῇ εἰρήνῃ κατώρθωσαν.

Καὶ ἡμεῖς τοίνυν καὶ ὅπλα καὶ φάρμακα κατασκευάσωμεν 20 ἑαυτοῖς ἐν τῷ καιρῷ τῆς εἰρήνης, ἵνα, εἴ ποτε πόλεμος ἐπιστῇ παθῶν ἀλόγων ἢ πένθους ἢ ὀδύνης ἢ ἄλλο ὁτουοῦν τοιούτου, καθωπλισμένοι καλῶς καὶ πεφραγμένοι πάντοθεν, τὰς τοῦ Πονηροῦ προσβολὰς μετὰ πολλῆς ἀποκρουσώμεθα τῆς ἐμπειρίας, καὶ λογισμοῖς ὀρθοῖς καὶ ταῖς ἀποφάσεσι τοῦ Θεοῦ καὶ τοῖς ὑποδείγμασι 25 τῶν ἀγαθῶν ἀνδρῶν καὶ παντὶ τρόπῳ πάντοθεν ἑαυτοὺς τειχίσωμεν. Οὕτω γὰρ δυνησόμεθα καὶ τὴν παροῦσαν ζωὴν μετὰ εὐθυμίας διενεγκεῖν καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

13. Ματθ. 5,20.

οἱ πολλοί, οὔτε θεώρησε ἀνώφελη τὴν ἀρετή, οὔτε σκέφθηκε ὅτι οἱ ἀποφάσεις του κατὰ τὸ παρελθὸν ἦταν κακές. Ὥστε καὶ γιὰ τὰ δυὸ αὐτὰ πρέπει αὐτοὺς ὄχι μόνο νὰ τοὺς θαυμάζουμε, ἀλλὰ καὶ νὰ τοὺς ζηλεύουμε καὶ νὰ μιμούμαστε τὴν ἀρετή τους. Κι' ἂς μὴ μοῦ πῆ κανείς, ὅτι ἐκεῖνοι ἦταν κάποιοι θαυμαστοὶ ἄνδρες. Ἦταν θαυμαστοὶ καὶ μεγάλοι, ἀλλ' ἀπὸ ἐμᾶς ποὺ ζοῦμε τώρα περιμένει κανεὶς μεγαλύτερη πίστι, παρὰ ἀπ' ὅλους ἐκείνους ποὺ ἔζησαν τὴν ἐποχὴ τῆς Παλαιᾶς Διαθήκης. Διότι λέγει, «ἐὰν δὲν γίνη περισσότερη ἡ δικαιοσύνη σας ἀπὸ τὴ δικαιοσύνη τῶν Γραμματέων καὶ Φαρισαίων, δὲν θὰ εἰσέλθετε στὴ βασιλεία τῶν οὐρανῶν»[13].

Ἀφοῦ λοιπὸν σωφρονισθοῦμε ἀπὸ παντοῦ καὶ συγκεντρώσουμε καὶ αὐτὰ ποὺ λέχθηκαν σχετικὰ μὲ τὴν ἀνάστασι, καὶ τὰ σχετικὰ μ' αὐτοὺς τοὺς ἁγίους, ἂς τὰ ὑπενθυμίζουμε διαρκῶς στὶς ψυχές μας, ὄχι μόνο κατὰ τὸν καιρὸ τοῦ πένθους, ἀλλὰ κι' ὅταν εἴμαστε ἀπαλλαγμένοι ἀπὸ πόνο. Γι' αὐτὸ ἀκριβῶς κι' ἐγώ, ἂν καὶ κανεὶς ἀπὸ σᾶς δὲν βρίσκεται σὲ κατάστασι ὀλιγοψυχίας, σᾶς μίλησα τώρα γι' αὐτὸ τὸ ζήτημα, ὥστε ὅταν πέσουμε σὲ κάποια τέτοια συμφορά, ἐνθυμούμενοι αὐτὰ ποὺ εἴπαμε, νὰ ἀντλοῦμε ἀρκετὴ παρηγοριά. Ἀφοῦ καὶ οἱ στρατιῶτες, ὅταν ὑπάρχη εἰρήνη, μελετοῦν τὰ πολεμικὰ ζητήματα, ὥστε, ὅταν ἔρθη ἡ ὥρα τῆς μάχης καὶ ὁ καιρὸς ἀπαιτεῖ νὰ δείξουν τὴν ἐμπειρία τους, νὰ δείξουν στὴν κατάλληλη στιγμὴ τὴν τέχνη ποὺ ἔμαθαν κατὰ τὸν καιρὸ τῆς εἰρήνης.

Καὶ ἐμεῖς λοιπὸν ἂς κατασκευάσουμε καὶ ὅπλα καὶ φάρμακα γιὰ τοὺς ἑαυτούς μας κατὰ τὸν καιρὸ τῆς εἰρήνης, ὥστε, ἐὰν κάποτε ἐμφανισθῆ πόλεμος ἀλόγων παθῶν, ἢ πένθους, ἢ ὀδύνης, ἢ ὁποιουδήποτε ἄλλου τέτοιου, ἐξωπλισμένοι καλὰ καὶ περιφραγμένοι ἀπὸ παντοῦ, ν' ἀντικρούσουμε τὶς προσβολὲς τοῦ πονηροῦ μὲ μεγάλη ἐμπειρία, καὶ ἂς περιφρουρήσουμε τοὺς ἑαυτούς μας ἀπὸ παντοῦ μὲ ὀρθοὺς λογισμούς, μὲ τὶς ἀποφάσεις τοῦ Θεοῦ, μὲ τὰ παραδείγματα τῶν γενναίων ἀνδρῶν καὶ μὲ κάθε ἄλλο τρόπο. Διότι ἔτσι θὰ μπορέσουμε νὰ διανύσουμε καὶ τὴν παροῦσα ζωὴ μὲ χαρὰ καὶ νὰ ἐπιτύχουμε τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴν βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις καὶ συγχρόνως καὶ στὸν Πατέρα καὶ τὸ ἅγιο Πνεῦμα, στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΣ ΕΚΤΟΣ

ΕΙΣ ΤΟΝ ΣΕΙΣΜΟΝ ΚΑΙ ΠΟΘΕΝ Η ΔΟΥΛΕΙΑ ΕΓΕΝΕΤΟ

α΄. Εἴδετε Θεοῦ δύναμιν, εἴδετε Θεοῦ φιλανθρωπίαν; δύναμιν, ὅτι ἐτίναξε τὴν οἰκουμένην· φιλανθρωπίαν, ὅτι πίπτουσαν αὐτὴν ἔστησε· μᾶλλον δὲ ἐν ἑκατέρῳ καὶ δύναμιν καὶ φιλανθρωπίαν. Καὶ γὰρ τὸ σεῖσαι δυνάμεως, καὶ τὸ στῆσαι φιλανθρωπίας· ὅτι ἔσεισε 5 τὴν γῆν καὶ ἐστήριξε τὴν οἰκουμένην, ὅτι σαλευομένην καὶ μέλλουσαν αὐτὴν πίπτειν ἤγειρεν. Ἀλλ' ὁ μὲν σεισμὸς παρῆλθεν, ὁ δὲ φόβος μενέτω· ὁ σάλος ἐκεῖνος παρέδραμεν, ἡ δὲ εὐλάβεια μὴ παραδραμέτω· ἐλιτανεύσαμεν τρεῖς ἡμέρας, ἀλλὰ μὴ καταλύσωμεν τὴν σπουδήν. Διὰ γὰρ τοῦτο ὁ σεισμός, διὰ τὴν ρᾳθυμίαν τὴν ἡμετέραν· 10 ἐρραθυμήσαμεν, καὶ ἐκαλέσαμεν τὸν σεισμόν· ἐσπουδάσαμεν καὶ ἀπεκρουσάμεθα τὴ ὀργήν· μὴ πάλιν ρᾳθυμήσωμεν, ἵνα μὴ πάλιν καλέσωμεν τὴ ὀργὴν καὶ τὴν τιμωρίαν. «Οὐ γὰρ βούλεται ὁ Θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν»[1].

Εἴδετε τὸ ἐπίκηρον τοῦ γένους τῶν ἀνθρώπων. Ὅτε ὁ σει-15 σμὸς ἐγένετο, ἐνενόουν ἐν ἑαυτῷ λέγων· 'ποῦ αἱ ἁρπαγαί, ποῦ αἱ πλεονεξίαι, ποῦ αἱ τυραννίδες; ποῦ αἱ ἀπόνοιαι; ποῦ αἱ δυναστεῖαι; ποῦ αἱ καταπονήσεις; ποῦ αἱ λεηλασίαι τῶν πενήτων; ποῦ αἱ ὑπερηφανίαι τῶν πλουτούντων; ποῦ τῶν ἀρχόντων αἱ δυναστεῖαι; ποῦ αἱ ἀπειλαί; ποῦ οἱ φόβοι; Μία καιροῦ ροπὴ καὶ ἀράχνης εὐτελέστε-20 ρον πάντα διεσπᾶτο, πάντα ἐκεῖνα παρελύετο, καὶ κωκυτὸς πόλεως ἦν, καὶ πάντες ἐπὶ τὴν ἐκκλησίαν ἔτρεχον'. Ἐννοήσατε, εἰ ἔδοξε τῷ Θεῷ πάντα κατενέγκαι, τί ἂν ἐπάθομεν. Ταῦτα δὲ λέγω, ἵνα συνεχῶς ἀκμάζῃ ἐν ὑμῖν ὁ φόβος τῶν γενομένων, καὶ τὴν διάνοιαν πάντων στηρίζῃ. Ἔσεισεν, ἀλλ' οὐ κατέβαλεν· εἰ γὰρ ἐβούλετο κα-

1. Ἰεζ. 33,11.

ΣΤΟΝ ΦΤΩΧΟ ΛΑΖΑΡΟ

ΛΟΓΟΣ ΕΚΤΟΣ

ΣΤΟΝ ΣΕΙΣΜΟ ΚΑΙ ΑΠΟ ΠΟΥ ΠΡΟΗΛΘΕ Η ΔΟΥΛΕΙΑ

1. Εἴδατε τὴ δύναμι τοῦ Θεοῦ, εἴδατε τοῦ Θεοῦ τὴ φιλανθρωπία; Δύναμι, διότι συγκλόνισε τὴν οἰκουμένη· φιλανθρωπία, διότι ἐνῶ ἔπεφτε, τὴν ἔκανε νὰ σταθῆ· ἢ καλύτερα στὸ καθένα ἀπὸ τὰ δύο καὶ τὴ δύναμι καὶ τὴ φιλανθρωπία· διότι ἔσεισε τὴ γῆ καὶ στήριξε τὴν οἰκουμένη, διότι, ἐνῶ σαλευόταν καὶ ἐπρόκειτο νὰ πέση, τὴν συγκράτησε. Καὶ ὁ σεισμὸς βέβαια πέρασε, ὁ φόβος ὅμως ἂς ὑπάρχη· ὁ σάλος ἐκεῖνος πέρασε, ἡ εὐλάβεια ὅμως ἂς μὴ περάση. Κάναμε λιτανεία πρὸς τὸν Θεὸ τρεῖς ἡμέρες, ἀλλὰ ἂς μὴ καταργήσουμε τὴν προθυμία· διότι, γι' αὐτὸ ἔγινε ὁ σεισμός, ἐξ αἰτίας τῆς ἀδιαφορίας μας· δείξαμε ἀδιαφορία καὶ καλέσαμε τὸν σεισμό, δείξαμε προθυμία καὶ ἀπομακρύναμε τὴν ὀργή· ἂς μὴν ἀδιαφορήσουμε πάλι, γιὰ νὰ μὴ καλέσουμε πάλι τὴν ὀργὴ καὶ τὴν τιμωρία. «Διότι δὲν θέλει ὁ Θεὸς τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, μέχρι ποὺ νὰ ἐπιστρέψη καὶ ζήση»[1].

Εἴδατε πόσο φθαρτὸ εἶναι τὸ γένος τῶν ἀνθρώπων. Ὅταν γινόταν ὁ σεισμός, σκεφτόμουν καὶ ἔλεγα· 'ποῦ εἶναι οἱ ἁρπαγές, ποὺ οἱ πλεονεξίες, ποῦ οἱ τυραννίες; ποῦ οἱ ἀλαζονεῖες; ποῦ οἱ δυναστεῖες; ποῦ οἱ καταπιέσεις; ποῦ οἱ λεηλασίες τῶν φτωχῶν; ποῦ οἱ ὑπερηφάνειες τῶν πλουσίων; ποῦ οἱ ἐξουσίες τῶν ἀρχόντων; ποῦ οἱ ἀπειλές; ποῦ οἱ φόβοι; Μιὰ στιγμή, καὶ ὅλα θὰ καταστρέφονταν πιὸ εὔκολα κι' ἀπὸ τὴν ἀράχνη, ὅλα ἐκεῖνα θὰ καταλύονταν, θρῆνος θ' ἁπλωνόταν στὴν πόλι καὶ ὅλοι θὰ ἔτρεχαν στὴν ἐκκλησία. Σκεφθῆτε, ἐὰν ἀπεφάσιζε ὁ Θεὸς ὅλα νὰ τὰ γκρεμίση, τί θὰ παθαίναμε. Καὶ αὐτὰ τὰ λέγω, γιὰ νὰ εἶναι ἀκμαῖος μέσα σας διαρκῶς ὁ φόβος αὐτῶν ποὺ ἔγιναν καὶ νὰ στηρίζη τὴ σκέψι ὅλων. Ἔσεισε, ἀλλὰ δὲν

ταβαλεῖν οὐκ ἂν ἔσεισεν· ἀλλὰ ἐπειδὴ οὐκ ἐβούλετο, προέλαβε καθάπερ κῆρυξ ὁ σεισμός, προαναγγέλλων ἅπασι τὴν ὀργὴν τοῦ Θεοῦ, ἵνα τῷ φόβῳ βελτίους γενόμενοι, ἀποκρουσώμεθα τὴν διὰ τῶν πραγμάτων τιμωρίαν.

5 *Οὕτω καὶ ἐπὶ τῶν βαρβάρων ἐποίησεν. «Ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται». Καὶ διὰ τί οὐ καταστρέφεις; ἀπειλεῖς κατασκάπτειν, καὶ διὰ τί οὐ κατασκάπτεις; Ἐπειδὴ οὐ βούλομαι κατασκάπτειν, διὰ τοῦτο ἀπειλῶ. Τί οὖν λέγεις; Ἵνα μὴ ποιήσω ἃ λέγω, προλαμβανέτω ὁ λόγος, καὶ κωλυέτω τὸ ἔργον. «Ἔτι 10 τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται», τότε ὁ προφήτης ἔλεγε, σήμερον οἱ τοῖχοι φωνὴν ἀφιᾶσι. Ταῦτα δὲ λέγω, καὶ λέγων οὐ παύσομαι, καὶ πρὸς πένητας καὶ πρὸς πλουσίους· ἐννοήσατε πόση τοῦ Θεοῦ ἡ ὀργή, πῶς αὐτῷ πάντα ῥᾴδια καὶ εὔκολα· καὶ στῶμέν ποτε τῆς πονηρίας. Ἐν βραχείᾳ καιροῦ ῥοπῇ καὶ τὴν διάνοιαν καὶ 15 τὸν νοῦν οὕτω παρέλυσεν ἑκάστου καὶ τὰ θεμέλια τῆς καρδίας διέσεισεν.*

Ἐννοήσωμεν, εἰ κατὰ τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν, ὅτε οὐ μία καιροῦ ῥοπή, ἀλλ' ἄπειροι αἰῶνες, καὶ ποταμοὶ πυρός, καὶ ἀπειληφόροι ὀργαί, καὶ δυνάμεις ἐπὶ τὴν κρίσιν ἕλκουσαι, καὶ βῆμα 20 φοβερόν, καὶ δικαστήριον ἀδέκαστον, καὶ ἑκάστου τὰ πεπραγμένα πρὸ τῶν ὀφθαλμῶν ἕστηκε, καὶ οὐδεὶς ὁ βοηθῶν, οὔτε γείτων, οὔτε ῥήτωρ, οὔτε συγγενής, οὐκ ἀδελφός, οὐ πατήρ, οὐ μήτηρ, οὐ ξένος, οὐκ ἄλλος οὐδείς, τί ποιήσομεν τότε; εἰπέ μοι. Ἄγω τὸν φόβον ἵνα κατασκευάσω τὴν σωτηρίαν· σιδήρου τομωτέραν εἰργασά- 25 μην τὴν διδασκαλίαν, ἵνα ἕκαστος ὑμῶν σηπεδόνα ἔχων, ἀπόθηται. Οὐκ ἀεὶ ἔλεγον καὶ νῦν λέγω καὶ λέγων οὐ παύσομαι, μέχρι πότε τοῖς παροῦσίν ἐστε προσηλωμένοι; Πρὸς πάντας μὲν λέγω, ἐξαιρέτως δὲ πρὸς τοὺς νοσοῦντας καὶ μὴ προσέχοντας τοῖς λεγομένοις· μᾶλλον δέ, ἑκατέρῳ χρήσιμος ὁ λόγος, τῷ μὲν νοσοῦντι, ἵνα 30 ὑγιάνῃ, τῷ δὲ ὑγιαίνοντι, ἵνα μὴ νοσήσῃ. Μέχρι πότε χρήματα; μέχρι πότε πλοῦτος; μέχρι πότε περιφάνειαι οἰκοδομημάτων; μέχρι πότε λύσσα περὶ τὴν ἄψυχον φιληδονίαν; Ἰδοὺ ἦλθεν ὁ σεισμός· τί

2. Ἰωνᾶ 3,4.

τὴν κατέστρεψε· διότι, ἂν ἤθελε νὰ τὴν καταστρέψη, δὲν θὰ τὴν ἔσειε· ἀλλά, ἐπειδὴ δὲν ἤθελε, πρόλαβε ὁ σεισμὸς σὰν κήρυκας, γιὰ ν' ἀναγγείλη σ' ὅλους τὴν ὀργὴ τοῦ Θεοῦ, ὥστε, ἀφοῦ γίνουμε καλύτεροι ἐξ αἰτίας τοῦ φόβου, ν' ἀποκρούσουμε τὴν πραγματικὴ τιμωρία.

Ἔτσι ἔκανε καὶ στὴν περίπτωσι τῶν βαρβάρων. «Ἀκόμη τρεῖς ἡμέρες καὶ ἡ Νινευὴ θὰ καταστραφῆ»[2]. Καὶ γιατί δὲν τὴν καταστρέφεις; Ἀπειλεῖς ὅτι θὰ τὴν κατασκάψης καὶ γιατί δὲν τὴν κατασκάπτεις; Ἐπειδὴ δὲν θέλω νὰ τὴν καταστρέψω, γι' αὐτὸ ἀπειλῶ. Γιατί τότε τὸ λές; Γιὰ νὰ μὴν κάνω αὐτὰ ποὺ λέγω, ἂς προλάβη ὁ λόγος, κι' ἂς ἐμποδίση τὸ ἔργο. «Ἀκόμη τρεῖς ἡμέρες καὶ ἡ Νινευὴ θὰ καταστραφῆ», ἔλεγε τότε ὁ προφήτης, σήμερα οἱ τοῖχοι φωνάζουν. Καὶ αὐτὰ τὰ λέγω, καὶ δὲν θὰ παύσω νὰ τὰ λέγω, καὶ στοὺς φτωχοὺς καὶ στοὺς πλουσίους· σκεφθῆτε πόση εἶναι ἡ ὀργὴ τοῦ Θεοῦ, πῶς ὅλα τοῦ εἶναι δυνατὰ καὶ εὔκολα· καὶ ἂς σταματήσουμε κάποτε τὴν κακία. Μέσα σὲ μιὰ μόνο χρονικὴ στιγμὴ παρέλυσε τὴ σκέψι καὶ τὸν νοῦ τοῦ καθενὸς καὶ συγκλόνισε τὰ θεμέλια τῆς ψυχῆς μας.

Ἂς σκεφθοῦμε τὴ φοβερὴ ἐκείνη ἡμέρα, ποὺ θὰ διαρκήση ὄχι μιὰ στιγμή, ἀλλ' ἄπειρους αἰῶνες, καὶ θὰ ὑπάρχουν καὶ ποταμοὶ πυρός, καὶ διαθέσεις ἀπειλητικές, καὶ δυνάμεις ποὺ θὰ σύρουν στὴν κρίσι, καὶ βῆμα φοβερό, καὶ δικαστήριο ἀδωροδόκητο, καὶ οἱ πράξεις τοῦ καθενὸς θὰ εἶναι μπροστὰ στὰ μάτια μας, καὶ δὲν θὰ ὑπάρχη κανεὶς νὰ βοηθήση, οὔτε γείτονας, οὔτε δικηγόρος, οὔτε συγγενής, οὔτε ἀδελφός, οὔτε πατέρας, οὔτε μητέρα, οὔτε ξένος, οὔτε κανεὶς ἄλλος, τί θὰ κάνουμε τότε, πές μου; Προβάλω τὸν φόβο, γιὰ νὰ κατασκευάσω τὴ σωτηρία· ἔκανα τὴν διδασκαλία πιὸ κοφτερή, γιὰ νὰ ἀποβάλη καθένας ἀπὸ σᾶς τὸ σάπιο ποὺ ἔχει. Δὲν σᾶς ἔλεγα πάντοτε, καὶ τώρα σᾶς λέγω, καὶ δὲν θὰ παύσω νὰ τὸ λέγω, μέχρι πότε θὰ εἶστε προσηλωμένοι στὰ παρόντα; Πρὸς ὅλους βέβαια τὰ λέγω, ἰδιαίτερα ὅμως σ' αὐτοὺς ποὺ εἶναι ἀσθενεῖς καὶ δὲν προσέχουν σ' αὐτὰ ποὺ λέμε· ἢ καλύτερα στὸν καθένα ἀπὸ τοὺς δύο εἶναι χρήσιμος ὁ λόγος, στὸν ἀσθενῆ γιὰ νὰ θεραπευθῆ, καὶ στὸν ὑγιῆ, γιὰ νὰ μὴν ἀσθενήση. Μέχρι πότε τὰ χρήματα; μέχρι πότε ὁ πλοῦτος; μέχρι πότε τὰ λαμπρὰ οἰκοδομήματα; μέχρι πότε λύσσα γιὰ τὴν ἄψυχη φιληδονία; Νά, ἦλθε ὁ σεισμός· σὲ τί ὠφέλησε ὁ πλοῦτος; Ὁ

ὠφέλησεν ὁ πλοῦτος; Ὁ πόνος ἑκατέρων παρελύθη· τῷ κεκτημένῳ τὸ κτῆμα συναπώλετο, ἡ οἰκία τῷ κατασκευάσαντι· κοινὸς τάφος ἁπάντων ἡ πόλις ἐγίνετο, τάφος ἐσχεδιασμένος, οὐκ ἐν χερσὶ τεχνιτῶν, ἀλλὰ τῇ συμφορᾷ κατεσκευασμένος. Ποῦ ὁ πλοῦτος; ποῦ
5 *αἱ πλεονεξίαι; Ὁρᾶτε ὅτι ἀράχνης πάντα εὐτελέστερα;*

β'. Ἀλλ' ἐρεῖς μοι, 'καὶ τί ὠφελεῖς λέγων;' Ὠφελῶ, ἐάν τίς μου ἀκούῃ· ἐγὼ τὸ ἐμαυτοῦ ποιῶ· ὁ σπείρων σπείρει. Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ τὰ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, τὰ δὲ ἐπὶ τὴν πέτραν, τὰ δὲ ἐπὶ τὰς ἀκάνθας, τὰ δὲ ἐπὶ τὴν γῆν τὴν καλήν· τρία
10 *μέρη ἀπώλετο, καὶ ἓν ἐσώθη, καὶ οὐκ ἀπέστη τῆς γεωργίας, ἀλλ' ἐπειδὴ ἓν διεσώζετο, οὐκ ἐπαύσατο τῆς γεηπονίας. Καὶ νῦν δὲ ἀμήχανον ἐν τοσούτῳ πλήθει σπόρον καταβαλλόμενον μὴ ἐνεγκεῖν μοι στάχυν· κἂν μὴ πάντες ἀκούσωσιν, οἱ ἡμίσεις ἀκούσονται· κἂν μὴ οἱ ἡμίσεις, ἡ τρίτη μοῖρα· κἂν μὴ ἡ τρίτη μοῖρα, ἡ δεκάτη· κἂν μὴ ἡ*
15 *δεκάτη, κἂν εἷς ἐκ τοῦ πλήθους ἀκούσῃ, ἀκουέτω. Οὐ μικρὸν γὰρ τὸ καὶ ἓν πρόβατον διασωθῆναι· ἐπεὶ καὶ ὁ ποιμὴν ἐκεῖνος τὰ ἐννενηκονταεννέα πρόβατα καταλιπών, ἐπὶ τὸ ἓν τὸ πεπλανημένον ἔδραμεν.*

Οὐ καταφρονῶ ἀνθρώπου· κἂν εἷς ᾖ, ἄνθρωπός ἐστι, τὸ πε-
20 *ρισπούδαστον τοῦ Θεοῦ ζῶον· κἂν δοῦλος ᾖ, οὐκ ἔστι μοι εὐκαταφρόνητος· οὐ γὰρ ἀξίωμα ζητῶ, ἀλλ' ἀρετήν· οὐ δεσποτείαν, οὐ δουλείαν, ἀλλὰ ψυχήν· κἂν εἷς ᾖ, ἄνθρωπός ἐστι, δι' ὃν οὐρανὸς ἐτανύσθη, καὶ ἥλιος φαίνει, καὶ σελήνη τρέχει, καὶ ἀὴρ ἐξεχέθη, καὶ πηγαὶ βρύουσι, καὶ θάλαττα ἡπλώθη, καὶ προφῆται ἐπέμφθη-*
25 *σαν, καὶ νόμος ἐδόθη· καὶ τί δεῖ πάντα λέγειν; δι' ὃν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἄνθρωπος ἐγένετο. Ὁ Δεσπότης μου ἐσφάγη, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεεν ὑπὲρ ἀνθρώπου, κἀγὼ καταφρονῆσαι ἔχω; καὶ ποίαν ἔχω συγγνώμην; Οὐκ ἀκούετε ὅτι Σαμαρείτιδι διελέγετο ὁ Κύριος καὶ μυρίους ἠνάλωσε λόγους; καὶ οὐκ ἐπειδὴ Σαμαρεῖτις*
30 *ἦν, κατεφρονεῖτο, ἀλλ' ἐπειδὴ ψυχὴν εἶχεν, ἐσπουδάζετο· οὐκ ἐπειδὴ πόρνη ἦν, ὑπερεωρᾶτο, ἀλλ' ἐπειδὴ ἔμελλε σώζεσθαι, καὶ πίστιν ἐπεδείξατο, πολλάκις ἀπήλαυσε τῆς ἐπιμελείας.*

Οὐ παύσομαι λέγειν ἐγώ, κἂν μηδεὶς ᾖ ὁ ἀκούων· ἰατρός

3. Ματθ. 13,3.

κόπος γιὰ ὅλα πῆγε χαμένος· τὸ κτῆμα χάθηκε μαζὶ μ' αὐτὸν ποὺ τὸ εἶχε, τὸ σπίτι μαζὶ μὲ τὸν κατασκευαστή του· κοινὸς τάφος γιὰ ὅλους ἔγινε ἡ πόλις, τάφος σχεδιασμένος ὄχι ἀπὸ χέρια τεχνιτῶν, ἀλλὰ κατασκευασμένος ἀπὸ τὴ συμφορά. Ποῦ εἶναι ὁ πλοῦτος; ποῦ εἶναι οἱ πλεονεξίες; Βλέπετε ὅτι ὅλα εἶναι πιὸ εὐτελῆ κι' ἀπὸ τὴν ἀράχνη;

2. Ἀλλά, θὰ μοῦ πῇς, καὶ τί ὠφελεῖς μὲ τὸ νὰ τὰ λές; Ὠφελῶ, αὐτὸν ποὺ μὲ ἀκούει· ἐγὼ κάνω τὸ καθῆκον μου· ὁ σπορέας σπέρνει· «βγῆκε αὐτὸς ποὺ σπέρνει, γιὰ νὰ σπείρη· καὶ ἄλλοι ἀπὸ τοὺς σπόρους ἔπεσαν ἐπάνω στὸν δρόμο, ἄλλοι ἐπάνω στὴν πέτρα, ἄλλοι ἐπάνω στὰ ἀγκάθια, καὶ ἄλλοι ἐπάνω στὴν καλὴ γῆ»[3]· τρία μέρη χάθηκαν καὶ ἕνα σώθηκε, καὶ δὲν ἀπομακρύνθηκε ἀπὸ τὴ γεωργία, ἀλλά, ἐπειδὴ ἕνα σώθηκε, δὲν ἔπαψε νὰ καλλιεργῆ τὴ γῆ. Ἀλλὰ καὶ τώρα εἶναι ἀδύνατο σπόρος ποὺ σπείρεται μὲ τόση ἀφθονία νὰ μὴ βλαστήση στάχυ· κι' ἂν ὅλοι δὲν ἀκούσουν, οἱ μισοὶ θ' ἀκούσουν· κι' ἂν ὄχι οἱ μισοί, τὸ ἕνα τρίτο· κι' ἂν ὄχι τὸ ἕνα τρίτο, τὸ ἕνα δέκατο, κι' ἂν ἕνας ἀπὸ τὸ πλῆθος ἀκούση, ἂς ἀκούη. Διότι δὲν εἶναι μικρὸ τὸ νὰ σωθῆ καὶ ἕνα πρόβατο· ἀφοῦ καὶ ὁ βοσκὸς ἐκεῖνος ἄφησε τὰ ἐνενήντα ἐννέα πρόβατα, καὶ ἔτρεξε γιὰ τὸ ἕνα, ποὺ εἶχε πλανηθῆ.

Δὲν περιφρονῶ τὸν ἄνθρωπο· κι' ἂν εἶναι δοῦλος, δὲν μοῦ εἶναι εὐκαταφρόνητος· διότι δὲν ζητῶ τὸ ἀξίωμα, ἀλλὰ τὴν ἀρετή· δὲν ζητῶ τὴν ἐξουσία οὔτε τὴ δουλεία, ἀλλὰ τὴν ψυχή· κι' ἂν εἶναι ἕνας, εἶναι ἄνθρωπος, γι' τὸν ὁποῖο ἁπλώθηκε ὁ οὐρανὸς καὶ ὁ ἥλιος φωτίζει καὶ ἡ σελήνη τρέχει καὶ ὁ ἀέρας φυσᾶ καὶ οἱ πηγὲς ἀναβλύζουν καὶ ἡ θάλασσα ἁπλώθηκε καὶ οἱ προφῆτες στάλθηκαν καὶ ὁ νόμος δόθηκε. Ἀλλὰ γιατί πρέπει νὰ τὰ ἀναφέρω ὅλα; Γι' αὐτὸν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἔγινε ἄνθρωπος. Ὁ Κύριός μου θυσιάσθηκε καὶ ἔχυσε τὸ αἷμα του γιὰ τὸν ἄνθρωπο, κι' ἐγὼ θὰ τὸν καταφρονήσω; καὶ ποιά συγγνώμη θὰ ἔχω; Δὲν ἀκοῦτε ὅτι μιλοῦσε μὲ τὴ Σαμαρείτιδα ὁ Κύριος καὶ τῆς ἀπηύθυνε ἄπειρους λόγους; Καὶ δὲν τὴν περιφρόνησε, ἐπειδὴ ἦταν Σαμαρείτιδα, ἀλλά, ἐπειδὴ εἶχε ψυχή, τῆς ἔδειχνε ὅλη τὴ φροντίδα του. Δὲν παραμελήθηκε ἐπειδὴ ἦταν πόρνη, ἀλλ' ἐπειδὴ ἐπρόκειτο νὰ σωθῆ καὶ ἔδειξε πίστι, πολλὲς φορὲς ἀπήλαυσε τὴ φροντίδα.

Δὲν θὰ παύσω ἐγὼ νὰ λέγω, ἔστω κι' ἂν δὲν ὑπάρχη κανεὶς

εἰμι, ἐπιτίθημι τὰ φάρμακα· διδάσκαλός εἰμι, παραινεῖν ἐκελεύσθην· λέγει γάρ· «σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ». Οὐδένα διορθοῦμαι; Καὶ τί τοῦτο; ἀλλ' ἐγὼ τὸν μισθὸν ἔχω. Καὶ τοῦτο καθ' ὑπερβολὴν εἶπον· ἀμήχανον γὰρ ἐν πλήθει τοσούτῳ μὴ διορθωθῆναί τινα. Ἀλλ' αὐταὶ αἱ σκήψεις καὶ αἱ προφάσεις εἰσὶ τῶν ῥᾳθύμων ἀκροατῶν. "Ἀκούω', φησί, 'καθ' ἡμέραν, καὶ οὐ ποιῶ'. Ἄκουε, κἂν μὴ ποιῇς· ἐκ γὰρ τοῦ ἀκούειν καὶ τὸ πράττειν περιγίνεται· κἂν μὴ ποιῇς, αἰσχύνῃ ἐπὶ τῇ ἁμαρτίᾳ· κἂν μὴ ποιῇς, μεταβάλλῃ τὴν γνώμην· κἂν μὴ ποιῇς, καταδικάζεις σευατόν, ὅτι οὐ ποιεῖς. Τοῦτο δὲ τὸ κατηγορεῖν σεαυτοῦ, πόθεν; Ὁ καρπὸς τῶν ἐμῶν λόγων. Ὅταν εἴπῃς, 'οἶμαι, ἤκουσα, καὶ οὐ ποιῶ', τὸ 'οἶμοι' προοίμιόν ἐστι τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς.

Ἥμαρτες· ἐθρήνησας; ἔλυσας τὴν ἁμαρτίαν. «Λέγε γὰρ σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς». Κἂν στυγνάσῃς ἢ κατηφὴς γένῃ, ἔχει τινὰ σωτηρίαν ἡ κατήφεια, οὐ διὰ τὴν φύσιν τῆς κατηφείας, ἀλλὰ διὰ τὴν φιλανθρωπίαν τοῦ Δεσπότου. Τῷ ἔχοντι ἁμαρτίας οὐκ ὀλίγη παραμυθία τὸ λυπεῖν ἑαυτόν. «Εἶδον», γάρ φησιν, «ὅτι ἐλυπήθη καὶ ἐστύγνασε, καὶ ἰασάμην αὐτοῦ τὰς ὀδύνας». Ὢ φιλανθρωπίας ἀφάτου καὶ ἀγαθότητος ἑρμηνευθῆναι μὴ δυναμένης! Ἐλυπήθη, καὶ ἰασάμην αὐτόν. Καὶ τί μέγα, ὅτι ἐλυπήθη; Οὐ μέγα μέν· ἀλλ' ἐγὼ ἀφορμὴν ἔλαβον τοῦ ἰᾶσθαι τὰς ὀδύνας αὐτοῦ. Εἴδετε πῶς ἐν βραχείᾳ καιροῦ ῥοπῇ πάντα συνήγαγε;

Διηνεκῶς τοίνυν τὴν ἑσπέραν ἐκείνην τοῦ σεισμοῦ λογίζεσθε ἐν ἑαυτοῖς. Οἱ μὲν γὰρ ἄλλοι πάντες διὰ τὸν σεισμὸν ἐδεδοίκεσαν, ἐγὼ δὲ διὰ τὴν αἰτίαν τοῦ σεισμοῦ. Συνήκατε τί εἶπον; Οἱ μὲν ἐφοβοῦντο, μὴ πέσῃ ἡ πόλις καὶ ἀποθάνωσιν· ἐγὼ δὲ δέδοικα, ὅτι ὁ Δεσπότης ἡμῖν ὀργίζεται· οὐ γὰρ χαλεπὸν τὸ ἀποθανεῖν, ἀλλὰ χαλεπὸν τὸ παροξῦναι τὸν Δεσπότην. Ὥστε οὐ διὰ τὸν σεισμὸν ἐφοβούμην, ἀλλὰ διὰ τὴν αἰτίαν τοῦ σεισμοῦ· ἡ γὰρ αἰτία τοῦ σεισμοῦ ἡ ὀργὴ τοῦ Θεοῦ, τῆς δὲ ὀργῆς αἴτιον αἱ ἁμαρτίαι ἡμῶν. Μηδέποτε φοβοῦ κόλασιν, ἀλλ' ἁμαρτίαν τὴν μητέρα τῆς κολάσεως. Σείεται ἡ πόλις; Καὶ τί τοῦτο; ἀλλὰ σοῦ μὴ σαλευθήτω ἡ διάνοια· ἐπεὶ καὶ

4. Ἰεζ. 3,17.
5. Ἠσ. 43,26.
6. Ἠσ. 57,18.

ποὺ ν' ἀκούῃ· εἶμαι γιατρός, προσφέρω τὰ φάρμακα· εἶμαι διδάσκαλος, διατάχθηκα νὰ συμβουλεύω· διότι λέγει· «φρουρὸ σ' ἔχω δώσει στὸν οἶκο τοῦ Ἰσραήλ»[4]. Δὲν διορθώνω κανέναν; Καὶ τί μ' αὐτό; Ἐγὼ ὅμως ἔχω τὸν μισθό μου. Καὶ αὐτὸ ποὺ εἶπα εἶναι ὑπερβολικό· διότι εἶναι ἀδύνατο μέσα σὲ τόσο πλῆθος νὰ μὴ διορθωθῇ κάποιος. Ἀλλὰ αὐτὲς οἱ δικαιολογίες καὶ οἱ προφάσεις εἶναι τῶν ἀδιάφορων ἀκροατῶν. Ἀκούω, λέγει, κάθε μέρα καὶ δὲν τὸ κάνω. Ἄκουε, ἔστω κι' ἂν δὲν τὸ κάνῃς· διότι ἀπὸ τὸ νὰ ἀκοῦς, ἔρχεται τὸ νὰ τὰ κάνῃς· κι' ἂν δὲν τὰ κάνῃς, ντρέπεσαι γιὰ τὴν ἁμαρτία· κι' ἂν δὲν τὰ κάνῃς, ἀλλάζεις γνώμη. Καὶ αὐτό, τὸ ὅτι κατηγορεῖς τὸν ἑαυτό σου, ἀπὸ ποῦ προέρχεται; Αὐτὸς εἶναι ὁ καρπὸς τῶν λόγων μου. Ὅταν πῇς, 'ἀλλοίμονο, ἄκουσα καὶ δὲν τὸ κάμνω', τὸ 'ἀλλοίμονο' εἶναι ἀρχη τῆς ἀλλαγῆς πρὸς τὸ καλύτερο.

Ἁμάρτησες; ἔκλαψες; ἔλυσες τὴν ἁμαρτία. Διότι λέγει, «λέγε ἐσὺ πρῶτος τὶς ἁμαρτίες σου, γιὰ νὰ δικαιωθῇς»[5]. Κι' ἂν γίνῃς σκυθρωπὸς ἢ κατηφής, ἡ κατήφεια ἔχει κάποια σωτηρία, ὄχι ἐξ αἰτίας τῆς φύσεως τῆς κατήφειας, ἀλλὰ χάρις στὴ φιλανθρωπία τοῦ Κυρίου. Γι' αὐτὸν ποὺ ἔχει ἁμαρτίες δὲν εἶναι μικρὴ παρηγοριὰ τὸ νὰ λυπᾶται. Διότι λέγει, «εἶδα ὅτι λυπήθηκε καὶ ἔγινε σκυθρωπὸς καὶ θεράπευσα τοὺς πόνους του»[6]. Πὼ πὼ φιλανθρωπία ἀπερίγραπτη, καὶ ἀγαθότητα ποὺ δὲν μπορεῖ νὰ ἑρμηνευθῇ! Λυπήθηκε, καὶ τὸν θεράπευσα. Καὶ τί τὸ μεγάλο, τὸ ὅτι λυπήθηκε; Ἀσφαλῶς δὲν εἶναι μεγάλο· ἀλλὰ ἐγὼ πῆρα ἀφορμὴ γιὰ νὰ τοῦ θεραπεύσω τοὺς πόνους του. Εἴδατε πῶς μέσα σὲ μιὰ μόνο στιγμὴ ὅλα τὰ δέχθηκε;

Διαρκῶς λοιπὸν νὰ θυμᾶσθε τὸ βράδυ ἐκεῖνο τοῦ σεισμοῦ. Διότι ὅλοι οἱ ἄλλοι εἶχαν φοβηθῆ ἐξ αἰτίας τοῦ σεισμοῦ, ἐγὼ ὅμως γιὰ τὴν αἰτία ποὺ προκάλεσε τὸν σεισμό. Καταλάβατε τί εἶπα; Ἄλλοι φοβοῦνταν μήπως πέσῃ ἡ πόλις καὶ πεθάνουν· ἐγὼ ὅμως φοβήθηκα, διότι ὁ Κύριος ὀργίζεται ἐναντίον μας. Διότι δὲν εἶναι φοβερὸ τὸ νὰ πεθάνῃς, ἀλλὰ φοβερὸ εἶναι τὸ νὰ ἐξοργίζῃς τὸν Κύριο. Ὥστε δὲν φοβόμουν γιὰ τὸν σεισμό, ἀλλὰ γιὰ τὴν αἰτία τοῦ σεισμοῦ· διότι αἰτία τοῦ σεισμοῦ ἦταν ἡ ὀργὴ τοῦ Θεοῦ, καὶ αἰτία τῆς ὀργῆς εἶναι οἱ ἁμαρτίες μας. Ποτὲ νὰ μὴ φοβᾶσαι τὴν κόλασι, ἀλλὰ τὴν ἁμαρτία, ποὺ εἶναι μητέρα τῆς κολάσεως. Σείεται ἡ πόλις; Καὶ τί μ' αὐτό; Ὅμως ἂς μὴν σαλευθῇ ἡ δική σου διάνοια· ἀφοῦ καὶ στὴν περίπτωσι τῶν ἀσθενειῶν καὶ τῶν τραυμάτων δὲν θρηνοῦμε

ἐπὶ τῶν νοσημάτων καὶ τῶν τραυμάτων οὐκ ἐκείνους θρηνοῦμεν τοὺς θεραπευομένους, ἀλλὰ τοὺς τὰ ἀνίατα νοσοῦντας. Ὅπερ ἐστὶ νόσος καὶ τραῦμα, τοῦτό ἐστι καὶ ἁμαρτία· ὅπερ ἐστὶ τομὴ καὶ φάρμακον, τοῦτό ἐστι καὶ τιμωρία.

5 *γ'. Συνήκατε τί λέγω; Προσέχετε· φιλόσοφον γὰρ ὑμᾶς βούλομαι παιδεῦσαι λόγον. Διὰ τί τοὺς κολαζομένους θρηνοῦμεν, ἀλλ' οὐ τοὺς ἁμαρτάνοντας; Οὐ γὰρ οὕτω χαλεπὸν κόλασις, ὡς χαλεπὸν ἡ ἁμαρτία· τῆς γὰρ κολάσεως ὑπόθεσις ἡ ἁμαρτία. Ἐὰν τοίνυν ἴδῃς τινὰ σηπεδόνα ἔχοντα καὶ σκώληκας καὶ ἰχῶρας ἀπὸ τοῦ σώματος*

10 *κατερχομένους καὶ ἀμελοῦντα τοῦ ἕλκους καὶ τῆς σηπεδόνος, ἕτερον δὲ τὰ αὐτὰ πάσχοντα ἰατρικῶν ἀπολαύοντα χειρῶν, καιόμενον καὶ τεμνόμενον καὶ πικρὰ πίνοντα φάρμακα, τίνα θρηνήσεις; εἰπέ μοι· τὸν νοσοῦντα καὶ μὴ θεραπευόμενον, ἢ τὸν νοσοῦντα καὶ θεραπευόμενον; Δῆλον ὅτι τὸν νοσοῦντα καὶ μὴ θεραπευόμενον. Οὕτως*

15 *ἕστωσαν δύο ἁμαρτωλοί, ὁ μὲν κολαζόμενος, ὁ δὲ μὴ κολαζόμενος. Μὴ λέγε, μακάριος οὗτος, ὅτι πλουτεῖ, ὀρφανοὺς ἀποδύει, χήρας βιάζεται. Καίτοι οὐ νοσεῖ, ἀλλ' ἁρπάζων εὐδοκιμεῖ, τιμῆς ἀπολαύει καὶ δυναστείας, οὐδὲν τῶν ἀνθρωπίνων ὑπομένει, οὐ πυρετόν, οὐ κάκωσιν, οὐκ ἄλλην τινὰ νόσον· παίδων χορὸς περὶ αὐ-*

20 *τόν, γῆρας λιπαρόν· ἀλλὰ τοῦτον μάλιστα θρήνει, ὅτι καὶ νοσεῖ καὶ οὐ θεραπεύεται· πῶς, ἐγὼ λέγω.*

Ἐὰν ἴδῃς τινὰ ὑδέρῳ κατεχόμενον καὶ σπληνὶ χαλεπωτάτῳ τὸ σῶμα ἐξογκούμενον καὶ μὴ τρέχοντα πρὸς τὸν ἰατρόν, ἀλλὰ ψυχροποσίᾳ προσέχοντα, τράπεζαν ἔχοντα συβαριτικήν, καθ' ἑκάστην

25 *ἡμέραν μεθύοντα, δορυφορούμενον καὶ ἐπιτείνοντα τὴν νόσον, εἰπέ μοι, μακαρίζεις τοῦτον, ἢ ταλανίζεις; Ἐὰν δὲ ἕτερον ἴδῃς ὑδέρῳ κατεχόμενον, ἰατρικῶν ἀπολαύοντα χειρῶν, λιμῷ ἑαυτὸν ἐκδιδόντα, ἐν ἀπορίᾳ πολλῇ ὄντα, φαρμάκοις προσκαρτεροῦντα πικροῖς, ἔχουσι μὲν ὀδύνην, τίκτουσι δὲ διὰ τῆς ὀδύνης ὑγείαν, οὐχὶ τοῦτον*

ἐκείνους ποὺ θεραπεύονται, ἀλλ' ἐκείνους ποὺ πάσχουν ἀπὸ ἀθεράπευτες ἀσθένειες. Ὅ,τι ἀκριβῶς εἶναι ἡ ἀσθένεια καὶ τὸ τραῦμα, αὐτὸ εἶναι καὶ ἡ ἁμαρτία· ὅ,τι ἀκριβῶς εἶναι τὸ μαχαίρι καὶ τὸ φάρμακο, αὐτὸ εἶναι καὶ ἡ τιμωρία.

3. Καταλάβατε τί λέγω; Προσέχετε· διότι θέλω νὰ σᾶς διδάξω ἕναν λόγο γεμᾶτο σοφία. Γιατί θρηνοῦμε αὐτοὺς ποὺ κολάζονται, καὶ ὄχι αὐτοὺς ποὺ ἁμαρτάνουν; Διότι δὲν εἶναι τόσο φοβερὸ πρᾶγμα ἡ κόλασις, ὅσον εἶναι ἡ ἁμαρτία· καθόσον αἰτία τῆς κολάσεως, εἶναι ἡ ἁμαρτία. Ἐὰν λοιπὸν δῆς κάποιον ποὺ ἔχει σαπίλα καὶ τρέχουν ἀπὸ τὸ σῶμα του σκουλήκια καὶ πῦο καὶ ἀδιαφορῆ γιὰ τὴν πληγὴ καὶ τὸ σάπισμα, κι' ἕναν ἄλλον, πού, ἐνῶ ὑποφέρει ἀπὸ τὰ ἴδια, ὅμως τὸν φροντίζουν ἰατρικὰ χέρια, τὸν καυτηριάζουν, τὸν ἐγχειρίζουν, καὶ πίνει πικρὰ φάρμακα, πές μου, ποιόν θὰ θρηνήσης; ἐκεῖνον ποὺ εἶναι ἄρρωστος καὶ δὲν τὸν περιποιοῦνται ἢ αὐτὸν ποὺ εἶναι ἄρρωστος καὶ τὸν περιποιοῦνται; Εἶναι φανερό, ὅτι τὸν ἄρρωστο, τὸν ὁποῖο δὲν περιποιοῦνται. Κατὰ τὸν ἴδιο τρόπο ἂς ὑποθέσουμε, ὅτι ὑπάρχουν δυὸ ἁμαρτωλοί, καὶ ὁ ἕνας τιμωρεῖται, ἐνῶ ὁ ἄλλος δὲν τιμωρεῖται. Μὴ λές, εἶναι μακάριος αὐτός, διότι ἔχει πλούτη, ἀπογυμνώνει τὰ ὀρφανά, ἐκβιάζει τὶς χῆρες. Ἂν καὶ δὲν κοπιάζει, ὅμως εὐδοκιμεῖ ἁρπάζοντας, ἀπολαμβάνει τιμὴ καὶ ἐξουσία, δὲν ὑπομένει τίποτε ἀπ' ὅσα συμβαίνουν στοὺς ἀνθρώπους, οὔτε πυρετό, οὔτε κάποια βλάβη, οὔτε καμμιὰ ἄλλη ἀσθένεια· γύρω του ὑπάρχει ὁ χορὸς τῶν παιδιῶν, ἔχει ἥσυχα γεράματα· ἀλλὰ αὐτὸν νὰ κλαῖς περισσότερο, διότι καὶ εἶναι ἄρρωστος καὶ δὲν θεραπεύεται· πῶς, ἐγὼ θὰ σᾶς τὸ πῶ.

Ἐὰν δῆς κάποιον νὰ ὑποφέρη ἀπὸ διαβήτη, καὶ ἀπὸ τὴν φοβερὴ ἀσθένεια τῆς σπλήνας νὰ πρίζεται τὸ σῶμα του, καὶ νὰ μὴν τρέχη στὸ γιατρό, ἀλλὰ νὰ προτιμᾶ νὰ πίνη κρύα νερά, νὰ ἔχη τραπέζι συβαριτικό, κάθε ἡμέρα νὰ μεθᾶ, νὰ ἀσωτεύη καὶ νὰ ἐπιδεινώνη τὴν ἀσθένεια, πές μου, τὸν μακαρίζεις, ἢ τὸν ταλανίζεις; Καὶ ἐὰν δῆς κάποιον ἄλλον ποὺ πάσχει ἀπὸ διαβήτη, νὰ τὸν φροντίζουν τὰ χέρια τοῦ γιατροῦ, νὰ ὑποβάλλη τὸν ἑαυτό του σὲ δίαιτα, νὰ ζῆ μέσα σὲ μεγάλη στέρησι, καὶ νὰ ἐξακολουθῆ μὲ ἐπιμονὴ νὰ παίρνη τὰ πικρὰ φάρμακα, τὰ ὁποῖα εἶναι βέβαια ὀδυνηρά, ἐπιφέρουν ὅμως τὴν ὑγεία μὲ τὴν πίκρα τους, δὲν τὸν μακαρίζεις αὐτὸν περισσότερο ἀπὸ τὸν ἄλλον; Αὐτὸ εἶναι σίγουρο· διότι ὁ ἕνας εἶναι ἄρρωστος καὶ

ὑπὲρ ἐκεῖνον μακαρίζεις; Ὡμολόγηται· ὁ μὲν γὰρ νοσεῖ καὶ οὐ θεραπεύεται· ὁ δὲ νοσεῖ καὶ ἀπολαύει ἰατρείας. Ἀλλ' ἐπίπονος ἡ ἰατρεία. Ἀλλ' ὠφέλιμον αὐτῆς τὸ τέλος.

Οὕτως ἐστὶ καὶ ἐν τῷ παρόντι βίῳ. Ἀλλ' ἀπὸ τῶν σωμάτων 5 *ἄπαγε τὸν λόγον ἐπὶ τὰς ψυχάς, ἀπὸ τῶν νοσημάτων ἐπὶ τὰ ἁμαρτήματα, ἀπὸ τῆς πικρίας τῶν φαρμάκων ἐπὶ τὰς τιμωρίας καὶ τὴν κρίσιν τοῦ Θεοῦ. Ὅπερ γάρ ἐστι τὸ φάρμακον τὸ παρὰ τοῦ ἰατροῦ, καὶ ἡ τομὴ καὶ τὸ πῦρ, τοῦτό ἐστιν ἡ τιμωρία ἡ παρὰ τοῦ Θεοῦ. Ὥσπερ γὰρ τὸ πῦρ πολλάκις ἐπαγόμενον καίει καὶ τὴν νομὴν* 10 *κωλύει, καὶ τὸ σιδήριον ἀφαιρεῖται τὴν σηπεδόνα, ἔχον μὲν ὀδύνην, παρέχον δὲ ὠφέλειαν· οὕτω καὶ λιμὸς καὶ λοιμοὶ καὶ ὅσα κακὰ δοκοῦντα εἶναι, ἀντὶ σιδήρου καὶ πυρὸς ἐπάγονται τῇ ψυχῇ, ἵνα τὴν νομὴν τῶν νοσημάτων κατὰ τὴν εἰκόνα τῶν σωμάτων κωλύσῃ καὶ βελτίονα ἐργάσηται.*

15 *Πάλιν ἔστωσαν δύο πόρνοι καὶ ὑποκείσθω τῷ λόγῳ ἡ εἰκών· δύο πόρνοι· ἀλλ' ὁ μὲν πλούσιος, ὁ δὲ πένης. Τίς μᾶλλον ἐλπίδας σωτηρίας ἔχει; Ὡμολόγηται δηλονότι ὁ πένης. Μὴ τοίνυν εἴπῃς, ὅτι ὁ πλούσιος πορνεύει καὶ πλουτεῖ καὶ διὰ τοῦτο μακαρίζω αὐτόν. Μᾶλλον ἔδει σε μακαρίζειν αὐτόν, εἰ πορνεύων ἐπένετο, εἰ* 20 *πορνεύων ἐλίμωττεν· εἶχε γὰρ διδάσκαλον κατηναγκασμένον τῆς φιλοσοφίας τὴν πενίαν. Ὅταν ἴδῃς κακὸν εὐημεροῦντα, δάκρυσον· δύο γὰρ κακά, καὶ νόσος καὶ τὸ ἀνίατον. Ὅταν ἴδῃς κακὸν ἐν συμφοραῖς ὄντα, παραμυθοῦ· μὴ διὰ τοῦτο μόνον, ὅτι βελτίων γίνεται, ἀλλ' ὅτι πολλὰ τῶν ἁμαρτημάτων αὐτοῦ ἐνταῦθα διαλύεται. Πρόσ-* 25 *εχε μετὰ ἀκριβείας τῷ λόγῳ. Πολλοὶ τῶν ἀνθρώπων καὶ ἐνταῦθα διαλύονται καὶ ἐκεῖ κρίνονται· οἱ δὲ ἐνταῦθα μόνον, οἱ δὲ ἐκεῖ μόνον. Κάτεχέ μου τὴν διδασκαλίαν· οὗτος γὰρ διευκρινηθεὶς ὁ λόγος πολλοὺς θορύβους ἐκβαλεῖ ἀπὸ τοῦ λογισμοῦ.*

Ἀλλ' εἰ δοκεῖ, παραγάγωμεν εἰς μέσον πρῶτον τὸν ἐκεῖ μὲν 30 *κολαζόμενον, ἐνταῦθα δὲ ἀπολαύσαντα τρυφῆς. Προσεχέτωσαν καὶ πλούσιοι καὶ πένητες τῷ λεγομένῳ· ἑκατέροις γὰρ χρήσιμος ἡ διδασκαλία. Ὅτι γὰρ καὶ ἐνταῦθα καὶ ἐκεῖ πολλοὶ κρίνονται, ἄκουε τοῦ Χριστοῦ λέγοντος· «εἰς ἣν δ' ἂν πόλιν ἢ οἰκίαν εἰσέλθη-*

δὲν θεραπεύεται, ἐνῶ ὁ ἄλλος εἶναι ἄρρωστος καὶ θεραπεύεται. Ὅμως εἶναι κοπιαστικὴ ἡ θεραπεία. Ἀλλὰ τὸ ἀποτέλεσμά της εἶναι ὠφέλιμο.

Τὸ ἴδιο συμβαίνει καὶ σ' αὐτὴ τὴ ζωή. Ἀλλὰ ἀπὸ τὰ σώματα φέρε τὸν λόγο στὶς ψυχές, ἀπὸ τὶς ἀσθένειες στὰ ἁμαρτήματα, ἀπὸ τὴν πίκρα τῶν φαρμάκων, στις τιμωρίες καὶ τὴν κρίσι τοῦ Θεοῦ. Διότι, ὅ,τι εἶναι τὸ φάρμακο ποὺ χορηγεῖ ὁ γιατρός, καὶ ἡ τομὴ καὶ ἡ φωτιά, αὐτὸ εἶναι καὶ ἡ τιμωρία ποὺ δίνει ὁ Θεός. Ὅπως ἀκριβῶς δηλαδὴ ἡ φωτιά, ὅταν πολλὲς φορὲς χρησιμοποιῆται, καίει καὶ ἐμποδίζει τὴν ἐξάπλωσι, καὶ ὅπως τὸ σιδερένιο ἐργαλεῖο ἀφαιρεῖ τὸ σάπιο μέρος, προξενώντας ἀσφαλῶς πόνο, ὅμως παρέχει ὠφέλεια· ἔτσι καὶ ἡ πεῖνα καὶ οἱ ἀσθένειες καὶ ὅσα θεωροῦνται ὅτι εἶναι κακά, χρησιμοποιοῦνται γιὰ τὴν ψυχὴ ἀντὶ τοῦ σιδήρου καὶ τῆς φωτιᾶς, γιὰ νὰ ἐμποδίσουν τὴν ἐξάπλωσι τῶν ἀσθενειῶν, σύμφωνα μὲ τὸ παράδειγμα τῶν σωμάτων, καὶ νὰ τὴν κάνουν καλύτερη.

Πάλι, ἔστω ὅτι ὑπάρχουν δύο πόρνοι καὶ ἂς θέσουμε κάτω ἀπὸ τὸν ἴδιο συλλογισμὸ καὶ τὸ παράδειγμα αὐτό· δύο πόρνοι· ἀλλ' ὁ ἕνας εἶναι πλούσιος, καὶ ὁ ἄλλος φτωχός. Ποιός ἔχει περισσότερες ἐλπίδες σωτηρίας; Εἶναι βέβαιο ὅτι ὁ φτωχός. Μὴν λοιπὸν πῆς, ὅτι ὁ πλούσιος πορνεύει καὶ πλουτίζει καὶ γι' αὐτὸ τὸν μακαρίζω. Θὰ ἔπρεπε περισσότερο νὰ τὸν μακαρίζῃς, ἐὰν ἐπόρνευε κι' ἦταν φτωχός, ἐὰν ἐπόρνευε καὶ πεινοῦσε· διότι ἀναγκαστικὰ θὰ εἶχε διδάσκαλο τὴ φτώχεια γι' αὐτὴ τὴ σοφὴ ἐνέργειά του. Ὅταν δῆς τὸν κακὸ νὰ εὐτυχῆ, δάκρυσε· διότι εἶναι δύο τὰ κακά, καὶ ἡ ἀσθένεια καὶ τὸ ἀθεράπευτο. Ὅταν δῆς τὸν κακὸ νὰ ὑποφέρη, παρηγόρησέ τον· ὄχι μόνο γι' αὐτό, διότι γίνεται καλύτερος, ἀλλ' ἐπειδὴ πολλὲς ἀπὸ τὶς ἁμαρτίες του πληρώνονται ἐδῶ. Πρόσεχε μὲ ἀκρίβεια τὸν λόγο. Πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους καὶ ἐδῶ συγχωροῦνται καὶ ἐκεῖ κρίνονται· κι' ἄλλοι μόνο ἐδῶ, κι' ἄλλοι μόνο ἐκεῖ. Πρόσεξε καλὰ τὴ διδασκαλία μου· διότι αὐτὸς ὁ λόγος, ἐὰν ξεκαθαρισθῆ, θ' ἀπομακρύνη πολλοὺς θορύβους ἀπὸ τὸν λογισμό σου.

Ἀλλά, ἐὰν θέλῃς, ἂς ἐξετάσουμε πρῶτα αὐτὸν ποὺ ἐκεῖ τιμωρεῖται, ἐνῶ ἐδῶ ἀπήλαυσε τὴν τρυφιλὴ ζωή. Ἂς προσέξουν καὶ οἱ πλούσιοι καὶ οἱ φτωχοὶ τὰ λόγια αὐτά· διότι καὶ στοὺς δύο εἶναι χρήσιμη ἡ διδασκαλία. Τὸ ὅτι δηλαδὴ καὶ ἐδῶ καὶ ἐκεῖ πολλοὶ κρίνονται, ἄκουσε τὸν Χριστὸ ποὺ λέγει· «σ' ὅποια πόλι ἢ σ' ὅποιο

τε, εἰσερχόμενοι εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν, λέγοντες· εἰρήνη τῷ οἴκῳ τούτῳ. Κἂν μὲν ᾖ ἡ οἰκία ἀξία, εἰσελθέτω ἡ εἰρήνη ὑμῶν ἐπ αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν ἐφ' ὑμᾶς ἐπιστραφήτω. Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερ-
5 χόμενοι ἔξω τῆς πόλεως, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. Εἰς ἣν δ' ἂν πόλιν ἢ οἰκίαν εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε, ἕως ἂν ἐξέλθητε». Ἀπὸ τούτων δῆλον ὅτι οἱ Σοδόμων καὶ Γομόρ-
10 ρων καὶ ἐνταῦθα ἐκρίθησαν, καὶ ἐκεῖ κολάζονται. Ὅταν γὰρ λέγῃ, ὅτι «ἀνεκτότερον ἔσται Σοδόμοις ἢ τούτοις», δείκνυσιν, ὅτι κολάζονται μέν, οὐχ οὕτω δὲ ὡς οὗτοι.

δ'. Πάλιν εἰσὶν οἱ ἐνταῦθα κολαζόμενοι μόνον, ὥσπερ ὁ πεπορνευκώς. Κορινθίοις γὰρ ἐπιστέλλων ὁ μακάριος Παῦλος, οὕτως
15 ἔλεγεν· «ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα, ὡς
20 παρὼν τὸν οὕτω τοῦτο κατεργασμένον, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρα τοῦ Κυρίου Ἰησοῦ».

Εἶδες πῶς οὗτος ᾧδε κολάζεται, καὶ ἐκεῖ οὐ κολάζεται;
25 Ἐπειδὴ γὰρ ᾧδε ἐκολάσθη αὐτοῦ τὸ σῶμα, ἐκεῖ οὐ κολάζεται. Θέλω λοιπὸν δεῖξαι τὸν ᾧδε τρυφήσαντα, ἐκεῖ δὲ κολαζόμενον. «Ἦν τις πλούσιος». Ἀλλ' εἰ καὶ προλαμβάνετε τὴν ἱστορίαν τοῦ διηγήματος, ἀναμείνατε τὴν λύσιν τοῦ λόγου· τοῦτο γὰρ ἐμὸν ἐγκώμιον καὶ ὑμέτερος ἔπαινος, προοιμίων καταβαλλομένων, ἤδη ὑμᾶς

7. Ματθ. 10,11-15.
8. Α'. Κορ. 5,1.

σπίτι μπῆτε, μπαίνοντας στὸ σπίτι, χαιρετῆστε το λέγοντας· 'ἂς ἔλθη ἡ εἰρήνη σ' αὐτὸ τὸ σπίτι'. Καὶ ἂν εἶναι τὸ σπίτι ἄξιο, ἂς ἔρθη σ' αὐτὸ ἡ εἰρήνη ποὺ εὐχηθήκατε· ἐὰν ὅμως δὲν εἶναι ἄξιο, ἡ εἰρήνη σας ἂς ἐπιστρέψη σ' ἐσᾶς. Καὶ ὅποιος δὲν σᾶς δεχθῆ καὶ δὲν ἀκούση τὰ λόγια σας, βγαίνοντας ἔξω ἀπὸ τὴν πόλι, τινάξετε καλὰ τὴ σκόνη ἀπὸ τὰ πόδια σας. Ἀλήθεια σᾶς λέγω, ὅτι θὰ εἶναι ἐπιεικέστερη ἡ τιμωρία κατὰ τὴν ἡμέρα τῆς κρίσεως γιὰ ὅσους ἔζησαν στὴ χώρα τῶν Σοδόμων καὶ τῶν Γομόρρων, παρὰ γιὰ τὴν πόλι ἐκείνη. Καὶ σ' ὅποια πόλι ἢ σ' ὅποιο σπίτι μπῆτε, ἐξετᾶστε, ποιός εἶναι ἄξιος σ' αὐτὴν νὰ σᾶς δεχθῆ, κι' ἐκεῖ μείνετε, μέχρις ὅτου φύγετε»[7]. Ἀπὸ αὐτὰ γίνεται φανερό, ὅτι οἱ κάτοικοι τῶν Σοδόμων καὶ τῶν Γομόρρων καὶ ἐδῶ κρίθηκαν καὶ ἐκεῖ τιμωροῦνται. Διότι, ὅταν λέγη, «θὰ εἶναι ἐπιεικέστερη ἡ τιμωρία σ' ὅσους ἔζησαν στὰ Σόδομα, παρὰ σ' αὐτούς», δείχνει, ὅτι τιμωροῦνται βέβαια, ὄχι ὅμως τόσο, ὅπως αὐτοί.

4. Πάλι, ὑπάρχουν ἐκεῖνοι ποὺ τιμωροῦνται μόνο ἐδῶ, ὅπως ἐκεῖνος ποὺ ἔχει πορνεύσει. Διότι γράφοντας στοὺς Κορινθίους ὁ μακάριος Παῦλος ἔλεγε τὰ ἑξῆς· «εἶναι σ' ὅλους γνωστό, ὅτι ὑπάρχει ἀνάμεσά σας πορνεία, καὶ τέτοια πορνεία, ποὺ οὔτε μεταξὺ τῶν εἰδωλολατρῶν δὲν ἀναφέρεται, ὥστε κάποιος ἀπὸ ἐσᾶς νὰ ἔχη τὴν γυναῖκα τοῦ πατέρα του. Κι' ἐσεῖς ἐξακολουθεῖτε νὰ εἶσθε φαντασμένοι, καὶ δὲν θρηνήσατε μᾶλλον, γιὰ ν' ἀπομακρυνθῆ ἀπὸ ἀνάμεσά σας αὐτὸς ποὺ ἔκανε αὐτὴν τὴν πρᾶξι. Διότι ἐγώ, ἐπειδὴ ἀπουσιάζω σωματικὰ ἀπὸ σᾶς, εἶμαι ὅμως κοντά σας πνευματικά, ἔχω ἤδη κρίνει, σὰν νὰ ἤμουν παρών, αὐτὸν τὸν ἀδιάντροπο, ποὺ ἔχει κάνει αὐτὴν τὴν πρᾶξι, καὶ τώρα ἀφοῦ μαζευθοῦμε στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἐσεῖς καὶ ἐγὼ πνευματικά, ἂς παραδώσουμε τὸν τέτοιο ἄνθρωπο στὸν σατανᾶ, γιὰ νὰ τιμωρηθῆ σκληρὰ τὸ σῶμα του, καὶ νὰ σωθῆ τὸ πνεῦμα του, κατὰ τὴν ἡμέρα τοῦ Κυρίου Ἰησοῦ»[8].

Εἶδες πῶς αὐτὸς τιμωρεῖται ἐδῶ, καὶ ἐκεῖ δὲν τιμωρεῖται; Διότι, ἐπειδὴ ἐδῶ τιμωρήθηκε τὸ σῶμα του, ἐκεῖ δὲν τιμωρεῖται. Θέλω λοιπὸν νὰ σᾶς δείξω αὐτὸν ποὺ ἐδῶ ἔζησε ζωὴ ἀκόλαστη, νὰ τιμωρῆται ἐκεῖ. «Ἦταν κάποιος πλούσιος». Ἀλλὰ ἂν καὶ γνωρίζετε ἐκ τῶν προτέρων τὴν ἱστορία τῆς παραβολῆς, περιμένετε τὸ τέλος τοῦ λόγου· διότι αὐτὸ εἶναι δικό μου ἐγκώμιο καὶ δικός σας ἔπαινος,

τὸν στάχυν δρέπεσθαι. Διδασκάλους ὑμᾶς εἰργάσατο ἡ συνεχὴς τῶν λόγων ἀπόλαυσις· ἀλλ' ἐπειδὴ μεθ' ὑμῶν εἰσι καὶ ξένοι τινὲς εἰσιόντες, μὴ τρέχετε, ἀλλ' ἀναμείνατε τοὺς χωλεύοντας. Καὶ γὰρ ἡ Ἐκκλησία σῶμά ἐστιν· ὀφθαλμὸν ἔχει, καὶ κεφαλὴν ἔχει. Ὥσπερ
5 *οὖν ἐὰν ἡ πτέρνα δέξηται ἄκανθαν, ὁ ὀφθαλμὸς κάτω κύπτει, μέλος ὢν τοῦ σώματος, καὶ οὐ λέγει, "Ἐπειδὴ ἐν ὕψει κάθημαι, καταφρονῶ τοῦ κάτω μέλλους', ἀλλὰ κύπτει καὶ καταλιμπάνει τὸ ἑαυτοῦ ὕψος· καίτοι τί πτέρνης εὐτελέστερον, ἢ τί ὀφθαλμοῦ εὐγενέστερον; ἀλλ' ἡ συμπάθεια τὸ ἀνώμαλον διώρθωσε, καὶ ἡ ἀγάπη*
10 *τὸ πᾶν ἐκέρασεν.*

Οὕτω καὶ σὺ ποίει· κἂν ταχὺς ᾖς, κἂν παρεσκευασμένος πρὸς ἀκρόασιν, μὴ ἔχῃς δὲ παρακολουθοῦντα τὸν ἀδελφὸν τοῖς καταβαλλομένοις, καταβήτω ὁ ὀφθαλμός σου πρὸς τὴν πτέρναν· συμπασχέτω τῷ χωλεύοντι μέλει, ὥστε μὴ διὰ τὴν σὴν ταχυτῆτα καὶ
15 *τὴν ἐκείνου βραδυτῆτα, ἔρημον αὐτὸν ἀπομεῖναι τοῦ λόγου. Μὴ τῇ συνέσει τῇ σῇ εἰς ἐκείνου ἀπώλειαν ἀποχρήσῃ, ἀλλὰ χάριν ἔχε τῷ Θεῷ διὰ τὴν σὴν ταχυτῆτα. Πλούσιος εἶ; χαίρω καὶ εὐφραίνομαι· ἀλλ' ἐκεῖνος ἔτι πένεται· μὴ διὰ τὸν σὸν πλοῦτον μενέτω ἐν τῇ πτωχείᾳ. Ἄκανθαν ἔχει ἐκεῖνος, τεθορυβημένον λογισμόν· ἀλλὰ*
20 *κατάβηθι πρὸς αὐτὸν καὶ ἔξελε τὴν ἄκανθαν.*

Τί οὖν φησιν; «Ἦν τις πλούσιος», ὀνόματι, οὐχὶ πράγματι. «Ἦν τις πλούσιος», πορφύραν ἐνδιδυσκόμενος, τράπεζαν παρατιθέμενος πολυτελῆ, κρατῆρας ἔχων ἐστεμμένους οἴνου, συμπόσια καθ' ἑκάστην ἡμέραν ποιῶν· ἕτερος δέ τις ἦν πένης, Λάζαρος ὀνό-
25 *ματι. Καὶ ποῦ τὸ ὄνομα τοῦ πλουσίου; Οὐδαμοῦ· ἀνώνυμος γάρ ἐστι. Πόσος πλοῦτος; καὶ ὄνομα αὐτῷ οὐχ εὑρίσκεται. Ποῖος πλοῦτος; Δένδρον φύλλοις μὲν κομῶν, καρποῦ δὲ ἀπεστερημένον, δρῦς πρὸς ὕψος ἀνατεταμένη, ἀλόγοις τροφὴν παρέχουσα τὴν βάλανον, ἄνθρωπος οὐκ ἔχων ἀνθρώπου καρπόν. Ὅπου γὰρ πλοῦτος καὶ*
30 *ἁρπαγαί, λύκος ὁ βλεπόμενος· ὅπου πλοῦτος καὶ θηριωδία, λέοντα ὁρῶ, καὶ οὐκ ἄνθρωπον· ἀπώλεσε τὴν εὐγένειαν τῇ δυσγενείᾳ τῆς πονηρίας.*

«Ἦν τις πλούσιος», πορφύραν καθ' ἑκάστην ἡμέραν ἐνδιδυσκόμενος, τὴν δὲ ψυχὴν ἀράχνης γέμων, μύρου πνέων, δυσωδίας δὲ ἐμπεπλησμένος, τράπεζαν παρατιθέμενος πολυτελῆ, παρασίτους

9. Λουκᾶ 16,19.

ἀφοῦ δηλαδὴ φυτεύθηκαν οἱ πρόλογοι στὴν καρδιά σας, θερίζετε τώρα τὰ στάχυα. Σᾶς ἔκανε διδασκάλους ἡ συνεχὴς ἀπόλαυσις τῶν λόγων· ἀλλ' ἐπειδὴ μαζί σας μπῆκαν ἐδῶ καὶ κάποιοι ξένοι, μὴν τρέχετε, ἀλλὰ περιμένετε ἐκείνους ποὺ χωλαίνουν, διότι ἡ Ἐκκλησία εἶναι σῶμα· ἔχει ὀφθαλμό, ἔχει καὶ κεφαλή. Ὅπως λοιπὸν ἐὰν ἡ φτέρνα πατήση ἀγκάθι, τὸ μάτι σκύβει χαμηλά, ἐπειδὴ εἶναι μέλος τοῦ σώματος, καὶ δὲν λέγει, 'ἐπειδὴ βρίσκομαι ψηλά, περιφρονῶ τὸ μέλος ποὺ εἶναι κάτω', ἀλλὰ σκύβει καὶ ἀφήνει τὸ δικό του ὕψος· ἂν καὶ βέβαια τί ὑπάρχει εὐτελέστερο ἀπὸ τὴ φτέρνα ἢ τί εὐγενέστερο ἀπὸ τὸ μάτι; ἀλλὰ ἡ συμπάθεια διώρθωσε τὴν ἀνωμαλία καὶ ἡ ἀγάπη τὰ ἕνωσε ὅλα.

Ἔτσι κι' ἐσὺ κάνε· ἂν ἐσὺ εἶσαι γρήγορος, ἂν εἶσαι προετοιμασμένος γιὰ τὴ διδασκαλία, ἀλλ' ὁ ἀδελφός σου δὲν ἔχει παρακολουθήσει ὅσα ἔχουν λεχθῆ, ἂς κατεβῆ τὸ μάτι σου πρὸς τὴ φτέρνα· νοιῶσε συμπάθεια γιὰ τὸ μέλος ποὺ χωλαίνει, γιὰ νὰ μὴ μείνη, ἐξ αἰτίας τῆς δικῆς σου ταχύτητας καὶ τῆς δικῆς του βραδυπορίας, μακριὰ ἀπὸ τὴ διδασκαλία. Εἶσαι πλούσιος; Χαίρομαι καὶ εὐφραίνομαι· ὅμως ἐκεῖνος ἀκόμα εἶναι φτωχός· ἂς μὴ μένη στὴ φτώχεια ἐξ αἰτίας τοῦ δικοῦ σου πλούτου. Ἔχει ἀγκάθι ἐκεῖνος, ἔχει ταραγμένο λογισμό· ἀλλὰ κατέβα πρὸς αὐτόν, καὶ βγάλε τὸ ἀγκάθι.

Τί λοιπὸν λέγει; «Ἦταν κάποιος πλούσιος», κατ' ὄνομα, ὄχι στὴν πραγματικότητα. «Ἦταν κάποιος πλούσιος, ὁ ὁποῖος ντυνόταν μὲ πορφύρα, καθόταν σὲ πλούσιο τραπέζι, εἶχε ποτήρια ποὺ ξεχείλιζαν ἀπὸ κρασί, καὶ κάθε ἡμέρα ἔκαμνε συμπόσια· καὶ κάποιος ἄλλος ἦταν φτωχός, τὸ ὄνομά του ἦταν Λάζαρος»[9]. Καὶ ποῦ εἶναι τὸ ὄνομα τοῦ πλουσίου; Πουθενά· διότι εἶναι ἀνώνυμος. Πόσος ἦταν ὁ πλοῦτος του; καὶ τὸ ὄνομά του δὲν βρίσκεται. Τί εἴδους ἦταν αὐτὸς ὁ πλοῦτος; Δένδρο γεμᾶτο μὲ φύλλα, στερημένο ὅμως ἀπὸ καρπό· βελανιδιὰ πανύψηλη, προσφέρουσα τὰ βελανίδια γιὰ τροφὴ στὰ ζῶα· ἄνθρωπος ποὺ δὲν ἔχει ἔργα ἀνθρώπου. Διότι, ὅπου ὑπάρχουν πλοῦτος καὶ ἁρπαγές, λύκος εἶναι ἐκεῖνος ποὺ βλέπεις ἐκεῖ· ὅπου ὑπάρχει πλοῦτος καὶ θηριωδία, βλέπω λιοντάρι καὶ ὄχι ἄνθρωπο· ἔχασε τὴν εὐγένεια μὲ τὴν ταπεινότητα τῆς κακίας.

«Ἦταν κάποιος πλούσιος ποὺ ντυνόταν κάθε ἡμέρα μὲ πορφύρα», ἐνῶ ἡ ψυχή του ἦταν γεμάτη μὲ ἀράχνες· ἔπνεε μύρο, ἦταν ὅμως γεμᾶτος μὲ δυσωδία· παρέθετε πλούσιο τραπέζι, ἔτρεφε πα-

τρέφων καὶ κόλακας, τὴν δούλην παίνων τὴν σάρκα, τὴν δέσποιναν δὲ τὴν ψυχὴν λιμῷ φθειρομένην περιορῶν· κατεστεμμένη αὐτῷ ἡ οἰκία, καὶ ὁ τῆς ἁμαρτίας θεμέλιος κεκονιαμένος· ἐν οἴνῳ τὴν ψυχὴν ἔχων κατορωρυγμένην. Ἦν τοίνυν ὁ πλούσιος ἐκεῖνος 5 τράπεζαν ἔχων πολυτελῆ, κρατῆρας ἐστεμμένους οἴνου, παρασίτους τρέφων καὶ κόλακας, τὸ πονηρὸν τοῦ διαβόλου θέατρον, τοὺς λύκους τοὺς αἰχμαλωτίζοντας πολλοὺς τῶν πλουτούντων, τοὺς ὠνουμένους τῆς οἰκείας γαστρὸς τῇ πλησμονῇ τὴν ἐκείνων ἀπώλειαν, τοὺς πολλῇ τιμῇ καὶ κολακείᾳ τὸν πλοῦτον λυμαινομένους. 10 Οὐκ ἂν τις ἁμάρτοι τοὺς τοιούτους λύκους προσειπών, οἵ, καθάπερ πρόβατον τὸν πλούσιον ἐν μέσῳ λαβόντες, ἐπαίρουσι τοῖς ἐπαίνοις καὶ φυσῶσι τοῖς ἐγκωμίοις καὶ οὐκ ἀφιῆσιν αὐτὸν οὐδὲ τὸ ἕλκος ἰδεῖν, ἀλλὰ τυφλοῦσιν αὐτοῦ τὴν διάνοιαν, καὶ αὔξουσιν αὐτοῦ τὴν σηπεδόνα. Εἶτα καταλαμβάνοντος καιροῦ μεταβολῆς, ἐν φυγῇ οἱ 15 φίλοι, ἐν συμπαθείᾳ ἡμεῖς οἱ ἐπιτιμῶντες· τὰ προσωπεῖα ἐκείνων κρύπτεται· ὅπερ δὴ καὶ πολλάκις νῦν γέγονεν.

ε'. Ἦ τοίνυν ὁ πλούσιος ἐκεῖνος παρασίτους τρέφων καὶ κόλακας, θέατρον τὴν οἰκίαν ἐργαζόμενος, οἴνῳ ἕκαστον ἐκλύων, ἐν εὐημερίᾳ πολλῇ διατρίβων· ἕτερος δέ τις ἦν Λάζαρος ἑλκῶν γέμων, 20 πρὸς τὸν πυλῶνα τοῦ πλουσίου καθεζόμενος καὶ ἐπιθυμῶν ψιχίων. Παρὰ τὴν πηγὴν ἐδίψα, ἐν εὐημερίᾳ ἐλίμωττεν. Καὶ ποῦ ἔρριπτο; Οὐκ εἰς τὸ ἄμφοδον, οὐκ εἰς ῥύμην, οὐκ εἰς στενωπόν, οὐκ εἰς μέσην ἀγοράν, ἀλλ' εἰς τὸν πυλῶνα τοῦ πλουσίου, ὅπου ἀνάγκην εἶχεν εἰσόδων καὶ ἐξόδων ὁ πλούσιος, ἵνα μὴ λέγῃ· 'οὐκ εἶδον, 25 παρέδραμον, οὐκ εἶδόν μου οἱ ὀφθαλμοί'. Εἰς τὴν εἴσοδόν σου κεῖται, ὁ μαργαρίτης ἐν βορβόρῳ, καὶ οὐ βλέπεις; ὁ ἰατρὸς παρὰ τὸν πυλῶνα, καὶ οὐ θεραπεύῃ; ὁ κυβερνήτης ἐν τῷ λιμένι, καὶ ναυάγιον ὑπομένεις; παρασίτους τρέφεις, καὶ πένητας οὐ τρέφεις;

Ἐγίνετο τότε ταῦτα, γίνεται δὲ καὶ σήμερον. Διὰ γὰρ τοῦτο 30 ἐκεῖνα γέγραπται, ἵνα οἱ μετὰ ταῦτα ἀπὸ τῶν πραγμάτων παιδευθῶσι καὶ μὴ πάθωσιν ἐκεῖνα, ἅπερ ἔπαθεν οὗτος. Ἔκειτο τοίνυν ἐν τῷ πυλῶνι ὁ πένης· πένης μὲν ἔξωθεν, πλούσιος δὲ ἔσωθεν·

ρασίτους καὶ κόλακες, καὶ πάχαινε τὴ δούλη σάρκα, ἐνῶ τὴ βασίλισσα ψυχὴ τὴν ἄφηνε νὰ καταστρέφεται ἀπὸ τὴν πεῖνα· ἦταν καταστολισμένο τὸ σπίτι του, καὶ τὸ θεμέλιο τῆς ἁμαρτίας καλὰ ἀσβεστωμένο· εἶχε θαμμένη τὴν ψυχή του μέσα στὸ κρασί. Ἦταν λοιπὸν ὁ πλούσιος ἐκεῖνος, ποὺ εἶχε τραπέζι πολυτελές, τὰ ποτήρια του ξεχείλιζαν ἀπὸ κρασί, ἔτρεφε παρασίτους καὶ κόλακες, τὸ πονηρὸ θέατρο τοῦ διαβόλου, τοὺς λύκους ποὺ αἰχμαλωτίζουν πολλοὺς ἀπὸ τοὺς πλουσίους, ποὺ παζαρεύουν τὸ γέμισμα τῆς κοιλιᾶς τους, μὲ τὴν ἀπώλεια ἐκείνων, αὐτοὺς ποὺ ἀφανίζουν τὸν πλοῦτο μὲ τὶς πολλὲς τιμὲς καὶ κολακεῖες. Δὲν θὰ ἔσφαλλε κάποιος, ἂν αὐτοῦ τοῦ εἴδους τοὺς ἀνθρώπους τοὺς ὠνόμαζε λύκους, οἱ ὁποῖοι, ἀφοῦ βάλουν τὸν πλούσιο ἀνάμεσά τους σὰν πρόβατο, τὸν φουσκώνουν μὲ τοὺς ἐπαίνους, τὸν ἀπατοῦν μὲ τὰ ἐγκώμια, καὶ δὲν τὸν ἀφήνουν οὔτε τὸ τραῦμα του νὰ δῆ, ἀλλὰ τοῦ τυφλώνουν τὴ σκέψι καὶ τοῦ αὐξάνουν τὴν σαπίλα. Ἔπειτα, ὅταν φθάση ὁ καιρὸς τῆς μεταβολῆς, φεύγουν οἱ φίλοι, καὶ μένουμε ἐμεῖς ποὺ τὸν κατακρίνουμε, γιὰ νὰ τὸν βοηθήσουμε· τὰ δικά τους τὰ προσωπεῖα κρύβονται· πρᾶγμα ποὺ πολλὲς φορὲς μέχρι τώρα ἔχει γίνει.

5. Ἦταν λοιπὸν ὁ πλούσιος ἐκεῖνος, ποὺ ἔτρεφε πολλοὺς παρασίτους καὶ κόλακες, ποὺ μετέβαλλε τὸ σπίτι του σὲ θέατρο, κι' ἀχρήστευε τὸν καθένα μὲ τὸ κρασί, ποὺ ζοῦσε μέσα σὲ μεγάλη τρυφή. Ἀλλὰ ὑπῆρχε καὶ κάποιος ἄλλος Λάζαρος, ποὺ ἦταν γεμᾶτος μὲ πληγές, ποὺ καθόταν μπροστὰ στὴν πύλη τοῦ πλουσίου καὶ ἐπιθυμοῦσε τὰ ψίχουλα. Κοντὰ στὴν πηγὴ διψοῦσε, μέσα στὸν πλοῦτο πεινοῦσε. Καὶ ποῦ ἦταν πεταγμένος; Οὔτε στὴ συνοικία, οὔτε σὲ στενὸ δρομάκι, οὔτε σὲ στενὸ πέρασμα, οὔτε στὸ μέσο τῆς ἀγορᾶς, ἀλλὰ στὴν ἐξώπορτα τοῦ πλουσίου, ὅπου ἀναγκαστικὰ μπαινόβγαινε ὁ πλούσιος, γιὰ νὰ μὴ λέγη· 'δὲν τὸν εἶδα, προσπέρασα, δὲν τὸν εἶδαν τὰ μάτια μου'. Στὴν εἴσοδό σου βρίσκεται, μέσα στὸν βόρβορο τὸ μαργαριτάρι, καὶ δὲν τὸν βλέπεις; Ὁ γιατρὸς δίπλα στὴν πόρτα σου, καὶ δὲν θεραπεύεσαι; Ὁ κυβερνήτης μέσα στὸ λιμάνι, κι' ἐσὺ ναυαγεῖς; Τρέφεις παρασίτους καὶ δὲν τρέφεις τοὺς φτωχούς;

Γίνονταν αὐτὰ τότε, ἀλλὰ γίνονται καὶ σήμερα. Γι' αὐτὸ ἀκριβῶς ἔχουν γραφῆ ἐκεῖνα, γιὰ νὰ διδαχθοῦν ἀπὸ τὰ πράγματα οἱ μετέπειτα, καὶ νὰ μὴν πάθουν ἐκεῖνα ποὺ ἔπαθε ἐκεῖνος. Βρισκόταν λοιπὸν μπροστὰ στὴν ἐξώπορτα ὁ φτωχός. Φτωχὸς ἐξωτερικά,

ἔκειτο ἡλκωμένος τὸ σῶμα· θησαυρὸς ἄνωθεν ἀκάνθας ἔχων, κάτωθεν δὲ μαργαρίτας. Τί γὰρ αὐτῷ βλάβος ἀπὸ τῆς ἀρρωστίας τοῦ σώματος, τῆς ψυχῆς ὑγιαινούσης; Ἀκουέτωσαν οἱ πένητες καὶ μὴ ἀποπνιγήτωσαν ἀπὸ τῆς ἀθυμίας· ἀκουέτωσαν οἱ πλούσιοι καὶ με-
5 *ταβαλέσθωσαν ἀπὸ τῆς πονηρίας. Διὰ γὰρ τοῦτο αὗται αἱ δύο ἡμῖν εἰκόνες πρόκεινται, πλούτου καὶ πενίας, ὠμότητος καὶ καρτερίας, ὑπομονῆς καὶ πλεονεξίας, ἵν', ὅταν ἴδῃς πένητα ἡλκωμένον καὶ καταφρονούμενον, μὴ αὐτὸν ταλανίσῃς· ὅταν ἴδῃς πλούσιον καλλωπιζόμενον, μὴ αὐτὸν μακαρίσῃς. Ἀνάδραμε ἐπὶ τὴν παραβολήν· ἐὰν*
10 *θορυβῇ σε τὸ ναυάγιον τῶν λογισμῶν, δράμε ἐπὶ τὸν λιμένα, λαβὲ ἀπὸ τῆς διηγήσεως παραμυθίαν, ἐννόησον τὸν Λάζαρον καταφρονούμενον, ἐννόησον τὸν πλούσιον εὐημεροῦντα καὶ ἀπολαύοντα τρυφῆς, καὶ μηδέν σε θορυβείτω τῶν ἐν τῷ βίῳ γινομένων. Ἐὰν γὰρ λογισμὸν ἔχῃς ἠκριβωμένον, οὐ βαπτίζει σε τὰ κύματα, οὐ γί-*
15 *νεται ὑποβρύχιον τὸ πλοῖον, ἐὰν τῇ διακρίσει τῶν λογισμῶν διαιρῇς τῶν πραγμάτων τὴν φύσιν.*

Τί μοι λέγεις, 'τὸ σῶμά μου στενοχωρεῖται'; Ἡ διάνοιά σου μὴ παραβλαβείη. Ὁ δεῖνα πλούσιος καὶ πονηρός· καὶ τί τοῦτο; ἀλλ' ἡ κακία οὐκ αἰσθητή. Μή μοι ἀπὸ τῶν ἔξωθεν τὸν ἄνθρωπον,
20 *ἀλλὰ τῶν ἔνδοθεν δοκίμαζε. Ἐὰν ἴδῃς δένδρον, τὰ φύλλα καταμανθάνεις, ἢ τὸν καρπόν; Οὕτω δὴ καὶ ἐπὶ τοῦ ἀνθρώπου, ἐὰν ἴδῃς ἄνθρωπον, μὴ τὰ ἔξωθεν δοκίμαζε, ἀλλὰ τὰ ἔνδοθεν· τὸν καρπὸν καταμάνθανε καὶ μὴ τὰ φύλλα. Μήποτε ἀγριελαία μέν ἐστιν, νομίζεται δὲ ἐλαία· μήποτε λύκος μέν ἐστι, νομίζεται δὲ εἶναι ἄνθρωπος.*
25 *Μὴ τοίνυν ἀπὸ τῆς φύσεως καταμάνθανε, ἀλλ' ἀπὸ τῆς προαιρέσεως, μὴ ἀπὸ τῆς ὄψεως, ἀλλ' ἀπὸ τῆς γνώμης· καὶ οὐκ ἀπὸ τῆς γνώμης μόνον, ἀλλὰ καὶ περιεργάζου αὐτοῦ τὸν βίον. Εἰ φιλοπτωχίαν ἔχει, ἄνθρωπός ἐστιν· εἰ δὲ ἐν ἐμπορίαις ἀναστρέφεται, δρῦς ἐστιν· εἰ δὲ θυμῷ θηριώδης ἐστί, λέων ἐστίν· εἰ δὲ ἅρπαξ ἐστί, λύ-*
30 *κος ἐστίν· εἰ δὲ ὕπουλός ἐστι, ἀσπίς ἐστι. Καὶ εἰπέ· 'ἐγὼ ἄνθρωπον ζητῶ, τί μοι ἔδειξας θηρίον ἀντὶ ἀνθρώπου;' Μάθε τί ποτε ἀρετὴ ἀνθρώπου, καὶ μὴ θορυβοῦ.*

Ἦν τοίνυν ὁ Λάζαρος ἐν τῷ πυλῶνι κείμενος, ἡλκωμένος, λιμῷ τηκόμενος· οἱ δὲ κύνες ἐρχόμενοι ἔλειχον αὐτοῦ τὰ τραύματα·

πλούσιος ὅμως ἐσωτερικά· βρισκόταν μὲ καταπληγωμένο τὸ σῶμα· θησαυρὸς ποὺ εἶχε ἀπὸ πάνω ἀγκάθια καὶ ἀπὸ κάτω μαργαριτάρια. Πράγματι, ποιά ἦταν ἡ ζημία του ἀπὸ τὴν ἀσθένεια τοῦ σώματος, ἀφοῦ ἡ ψυχὴ ἦταν ὑγιής; Ἂς τὰ ἀκούσουν οἱ φτωχοὶ καὶ ἂς μὴν καταπνιγοῦν ἀπὸ τὴ στενοχώρια. Ἂς τὰ ἀκούσουν οἱ πλούσιοι, καὶ ἂς μετανοήσουν γιὰ τὴν κακία τους. Γι' αὐτὸ ἀκριβῶς βρίσκονται μπροστά μας αὐτὲς οἱ δύο εἰκόνες, τοῦ πλούτου καὶ τῆς φτώχειας, τῆς σκληρότητας καὶ τῆς καρτερίας, τῆς ὑπομονῆς καὶ τῆς πλεονεξίας, ὥστε, ὅταν δῆς φτωχὸ πληγωμένο καὶ καταφρονημένο, νὰ μὴν τὸν κακοτυχίσης· ὅταν δῆς πλούσιο νὰ καλλωπίζεται νὰ μὴ τὸν καλοτυχίσης. Γύρνα πίσω στὴν παραβολή, ἐὰν σὲ θορυβῆ τὸ ναυάγιο τῶν λογισμῶν, τρέχα στὸ λιμάνι, πᾶρε παρηγοριὰ ἀπὸ τὴ διήγησι, θυμήσου τὸν Λάζαρο καταφρονημένο, σκέψου τὸν πλούσιο νὰ εὐημερῆ καὶ ν' ἀπολαμβάνη τὴν πολυτέλεια καὶ τίποτε ἂς μὴ σὲ θορυβῆ, ἀπὸ ὅσα συμβαίνουν στὴ ζωή. Διότι, ἐὰν ἔχης λογισμὸ τέλειο, δὲν σὲ καταποντίζουν τὰ κύματα, δὲν καταβυθίζεται τὸ πλοῖο, ἐὰν μὲ τὴ διάκρισι τῶν λογισμῶν ξεχωρίζης τὴ φύσι τῶν πραγμάτων.

Τί μοῦ λές, στενοχωρεῖται τὸ σῶμα μου; Ἡ διάνοία σου νὰ μὴ πάθη ζημιά. Ὁ τάδε εἶναι πλούσιος καὶ κακός. Καὶ τί μ' αὐτό; ἀλλὰ ἡ κακία δὲν φαίνεται. Μὴ μοῦ κρίνης τὸν ἄνθρωπο ἀπὸ τὰ ἐξωτερικά, ἀλλὰ ἀπὸ τὰ ἐσωτερικά. Ἐὰν δῆς ἕνα δένδρο, παρατηρεῖς τὰ φύλλα ἢ τὸν καρπό; Ἔτσι λοιπὸν καὶ στὴν περίπτωσι τοῦ ἀνθρώπου, ὅταν δῆς ἄνθρωπο, μὴν τὸν κρίνης ἀπ' ἔξω, ἀλλὰ ἀπὸ μέσα· τὸν καρπὸ ἐξέταζε καὶ ὄχι τὰ φύλλα. Μήπως ποτέ, ἐνῶ εἶναι ἀγριεληά, θεωρηθῆ ὅτι εἶναι ἐληά· μήπως εἶναι λύκος, καὶ θεωρεῖται ἄνθρωπος. Μὴ λοιπὸν σχηματίζης γνώμη ἀπὸ τὴ φύσι, ἀλλὰ ἀπὸ τὴ διάθεσι· ὄχι ἀπὸ τὴν ὄψι, ἀλλὰ ἀπὸ τὴ γνώμη· καὶ ὄχι μόνον ἀπὸ τὴ γνώμη, ἀλλὰ ἐξέταζε καὶ τὴ ζωή του. Ἐὰν ἀγαπᾶ τοὺς φτωχούς, εἶναι ἄνθρωπος· ἂν οἱ συναναστροφές του ἀποβλέπουν στὸ συμφέρον, εἶναι βελανιδιά· ἐὰν στὴν ψυχή του εἶναι ἄγριος, εἶναι λιοντάρι· ἂν εἶναι ἅρπαγας, εἶναι λύκος· ἂν εἶναι ὕπουλος, εἶναι φίδι φαρμακερό. Καὶ πές· Ἐγὼ ζητῶ ἄνθρωπο, γιατί μοῦ ἔδειξες θηρίο, ἀντὶ ἀνθρώπου; Μάθε, τί πραγματικὰ εἶναι ἡ ἀρετὴ στὸν ἄνθρωπο, καὶ μὴ θορυβῆσαι.

Βρισκόταν λοιπὸν ὁ Λάζαρος ξαπλωμένος ἐκεῖ στὴν ἐξώπορτα, γεμᾶτος πληγές, καὶ ἔλειωνε ἀπὸ τὴν πεῖνα· καὶ τὰ σκυλιὰ ἔρχο-

τοῦ ἀνθρώπου οἱ κύνες φιλανθρωπότεροι ἔλειχον αὐτοῦ τὰ τραύματα καὶ τὴν σηπεδόνα περιήρουν καὶ ἐξεκάθαιρον. Ἔκειτο δὲ ἐκεῖνος καθάπερ χρυσίον ἐν καμίνῳ παρακαθεζόμενος καὶ δοκιμώτερος γινόμενος· οὐκ εἶπεν ὃ πολλοὶ τῶν πενήτων· 'Ταῦτα προ-
5 νοίας; ἆρα Θεὸς ἐφορᾷ τὰ ἀνθρώπινα; ἐγὼ ἐν δικαιοσύνῃ, καὶ πένομαι, καὶ οὗτος ἐν ἀδικίᾳ, καὶ πλουτεῖ;' Οὐδὲν τούτων ἐλογίσατο, ἀλλὰ παρεχώρει τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ φιλανθρωπίας· τὴν ψυχὴν τὴν ἑαυτοῦ ἀποσμήχων, τὴν καρτερίαν φέρων, τὴν ὑπομονὴν ἐνδεικνύμενος, κείμενος τῷ σώματι, καὶ τρέχων τῇ διανοίᾳ,
10 ἐπτερωμένος τῇ γνώμῃ, τὸ βραβεῖον ἁρπάζων, ἀναδὺς τῶν κακῶν, καὶ τῶν ἀγαθῶν μάρτυς. Οὐκ εἶπεν· 'Παράσιτοι μετὰ δαψιλείας ἀπολαύουσι, ἐγὼ δὲ ψιχίων οὐ καταξιοῦμαι'· ἀλλὰ τί; Ηὐχαρίστει καὶ ἐδόξαζε τὸν Θεόν.

Ἐγένετο ἀποθανεῖν αὐτούς· ἀπέθανεν ὁ πλούσιος, καὶ ἐτάφη·
15 ἀπῆλθε καὶ ὁ Λάζαρος· οὐ γὰρ ἂν εἴποιμι, ἀπέθανε. Τοῦ μὲν γὰρ πλουσίου ὁ θάνατος θάνατος καὶ τάφος, τοῦ δὲ πένητος ὁ θάνατος ἀποδημία καὶ πρὸς τὰ βελτίω μετάστασις, καὶ ἀπὸ τοῦ σκάμματος ἐπὶ τὰ βραβεῖα ὁ δρόμος, ἀπὸ τοῦ πελάγους ἐπὶ τὸν λιμένα, ἀπὸ τῆς παρατάξεως ἐπὶ τὸ τρόπαιον, ἀπὸ τῶν ἱδρώτων ἐπὶ τὸν στέφανον.
20 Ἀπῆλθον ἀμφότεροι ἐκεῖ, ὁποῦ τὰ ἀληθινὰ πράγματα· ἐλύθη τὸ θέατρον καὶ ἀπεκαλύφθη τὰ προσωπεῖα. Καθάπερ γὰρ ἐν τῷ θεάτρῳ τούτῳ ἐν μεσημβρίᾳ μέσῃ παραπετάσματα γίνεται καὶ εἰσέρχονται πολλοὶ τῶν σκηνικῶν, ὑποκρινόμενοι, προσωπεῖα ἐν τῇ ὄψει ἔχοντες καὶ μῦθον παλαιὸν ἀπαγγέλλοντες καὶ τὰ πράγματα διηγούμε-
25 νοι, καὶ ὁ μὲν γίνεται φιλόσοφος, οὐκ ὢν φιλόσοφος, ὁ δὲ γίνεται βασιλεύς, οὐκ ὢν βασιλεύς, ἀλλὰ σχῆμα ἔχων διὰ τῆς ὑφηγήσεως· ὁ δὲ ἰατρὸς οὐδὲ ξύλον μεταχειρίσασθαι δυνάμενος, ἀλλὰ ἰατροῦ ἱμάτια περιβεβλημένος, ὁ δὲ δοῦλος, ἐλεύθερος ὤν, ὁ δὲ διδάσκαλος, οὐδὲ γράμματα ἐπιστάμενος, οὐδὲν ὧν εἰσι φαίνονται, ἃ δέ εἰ-
30 σιν οὐ φαίνονται (φαίνεται γὰρ ἰατρὸς οὐκ ὢν ἰατρός, καὶ φαίνεται φιλόσοφος κόμην ἔχων ἐν τῷ προσωπείῳ, καὶ φαίνεται στρατιώτης στρατιώτου σχῆμα περιβεβλημένος· καὶ ἀπατᾷ ἡ ὄψις τοῦ προσωπείου, ἀλλ' οὐ ψεύδεται τὴν φύσιν, ἧς μεταβάλλει τὴν ἀλήθειαν.

νταν καὶ τοῦ ἔγλυφαν τὶς πληγές. Τὰ σκυλιὰ ἦταν πιὸ φιλάνθρωπα ἀπὸ τὸν ἄνθρωπο καὶ τοῦ ἔγλυφαν τὶς πληγές, ἀφαιρώντας τὴν σαπίλα καὶ καθαρίζοντάς την. Βρισκόταν ἐκεῖνος σὰν τὸν χρυσὸ μέσα στὸ καμίνι, καὶ γινόταν λαμπρότερος. Δὲν εἶπε αὐτὸ ποὺ λένε πολλοὶ ἀπὸ τοὺς φτωχούς· 'Αὐτὰ εἶναι ἀπόδειξις τῆς πρόνοιας; Ἐπιβλέπει ἄραγε ὁ Θεὸς τὰ ἀνθρώπινα; Ἐγὼ ζῶ ἐνέρετα καὶ πεινῶ, καὶ αὐτὸς ζῇ μέσα στὴν ἀδικία καὶ εἶναι πλούσιος'. Τίποτε ἀπὸ αὐτὰ δὲν σκέφθηκε, ἀλλὰ ὑποτασσόταν στὴν ἀκατάληπτη φιλανθρωπία τοῦ Θεοῦ· ἔσφιγγε τὴν ψυχή του, ὑπέμενε καρτερικά, γινόταν πρότυπο ὑπομονῆς, ἦταν ξαπλωμένος σωματικά, μὲ τὴ σκέψι του ὅμως ἔτρεχε, εἶχε φτερὰ στὴ θέλησι, καὶ ἅρπαζε τὸ βραβεῖο σωσμένος μέσα ἀπὸ τὶς δυστυχίες, καὶ θεατὴς τῶν ξένων ἀγαθῶν. Δὲν εἶπε· 'Οἱ παράσιτοι τὰ ἀπολαμβάνουν μὲ ἀφθονία, κι' ἐγὼ δὲν ἀξιώνομαι τὰ ψίχουλα'· ἀλλὰ τί; Εὐχαριστοῦσε καὶ δόξαζε τὸν Θεό.

Ἦρθε ἡ ὥρα νὰ πεθάνουν καὶ οἱ δύο· πέθανε ὁ πλούσιος καὶ τάφηκε· ἔφυγε καὶ ὁ Λάζαρος· διότι δὲν θὰ μποροῦσα νὰ πῶ, πέθανε· διότι τοῦ πλουσίου ὁ θάνατος ἦταν θάνατος καὶ τάφος, ἐνῶ τοῦ φτωχοῦ ὁ θάνατος ἦταν ἀποδημία καὶ μετάβασις πρὸς τὰ καλύτερα, ἀπὸ τὸ σκάμμα πρὸς τὰ βραβεῖα ὁ δρόμος, ἀπὸ τὸ πέλαγος πρὸς τὸ λιμάνι, ἀπὸ τὴ μάχη πρὸς τὸ τρόπαιο, ἀπὸ τοὺς κόπους πρὸς τὸ στεφάνι. Ἔφυγαν καὶ οἱ δύο γιὰ ἐκεῖ, ὅπου εἶναι τὰ ἀληθινὰ πράγματα· διαλύθηκε τὸ θέατρο καὶ ἀποκαλύφθηκαν τὰ προσωπεῖα. Διότι, ὅπως ἀκριβῶς καὶ σ' αὐτὸ τὸ θέατρο, μέσα στὸ καταμεσήμερο στήνονται τὰ σκηνικά, καὶ εἰσέρχονται πολλοὶ θεατρίνοι ποὺ ὑποκρίνονται, ἔχοντας προσωπεῖα στὸ πρόσωπό τους, καὶ ἀπαγγέλλουν μιὰ παλιὰ ἱστορία, καὶ ἀφηγοῦνται τὰ γεγονότα, καὶ ὁ ἕνας γίνεται φιλόσοφος, χωρὶς νὰ εἶναι φιλόσοφος, ὁ ἄλλος γίνεται βασιλιάς, ἂν καὶ δὲν εἶναι βασιλιάς, ἀλλὰ παίρνει τὴ μορφὴ ἀπὸ τὴν ὑπόθεσι· καὶ ὁ γιατρός, ἐνῶ δὲν μπορεῖ νὰ μεταχειρισθῇ οὔτε ξύλο, εἶναι ντυμένος μὲ τὰ ροῦχα τοῦ γιατροῦ, ὁ δοῦλος πάλι εἶναι κάποιος ἐλεύθερος, καὶ ὁ διδάσκαλος κάποιος ποὺ δὲν ξέρει γράμματα, χωρὶς νὰ εἶναι τίποτε ἀπὸ αὐτὸ ποὺ φαίνονται, οὔτε φαίνονται αὐτοὶ ποὺ εἶναι (διότι φαίνεται γιατρὸς χωρὶς νὰ εἶναι γιατρός, φαίνεται φιλόσοφος, ἔχοντας μαλλιὰ στὸ προσωπεῖο, φαίνεται στρατιώτης, ντυμένος μὲ τὴ στολὴ τοῦ στρατιώτη)· καὶ ξεγελᾶ ἡ ὄψις τοῦ προσωπείου, ἀλλὰ δὲν ἀπατᾶ τὴ φύσι, ποὺ τῆς ἀλλάσσει τὴν ἀλήθεια. Καὶ

Καὶ ἕως μὲν καθέζονται οἱ τερπόμενοι, τὰ προσωπεῖα ἵσταται· ἐπειδὰν δὲ ἑσπέρα καταλάβῃ καὶ λυθῇ τὸ θέατρον καὶ πάντες ἀναχωρήσωσι, ρίπτονται τὰ προσωπεῖα, καὶ ὁ ἔνδον βασιλεὺς εὑρίσκεται ἔξω χαλκότυπος. Ἀπερρίφη τὰ προσωπεῖα, ἀπῆλθεν ἡ ἀπάτη, 5 ἐδείχθη ἡ ἀλήθεια· καὶ εὑρίσκεται ὁ ἔνδον ἐλεύθερος, ἔξω δοῦλος· ὅπερ γὰρ εἶπον, ἔσω μὲν ἡ ἀπάτη, ἔξω δὲ ἡ ἀλήθεια· κατέλαβεν δὲ ἡ ἑσπέρα· ἐλύθη τὸ θέατρον, ἐφάνη ἡ ἀλήθεια).

Οὕτω καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ τέλει· τὰ παρόντα θέατρον, τὰ πράγματα ὑπόκρισις, πλοῦτος καὶ πενία, καὶ ἄρχων καὶ ἀρχόμενος, 10 καὶ ὅσα τοιαῦτα· ὅταν δὲ ἀποβληθῇ ἡ ἡμέρα ἐκείνη καὶ ἔλθῃ ἡ νὺξ ἐκείνη ἡ φοβερά, μᾶλλον δὲ ἡ ἡμέρα, νὺξ μὲν τοῖς ἁμαρτωλοῖς, ἡμέρα δὲ τοῖς δικαίοις, ὅταν λυθῇ τὸ θέατρον, ὅταν ριφῇ τὰ προσωπεῖα, ὅταν δοκιμάζηται ἕκαστος καὶ τὰ ἔργα αὐτοῦ, οὐχ ἕκαστος καὶ ἡ τιμὴ αὐτοῦ, οὐχ ἕκαστος καὶ ἡ δυναστεία αὐτοῦ, ἀλλ' ἕκαστος 15 καὶ τὰ ἔργα αὐτοῦ, καὶ ἄρχων καὶ βασιλεύς, καὶ γυνὴ καὶ ἀνήρ, ὅτε ἡμᾶς βίον ἀπαιτεῖ καὶ πράξεις ἀγαθάς, οὐκ ἀξιωμάτων ὄγκον, οὐ πενίας εὐτέλειαν, οὐ καταφρονήσεως τυραννίδα· ἐμοὶ ἔργα δός, κἂν δοῦλος ᾖς, τοῦ ἐλευθέρου ἀμείνων, κἂν γυνὴ ᾖς τοῦ ἀνδρὸς ἀνδρειοτέρα· ἐπειδὰν ριφῇ τὰ προσωπεῖα, τότε φαίνεται καὶ ὁ πλού-20 σιος καὶ ὁ πένης· καὶ ὥσπερ ᾧδε, ἐπειδὰν λυθῇ τὸ θέατρον καί τις ἡμῶν ἄνω καθήμενος ἴδῃ τὸν ἔσω φιλόσοφον, ἔξω χαλκότυπον, λέγει· 'Οὐά, οὗτος οὐκ ἦν ἔσω φιλόσοφος; ἔξω χαλκότυπον ὁρῶ· οὗτος οὐκ ἔσω βασιλεύς; ἔξω εὐτελῆ τινα ὁρῶ· οὗτος οὐκ ἦν ἔνδον πλούσιος; ἔξω πένητα ὁρῶ'· οὕτως καὶ ἐκεῖ γίνεται.

25 στ'. Διὰ τοῦτο οὐκ ἄγω τὸν λόγον εἰς πλάτος, ἵνα μὴ συγχέω τὸν ἀκροατὴν τῷ πλήθει τῶν λεγομένων· ἀλλ' εἰς δύο προσωπεῖα τὴν ὑπόκρισιν τοῦ θεάτρου παραστῆσαι βούλομαι. Δύο προσωπεῖα μετεχειρισάμην, ἀπὸ τῶν δύο τούτων τέμνων ὑμῖν ὁδόν, καὶ διδοὺς ἀφορμήν. Ἐνεπλάτυνα ὑμῶν τὴν διάνοιαν τῇ διηγήσει τοῦ παρόν-30 τος βίου, ὥστε ἕκαστον καταμαθεῖν τὴν διαφορὰν τῶν πραγμάτων. Δύο τοίνυν προσωπεῖα· ὁ μὲν προσωπεῖον εἶχε πλουσίου, ὁ δὲ πένητος· ὁ Λάζαρος προσωπεῖον πένητος, ὁ δὲ πλούσιος προσωπεῖον πλουσίου· προσωπεῖα τὰ φαινόμενα, οὐ πραγμάτων ἀλήθεια.

ὅσο κάθονται ἐκεῖ αὐτοὶ ποὺ διασκεδάζουν, παραμένουν τὰ προσωπεῖα· ὅταν ὅμως βραδυάση καὶ διαλυθῆ τὸ θέατρο καὶ ἀναχωρήσουν ὅλοι, ἀποβάλλονται τὰ προσωπεῖα καὶ αὐτὸς ποὺ ἦταν μέσα βασιλιὰς βρίσκεται ἔξω χαλκουργός. Ἔπεσαν τὰ προσωπεῖα, ἔφυγε ἡ ἀπάτη, φάνηκε ἡ ἀλήθεια· καὶ βρίσκεται αὐτὸς ποὺ ἦταν μέσα ἐλεύθερος, ἔξω δοῦλος· διότι γίνεται αὐτὸ ἀκριβῶς ποὺ εἶπα, μέσα ὑπάρχει ἡ ἀπάτη, καὶ ἔξω ἡ ἀλήθεια· καὶ ἦρθε τὸ βράδυ, διαλύθηκε τὸ θέατρο, φάνηκε ἡ ἀλήθεια).

Ἔτσι γίνεται καὶ στὴ ζωὴ καὶ στὸ τέλος της. Εἶναι θέατρο τὰ παρόντα, εἶναι ὑπόκρισις τὰ πράγματα, πλοῦτος καὶ φτώχεια, ἄρχοντας καὶ ὑπήκοος καὶ ὅλα τὰ ὅμοια· ὅταν ὅμως περάση ἡ ἡμέρα ἐκείνη καὶ ἔρθη ἡ νύχτα ἐκείνη ἡ φοβερή, ἢ καλύτερα ἡ ἡμέρα, νύχτα βέβαια γιὰ τοὺς ἁμαρτωλούς, ἡμέρα ὅμως γιὰ τοὺς δικαίους· ὅταν διαλυθῆ τὸ θέατρο, ὅταν βγοῦν τὰ προσωπεῖα, ὅταν κρίνεται ὁ καθένας καὶ τὰ ἔργα του, ὄχι ὁ καθένας καὶ ὁ πλοῦτος του, ὄχι ὁ καθένας και ἡ δύναμίς του, ἀλλὰ ὁ καθένας καὶ τὰ ἔργα του, καὶ ὁ ἄρχοντας καὶ ὁ βασιλιὰς καὶ ἡ γυναῖκα καὶ ὁ ἄνδρας, ἀφοῦ ὁ Θεὸς ἀπαιτεῖ ἀπὸ ἐμᾶς ζωὴ καὶ πράξεις ἀγαθὲς καὶ ὄχι μεγάλα ἀξιώματα, οὔτε εὐτέλεια φτώχειας, οὔτε τυραννικὴ ἐξουσία περιφρονήσεως· ἐμένα δός μου ἔργα, κι' ἂν εἶσαι δοῦλος, εἶσαι καλύτερος ἀπὸ τὸν ἐλεύθερο, κι' ἂν εἶσαι γυναῖκα, εἶσαι ἀνδρειότερη ἀπὸ τὸν ἄνδρα. Ὅταν βγοῦν τὰ προσωπεῖα, τότε φαίνεται καὶ ὁ πλούσιος καὶ ὁ φτωχός. Καὶ ὅπως ἀκριβῶς ἐδῶ, ὅταν διαλυθῆ τὸ θέατρο, καὶ κάποιος ἀπὸ μᾶς ποὺ κάθεται ἐπάνω δῆ αὐτὸν ποὺ παριστάνει τὸν φιλόσοφο, νὰ εἶναι ἔξω χαλκουργός, λέγει· 'ἀλλοίμονο, αὐτὸς δὲν ἦταν μέσα φιλόσοφος; ἔξω τὸν βλέπω χαλκουργό· αὐτὸς δὲν ἦταν μέσα πλούσιος; ἔξω τὸν βλέπω φτωχό'· ἔτσι γίνεται καὶ ἐκεῖ.

6. Γι' αὐτὸ δὲν μακρυγορῶ, γιὰ νὰ μὴν προκαλέσω σύγχυσι στὸν ἀκροατὴ μὲ τὰ πολλὰ λόγια· ἀλλὰ θέλω νὰ παρουσιάσω τὴν ὑπόκρισι τοῦ θεάτρου σὲ δύο προσωπεῖα. Δυὸ προσωπεῖα χρησιμοποίησα, γιὰ νὰ χαράξω δρόμο γιὰ σᾶς μὲ τὰ δυὸ αὐτά, καὶ νὰ σᾶς δώσω τὴν ἀφορμή. Ἐπλάτυνα τὴ διάνοιά σας μὲ τὴ διήγησι αὐτῆς τῆς ζωῆς, ὥστε ὁ καθένας νὰ μάθη τὴ διαφορὰ τῶν πραγμάτων. Δύο λοιπὸν προσωπεῖα· ὁ ἕνας εἶχε προσωπεῖο πλουσίου, ἐνῶ ὁ ἄλλος φτωχοῦ· ὁ Λάζαρος προσωπεῖο φτωχοῦ, ἐνῶ ὁ πλούσιος προσωπεῖο πλουσίου· εἶναι προσωπεῖα αὐτὰ ποὺ φαίνονται, δὲν εἶναι ἡ ἀλήθεια τῶν

Ἀπῆλθον ἀμφότεροι ἐκεῖ, ὅ τε πλούσιος, καὶ ὁ πένης· ἔλαβον τὸν Λάζαρον οἱ ἄγγελοι· μετὰ τοὺς κύνας ἄγγελοι, μετὰ τὸν πυλῶνα τοῦ πλουσίου ὁ κόλπος τοῦ Ἀβραάμ, μετὰ τον λιμὸν εὐθηνία πέρας οὐκ ἔχουσα, μετὰ τὴν θλῖψιν ἄνεσις ἀκατάλυτος· ἐκεῖνον δὲ τὸν πλού-5 σιον μετὰ τὸν πλοῦτον πενία, μετὰ τὴν τράπεζαν τὴν πλουσίαν κόλασις καὶ τιμωρία, μετὰ τὴν ἄνεσιν ὀδύναι ἀκαρτέρητοι.

Καὶ ὅρα τί γίνεται· ἀπῆλθον ἐκεῖ, καὶ ἐλύθη τὸ θέατρον· ἀπεκαλύφθη τὰ προσωπεῖα, φαίνονται λοιπὸν αἱ ὄψεις. Ἀπῆλθον ἀμφότεροι ἐκεῖ, καὶ ὁρᾷ ὁ πλούσιος ἀποτηγανιζόμενος τὸν Λάζαρον 10 ἐν κόλποις τοῦ Ἀβραὰμ εὐθυνούμενον, ἀπολαύοντα, τρυφῶντα· καὶ λέγει πρὸς αὐτόν· «πάτερ Ἀβραάμ, πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ αὐτοῦ ἐπιστάξῃ μου τῇ γλώττῃ, ὅτι ἀποτηγανίζομαι». Τί οὖν ὁ Ἀβραάμ; «Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Ἄλλως 15 δὲ καὶ χάος μεταξὺ ἡμῶν καὶ ὑμῶν ἐστήρικται, ἵνα, ἐάν τις βούληται ἐντεῦθεν ἐκεῖ διαβῆναι πρὸς ὑμᾶς, μὴ δύνηται». Προσέχετε· χρήσιμος γὰρ ὁ περὶ τούτων λόγος, φοβῶν μέν, καθαίρων δέ, ὀδυνῶν μέν, διορθούμενος δέ. Δέχου τὰ λεγόμενα.

Ὢν δὴ ἐν τοῖς βασάνοις ὁ πλούσιος ἀνέβλεψε, καὶ εἶδε τὸν 20 Λάζαρον· εἶδε καινὰ πράγματα. Εἰς τὸν πυλῶνά σου ἦν καθ' ἑκάστην ἡμέραν· δεύτερον καὶ τρίτον εἰσήρχου καὶ ἐξήρχου, καὶ οὐκ ἔβλεπες αὐτόν· καὶ ὅτε εἰς τὰ τήγανα εἶ, ἀπὸ διαστήματος βλέπεις; Ὅτε ἐν τῷ πλούτῳ διῆγες, ὅτε ἐν τῇ βουλῇ σου τὸ ὁρᾶν ἦν, οὐ προέθου τοῦ ἰδεῖν αὐτόν· ἱνατί νῦν ὀξυδερκεῖς; Οὐκ ἐν τῷ πυλῶνί 25 σου ἦν; πῶς αὐτὸν οὐκ ἔβλεπες; ἐγγὺς ὄντα οὐκ εἶδες, καὶ νῦν ἀπὸ διαστήματος βλέπεις καὶ τοσούτου χάους ὄντος; Καὶ τί ποιεῖ; Τὸν Ἀβραὰμ «πατέρα» καλεῖ. Τί λέγεις πατέρα, οὗ οὐκ ἐμιμήσω τὴν φιλοξενίαν; Πατέρα καλεῖ οὗτος, τέκνον ἐκεῖνος· τὰ ὀνόματα τῆς συγγενείας, καὶ οὐδαμοῦ ἡ ἀντίληψις. Ἀλλὰ προφέρει τὰ ὀνόματα, 30 ἵνα μάθητε, ὅτι γένους ὄφελος οὐδέν.

Εὐγένεια γὰρ οὐ προγόνων περιφάνεια, ἀλλὰ τρόπων ἀρετή.

10. Λουκᾶ 16,24-26.

πραγμάτων. Ἔφυγαν καὶ οἱ δύο γιὰ ἐκεῖ, καὶ ὁ πλούσιος καὶ ὁ φτωχός· παρέλαβαν τὸν Λάζαρο οἱ ἄγγελοι· μετὰ τὰ σκυλιὰ οἱ ἄγγελοι, μετὰ τὴν ἐξώπορτα τοῦ πλουσίου ἡ ἀγκαλιὰ τοῦ Ἀβραάμ, μετὰ τὴν πεῖνα ἡ ἀφθονία ποὺ δὲν ἔχει τέλος, μετὰ τὴν θλῖψι ἡ ἀκατάπαυστη ἄνεσις. Ἐκεῖνον ὅμως τὸν πλούσιο τὸν περίμεναν μετὰ τὸν πλοῦτο ἡ φτώχεια, μετὰ τὸ πλούσιο τραπέζι ἡ κόλασις καὶ ἡ τιμωρία, μετὰ τὴν ἄνεσι ἀνυπόφοροι πόνοι.

Καὶ πρόσεχε τί γίνεται· πῆγαν ἐκεῖ καὶ διαλύθηκε τὸ θέατρο· ἀποκαλύφθηκαν τὰ προσωπεῖα, φαίνονται λοιπὸν τὰ πρόσωπα. Ἔφθασαν καὶ οἱ δύο ἐκεῖ, καὶ βλέπει ὁ πλούσιος ποὺ τηγανιζόταν τὸν Λάζαρο στοὺς κόλπους τοῦ Ἀβραὰμ νὰ χαίρεται, ν' ἀπολαμβάνη, νὰ εὐτυχῇ· καὶ λέγει πρὸς αὐτόν· «πάτερ Ἀβραάμ, στεῖλε τὸν Λάζαρο νὰ μοῦ δροσίση τὴ γλῶσσα μὲ τὴν ἄκρη τοῦ δακτύλου του, διότι καίγομαι». Τί λοιπὸν εἶπε ὁ Ἀβραάμ; «Τέκνο μου, ἐσὺ ἀπήλαυσες τὰ ἀγαθά σου, καὶ ὁ Λάζαρος ἀπήλαυσε τὰ κακὰ τῆς δυστυχίας του· καὶ τώρα αὐτὸς παρηγορεῖται κι' ἐσὺ ὑποφέρεις. Ἐξ ἄλλου χάος μεγάλο εἶναι στηριγμένο ἀνάμεσα σ' ἐμᾶς καὶ σ' ἐσᾶς, ὥστε, ἐὰν κάποιος θέλη ἀπὸ ἐδῶ νὰ μεταβῇ πρὸς ἐσᾶς, νὰ μὴν μπορῇ»[10]. Προσέχετε· διότι εἶναι χρήσιμος ὁ λόγος γι' αὐτά, φοβίζει ἀσφαλῶς, ἀλλὰ καὶ καθαρίζει· στενοχωρεῖ, ἀλλὰ καὶ διορθώνει. Δέξου αὐτὰ ποὺ λέγονται.

Ἐνῶ λοιπὸν ὁ πλούσιος βασανιζόταν, σήκωσε ψηλὰ τὸ βλέμμα του καὶ εἶδε τὸν Λάζαρο· εἶδε καινούργια πράγματα. Μπροστὰ στὴν πύλη σου ἦταν κάθε ἡμέρα· δυὸ καὶ τρεῖς φορὲς ἔμπαινες καὶ ἔβγαινες καὶ δὲν τὸν ἔβλεπες, καὶ τώρα ποὺ κατατηγανίζεσαι, τὸν βλέπεις ἀπὸ μακριά; Ὅταν ζοῦσες μέσα στὸν πλοῦτο, ὅταν ἀπὸ σένα ἐξαρτῶταν τὸ νὰ τὸν βλέπης, δὲν καταδέχθηκες νὰ τὸν δῇς· γιατί τώρα ἔχεις ἰσχυρὴ ὅρασι; Δὲν ἦταν μπροστὰ στὴν πόρτα σου; Πῶς δὲν τὸν ἔβλεπες; Ἐνῶ ἦταν κοντά σου δὲν τὸν εἶδες, καὶ τώρα τὸν βλέπεις ἀπὸ μακριά, καὶ μάλιστα ἂν καὶ ὑπάρχει τόσο χάος; Καὶ τί κάνει; Ἀποκαλεῖ τὸν Ἀβραὰμ πατέρα. Γιατὶ τὸν ἀποκαλεῖς πατέρα, ἀφοῦ δὲν τὸν μιμήθηκες στὴ φιλοξενία; «Πατέρα» τὸν ἀποκαλεῖ αὐτός, «παιδί μου» ἐκεῖνος· τὰ ὀνόματα δείχνουν συγγένεια, πουθενὰ ὅμως βοήθεια. Ἀλλὰ προφέρει τὰ ὀνόματα, γιὰ νὰ μάθετε, ὅτι δὲν ὠφελεῖ σὲ τίποτε ἡ συγγένεια.

Διότι δὲν εἶσαι εὐγενὴς ὅταν κατάγεσαι ἀπὸ ἔνδοξους προγό-

Μή μοι λέγε· 'πατέρα ἔχω ὕπατον'. Τί πρὸς ἐμέ; Οὐ λέγω τοῦτο. Μή μοι λέγε· 'πατέρα ἔχω ὕπατον', Παῦλον τὸν ἀπόστολον ἐὰν ἔχῃς πατέρα, καὶ ἀδελφοὺς ἐὰν ἔχῃς μάρτυρας, σὺ δὲ μὴ μιμήσῃ αὐτῶν τὴν ἀρετήν, οὐδέν σοι ὄφελος τῆς συγγενείας, ἀλλὰ μᾶλλον 5 ἔβλαψε καὶ κατεδίκασεν. 'Ἡ μήτηρ μου', φησίν, 'ἐλεήμων ἐστίν'. Καὶ τί πρὸς σὲ τὸν ἀπάνθρωπον; ἡ γὰρ ἐκείνης φιλανθρωπία προσθήκη κατηγορίας τῆς σῆς κακοτροπίας. Τί γὰρ ὁ βαπτιστὴς Ἰωάννης φησὶ πρὸς τὸν δῆμον τὸν Ἰουδαϊκόν; «Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν· πατέρα ἔχομεν τὸν 10 Ἀβραάμ».

Εὐδόκιμον ἔχεις πρόγονον; ἐὰν ζηλώσῃς, ἐκέρδανας· ἐὰν δὲ μὴ ζηλώσῃς, κατήγορος γίνεται ὁ εὐδόκιμος, ὅτι ἀπὸ ρίζης δικαίας πικρὸς ἔφυς καρπός. Μηδέποτε μακαρίσῃς ἄνθρωπον ἔχοντα συγγενῆ δίκαιον, ἐὰν μὴ μιμῆται αὐτοῦ τοὺς τρόπους. Μητέρα ἔχεις 15 ἁγίαν; Οὐδὲν πρός σέ. Μητέρα ἔχεις πονηράν; Οὐδὲν πρὸς σέ; Ὥσπερ ἐκείνης ἡ ἀρετὴ οὐκ ὠφελεῖ σε μὴ ζηλοῦντα αὐτῆς τὴν ἀρετήν, οὕτως οὐδὲ ἡ κακία αὐτῆς βλάπτει σε, ἐὰν μεταβάλῃς τὴν πονηρίαν. Ἀλλ' ὥσπερ ἐκεῖ μεῖζον τὸ ἔγκλημα, ὅτι, οἴκοθεν ἔχων ὑπόδειγμα, οὐκ ἐμιμήσω τὴν ἀρετήν· οὕτω καὶ ἐνταῦθα τὸ ἐγκώ-20 μιον μεῖζον, ὅτι μητέρα τις ἔχων πονηράν, οὐκ ἐμιμήσατο τὴν πονηρίαν αὐτῆς, ἀλλ' ἀπὸ ρίζης πικρᾶς ἔφυ καρπός· οὐ γὰρ προγόνων περιφάνεια, ἀλλὰ τρόπος ἀρετῆς ζητεῖται. Ἐγὼ καὶ δοῦλον εὐγενῆ καλῶ, καὶ δεσπότην ἅλυσιν περικείμενον, ἐὰν καταμάθω αὐτοῦ τὸν τρόπον· ἐμοὶ καὶ ὁ ἐν ἀξιώματι δυσγενής, ἐὰν δούλην ἔχῃ τὴν 25 ψυχήν. Τίς γάρ ἐστι δοῦλος, εἰ μὴ ὁ ποιῶν τὴν ἁμαρτίαν; Ἡ μὲν γὰρ ἄλλη δουλεία περιστάσεως πραγμάτων· αὕτη δὲ ἡ δουλεία διαφορὰ γνώμης, ἐπεὶ καὶ ἡ δουλεία ἐξ ἀρχῆς ἐντεῦθεν εἰσῆλθεν.

ζ'. Οὐκ ἦν δοῦλος τὸ παλαιόν· ὁ γὰρ Θεὸς πλάττων τὸν ἄνθρωπον, οὐκ ἐποίησεν αὐτὸν δοῦλον, ἀλλ' ἐλεύθερον. Ἐποίησε τὸν 30 Ἀδὰμ καὶ τὴν Εὔαν, καὶ ἀμφότεροι ἦσαν ἐλεύθεροι· πόθεν οὖν ἡ δουλεία ἐγένετο; Ἐξώκειλε τὸ γένος τῶν ἀνθρώπων καὶ τὰ μέτρα τῆς ἐπιθυμίας ὑπερβάντες, εἰς ἀκολασίαν ἐπήρθησαν· καὶ ὅπως,

11. Λουκᾶ 3,8.

νους, ἀλλὰ ὅταν ἔχης ἐνάρετη συμπεριφορά. Μὴ μοῦ λές· "Ἔχω πατέρα ὕπατο· τί μ' ἐνδιαφέρει;' Δὲν ἐννοῶ αὐτό. Μὴ μοῦ λές, "Ἔχω πατέρα ὕπατο. Τὸν ἀπόστολο Παῦλο ἐὰν ἔχης πατέρα καὶ ἂν ἔχης ἀδέλφια μάρτυρες, ἐὰν ἐσὺ δὲ μιμῆσαι τὴν ἀρετή τους, σὲ τίποτε δὲν θὰ σὲ ὠφελήση ἡ συγγένεια, ἀλλὰ πολὺ περισσότερο σὲ ἔβλαψε καὶ σὲ καταδίκασε. Ἡ μητέρα μου, λέγει, εἶναι ἐλεήμων. Καὶ ποιά σχέσι ἔχει αὐτὸ μ' ἐσένα τὸν ἀπάνθρωπο; Διότι ἡ δική της φιλανθρωπία αὐξάνει τὴν κατηγορία τῆς δικῆς σου κακοτροπιᾶς. Τί λέγει ὁ Ἰωάννης ὁ Βαπτιστὴς πρὸς τὸν Ἰουδαϊκὸ λαό; «Κάμετε καρπὸ ἀντάξιο τῆς μετανοίας καὶ μὴ νομίσετε ὅτι μπορεῖτε νὰ λέτε, 'ἔχομε πατέρα τὸν Ἀβραάμ'»[11].

Ἔχεις ἔνδοξο πρόγονο; Ἐὰν τὸν μιμηθῆς, κέρδισες· ἐὰν ὅμως δὲν προσπαθῆς νὰ τὸν μιμηθῆς, ὁ ἔνδοξος πρόγονός σου γίνεται κατήγορός σου, διότι ἀπὸ ρίζα ἀγαθή, βγῆκες ἐσὺ ὁ πικρὸς καρπός. Ποτὲ νὰ μὴ μακαρίσης τὸν ἄνθρωπο ποὺ ἔχει δίκαιο συγγενῆ, ἐὰν δὲν μιμῆται τοὺς τρόπους του. Ἔχεις μητέρα ἁγία; Δὲν σ' ὠφελεῖ σὲ τίποτε. Ἔχεις μητέρα κακή; Δὲν εἶναι τίποτε γιὰ σένα. Ὅπως ἡ δική της ἀρετὴ δὲν σὲ ὠφελεῖ, ἐὰν δὲν μιμῆσαι τὴν ἀρετή της, ἔτσι οὔτε ἡ κακία της σὲ βλάπτει, ἂν ἀρνηθῆς τὴν κακία. Ἀλλ' ὅπως ἀκριβῶς ἐκεῖ εἶναι μεγαλύτερη ἡ κατηγορία, διότι, ἂν καὶ μέσα ἀπὸ τὸ σπίτι σου εἶχες τὸ παράδειγμα, δὲν μιμήθηκες τὴν ἀρετή· ἔτσι κι' ἐδῶ τὸ ἐγκώμιο εἶναι μεγαλύτερο, διότι, ἐνῶ κάποιος εἶχε κακὴ μητέρα, δὲν μιμήθηκε τὴν κακία της, ἀλλὰ ἀπὸ πικρὴ ρίζα βλάστησε καλὸς καρπός· διότι δὲν μᾶς ζητεῖται ἔνδοξη καταγωγή, ἀλλὰ ἐνάρετη συμπεριφορά. Ἐγὼ καὶ τὸν δοῦλο τὸν ἀποκαλῶ ἄρχοντα καὶ τὸν ἄρχοντα τὸν βλέπω ἁλυσοδεμένο, ἐὰν γνωρίσω καλὰ τὸν τρόπο τῆς ζωῆς του· γιὰ μένα κι' αὐτὸς ποὺ ἔχει ἀξίωμα εἶναι ἄσημος, ἐὰν ἔχη σκλάβα τὴν ψυχή του. Διότι ποιός εἶναι δοῦλος, παρὰ αὐτὸς ποὺ διαπράττει τὴν ἁμαρτία; Ἡ ἄλλη δουλεία προέρχεται ἀπὸ τὴ μεταβολὴ τῶν πραγμάτων, ἐνῶ αὐτὴ ἡ δουλεία προέρχεται ἀπὸ τὴ διαφορὰ τῆς σκέψεως, ἀφοῦ καὶ ἡ δουλεία ἀπὸ τὴν ἀρχὴ ἀπὸ ἐδῶ εἰσῆλθε στὴ ζωή μας.

7. Δὲν ἦταν δοῦλος στὴν ἀρχή· διότι, ὅταν ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπο, δὲν τὸν ἔκανε δοῦλο, ἀλλὰ ἐλεύθερο· δημιούργησε τὸν Ἀδὰμ καὶ τὴν Εὔα, καὶ ἦταν ἐλεύθεροι καὶ οἱ δύο· ἀπὸ ποῦ λοιπὸν προῆλθε ἡ δουλεία; Ἔπεσε τὸ γένος τῶν ἀνθρώπων, καὶ ἀφοῦ ξε-

ἄκουε. Ἐγένετο κατακλυσμός, τὸ κοινὸν τῆς οἰκουμένης ναυάγιον, καταρράκται ἠνεῴχθησαν, καὶ ἄβυσσοι ἀνεβλύσθησαν, καὶ πάντα ἦν ὕδωρ, καὶ τὰ φαινόμενα ἀνεστοιχειοῦντο καὶ διελύοντο, καὶ γῆ οὐκ ἐφαίνετο, ἀλλ' ἦν ἅπαντα πέλαγος, ῥίζαν ἔχοντα τὴν ὀργὴν τοῦ 5 Θεοῦ, καὶ πάντα κύματα ἦν, καὶ πάντα πελάγη· ὄρη πρὸς ὕψος ἀνατεταμένα, ἀλλὰ τὸ πέλαγος αὐτὰ ἐκάλυπτε· καὶ ἦν πέλαγος καὶ οὐρανὸς μόνον, καὶ ἦν τὸ γένος τῶν ἀνθρώπων ἀπολωλός, καὶ ἦν ὁ σπινθὴρ τοῦ γένους τοῦ ἡμετέρου ὁ Νῶε, σπινθὴρ ἐν μέσῳ πελάγους, καὶ μὴ σβεννύμενος, τὰς ἀπαρχὰς τοῦ γένους ἡμῶν ἔχων, γυ- 10 ναῖκα καὶ παιδία, περιστερὰν καὶ κόρακα, καὶ τὰ ἄλλα πάντα. Καὶ ἦσαν πάντες ἔνδον, καὶ ἐφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος ἐν μέσῳ τοῦ κλύδωνος, καὶ οὐκ ἐναυάγει· εἶχε γὰρ κυβερνήτην τὸν τοῦ παντὸς Δεσπότην. Αἱ γὰρ σανίδες αὐτὸν οὐ διέσωσαν, ἀλλ' ἡ χεὶρ ἡ κραταιά· καὶ ὅρα θαῦμα· ὅτε καὶ ἐξεκλύσθη ἡ γῆ, ὅτε ἀνηρέ- 15 θησαν οἱ τὰ κακὰ ἐργασάμενοι, ὅτε ἐλώφησεν ὁ χειμών, ἐφάνησαν αἱ κορυφαὶ τῶν ὀρέων, ἐκάθισεν ἡ κιβωτός, ἔπεμψε τὴν περιστερὰν ὁ Νῶε.

Μυστήρια δὲ ἦν τὰ λεγόμενα καὶ τῶν μελλόντων τύπος τὰ γινόμενα· οἷον, ἡ Ἐκκλησία κιβωτός, ὁ Νῶε ὁ Χριστός, ἡ περιστε- 20 ρὰ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ φύλλον τῆς ἐλαίας ἡ φιλανθρωπία τοῦ Θεοῦ. Τὸ ἥμερον ζῶον ἐξεπέμπετο, καὶ ἐξῆλθεν ἀπὸ τῆς κιβωτοῦ· ἀλλὰ τύπος ἐκεῖνα, ταῦτα δὲ ἀλήθεια. Ὅρα δὲ τὴν δαψίλειαν τῆς ἀληθείας. Καθάπερ ἡ κιβωτὸς ἐν μέσῳ τοῦ πελάγους διέσωζε τοὺς ἔσω ὄντας, οὕτω καὶ ἡ Ἐκκλησία διασώζει τοὺς πλανωμένους 25 ἅπαντας. Ἀλλ' ἡ μὲν κιβωτὸς ἔσωζε μόνον, ἡ δὲ Ἐκκλησία πλέον τι ἐργάζεται. Οἷόν τι λέγω· Ἔλαβεν ἡ κιβωτὸς τὰ ἄλογα, καὶ ἔσωσεν ἄλογα· ἔλαβεν ἡ Ἐκκλησία ἀλόγους ἀνθρώπους, καὶ οὐ σώζει μόνον, ἀλλὰ καὶ μεταβάλλει· ἔλαβεν ἡ κιβωτὸς κόρακα, καὶ κόρακα ἔπεμψε· λαμβάνει ἡ Ἐκκλησία κόρακα, καὶ ἐκπέμπει περιστε- 30 ράν· λαμβάνει λύκον, καὶ ἐκπέμπει αὐτὸν πρόβατον. Ὅταν γὰρ εἰσέλθῃ ἐνταῦθα ἄνθρωπος ἁρπάζων, πλεονεκτῶν, ἀκούσῃ δὲ τῶν θείων λογίων τῆς διδασκαλίας, μεταβάλλει τὴν γνώμην, καὶ ἀντὶ λύκου γίνεται πρόβατον· ὁ μὲν γὰρ λύκος καὶ τὰ ἀλλότρια ἁρπάζει, τὸ δὲ πρόβατον καὶ τὸ ἔριον αὐτοῦ προΐεται.

Ἐκάθισεν ἡ κιβωτὸς καὶ ἀνεῴγησαν αἱ θύραι. Ἐξῆλθε Νῶε

12. Γεν. 7,10.

πέρασαν τὰ μέτρα τῆς ἐπιθυμίας τους, κατέληξαν στὴν ἀκολασία· καὶ ἄκουγε πῶς. Ἔγινε ὁ κατακλυσμός, τὸ γνωστὸ ναυάγιο τῆς οἰκουμένης, ἀνοίχτηκαν οἱ καταρράκτες καὶ ξεχύθηκαν μὲ ὁρμὴ ἄβυσσοι[12] καὶ ὅλα ἦταν νερό, καὶ ὅλα διαλύονταν στὰ ἀρχικὰ στοιχεῖα καὶ σκόρπιζαν καὶ ἡ γῆ δὲν φαινόταν, ἀλλ' ἦταν ὅλα πέλαγος, καὶ εἶχαν αἰτία τὴν ὀργὴ τοῦ Θεοῦ· ὅλα ἦταν κύματα, καὶ ὅλα πελάγη· βουνὰ πανύψηλα, ἀλλὰ τὰ σκέπαζε τὸ πέλαγος· καὶ ἦταν πέλαγος καὶ οὐρανὸς μόνο, εἶχε χαθῆ τὸ γένος τῶν ἀνθρώπων καὶ παρέμινε σπινθήρας τοῦ δικοῦ μας γένους ὁ Νῶε, σπίθα ἀνάμεσα στὸ πέλαγος, καὶ δὲν ἔσβησε· εἶχε μέσα της τὶς ρίζες τοῦ γένους μας, γυναῖκα καὶ παιδιά, περιστέρι καὶ κόρακα καὶ ὅλα τὰ ἄλλα. Καὶ ἦταν ὅλοι μέσα, καὶ ἡ κιβωτὸς περιφερόταν ἐπάνω στὸ νερό, ἀνάμεσα στὰ κύματα καὶ δὲν ναυαγοῦσε· διότι εἶχε κυβερνήτη τὸν Κύριο τοῦ σύμπαντος. Πράγματι, οἱ σανίδες δὲν ἔσωσαν τὸν ἄνθρωπο, ἀλλὰ τὸ ἰσχυρὸ χέρι τοῦ Θεοῦ· καὶ πρόσεχε τὸ θαῦμα· ὅταν πιὰ ἐλευθερώθηκε ἡ γῆ, ὅταν ἐξαφανίσθηκαν αὐτοὶ ποὺ ἔπραξαν τὰ κακά, ὅταν κατέπαυσε ἡ καταιγίδα, φάνηκαν οἱ κορυφὲς τῶν βουνῶν, κάθισε ἡ κιβωτός, ἔστειλε ὁ Νῶε τὸ περιστέρι.

Ἦταν μυστήρια αὐτὰ ποὺ λέγει ἡ Γραφὴ καὶ τύπος αὐτῶν ποὺ ἐπρόκειτο νὰ γίνουν· ὅπως, ἡ Ἐκκλησία εἶναι ἡ κιβωτός, ὁ Νῶε ὁ Χριστός, τὸ περιστέρι τὸ Πνεῦμα τὸ ἅγιο, τὸ φύλλο τῆς ἐληᾶς ἡ φιλανθρωπία τοῦ Θεοῦ. Τὸ ἥμερο ζῶο στελνόταν καὶ βγῆκε ἀπὸ τὴν κιβωτό· ἀλλὰ ἐκεῖνα ἦταν τύπος, ἐνῶ αὐτὰ εἶναι ἡ ἀλήθεια. Καὶ πρόσεχε τὴν ἀλήθεια, πόσο ἄφθονη εἶναι. Ὅπως ἀκριβῶς ἡ κιβωτὸς στὸ μέσο τοῦ πελάγους διέσωζε αὐτοὺς ποὺ ἦταν μέσα, ἔτσι καὶ ἡ Ἐκκλησία διασώζει ὅλους τοὺς πλανημένους. Ἀλλὰ ἡ κιβωτὸς ἔσωζε μόνο, ἐνῶ ἡ Ἐκκλησία κάνει κάτι περισσότερο. Γιὰ παράδειγμα· ἔλαβε ἡ κιβωτὸς τὰ ἄλογα καὶ ἔσωσε ἄλογα· ἔλαβε ἡ Ἐκκλησία ἀνθρώπους χωρὶς λογικὸ καὶ ὄχι μόνο τοὺς σώζει, ἀλλὰ καὶ τοὺς μεταβάλλει. Ἔλαβε ἡ κιβωτὸς κόρακα καὶ ἔστειλε κόρακα· παίρνει ἡ Ἐκκλησία κόρακα καὶ στέλνει πειστέρι· παίρνει λύκο, καὶ τὸν στέλνει πρόβατο. Διότι ὅταν μπῆ ἐδῶ μέσα ἕνας ἄνθρωπος κλέφτης, πλεονέκτης, καὶ ἀκούση τὴ διδασκαλία τῶν θείων λόγων, ἀλλάσσει γνώμη, καὶ ἐνῶ ἦταν λύκος γίνεται πρόβατο· καθόσον ὁ λύκος ἁρπάζει καὶ τὰ ξένα, ἐνῶ τὸ πρόβατο χαρίζει καὶ τὸ μαλλί του.

Ἐκάθισε ἡ κιβωτὸς καὶ ἀνοίχθηκαν οἱ πόρτες. Βγῆκε ὁ Νῶε,

ἐκ τοῦ ναυαγίου διασωθείς· βλέπει τὴν γῆν ἠρημωμένην, βλέπει τάφον ἐσχεδιασμένον ἰλύν, τάφον κοινὸν κτήνεσι καὶ ἀνθρώποις, πάντα ὁμοῦ τὰ σώματα ἵππων καὶ ἀνθρώπων καὶ κτηνῶν ἀλόγων πάντων ὁμοῦ κατακεχωσμένα. Εἶδε τὴν τραγῳδίαν ἐκείνην, εἶδε 5 *τὴν γῆν πικρίας γέμουσαν· ἐν ἀθυμίᾳ πολλῇ ἦν, πάντες ἀπώλοντο· οὐκ ἄνθρωπος, οὐ κτῆνος, οὐκ ἄλλο τι τῶν ἔξω τῆς κιβωτοῦ διεσώθη· οὐρανὸν ἔβλεπε μόνον· ὑπὸ τῆς ἀθυμίας ἐτυραννεῖτο, κατείχετο ὑπὸ τῆς ὀδύνης, ἔπιεν οἶνον, ἔδωκεν ἑαυτὸν τῷ ὕπνῳ, ἵνα παραμυθήσεται τὸ ἕλκος τῆς ἀθυμίας. Ἔκειτο δὲ ἐπὶ τῆς κλίνης, κα-* 10 *θάπερ ἰατρῷ τῷ ὕπνῳ ἑαυτὸν ἐκδούς, λήθην ἐργαζόμενος τῇ διανοίᾳ τῶν γεγενημένων, οἷα εἰκὸς γεγηρακότα, καὶ οἶνον πιόντα, καὶ ὕπνῳ κατεχόμενον. Δεῖ γὰρ ὑπὲρ τοῦ δικαίου ἀπολογήσασθαι, ὅτι οὐκ ἦν μέθης οὐδὲ πάθους ἐπιθυμία τὸ γινόμενον, ἀλλὰ δι᾽ ἀμφοτέρων ἰᾶτο τὸ ἕλκος. Τοῦτο γὰρ καὶ ὁ Σολομὼν ἔλεγε· «δότε οἶνον* 15 *τοῖς ἐν λύπῃ καὶ μέθην τοῖς ἐν ὀδύναις».*

Διὰ τοῦτο πολλοὶ τῶν ἀνθρώπων καὶ μάλιστα ἐν τοῖς ἐπικηδείοις, ὅταν τις παιδίον ἢ γυναῖκα ἀποβάλῃ, ἐπειδὴ τὸ πάθος τυραννεῖ, ἐπειδὴ ἀθυμία περιγίνεται, ἐπειδὴ κρατεῖ τὸ συνειδός, λαμβάνει φίλους εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ συμπόσιον δαψιλὲς 20 *ποιεῖ, καὶ οἶνος ἄκρατος δίδοται τῷ λυπουμένῳ, ἵνα παραμυθήσηται τὸ ἕλκος. Τοῦτο ἔπαθε καὶ ὁ γέρων ἐκεῖνος τότε. Ὑπὸ γὰρ τῆς ἀθυμίας τυραννούμενος, καθάπερ φαρμάκῳ τῷ οἴνῳ ἐχρήσατο, καὶ ἀπὸ τοῦ οἴνου δέδωκεν ἑαυτὸν τῷ ὕπνῳ. Ἵνα δὲ μάθητε πόθεν ἡ δουλεία ἐδόθη, μετὰ μικρὸν εἰσελθὼν ὁ ἐπικατάρατος ἐκεῖνος* 25 *υἱὸς αὐτοῦ, υἱὸς μὲν αὐτοῦ τῇ φύσει, οὐχ υἱὸς δὲ προαιρέσει (πάλιν δὲ λέγω εὐγένειαν, οὐ προγόνων περιφάνειαν, ἀλλὰ τρόπον ἀρετῆς)· εἰσελθὼν ὁ υἱὸς εἶδε τὴν γύμνωσιν τοῦ πατρός· δέον περιστεῖλαι, δέον περικαλύψαι διὰ τὸ γῆρας, διὰ τὸ πένθος, διὰ τὴν συμφοράν, διὰ τὸ πατέρα αὐτοῦ εἶναι· ὁ δὲ ἐξελθὼν ἐξεπόμπευσε καὶ ἐξε-* 30 *τραγῴδησεν. Οἱ δὲ ἄλλοι αὐτοῦ ἀδελφοὶ λαβόντες πάλλιον ὀπισθοφανῶς, ἵνα μὴ ἴδωσι τὰ παρ᾽ ἐκείνου ἐκπομπευόμενα, εἰσελθόντες ἐκάλυψαν τὸν πατέρα. Ἀναστὰς δὲ ὁ πατήρ, ἔγνω πάντα, καὶ ἄρχεται λέγειν· «ἐπικατάρατος Χαναὰν παῖς· οἰκέτης ἔσται τοῖς ἀδελ-*

13. Παρμ. 31,6.

ἀφοῦ σώθηκε ἀπὸ τὸ ναυάγιο· βλέπει τὴ γῆ ἐρημωμένη, βλέπει τὴ λάσπη νὰ ἔχη γίνει τάφος, τάφος κοινὸς γιὰ ζῶα καὶ ἀνθρώπους, ὅλα τὰ σώματα τῶν ἵππων καὶ τῶν ἀνθρώπων καὶ τῶν ἀλόγων ζώων ὅλα μαζὶ κατασκεπασμένα. Εἶδε ἐκείνη τὴν τραγωδία, εἶδε τὴ γῆ γεμάτη μὲ πίκρα· λυπήθηκε πολύ, ὅλοι χάθηκαν· οὔτε ἄνθρωπος, οὔτε ζῶο, οὔτε τίποτε ἄλλο ἀπὸ ὅσα βρίσκονταν ἔξω ἀπὸ τὴν κιβωτὸ δὲν σώθηκε· οὐρανὸ μόνο ἔβλεπε· τὸν τυραννοῦσε ἡ θλῖψις, τὸν κατεῖχε ἡ ὀδύνη, ἤπιε κρασί, παρέδωσε τὸν ἑαυτό του στὸν ὕπνο, γιὰ νὰ παρηγορήση τὸ τραῦμα τῆς λύπης. Καὶ ἦταν ξαπλωμένος ἐπάνω στὴν κλίνη, παραδομένος στὸν ὕπνο σὰν σὲ γιατρό, προσπαθώντας νὰ ξεχάση ὅσα ἔγιναν, ὅπως γίνεται μ' ἕναν ποὺ ἔχει γεράσει καὶ ἔχει πιεῖ κρασὶ καὶ ἔχει παραδοθῆ στὸν ὕπνο. Διότι πρέπει νὰ ἀπολογηθῶ γιὰ τὸν δίκαιο, ἀφοῦ αὐτὸ ποὺ ἔγινε δὲν ἦταν μέθη, οὔτε ἐπιθυμία πάθους, ἀλλὰ καὶ μὲ τὰ δύο θεράπευε τὸ τραῦμα του. Διότι αὐτὸ καὶ ὁ Σολομὼν ἔλεγε· «δῶστε κρασὶ στοὺς λυπημένους καὶ μέθη σ' αὐτοὺς ποὺ πονοῦν»[13].

Γι' αὐτὸ πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους καὶ μάλιστα στὶς κηδεῖες, ὅταν κάποιος χάση τὸ παιδί του ἢ τὴ γυναῖκα του, ἐπειδὴ τὸν βασανίζει τὸ πάθος, ἐπειδὴ ἡ λύπη τὸν ἔχει κυριευμένο, ἐπειδὴ ἐξουσιάζει τὴ συνείδησί του, φέρνει φίλους στὸ σπίτι του καὶ κάνει πλούσιο συμπόσιο, δίνεται ἁγνὸ κρασὶ στὸν λυπημένο, γιὰ νὰ τοῦ γλυκάνη τὴν πληγή. Αὐτὸ ἔπαθε κι' ἐκεῖνος ὁ γέρος τότε. Ἐπειδὴ δηλαδὴ τὸν τυραννοῦσε ἡ θλῖψις, χρησιμοποίησε τὸ κρασὶ σὰν φάρμακο, καὶ ἀπὸ τὸ κρασὶ παραδόθηκε στὸν ὕπνο. Καὶ γιὰ νὰ μάθετε ἀπὸ ποῦ προέρχεται ἡ δουλεία, μετὰ ἀπὸ λίγο μπῆκε μέσα ἐκεῖνος ὁ καταραμένος γυιός του, γυιὸς ὡς πρὸς τὴν φύσι, ὄχι ὅμως ὡς πρὸς τὴν προαίρεσι (πάλι ὀνομάζω εὐγένεια, ὄχι τὴ δόξα τῶν προγόνων, ἀλλὰ τὴν ἐνάρετη συμπεριφορά)· ὅταν μπῆκε ὁ γυιός του εἶδε τὴ γύμνια τοῦ πατέρα. Ἔπρεπε νὰ τὸν ντύση, ἔπρεπε νὰ τὸν σκεπάση, λόγω τῶν γηρατειῶν του, λόγω τοῦ πένθους, λόγω τῆς συμφορᾶς, ἐπειδὴ ἦταν ὁ πατέρας του· αὐτὸς ὅμως βγῆκε ἔξω καὶ τὸν διαπόμπευσε, τὸν διακωμώδησε. Ἐνῶ οἱ ἄλλοι ἀδελφοί του πῆραν ἕνα ροῦχο καὶ βαδίζοντας πρὸς τὰ πίσω, γιὰ νὰ μὴ δοῦν τὰ διαπομπευόμενα ἀπὸ ἐκεῖνον, μπῆκαν καὶ κάλυψαν τὸν πατέρα. Ὅταν ὁ πατέρας συνῆλθε, τὰ κατάλαβε ὅλα καὶ ἄρχισε νὰ λέγη· «καταραμένος νὰ εἶναι ὁ γυιός μου ὁ Χαναάν· θὰ εἶναι ὑπηρέτης

φοῖς αὐτοῦ». Ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δοῦλος ἔσῃ, ὅτι ἐξεπόμπευσας τὴν ἀσχημοσύνην τοῦ πατρός σου. Ὁρᾷς ὅτι ἀπὸ ἁμαρτίας ἡ δουλεία, καὶ ἡ πονηρία τὴν δουλείαν εἰσήγαγε;

Βούλει δείξω σοι ἐλευθερίαν ἀπὸ δουλείας; Ἐγένετό τις
5 *Ὀνήσιμος οἰκέτης, κατάπτυστος δραπέτης· οὗτος ἔφυγε καὶ ἀπῆλθε πρὸς τὸν Παῦλον, ἔτυχε τοῦ βαπτίσματος, ἀπελούσατο τὰ ἁμαρτήματα, παρέμενεν αὐτοῦ τοῖς ποσί· γράφει Παῦλος πρὸς τὸν δεσπότην αὐτοῦ· «Ὀνήσιμον, τὸν ποτέ σοι ἄχρηστον, νῦν δὲ καὶ σοὶ καὶ ἐμοὶ εὔχρηστον, προσλαβοῦ αὐτὸν ὡς ἐμέ». Τί γὰρ ἐγένετο;*
10 *«Ὃν ἐγὼ ἐγέννησα ἐν τοῖς δεσμοῖς μου».*

η'. Εἶδες εὐγένειαν, εἶδες τρόπον παρέχοντα ἐλευθερίαν; Δοῦλος γὰρ καὶ ἐλεύθερος, ὀνόματά ἐστιν ἁπλῶς. Τί ἐστι δοῦλος; Ὄνομα ψιλόν. Πόσοι δεσπόται ἐπὶ στιβάδος κεῖνται μεθύοντες, οἰκέται δὲ παρεστήκασι νήφοντες! Τίνα καλέσω δοῦλον; τὸν νήφοντα, ἢ τὸν
15 *μεθύοντα; τὸν δοῦλον ἀνθρώπου, ἢ τὸν αἰχμάλωτον πάθους; Ἐκεῖνος τὴν δουλείαν ἔξωθεν ἔχει, οὗτος τὴν αἰχμαλωσίαν ἔνδοθεν περιφέρει. Ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, ἵνα ἔχητε γνώμην διακονοῦσαν τῶν πραγμάτων τῇ φύσει, καὶ μὴ ἀπάγησθε τῇ τῶν πολλῶν ἀπάτῃ, ἀλλ' εἰδῆτε, τί δοῦλος, τί πένης, τί δυσγενής, τί μα-*
20 *κάριος, τί πάθος. Ἐὰν γὰρ μάθητε ταῦτα διακρίνειν, οὐδένα ὑποστήσεσθε θόρυβον. Ἀλλ' ἵνα μὴ τὸ πάρεργον τοῦ λόγου πλέον γενόμενον ἀπάγῃ τὸν λόγον, ἐχώμεθα τῆς ὑποθέσεως.*

Οὗτος τοίνυν ὁ πλούσιος, λοιπὸν δὲ πένης· μᾶλλον γὰρ ἡνίκα ἐπλούτει, πένης ἦν· τί γὰρ ὄφελος ἀνθρώπῳ ἀλλότρια ἔχοντι, καὶ
25 *τὰ ἑαυτοῦ οὐκ ἔχοντι; Τί ὄφελος ἀνθρώπῳ χρήματα κεκτημένῳ, ἀρετὴν δὲ μὴ κεκτημένῳ; Τί λαμβάνεις τὰ τῶν ἄλλων, καὶ τὰ σὰ ἀπολλύεις; Ἔχω, φησί, χώραν εὔφορον. Καὶ τί τοῦτο; ἀλλὰ ψυχὴν οὐκ ἔχεις εὔφορον. Ἔχω ἀνδράποδα. Ἀλλ' ἀρετὴν οὐκ ἔχεις. Ἔχω ἱμάτια. Ἀλλ' εὐλάβειαν οὐ κέκτησαι. Τὰ μὲν ἄλλου ἔχεις, τὰ*
30 *δὲ σὰ οὐκ ἔχεις. Ἐάν τίς σοι δώσῃ παρακαταθήκην, μὴ δύναμαί σε καλέσαι πλούσιον; Οὐχί. Διὰ τί; Ἀλλότρια γὰρ κέκτησαι. Τοῦτο*

14. Γεν. 9,25.
15. Φιλημ. 10-12.

τῶν ἀδελφῶν του»[14]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς. 'Θὰ εἶσαι δοῦλος, διότι διαπόμπευσες τὴ γύμνια τοῦ πατέρα σου'. Βλέπεις ὅτι ἀπὸ τὴν ἁμαρτία προέρχεται ἡ δουλεία, καὶ ὅτι ἡ πονηρία ἔφερε τὴ δουλεία;

Θέλεις νὰ σοῦ δείξω ἐλευθερία νὰ προέρχεται ἀπὸ δουλεία; Ἦταν κάποιος δοῦλος, Ὀνήσιμος, ἄξιος καταφρονήσεως, δραπέτης· αὐτὸς ἔφυγε καὶ πῆγε στὸν Παῦλο, ἀξιώθηκε νὰ βαπτισθῆ, καθαρίσθηκε ἀπὸ τὶς ἁμαρτίες, καὶ ἔμενε κοντά του· γράφει ὁ Παῦλος πρὸς τὸν κύριό του· «τὸν Ὀνήσιμο ποὺ ἄλλοτε σοῦ ἦταν ἄχρηστος, ἀλλὰ τώρα εἶναι χρήσιμος καὶ σ' ἐσένα καὶ σ' ἐμένα, δέξου τον ὅπως ἐμένα»[15]. Τί συνέβηκε τότε; «Αὐτὸν ἐγὼ τὸν γέννησα πνευματικά, τώρα ποὺ εἶμαι στὴ φυλακή».

8. Εἶδες εὐγένεια, εἶδες συμπεριφορὰ ποὺ χαρίζει ἐλευθερία; Διότι δοῦλος καὶ ἐλεύθερος, εἶναι ἁπλῶς ὀνόματα. Τί σημαίνει δοῦλος; Ὄνομα μόνο. Πόσοι κύριοι εἶναι ξαπλωμένοι ἐπάνω στὸ στρῶμα καὶ μεθοῦν, ἐνῶ οἱ δοῦλοι στέκονται πλησίον ἄγρυπνοι! Ποιόν νὰ ὀνομάσω δοῦλο; Αὐτὸν ποὺ εἶναι νηφάλιος ἢ αὐτὸν ποὺ μεθᾶ; τὸν δοῦλο τοῦ ἀνθρώπου, ἢ τὸν αἰχμάλωτο τοῦ πάθους; Ἐκεῖνος ἔχει τὴ δουλεία ἀπ' ἔξω, αὐτὸς τριγυρνᾶ ἔχοντας μέσα του τὴν αἰχμαλωσία. Αὐτὰ τὰ λέγω καὶ δὲν θὰ παύσω νὰ τὰ λέγω, γιὰ νὰ ἔχετε γνώμη σύμφωνη μὲ τὴ φύσι τῶν πραγμάτων, καὶ νὰ μὴ παρασύρεσθε ἀπὸ τὴν πλάνη τῶν πολλῶν, ἀλλὰ νὰ μάθετε, τί εἶναι δοῦλος, τί φτωχός, τί ἄσημος, τί μακάριος, τί πάθος. Διότι, ἐὰν μάθετε νὰ τὰ διακρίνετε αὐτά, δὲν θὰ ὑποστῆτε καμμία ταραχή. Ἀλλὰ γιὰ νὰ μὴ γίνη τὸ δευτερεῦον αὐτὸ θέμα μεγαλύτερο καὶ μᾶς ἀπομακρύνει ἀπὸ τὸν λόγο, ἂς ἐπανέλθουμε στὸ θέμα μας.

Αὐτὸς λοιπὸν ἦταν ὁ πλούσιος, καὶ τώρα φτωχός· ἢ καλύτερα καὶ ὅταν ἦταν πλούσιος, ἦταν φτωχός· διότι ποιό εἶναι τὸ ὄφελος τοῦ ἀνθρώπου, ὅταν ἔχη τὰ ξένα καὶ δὲν ἔχη τὰ δικά του; Ποιό τὸ ὄφελος στὸν ἄνθρωπο ποὺ ἀπέκτησε χρήματα, δὲν ἀπέκτησε ὅμως ἀρετή; Γιατί παίρνεις αὐτὰ ποὺ ἀνήκουν στοὺς ἄλλους καὶ χάνεις τὰ δικά σου; Ἔχω, λέγει, γῆ εὔφορη. Καὶ τί μ' αὐτό; Ὅμως δὲν ἔχεις εὔφορη ψυχή. Ἔχω δούλους. Δὲν ἔχεις ὅμως ἀρετή. Ἔχω ἐνδύματα. Δὲν ἔχεις ἀποκτήσει ὅμως εὐλάβεια. Ἔχεις αὐτὰ ποὺ ἀνήκουν σὲ ἄλλον, ἀλλὰ δὲν ἔχεις τὰ δικά σου. Ἐὰν κάποιος σοῦ δώση μιὰ παρακαταθήκη, μήπως μπορῶ νὰ σὲ ὀνομάσω πλούσιο; Ὄχι. Γιατί;

γὰρ παρακαταθήκη ἐστίν· εἴθε γὰρ παρακαταθήκη μόνον ἦν, καὶ μὴ προσθήκη σοι τιμωρίας ἐγίνετο. Ἰδὼν οὖν ὁ πλούσιος τὸν Λάζαρον, λέγει· «πάτερ Ἀβραάμ, ἐλέησόν με». Πένητος ρήματα, προσαίτου, πτωχοῦ· «πάτερ Ἀβραάμ, ἐλέησόν με». Τί θέλεις;
5 «Πέμψον Λάζαρον». Ὃν μυριάκις παρέδραμες, ὃν οὐδὲ ἰδεῖν ἠθέλησας, τοῦτον νῦν αἰτεῖς πεμφθῆναί σοι εἰς σωτηρίαν; «Πέμψον Λάζαρον». Καὶ ποῦ νῦν οἱ οἰνοχόοι σου; ποῦ οἱ τάπητες; ποῦ οἱ παράσιτοι; ποῦ οἱ κόλακες; ποῦ ὁ τῦφος; ποῦ ἡ ἀπόνοια; ποῦ τὸ χρυσίον τὸ κατορωρυγμένον; ποῦ τὰ ἱμάτια τὰ σητόβρωτα; ποῦ ὁ ἄρ-
10 γυρος ὁ τιμώμενος παρὰ σοῦ; ποῦ ἡ φαντασία καὶ ἡ ἀπόλαυσις; Φύλλα ἦν· χειμὼν κατέλαβε, καὶ πάντα ἐξηράνθη· ὄναρ ἦν· ὡς δὲ ἡμέρα ἐγένετο, ἀπῆλθε τὸ ὄναρ· σκιὰ ἦν· ἦλθεν ἡ ἀλήθεια, καὶ παρέδραμεν ἡ σκιά.

«Πέμψον Λάζαρον». Καὶ διὰ τί οὐδένα βλέπει δίκαιον ἄλλον;
15 οὐ τὸν Νῶε, οὐ τὸν Ἰακώβ, οὐ τὸν Λώτ, οὐ τὸν Ἰσαάκ, ἀλλὰ τὸν Ἀβραάμ; Διὰ τί; Ἐπειδὴ φιλόξενος ἦν ὁ Ἀβραάμ, καὶ τοὺς ὁδοιποροῦντας εἰς τὴν σκηνὴν εἷλκε. Τῆς τοίνυν ἀπανθρωπίας τούτου ἡ ἐκείνου φιλοξενία μείζων γίνεται κατήγορος. «Πέμψον Λάζαρον». Ἀκούοντες φοβηθῶμεν, ἀγαπητοί, μὴ καὶ ἡμεῖς ἴδωμεν πένητας,
20 καὶ παραδράμωμεν, μὴ ἀντὶ Λαζάρου πολλοὶ ἡμῖν τότε γένωνται κατήγοροι. «Πέμψον Λάζαρον, ἵνα τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατι βάψας, ἐπιστάξῃ μου τῇ γλώττῃ, ὅτι ἀποτηγανίζομαι». «Ὧι γὰρ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν». Οὐ μετέδωκας ψιχίων; οὐ μεταλαμβάνεις σταγόνος. «Πέμψον Λάζαρον», ἵνα ἄκρῳ
25 τῷ δακτύλῳ ἐπιστάξῃ μου τῇ γλώττῃ, ὅτι ἀποτηγανίζομαι». Καὶ τί πρὸς αὐτὸν ὁ Ἀβραάμ; «Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακὰ αὐτοῦ· καὶ νῦν οὗτος ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι».

Πάλιν ἐνταῦθα οὐκ εἶπεν, 'ἔλαβες', ἀλλά, «ἀπέλαβες». Πολ-
30 λὴν διαφορὰν ἔχει ἡ προσθήκη τοῦ συνδέσμου. Ὅπερ γὰρ πολλάκις εἶπον ὑμῶν τῇ ἀγάπῃ, καὶ περὶ τὰς συλλαβὰς ὀφείλομεν εἶναι ἐρευνηταί· «ἐρευνᾶτε» γάρ φησι, «τὰς Γραφάς»· ἰῶτα γὰρ ἕν, ἢ μία

16. Λουκᾶ 16,24.
17. Ματθ. 7,2.
18. Λουκᾶ 16,25.
19. Ἰω. 5,39.

Διότι ἔχεις τὰ ξένα. Καθόσον αὐτὸ εἶναι παρακαταθήκη· καὶ μακάρι νὰ ἦταν μόνο παρακαταθήκη καὶ νὰ μὴ σοῦ γινόταν προσθήκη γιὰ τιμωρία. Ὅταν λοιπὸν εἶδε ὁ πλούσιος τὸν Λάζαρο, λέγει· «πάτερ Ἀβραάμ, ἐλέησέ με»[16]. Λόγια φτωχοῦ ἀνθρώπου, ζητιάνου, ἐπαίτη. «Πάτερ Ἀβραάμ, ἐλέησέ με». Τί θέλεις; «Στεῖλε τὸν Λάζαρο». Αὐτὸν ποὺ μύριες φορὲς τὸν προσπέρασες, αὐτὸν ποὺ οὔτε νὰ τὸν δῆς δὲν θέλησες, αὐτὸν τώρα ζητᾶς νὰ σοῦ σταλῆ γιὰ σωτηρία; «Στεῖλε τὸν Λάζαρο». Καὶ ποῦ εἶναι τώρα ἐκεῖνοι ποὺ σὲ κερνοῦσαν τὸ κρασί; ποῦ οἱ τάπητες; ποῦ οἱ παράσιτοι; ποῦ οἱ κόλακες; ποῦ ἡ ὑπερηφάνεια; ποῦ ἡ ἀλαζονεία; ποῦ τὸ χρυσάφι τὸ παραχωμένο; ποῦ τὰ ἐνδύματα τὰ σκοροφαγωμένα; ποῦ ὁ ἄργυρος ποὺ τὸν τιμοῦσες; ποῦ ἡ φαντασία καὶ ἡ ἀπόλαυσις; Φῦλλα ἦταν· ἦρθε ὁ χειμώνας καὶ ὅλα ξεράθηκαν· ὄνειρο ἦταν· καὶ μόλις ἦρθε ἡ ἡμέρα, ἔφυγε τὸ ὄνειρο· σκιὰ ἦταν· ἦρθε ἡ ἀλήθεια καὶ παρῆλθε ἡ σκιά.

«Στεῖλε τὸν Λάζαρο». Καὶ γιατί δὲν βλέπει κανέναν ἄλλον δίκαιο; οὔτε τὸν Νῶε, οὔτε τὸν Ἰακώβ, οὔτε τὸν Λώτ, οὔτε τὸν Ἰσαάκ, ἀλλὰ τὸν Ἀβραάμ; Γιατί; Ἐπειδὴ ὁ Ἀβραὰμ ἦταν φιλόξενος, καὶ τοὺς ὁδοιπόρους τοὺς ἔσυρε στὴ σκηνή του. Ἡ φιλοξενία λοιπὸν ἐκείνου γίνεται μεγαλύτερος κατήγορος τῆς ἀπανθρωπιᾶς αὐτοῦ. «Στεῖλε τὸν Λάζαρο». Ἀκούγοντάς τα ἂς φοβηθοῦμε, ἀγαπητοί, μήπως κι' ἐμεῖς δοῦμε φτωχοὺς καὶ τοὺς προσπεράσουμε, μήπως ἀντὶ τοῦ Λαζάρου, πολλοὶ τότε γίνουν δικοί μας κατήγοροι. «Στεῖλε τὸν Λάζαρο, νὰ βάψη τὴν ἄκρη τοῦ δακτύλου του στὸ νερὸ καὶ νὰ δροσίση τὴν γλῶσσα μου, διότι κατατηγανίζομαι». «Μὲ ὅποιο μέτρο μετρᾶτε, θὰ σᾶς μετρήσουν»[17]. Δὲν τοῦ ἔδωσες οὔτε ψίχουλα; Δὲν θὰ πάρης οὔτε σταγόνα. «Στεῖλε τὸν Λάζαρο, γιὰ νὰ δροσίση τὴ γλῶσσα μου μὲ τὴν ἄκρη τοῦ δακτύλου του, διότι κατατηγανίζομαι». Καὶ τί τοῦ εἶπε ὁ Ἀβραάμ; «Παιδί μου, ἐσὺ ἀπήλαυσες τὰ ἀγαθά σου ὅταν ζοῦσες, καὶ ὁ Λάζαρος ἀπήλαυσε κατὰ τὸν ἴδιο τρόπο τὰ κακὰ τῆς δυστυχίας του· καὶ τώρα αὐτὸς ἐδῶ παρηγορεῖται, ἐνῶ ἐσὺ ὑποφέρεις»[18].

Πάλι δὲν εἶπε ἐδῶ 'ἔλαβες', ἀλλά, «ἀπέλαβες». Ἔχει μεγάλη διαφορὰ ἡ προσθήκη τοῦ συνδέσμου. Πράγματι, ὅπως πολλὲς φορὲς τὸ εἶπα στὴν ἀγάπη σας, ὀφείλουμε νὰ ἐρευνοῦμε καὶ γιὰ τὶς συλλαβές. Διότι λέγει, «ἐρευνᾶτε τὶς Γραφές»[19]· ἕνα γιώτα δηλαδὴ ἢ ἕνα στοιχεῖο, πολλὲς φορὲς δημιουργεῖ ἄλλο νόημα. Καὶ γιὰ νὰ

κεραία πολλάκις νόημα ἐγείρει. Ἵνα δὲ μάθῃς ὅτι καὶ προσθήκη ἑνὸς στοιχείου ποιεῖ νόημα, οὗτος ὁ πατριάρχης Ἀβραὰμ Ἀβρὰμ ἐλέγετο πρότερον. Καὶ λέγει αὐτῷ ὁ Θεός. «Οὐκ ἔσται τὸ ὄνομά σου Ἀβράμ, ἀλλ' Ἀβραάμ». Ἄλφα προσέθηκε καὶ πατέρα αὐτὸν 5 *πολλῶν ἐθνῶν ἐποίησεν. Ἰδοὺ τοίνυν, ἑνὸς στοιχείου προσθήκη πολλὴν εὐγένειαν ἔδειξε. Μὴ παράτρεχε οὖν ἁπλῶς τὰ τοιαῦτα. Οὐ γὰρ εἶπεν, 'ἔλαβες' τὰ ἀγαθά σου, ἀλλά, «ἀπέλαβες»· ὁ δὲ ἀπολαμβάνων, τὰ κεχρωστημένα ἀπολαμβάνει. Πρόσεχε ὃ λέγω· ἄλλο γὰρ τὸ λαβεῖν, καὶ ἄλλο τὸ ἀπολαβεῖν· ἀπολαμβάνει γάρ τις ἅπερ* 10 *εἶχε, λαμβάνει δὲ πολλάκις ἅπερ οὐκ ἐκέκτητο.*

«Ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ». Ἰδοὺ καὶ ὁ πλούσιος τὰ ἀγαθὰ αὐτοῦ ἀπέλαβε, καὶ ὁ Λάζαρος τὰ κακὰ αὐτοῦ. Ταῦτα δέ μοι πάντα εἴρηται διὰ τοὺς ἐνταῦθα κολαζομένους, καὶ μὴ ἐκεῖ, διὰ τοὺς ἐνταῦθα τρυφῶντας, καὶ ἐκεῖ κολαζο- 15 *μένους. Πρόσεχε τοίνυν ὃ λέγω· «ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ», τὰ κεχρεωστημένα, τὰ ὀφειλόμενα. Προσέχετε τῷ ζητήματι· φθάνω γὰρ εἰς τὸν τόπον· ἄφες ὑφάνω τὸν ἱστόν. Ἀλλὰ μὴ θορυβεῖσθε ἐν τῷ προοιμίῳ· ἀλλ' ὅταν τι τοιοῦτον λέγω, ἀναμείνατε τὴν λύσιν. Βούλομαι γὰρ ὀξυδερκεῖς ὑμᾶς καταστῆσαι* 20 *καὶ μὴ ἁπλῶς ἐπιπολαίως γυμνάζειν, ἀλλὰ καὶ εἰς βυθὸν καταφέρειν τῶν θείων Γραφῶν, βυθὸν οὐκ ἔχοντα χειμῶνα, βυθὸν γαλήνης ἀσφαλέστερον. Ὅσον οὖν καταβῇς, πλείονα ἀσφάλειαν εὑρίσκεις. Οὐ γάρ ἐστιν ἐνταῦθα ὑδάτων ἄτακτος ῥύμη, ἀλλ' εὔτακτος νοημάτων διάθεσις.*

25 *«Ἀπέλαβες τὰ ἀγαθά σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι». Ζήτημα μέγα ἐστίν· εἶπον, ὅτι ὁ ἀπολαμβάνων, τὰ κεχρεωστημένα ἀπολαμβάνει. Εἰ τοίνυν ὁ Λάζαρος δίκαιος ἦν, ὥσπερ οὖν καὶ ἦν, καὶ ἔδειξεν ὁ κόλπος τοῦ Ἀβραάμ, ὁ στέφανος, τὰ βραβεῖα, ἡ ἄνεσις, ἡ ἀπόλαυσις, ἡ* 30 *καρτερία, ἡ ὑπομονή· οὗτος δὲ ἁμαρτωλὸς καὶ παμπόνηρος καὶ ἀπάνθρωπος, τρυφῇ καὶ μέθῃ προσέχων, συβαριτικὴν παρατιθέμενος τράπεζαν, ἐν ἀσελγείᾳ τοσαύτῃ καὶ ἀκολασίᾳ στρεφόμενος, διὰ τί αὐτῷ λέγει, ὅτι «ἀπέλαβες»; ἐχρεωστεῖτο γάρ τι αὐτῷ, ἀνθρώπῳ πλουτοῦντι, ἀνθρώπῳ ἀσώτῳ καὶ ἀπανθρώπῳ; τί γὰρ*

20. Γεν. 17,5.

μάθης ὅτι καὶ ἡ προσθήκη ἑνὸς σημείου ἔχει σημασία, ὁ ἴδιος ὁ πατριάρχης Ἀβραὰμ στὴν ἀρχὴ λεγόταν Ἀβράμ. Καὶ τοῦ λέγει ὁ Θεός. Δὲν θὰ εἶναι τὸ ὄνομά σου Ἀβράμ, ἀλλὰ Ἀβραάμ[20]. Τὸ ἄλφα πρόσθεσε καὶ τὸν ἔκανε πατέρα πολλῶν ἐθνῶν. Νὰ λοιπόν, ἡ προσθήκη ἑνὸς στοιχείου, ἔδειξε πολὺ εὐγένεια. Μὴν τὰ προσπερνᾶς λοιπὸν αὐτὰ ἔτσι ἁπλῶς. Διότι δὲν εἶπε, 'ἔλαβες τὰ ἀγαθά σου', ἀλλὰ «ἀπέλαβες»· καὶ αὐτὸς ποὺ ἀπολαμβάνει, ἀπολαμβάνει αὐτὰ ποὺ τοῦ χρωστοῦν. Πρόσεχε αὐτὸ ποὺ λέγω· διότι ἄλλο σημαίνει τὸ «λαβεῖν», καὶ ἄλλο τὸ «ἀπολαβεῖν»· διότι ἀπολαμβάνει κανεὶς αὐτὰ ποὺ εἶχε, ἐνῶ λαμβάνει πολλὲς φορὲς ἐκεῖνα ποὺ δὲν εἶχε ἀποκτήσει.

«Ἀπήλαυσες ἐσὺ τὰ ἀγαθά σου καὶ ὁ Λάζαρος τὰ κακὰ τῆς δυστυχίας του». Νὰ καὶ ὁ πλούσιος ἀπήλαυσε τὰ ἀγαθά του καὶ ὁ Λάζαρος τὰ κακά του. Καὶ αὐτὰ ὅλα, ἔχω τὴ γνώμη, ὅτι ἔχουν λεχθῆ γι' αὐτοὺς ποὺ τιμωροῦνται ἐδῶ καὶ ὄχι ἐκεῖ, γι' αὐτοὺς ποὺ εὐτυχοῦν ἐδῶ καὶ τιμωροῦνται ἐκεῖ. Πρόσεχε λοιπὸν αὐτὸ ποὺ λέγω· «ἀπήλαυσες τὰ ἀγαθά σου καὶ ὁ Λάζαρος τὰ κακά του», αὐτὰ ποὺ σοῦ χρωστοῦσαν, τὰ ὀφειλόμενα. Προσέχετε τὸ ζήτημα· διότι φθάνω στὸν τόπο ποὺ θέλω· ἄφησε νὰ ὑφάνω τὸν ἱστό. Μὴ θορυβῆσθε ὅμως στὸν πρόλογο· ἀλλὰ ὅταν λέγω κάτι τέτοιο, περιμένετε τὴ λύσι· διότι θέλω νὰ σᾶς κάνω ὀξυδερκεῖς καὶ ὄχι ἁπλῶς νὰ σᾶς γυμνάζω μὲ ἐπιπολαιότητα, ἀλλὰ νὰ σᾶς κατεβάσω στὸν βυθὸ τῶν θείων Γραφῶν, βυθὸ ποὺ δὲν ἔχει τρικυμία, βυθὸ ποὺ εἶναι ἀσφαλέστερος ἀπὸ τὴ γαλήνη. Ὅσο λοιπὸν κατεβαίνεις, τόση μεγαλύτερη ἀσφάλεια βρίσκεις. Διότι δὲν ὑπάρχει ἐδῶ ἄτακτη ροὴ ὑδάτων, ἀλλὰ καλὰ ἁρμονικὴ διάταξις νοημάτων.

«Ἀπήλαυσες τὰ ἀγαθά σου καὶ ὁ Λάζαρος τὰ κακὰ τῆς δυστυχίας του· καὶ τώρα αὐτὸς παρηγορεῖται, ἐνῶ ἐσὺ ὑποφέρεις». Προκύπτει μεγάλο ζήτημα ἐδῶ. Εἶπε, ὅτι αὐτὸς ποὺ ἀπολαμβάνει, ἀπολαμβάνει αὐτὰ ποὺ τοῦ χρωστοῦν. Ἐὰν λοιπὸν ὁ Λάζαρος ἦταν δίκαιος, ὅπως βέβαια καὶ ἦταν, καὶ τὸ ἀπέδειξε ὁ κόλπος τοῦ Ἀβραάμ, τὸ στεφάνι, τὰ βραβεῖα, ἡ ἄνεσις, ἡ ἀπόλαυσις, ἡ καρτερία, ἡ ὑπομονή, καὶ αὐτὸς ἦταν ἁμαρτωλὸς καὶ παμπόνηρος καὶ ἀπάνθρωπος, ἐνδιαφερόταν γιὰ τὴν καλοπέρασι καὶ τὴ μέθη, παρέθετε τραπέζι συβαριτικό, ζοῦσε μέσα σὲ τόση αἰσχρότητα καὶ ἀκολασία, γιατί τοῦ λέγει, «ἀπέλαβες»; Εἶχε δηλαδὴ νὰ πάρη κάτι κι'

αὐτῷ ἐχρεωστεῖτο; διὰ τί γὰρ μὴ εἶπεν, 'ἔλαβες', ἀλλ', «ἀπέλαβες;»

θ'. Πρόσεχε τῷ λεγομένῳ· ἐχρεωστοῦντο αὐτῷ τιμωρίαι, ἐχρεωστοῦντο αὐτῷ κολάσεις, ἐχρεωστοῦντο αὐτῷ ὀδύναι. Διὰ τί μὴ εἶπεν, ὅτι 'αὐτὰ ἔλαβες', ἀλλὰ «ἀπέλαβες τὰ ἀγαθά σου» ἐκεῖνα, τὸν βίον ἐκεῖνον λέγων, «καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ»; Ἀλλὰ σύντεινόν σου τὴν διάνοιαν· εἰς βάθος γὰρ καταβαίνω νοημάτων. Τῶν ἀνθρώπων ἁπάντων τῶν ὄντων οἱ μέν εἰσιν ἁμαρτωλοί, οἱ δὲ δίκαιοι. Πρόσεχε τοίνυν καὶ ἐν τοῖς δικαίοις διαφοράν· ὁ μὲν δίκαιος, ὁ δὲ πλεῖον δίκαιος· ὁ μὲν ὑψηλότερος, ὁ δὲ μείζων· καὶ καθάπερ ἀστέρες εἰσὶ πολλοὶ καὶ ἥλιος καὶ σελήνη, οὕτω καὶ διαφορὰ δικαίων. «Ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη σελήνης, καὶ ἄλλη δόξα ἀστέρων». Τὰ μὲν γὰρ διαφέρει ἐν δόξῃ, τὰ δὲ ἐλαττοῦται· καὶ καθάπερ εἰσὶ σώματα ἐπουράνια, οὕτω καὶ σώματα ἐπίγεια· καὶ ὥσπερ ἐν τοῖς σώμασιν ὁ μὲν ἔλαφος, ὁ δὲ κύων, ὁ δὲ λέων, ὁ δὲ ἄλλο θηρίον, ὁ δὲ ἀσπίς, ὁ δὲ ἄλλο τι τῶν τοιούτων· οὕτω καὶ ἐν τοῖς ἁμαρτήμασι διαφοραί. Τῶν ἀνθρώπων τοίνυν οἱ μέν εἰσι δίκαιοι, οἱ δὲ ἁμαρτωλοί· ἀλλὰ καὶ ἐν τοῖς δικαίοις πολλὴ διαφορά, καὶ ἐν τοῖς ἁμαρτωλοῖς πολλὴ καὶ ἄπειρος.

Ἀλλὰ πρόσεχε. Εἰ καὶ δίκαιος ᾖ τις, κἂν μυριάκις ᾖ δίκαιος καὶ πρὸς αὐτὴν ἀναβῇ τὴν κορυφήν, ὥστε ἀπηλλάχθαι ἁμαρτημάτων, οὐ δύναται καθαρὸς εἶναι κηλῖδος, κἂν μυριάκις ᾖ δίκαιος, ἀλλ' ἄνθρωπός ἐστι. «Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας;». Διὰ τοῦτο κελευόμεθα εἰς τὴν εὐχὴν λέγειν· «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν», ἵνα τῇ συνηθείᾳ τῆς εὐχῆς ἀναμνησθῶμεν ἐκεῖ ὅτι ὑπεύθυνοί ἐσμεν κολάσεσι. Καὶ γὰρ Παῦλος ὁ ἀπόστολος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ ναὸς τοῦ Θεοῦ, τὸ στόμα τοῦ Χριστοῦ, ἡ λύρα τοῦ Πνεύματος, ὁ διδάσκαλος τῆς οἰκουμένης, ὁ γῆν καὶ θάλασσαν περιελθών, ὁ τὰς ἀκάνθας τῶν ἁμαρτιῶν ἀνασπάσας, ὁ τὰ σπέρματα τῆς εὐσεβείας καταβαλών, ὁ βασιλέων εὐπορώτερος, ὁ πλουσίων δυνατώτερος, ὁ στρατιωτῶν ἰσχυρότερος, ὁ φιλοσόφων φιλοσοφώτερος, ὁ ῥητόρων εὐγλωττότερος, ὁ μηδὲν ἔχων καὶ πάντα κε-

21. Α' Κορ. 15,41.
22. Παρ. 20,9.
23. Ματθ. 6,12.

αὐτός, ἄνθρωπος πλούσιος, ἄσωτος καὶ ἀπάνθρωπος; Τί λοιπόν τοῦ ὠφειλόταν; Γιατί δὲν εἶπε, 'ἔλαβες', ἀλλὰ «ἀπέλαβες»;

9. Πρόσεχε στὸ λεγόμενο. Εἶχε νὰ λάβη τιμωρίες, εἶχε νὰ λάβη καταδίκες, εἶχε νὰ λάβη ὀδύνες. Γιατί δὲν εἶπε, 'τὰ ἔλαβες αὐτά', ἀλλὰ «ἀπέλαβες τὰ ἀγαθά σου» ἐκεῖνα, ἐννοώντας τὴ ζωὴ ἐκείνη, καὶ ὁ Λάζαρος τὰ κακά του; Ἀλλὰ συγκέντρωσε ὅλες τὶς δυνάμεις τοῦ νοῦ σου· διότι κατεβαίνω στὸ βάθος τῶν νοημάτων. Ἀπὸ ὅλους τοὺς ἀνθρώπους ποὺ ὑπάρχουν ἄλλοι εἶναι ἁμαρτωλοὶ καὶ ἄλλοι δίκαιοι. Πρόσεχε λοιπὸν τὴ διαφορὰ ποὺ ὑπάρχει καὶ στοὺς δικαίους· ἄλλος εἶναι δίκαιος, καὶ ἄλλος περισσότερο δίκαιος· ὁ ἕνας εἶναι λαμπρότερος, καὶ ὁ ἄλλος ἀκόμα πιὸ πολύ· καὶ ὅπως ἀκριβῶς ὑπάρχουν πολλὰ ἄστρα καὶ ὁ ἥλιος καὶ ἡ σελήνη, ἔτσι διαφέρουν καὶ ἐκεῖνοι. Διότι «ἄλλη εἶναι ἡ λάμψις τοῦ ἡλίου καὶ ἄλλη ἡ λάμψις τῆς σελήνης καὶ ἄλλη ἡ λάμψις τῶν ἀστέρων»[21]. Καθόσον ἄλλα ἔχουν μεγαλύτερη λάμψι, κι' ἄλλα μικρότερη· καὶ ὅπως ὑπάρχουν σώματα ἐπουράνια, ἔτσι ὑπάρχουν καὶ σώματα ἐπίγεια· καὶ ὅπως στὰ σώματα, ἄλλο εἶναι ἐλάφι, ἄλλο σκυλί, ἄλλο λιοντάρι, ἄλλο θηρίο, ἄλλο φίδι, καὶ ἄλλο ὁ,τιδήποτε ἄλλο ἀπὸ αὐτά· ἔτσι ὑπάρχουν διαφορὲς καὶ στὶς ἁμαρτίες. Ἀπὸ τοὺς ἀνθρώπους λοιπὸν ἄλλοι εἶναι δίκαιοι καὶ ἄλλοι ἁμαρτωλοί· ἀλλὰ καὶ ἀνάμεσα στοὺς δικαίους ὑπάρχει μεγάλη διαφορά, καὶ ἀνάμεσα στοὺς ἁμαρτωλοὺς μεγάλη καὶ ἀπέραντη.

Ἀλλὰ πρόσεχε. Διότι κι' ἂν εἶναι δίκαιος κάποιος, κι' ἂν μύριες φορὲς εἶναι δίκαιος, κι' ἂν ἀνεβῆ σ' αὐτὴν τὴν κορυφή, ὥστε νὰ ἔχη ἀπαλλαχθῆ ἀπὸ τὶς ἁμαρτίες του, δὲν μπορεῖ νὰ μὴν ἔχη κάποια κηλίδα· κι' ἂν ἀκόμη εἶναι μύριες φορὲς δίκαιος, ὅμως εἶναι ἄνθρωπος. Διότι λέγει, «ποιός μπορεῖ νὰ καυχηθῆ ὅτι ἔχει ἁγνὴ καρδιά; ἢ ποιός μπορεῖ νὰ πῆ μὲ παρρησία ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτία;»[22]. Γι' αὐτὸ ἔχουμε ἐντολὴ νὰ λέμε στὴν προσευχή μας· «συγχώρησέ μας τὶς ἁμαρτίες μας»[23], ὥστε μὲ τὴ συχνὴ προσευχὴ νὰ θυμώμαστε ὅτι εἴμαστε ὑπεύθυνοι γιὰ τιμωρίες ἐκεῖ. Διότι καὶ ὁ ἀπόστολος Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ ναὸς τοῦ Θεοῦ, τὸ στόμα τοῦ Χριστοῦ, ἡ λύρα τοῦ Πνεύματος, ὁ διδάσκαλος τῆς οἰκουμένης, αὐτὸς ποὺ διέτρεξε τὴ γῆ καὶ τὴ θάλασσα, αὐτὸς ποὺ ξερρίζωσε τὰ ἀγκάθια τῶν ἁμαρτιῶν, αὐτὸς ποὺ ἔβαλε ὡς θεμέλιο τοὺς σπόρους τῆς εὐσέβειας, αὐτὸς ποὺ ἦταν πλουσιώτερος ἀπὸ τοὺς βασιλεῖς,

κτημένος, ὁ ἐν τῇ σκιᾷ αὐτοῦ θάνατον λύων, ὁ ἐν τοῖς ἱματίοις αὐτοῦ τὰ νοσήματα φυγαδεύων, ὁ ἐν θαλάσσῃ τρόπαια στήσας, ὁ ἁρπαγεὶς ἕως τρίτου οὐρανοῦ καὶ εἰς παράδεισον εἰσελθών, ὁ τὸν Χριστὸν Θεὸν ἀνακηρύξας, ἐκεῖνος λέγει· «οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι». Ὁ τοσοῦτον καὶ τηλικοῦτον κεκτημένος ἀρετῶν πλῆθος, λέγει· «ὁ δὲ ἀνακρίνων με Κύριός ἐστι».

Τίς οὖν καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; Ἀμήχανον τοίνυν εἶναι ἄνθρωπόν τινα ἀναμάρτητον. Τί γὰρ λέγεις; δίκαιός ἐστιν; ἐλεήμων ἐστί; φιλόπτωχός ἐστιν; Ἀλλ' ἔχει τι ἐλάττωμα· ἢ ὑβρίζει ἀκαίρως, ἢ κενοδοξεῖ, ἢ ἄλλο τι τοιοῦτον ποιεῖ· οὐ γὰρ δεῖ πάντα καταλέγειν. Ὁ μὲν ἐλεήμων· ἀλλ' οὐ σώφρων πολλάκις· ὁ δὲ σώφρων μέν, ἀλλ' οὐκ ἐλεήμων· ὁ μὲν ἐν ταύτῃ τῇ ἀρετῇ ὀνομάζεται, ὁ δὲ ἐν ἐκείνῃ. Ἔστω τις δίκαιος· καὶ πολλάκις μὲν δίκαιός ἐστι, καὶ ἔχει πάντα τὰ ἀγαθά, καὶ ἔσχεν ἀπόνοιαν διὰ τὴν δικαιοσύνην, καὶ ἐλυμήνατο αὐτῷ τὴν δικαιοσύνην ἡ ἀπόνοια. Ὁ Φαρισαῖος οὐκ ἦν δίκαιος, νηστεύων δὶς τοῦ σαββάτου, καὶ τί φησιν; «Οὔκ εἰμι ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες καὶ πλεονέκται». Καὶ πολλάκις ἀπὸ καθαροῦ συνειδότος εἰς ἀπόνοιαν ἦλθέ τις· καὶ ὅπερ οὐκ ἔβλαψεν αὐτὸν ἡ ἁμαρτία, ἔβλαψεν αὐτὸν ἡ ἀπόνοια.

Οὐκ ἔστι γοῦν ἄνθρωπον καθ' ὅλου οὕτως εἶναι δίκαιον, ὡς καθαρὸν εἶναι ἀπὸ ἁμαρτίας, καὶ πάλιν, οὐκ ἔστιν ἄνθρωπον οὐδένα κακὸν εἶναι, ὡς μὴ ἔχειν τι κἂν μικρὸν ἀγαθόν. Οἷόν τι λέγω· Ὁ δεῖνα ἁρπάζει καὶ πλεονεκτεῖ καὶ λυμαίνεται, ἀλλ' ἐνίοτε ἐλεημοσύνην δίδωσιν, ἀλλ' ἐνίοτε σώφρων ἐστίν, ἀλλ' ἐνίοτε λόγον ἔχει χρηστόν, ἀλλ' ἐνίοτε κἂν ἑνὶ ἀνδρὶ ἐβοήθησεν, ἀλλ' ἐνίοτε ἔκλαυσεν, ἀλλ' ἐνίοτε ἐστύγνασεν. Οὔτε οὖν δίκαιός ἐστι χωρὶς ἁμαρτίας,

24. Α' Κορ. 4,4.
25. Λουκᾶ 18,11.

δυνατώτερος ἀπὸ τοὺς πλουσίους, ἰσχυρότερος ἀπὸ τοὺς στρατιῶτες, φιλοσοφώτερος ἀπὸ τοὺς φιλοσόφους, εὐγλωττότερος ἀπὸ τοὺς ρήτορες, αὐτὸς ποὺ δὲν εἶχε τίποτε καὶ ὅλα τὰ εἶχε, αὐτὸς ποὺ μὲ τὴ σκιά του κατέλυσε τὸν θάνατο, αὐτὸς ποὺ μὲ τὰ ἐνδύματά του θεράπευε τὶς ἀσθένειες, αὐτὸς ποὺ ἔστησε τρόπαια μέσα στὴν θάλασσα, αὐτὸς ποὺ ἀνέβηκε μέχρι τὸν τρίτο οὐρανό, καὶ μπῆκε στὸν παράδεισο, αὐτὸς ποὺ κήρυξε τὸν Χριστὸ τὸν Θεό, ἐκεῖνος λέγει· «δὲν μοῦ καταλογίζει ἡ συνείδησίς μου καμμιὰ ἐνοχή, ἀλλ' ὅμως δὲν εἶναι ἀρκετὸ αὐτὸ γιὰ νὰ ἔχω δικαιωθῆ»[24]. Αὐτὸς ποὺ εἶχε αποκτήσει τόσο καὶ τέτοιο πλῆθος ἀρετῶν, λέγει· «αὐτὸς ποὺ θὰ μὲ κρίνη εἶναι ὁ Κύριος».

Ποιός μπορεῖ νὰ καυχηθῆ ὅτι ἔχει ἁγνὴ καρδιά; Ἢ ποιός μπορεῖ νὰ πῆ μὲ παρρησία, ὅτι εἶναι καθαρὸς ἀπὸ ἁμαρτία; Εἶναι ἀδύνατο λοιπὸν νὰ ὑπάρχη κάποιος ἄνθρωπος ἀναμάρτητος. Μὰ τί λές; Εἶναι δίκαιος; εἶναι ἐλεήμων; εἶναι φιλόπτωχος; Ὅμως ἔχει κάποιο ἐλάττωμα· ἢ βρίζει ἐνοχλητικά, ἢ εἶναι ματαιόδοξος, ἢ κάνει κάτι ἄλλο παρόμοιο· διότι δὲν πρέπει ὅλα νὰ τὰ ἀπαριθμοῦμε. Εἶναι κάποιος ἐλεήμων· πολλὲς φορὲς ὅμως δὲν εἶναι συνετός. Ὁ ἄλλος εἶναι συνετός, ἀλλὰ δὲν εἶναι ἐλεήμων· ὁ ἕνας φημίζεται γι' αὐτὴν τὴν ἀρετή, καὶ ὁ ἄλλος γιὰ ἐκείνην. Ἔστω ὅτι κάποιος εἶναι δίκαιος· καὶ πολλὲς φορὲς εἶναι δίκαιος, καὶ ἔχει ὅλα τὰ ἀγαθά, καὶ ὑπερηφανεύθηκε γιὰ τὴ δικαιοσύνη του· αὐτὴ ἡ ὑπερηφάνειά του τοῦ κατέστρεψε τὴ δικαιοσύνη του. Ὁ Φαρισαῖος ποὺ νήστευε δυὸ φορὲς τὴν ἑβδομάδα δὲν ἦταν δίκαιος; Καὶ τί λέγει; «Δὲν εἶμαι ὅπως οἱ ἄλλοι ἄνθρωποι, ποὺ εἶναι κλέφτες καὶ πλεονέκτες»[25]. Καὶ πολλὲς φορὲς κάποιος ἐξ αἰτίας τῆς καθαρῆς συνειδήσεώς του ἔφθασε στὴν ἀλαζονεία· καὶ ὅσο δὲν τὸν ἔβλαψε ἡ ἁμαρτία, τὸν ἔβλαψε ἡ ὑπερηφάνεια.

Δὲν εἶναι δυνατὸ λοιπὸν νὰ ὑπάρχη ἄνθρωπος τελείως δίκαιος, ὥστε νὰ εἶναι καθαρὸς ἀπὸ ἁμαρτία· καὶ πάλι, δὲν ὑπάρχει κανένας ἄνθρωπος τόσο κακός, ὥστε νὰ μὴν ἔχη ἔστω καὶ ἕνα μικρὸ καλό. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω. Ὁ τάδε ἁρπάζει καὶ ἐκμεταλλεύεται καὶ καταστρέφει, ἀλλὰ μερικὲς φορὲς δίνει ἐλεημοσύνη, μερικὲς φορὲς εἶναι συνετός, μερικὲς φορὲς λέγει ἕναν καλὸ λόγο, κάποτε βοήθησε ἔστω κι' ἕναν ἄνθρωπο, μερικὲς φορὲς ἔκλαψε, μερικὲς φορὲς λυπήθηκε. Οὔτε λοιπὸν δίκαιος ὑπάρχει

οὔτε ἐστὶν ἁμαρτωλὸς καθόλου ἔρημος ἀγαθοῦ. Τί τοῦ Ἀχαὰβ χαλεπώτερον; ἥρπασε καὶ ἐφόνευσεν· ἀλλ' ὅμως ἐπειδὴ ἐστύγνασε, λέγει τῷ Ἠλίᾳ ὁ Θεός· «εἶδες πῶς κατενύγη Ἀχαάβ», εἶδες ἐν τοσούτῳ βυθῷ κακῶν πῶς εὑρέθη τι μικρὸν ἀγαθόν; Τί Ἰούδα χεῖρον τοῦ προδότου, τοῦ αἰχμαλωτισθέντος ὑπὸ τῆς φιλαργυρίας; ἀλλ' ὅμως καὶ αὐτὸς ἐποίησε κἂν μικρόν τι μετὰ ταῦτα ἀγαθόν. «Ἥμαρτον», γάρ φησι, «παραδοὺς αἷμα ἀθῷον».

Ὅπερ οὖν ἔλεγον· οὐ γάρ ἐστι φύσει ἡ κακία, ἵνα μὴ ἔχῃ χώραν ἡ ἀρετή. Τὸ πρόβατον οὐδέποτε δύναται γενέσθαι ἄγριον, φύσει γὰρ ἔχει τὸ ἥμερον· ὁ λύκος οὐδέποτε δύναται γενέσθαι ἥμερος, φύσει γὰρ ἔχει τὸ ἄγριον. Οὐ λύονται οὖν οἱ νόμοι τῆς φύσεως, οὐδὲ σαλεύονται, ἀλλὰ μένουσιν ἀκίνητοι. Ἐπὶ ἐμοῦ τοῦτο οὐκ ἔνι, ἀλλὰ καὶ ἄγριος γίνομαι ὅταν βούλωμαι, καὶ ἥμερος ὅταν θέλω· οὐ γὰρ φύσει δέδεμαι, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως τετίμημαι. Ὅπερ οὖν εἶπον, οὔτε ἀγαθός τις οὕτως ἐστίν, ὡς μὴ ἔχειν μικρὰν κηλῖδα, οὔτε πονηρός τις οὕτως ἐστίν, ὡς μὴ ἔχειν κἂν μικρὸν ἀγαθόν.

Ἐπεὶ οὖν πάντων ἀντίδοσίς ἐστι καὶ πάντων ἐστὶν ἀμοιβή· κἂν γὰρ φονεὺς ᾖ τις, κἂν πονηρός τις ᾖ, κἂν πλεονέκτης, ποιήσῃ δὲ καλόν, μένει αὐτῷ τοῦ καλοῦ ἡ ἀνταπόδοσις, καὶ οὐ διὰ τὰ κακά, ἃ ἐποίησεν, ἄμισθον γίνεται τὸ καλόν. Καὶ πάλιν, κἂν μυρία τις ἐργάζηται ἀγαθά, ποιήσῃ δέ τι φαῦλον, μένει αὐτῷ τοῦ φαύλου ἡ ἀνταπόδοσις. Κάτεχε ταῦτα, τήρει αὐτὰ ὀχυρὰ καὶ ἀκίνητα. Οὔτε ἀγαθός τίς ἐστι χωρὶς ἁμαρτίας, οὔτε κακός τίς ἐστι χωρὶς δικαιοσύνης. Τὰ αὐτὰ γὰρ λέγω πάλιν, ἵνα ριζώσω, ἵνα φυτεύσω, ἵνα εἰς βάθος θήσω. Ἐμβάλλει γάρ τινας μέριμνας ὁ διάβολος εἰς τὴν ψυχήν, βουλόμενος ἀποβουκολῆσαι ὑμῶν τὴν διάνοιαν, καὶ λυμήνασθαι τὰ παρ' ἐμοῦ λεγόμενα· διὰ τοῦτο εἰς βάθος αὐτὰ καταφέρω. Ἐὰν γὰρ ᾧδε τηρήσῃς ἀσφαλῶς, κἂν ἔξω ἀπέλθῃς, ἀπολέσαι αὐτὰ οὐ δύνασαι. Ὥσπερ γάρ, ἐὰν βάλω χρυσίον εἰς βαλάντιον, σφίγγω καὶ σφραγίζομαι, ἵνα καὶ ἐμοῦ ἀπόντος ὁ λῃστὴς μὴ λάβῃ, οὕτω

26. Γ' Βασ. 21,29.
27. Ματθ. 27,4.

χωρὶς ἁμαρτία, οὔτε γενικὰ ἁμαρτωλὸς ὑπάρχει χωρὶς κάποιο καλό. Ποιός ἦταν ἀθλιώτερος ἀπὸ τὸν Ἀχαάβ; ἅρπαξε κι' ἐφόνευσε· ἀλλ' ὅμως, ἐπειδὴ λυπήθηκε, λέγει ὁ Θεὸς στὸν Ἠλία· «εἶδες πῶς λυπήθηκε ὁ Ἀχαάβ;»[26], εἶδες, πῶς μέσα στὸν βυθὸ τῶν τόσων κακῶν βρέθηκε κάποιο μικρὸ καλό; Τί ἦταν χειρότερο ἀπὸ τὸν Ἰούδα τὸν προδότη, ποὺ αἰχμαλωτίσθηκε ἀπὸ τὴ φιλαργυρία; Ἀλλ' ὅμως καὶ αὐτὸς ἔκανε, μετὰ ἀπὸ αὐτά, κάποιο ἔστω καὶ μικρὸ καλό. Διότι λέγει, «ἁμάρτησα, διότι παρέδωσα αἷμα ἀθῶο»[27].

Αὐτὸ λοιπὸν ἔλεγα· ὅτι δηλαδὴ δὲν εἶναι ἡ κακία στὴ φύσι τοῦ ἀνθρώπου, ὥστε νὰ μὴν χωράη ἡ ἀρετή. Τὸ πρόβατο ποτὲ δὲν μπορεῖ νὰ γίνη ἄγριο, διότι ἀπὸ τὴν φύσι του εἶναι ἥμερο· ὁ λύκος ποτὲ δὲν μπορεῖ νὰ γίνη ἥμερος, διότι ἀπὸ τὴ φύσι του εἶναι ἄγριος. Δὲν καταλύονται λοιπὸν οἱ νόμοι τῆς φύσεως, οὔτε σαλεύονται, ἀλλὰ μένουν ἀκίνητοι. Σ' ἐμένα δὲν συμβαίνει αὐτό, ἀλλὰ καὶ ἄγριος γίνομαι ὅταν θέλω καὶ ἥμερος ὅταν θέλω· διότι δὲν δεσμεύομαι ἀπὸ τὴ φύσι, ἀλλ' ἔχω τιμηθῆ μὲ τὴν ἐλευθερία τῆς βουλήσεως. Ὅπως δηλαδὴ εἶπα, οὔτε εἶναι κανεὶς τόσο καλός, ὥστε νὰ μὴν ἔχη κάποια μικρὴ κηλίδα, οὔτε εἶναι κανεὶς τόσο κακός, ὥστε νὰ μὴν ἔχη ἔστω καὶ κάποιο μικρὸ καλό.

Ἐπειδὴ λοιπὸν ὑπάρχει ἀνταπόδοσις γιὰ ὅλα, ὑπάρχει καὶ ἀνταμοιβὴ γιὰ ὅλα· εἴτε εἶναι κάποιος φονιάς, εἴτε εἶναι κάποιος κακός, εἴτε εἶναι πλεονέκτης, ἀλλὰ κάνει κάποιο καλό, τοῦ μένει ἡ ἀνταπόδοσις τοῦ καλοῦ καὶ δὲν πάει χαμένος ὁ μισθὸς τοῦ καλοῦ, ἐξ αἰτίας τῶν κακῶν ποὺ ἔκανε. Καὶ πάλι, κι' ἂν κάποιος ἔχη κάνει μύρια καλά, ἔχει κάνει ὅμως καὶ κάποιο κακό, θὰ λάβη τὴν ἀνταπόδοσι γιὰ τὸ κακὸ ποὺ ἔκανε. Πρόσεξέ τα καλὰ αὐτά, φύλαγέ τα δυνατὰ καὶ σταθερά. Δὲν ὑπάρχει κανεὶς οὔτε ἀγαθὸς χωρὶς ἁμαρτία, οὔτε κανένας κακὸς χωρὶς ἀρετή. Ἐπαναλαμβάνω τὰ ἴδια πάλι, γιὰ νὰ τὰ ριζώσω, νὰ τὰ φυτέψω, νὰ τὰ βάλω βαθιὰ μέσα σας. Βάζει δηλαδὴ κάποιες μέριμνες στὴν ψυχὴ ὁ διάβολος, ἐπειδὴ θέλει ν' ἀποσπάση τὴ σκέψι σας καὶ νὰ καταστρέψη αὐτὰ ποὺ σᾶς λέγω· γι' αὐτὸ τὰ κρύβω βαθιὰ μέσα στὴν ψυχή σας. Διότι, ἐὰν τὰ διαφυλάξης μὲ ἀσφάλεια ἐδῶ, κι' ἂν ἀκόμη βγῆς ἔξω, δὲν εἶναι δυνατὸ νὰ τὰ χάσης. Ὅπως ἀκριβῶς δηλαδὴ ὅταν βάλω τὸν χρυσὸ στὸ χρηματοφυλάκιο, τὸ σφίγγω καὶ τὸ σφραγίζω, ὥστε καὶ ὅταν θ' ἀπουσιάζω νὰ μὴν τὸ πάρη ὁ ληστής, ἔτσι κάνω καὶ γιὰ τὴ δική σας ἀγάπη· μὲ

καὶ ἐπὶ τῆς ὑμετέρας ἀγάπης ποιῶ· τῇ συνεχείᾳ τῆς διδασκαλίας σφίγγω καὶ σφραγῖδας ἐπιτίθημι, καὶ ἀσφαλίζομαι ὑμῶν τὴν γνώμην, ἵνα μὴ γένηται ἐξίτηλος τῇ ῥαθυμίᾳ, ἀλλ' ἵνα τηρήσας μᾶλλον, τῇ ἐνταῦθα γαλήνῃ τὸν ἔξω θόρυβον ἀποκρούσωμαι.

Οὐ τοίνυν ταῦτα πολυλογίας τὰ λεγόμενα, ἀλλ' ἐπιμελείας καὶ φιλοστοργίας καὶ πόθου τοῦ διδασκάλου, ἵνα μὴ ἀπορρυῇ τὰ λεγόμενα. Ταῦτα γὰρ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές· διδάξαι βούλομαι, οὐχ ἁπλῶς ἐπιδείξασθαι. Οὐκ ἔστιν οὖν τις δίκαιος, ὃς οὐκ ἔχει ἁμαρτίαν· καὶ οὐκ ἔστι τις ἁμαρτωλός, ὃς οὐκ ἔχει ἀγαθόν· ἀλλ' ἐπειδὴ ἑκάστων ἐστὶν ἀντίδοσις, βλέπε τί γίνεται. Ὁ ἁμαρτωλὸς ἀπολαμβάνει τῶν ἀγαθῶν αὐτοῦ ἰσόρροπον τὴν ἀντίδοσιν, ἐάν τι ἔχῃ κἂν μικρὸν ἀγαθόν· καὶ ὁ δίκαιος ἀπολαμβάνει τῆς ἁμαρτίας αὐτοῦ τὴν ἰσόρροπον κρίσιν, κἂν μικρόν τι ποιήσῃ κακόν. Τί οὖν γίνεται, καὶ τί ποιεῖ ὁ Θεός; Ἀφώρισε νόσον τῇ ἁμαρτίᾳ, τὸν παρόντα βίον καὶ τὸν μέλλοντα αἰῶνα. Ἐὰν οὖν ᾖ τις δίκαιος καὶ ἐργάσηταί τι φαῦλον καὶ νοσήσῃ ὧδε καὶ τιμωρίᾳ παραδοθῇ, μὴ θορυβηθῇς, ἀλλ' ἐννόησον πρὸς ἑαυτὸν καὶ εἰπέ, ὅτι οὗτος ὁ δίκαιος πώποτε μικρόν τι κακὸν ἐποίησε καὶ ἀπολαμβάνει ὧδε, ἵνα μὴ ἐκεῖ κολασθῇ.

Πάλιν, ἐὰν ἴδῃς ἁμαρτωλὸν ἁρπάζοντα, πλεονεκτοῦντα, μυρία ποιοῦντα κακά, κἂν εὐθυνῇ, ἐννόησον ὅτι ἐποίησέ ποτε ἀγαθόν τι, καὶ ἀπολαμβάνει ὧδε τὰ ἀγαθά, ἵνα μὴ ἐκεῖ ἀπαιτήσῃ τὸν μισθόν. Οὕτω κἂν δίκαιος ᾖ τις καὶ πάσχῃ δεινόν τι, διὰ τοῦτο ἀπολαμβάνει ὧδε, ἵνα ὧδε ἀπόθηται τὴν ἁμαρτίαν, καὶ ἀπέλθῃ ἐκεῖ καθαρός· κἂν ἁμαρτωλός τις ᾖ, γέμων κακῶν καὶ μυρία ἀνίατα νοσῶν, ἁρπάζων, πλεονεκτῶν, διὰ τοῦτο ἀπολαύει ἐνταῦθα εὐημερίας, ἵνα μὴ ἐκεῖ ἀπαιτήσῃ μισθόν. Ἐπειδὴ οὖν συνέβαινε καὶ τὸν Λάζαρον ἔχειν τινὰ ἁμαρτήματα, καὶ τὸν πλούσιον ἔχειν τι ἀγαθόν, διὰ τοῦτο ὁ Ἀβραὰμ λέγει· ὧδε μηδὲν ζήτει· ἀπέλαβες τὰ ἀγαθά σου ἐκεῖ, καὶ ὁ Λάζαρος τὰ κακὰ αὐτοῦ. Καὶ ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς λέγω ταῦτα, ἀλλ' οὕτως ἐστι, λέγει· «ἀπέλαβες τὰ ἀγαθά σου». Ποῖα; ἐποίησάς τι ἀγαθόν; ἀπέλαβές σου τὸν πλοῦτον, τὴν ὑγείαν, τὴν τρυφήν, τὴν δυναστείαν, τὴν τιμήν· οὐδέν σοι κεχρεώ-

τὴν συνεχῆ διδασκαλία σφίγγω καὶ τοποθετῶ σφραγίδες καὶ ἀσφαλίζω τὴν γνώμη σας, γιὰ νὰ μὴν ξεθωριάση ἀπὸ τὴν ἀδιαφορία, ἀλλὰ νὰ τὴν διατηρήσω περισσότερο, καὶ μὲ τὴν ἐδῶ γαλήνη νὰ ἀπομακρύνω τὸν ἐξωτερικὸ θόρυβο.

Τὰ λεγόμενά μου λοιπὸν δὲν εἶναι πολυλογία, ἀλλ' εἶναι λόγια φροντίδας, φιλοστοργίας καὶ πόθου διδασκάλου, γιὰ νὰ μὴν σκορπίσουν σὰν τὰ φύλλα τὰ λόγια μου. Διότι τὸ νὰ τὰ λέγω αὐτά, σὲ μένα δὲν εἶναι κουραστικό, ἐνῶ γιὰ σᾶς εἶναι ἀσφάλεια· θέλω νὰ σᾶς διδάξω, ὄχι ἁπλῶς νὰ σᾶς κάνω ἐπίδειξι. Δὲν ὑπάρχει λοιπὸν κανένας δίκαιος χωρὶς ἁμαρτία· καὶ δὲν ὑπάρχει κανένας ἁμαρτωλός, ποὺ νὰ μὴν ἔχη κάποιο καλό· ἀλλά, ἐπειδὴ ὑπάρχει ἀνταπόδοσις γιὰ τὸν καθένα, πρόσεχε τί γίνεται. Ὁ ἁμαρτωλὸς ἀπολαμβάνει ἰσάξια τὴν ἀνταπόδοσι τῶν ἀγαθῶν του, ἐὰν ἔχη ἔστω καὶ κάποιο μικρὸ ἀγαθό· καὶ ὁ δίκαιος ἀπολαμβάνει ἰσάξια τὴν καταδίκη τῆς ἁμαρτίας του, ἂν ἔχη κάνει ἔστω καὶ κάποιο μικρὸ κακό. Τί λοιπὸν γίνεται, καὶ τί κάνει ὁ Θεός; Ὥρισε νὰ τιμωρῆται ἡ ἁμαρτία καὶ στὴν παροῦσα ζωὴ καὶ στὸν μέλλοντα αἰῶνα. Ἐὰν λοιπὸν εἶναι κάποιος δίκαιος καὶ διαπράξη κάποιο κακό, καὶ συμβῆ ν' ἀρρωστήση ἐδῶ καὶ νὰ παραδοθῆ στὴν τιμωρία, μὴ θορυβηθῆς, ἀλλὰ σκέψου καὶ πές, ὅτι αὐτὸς ὁ δίκαιος ἔκανε κάποτε κάποιο μικρὸ κακό, καὶ τιμωρεῖται ἐδῶ, γιὰ νὰ μὴ τιμωρηθῆ ἐκεῖ.

Πάλι, ἐὰν δῆς ἁμαρτωλὸ ν' ἁρπάζη, νὰ εἶναι πλεονέκτης, νὰ κάνη μύρια κακά, κι' ἂν ἀκόμη εὐημερῆ, σκέψου ὅτι ἔκανε κάποτε κάποιο καλό, καὶ ἀπολαμβάνει ἐδῶ τὰ ἀγαθά, γιὰ νὰ μὴ ζητήση τὸν μισθὸ ἐκεῖ. Ἔτσι, ἂν εἶναι κάποιος δίκαιος καὶ ὑποφέρη κάποιο κακό, γι' αὐτὸ τὸ ἀπολαμβάνει ἐδῶ, γιὰ ν' ἀποβάλλη ἐδῶ τὴν ἁμαρτία, καὶ νὰ πάη ἐκεῖ καθαρός· κι' ἂν εἶναι κάποιος ἁμαρτωλός, γεμᾶτος κακίες, καὶ ὑποφέρη ἀπὸ μύρια ἀθεράπευτα κακά, ἁρπάζει, ἀδικεῖ, γι' αὐτὸ ἀπολαμβάνει ἐδῶ τὴν εὐτυχία, γιὰ νὰ μὴ ζητήση μισθὸ ἐκεῖ. Ἐπειδὴ λοιπὸν συνέβαινε καὶ ὁ Λάζαρος νὰ ἔχη κάποιες ἁμαρτίες, καὶ ὁ πλούσιος νὰ ἔχη κάποιο καλό, γι' αὐτὸ ὁ Ἀβραὰμ λέγει· ἐδῶ μὴ ζητᾶς τίποτε· «ἀπήλαυσες τὰ ἀγαθά σου ἐκεῖ καὶ ὁ Λάζαρος τὰ κακά του». Καὶ γιὰ νὰ μάθης ὅτι δὲν τὰ λέγω τυχαῖα αὐτά, ἀλλὰ ἔτσι εἶναι, λέγει· «ἀπήλαυσες τὰ ἀγαθά σου». Ποιά; Ἔκανες κάποιο καλό; Ἀπήλαυσες τὸν πλοῦτο, τὴν ὑγεία, τὴν ἀπόλαυσι, τὴν ἀρχοντιά, τὴν τιμή· τίποτε δὲν σοῦ ὀφείλεται· «ἀπήλαυ-

στηται· «ἀπέλαβες τὰ ἀγαθά σου». Τί οὖν; ὁ Λάζαρος οὐδὲν ἥμαρτε; Ναί, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ. Ὅτε σὺ ἀπελάμβανες τὰ ἀγαθά, τότε καὶ Λάζαρος τὰ κακά· διὰ τοῦτο νῦν οὗτος παρακαλεῖται, σὺ δε ὀδυνᾶσαι.

5 *Ὥστε, ὅταν ἴδῃς δίκαιον κολαζόμενον ὧδε, μακάριζε αὐτὸν καὶ λέγε· οὗτος ὁ δίκαιος ἢ ἁμαρτίαν ἔχει καὶ ἀπολαμβάνει αὐτὴν καὶ ἀπέρχεται ἐκεῖ καθαρός, ἢ πλέον τῶν ἁμαρτημάτων κολάζεται, καὶ προσθήκη δικαιοσύνης αὐτῷ λογίζεται. Λόγος γὰρ γίνεται ἐκεῖ· καὶ λέγει ὁ Θεὸς τῷ δικαίῳ· ἔχεις μου τόσον· τυχὸν δὲ πιστεύει* 10 *αὐτῷ δέκα ὀβολοὺς καὶ ποιεῖ αὐτῷ λόγον τῶν δέκα ὀβολῶν. Ἐὰν δὲ δαπανήσῃ ἑξήκοντα ὀβολούς, λέγει αὐτῷ ὁ Θεός· τοὺς δέκα ὀβολοὺς λογίζομαί σοι εἰς ἁμαρτίαν καὶ τοὺς πεντήκοντα εἰς δικαιοσύνην. Ἵνα δὲ μάθῃς ὅτι τὸ λειπόμενον εἰς δικαιοσύνην αὐτῷ λογίζεται, Ἰὼβ δίκαιος ἦν, ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχό-* 15 *μενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Ἐκολάσθη αὐτοῦ τὸ σῶμα ὧδε, ἵνα ἐκεῖ μισθοὺς ἀπαιτήσῃ. Τί γάρ φησιν ὁ Θεὸς πρὸς αὐτόν; «Ἄλλως οἴει με κεχρηματικέναι σοι, ἢ ἵνα ἀναφανῇς δίκαιος;».*

Τὴν αὐτὴν τοίνυν τοῖς δικαίοις ὑπομονὴν ἐπιδειξάμενοι καὶ τῇ ἀγαθῇ αὐτῶν πολιτείᾳ τὴν καρτερίαν ἰσόρροπον ἐπιδειξάμενοι, 20 *ἀπολάβωμεν τὰ ἀγαθὰ τὰ εὐτρεπισμένα τοῖς ἁγίοις τοῖς ἀγαπῶσι τὸν Θεόν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

28. Ἰὼβ 40,3.

σες τὰ ἀγαθά σου». Τί λοιπόν; Ὁ Λάζαρος δὲν ἁμάρτησε καθόλου; Ναί, καὶ ὁ Λάζαρος ἀμείφθηκε γιὰ τὰ κακά του. Ὅταν ἐσὺ ἀπολάμβανες τὰ ἀγαθά, τότε καὶ ὁ Λάζαρος ἀπολάμβανε τὰ κακά· γι' αὐτὸ τώρα αὐτὸς παρηγορεῖται, κι' ἐσὺ ὑποφέρεις.

Ὥστε, ὅταν δῆς τὸν δίκαιο νὰ τιμωρῆται ἐδῶ, μακάριζέ τον καὶ λέγε· αὐτὸς ὁ δίκαιος ἢ ἔχει ἁμαρτία καὶ ἀμείβεται γι' αὐτήν, καὶ πηγαίνει ἐκεῖ καθαρός, ἢ τιμωρεῖται περισσότερο ἀπὸ τὶς ἁμαρτίες του, καὶ τοῦ λογαριάζεται αὐτὸ σὰν ἐπὶ πλέον ἀρετή. Διότι ἐκεῖ γίνεται λογαριασμός. Καὶ λέγει ὁ Θεὸς στὸν δίκαιο· ἔχεις νὰ λάβης τόσο· ἔστω ὅτι τοῦ ἐμπιστεύεται δέκα ὀβολοὺς καὶ τοῦ λογαριάζει τοὺς δέκα ὀβολούς. Ἐὰν ὅμως ξοδέψη ἑξήντα ὀβολούς, τοῦ λέγει ὁ Θεός· 'Τοὺς δέκα ὀβολοὺς σοῦ τοὺς λογαριάζω γιὰ την ἁμαρτία καὶ τοὺς πενῆντα σὰν δικαιοσύνη σου'. Καὶ γιὰ νὰ μάθης ὅτι τὸ ὑπόλοιπο τοῦ τὸ ὑπολογίζει σὰν δικαιοσύνη του, ὁ Ἰὼβ ἦταν δίκαιος, ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεῖχε ἀπὸ κάθε πονηρὸ πρᾶγμα. Τιμωρήθηκε τὸ σῶμα του ἐδῶ, γιὰ ν' ἀπαιτήση ἐκεῖ τοὺς μισθούς του. Διότι τί τοῦ λέγει ὁ Θεός; «Νομίζεις ὅτι ἐγὼ γιὰ ἄλλον λόγο ἔκανα ὅ,τι ἔκανα γιὰ σένα καὶ ὄχι γιὰ νὰ ἀναδειχθῆς δίκαιος;»[28].

Ἂς δείξουμε λοιπὸν τὴν ἴδια ὑπομονὴ μὲ τοὺς δικαίους, καὶ ἀφοῦ ἐπιδείξουμε ἀντάξια ὑπομονὴ πρὸς τὴν δική τους ἐνάρετη πολιτεία, θ' ἀπολαύσουμε τὰ ἀγαθὰ τὰ ἑτοιμασμένα γιὰ τοὺς ἁγίους ποὺ ἀγαποῦν τὸν Θεό· αὐτὰ εἴθε ὅλοι μας νὰ τὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΤΩΧΟΝ ΛΑΖΑΡΟΝ

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ

ΠΡΟΣ ΤΟΥΣ ΕΙΣ ΤΑΣ ΙΠΠΟΔΡΟΜΙΑΣ ΑΠΕΛΘΟΝΤΑΣ ΚΑΙ ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

«Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς»· καὶ πρὸς τὸ τέλει εἰς Πλούσιον καὶ εἰς Λάζαρον.

α'. Βούλομαι τῆς συνήθους ἅψασθαι πάλιν διδασκαλίας καὶ τὴν πνευματικὴν ὑμῖν παραθεῖναι τράπεζαν· καὶ ὀκνῶ καὶ ἀναδύομαι, ὁρῶν οὐδὲν καρπουμένους ὑμᾶς ἐκ τῆς συνεχοῦς διδασκαλίας· ἐπεὶ καὶ γηπόνος, ἐπειδὰν δαψιλεῖ τῇ χειρὶ τὰ σπέρματα τοῖς κόλποις 5 τῆς γῆς παρακατάθηται καὶ μὴ ἀξίαν τῶν πόνων ἴδη τὴν βλάστησιν γινομένην, οὐ μετὰ τῆς αὐτῆς προθυμίας τῆς γεωργίας ἅπτεται· ἡ γὰρ ἐλπὶς ἀεὶ τῆς τῶν καρπῶν φορᾶς ὑποτέμνεται τὸ βαρὺ τῶν πόνων. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς τὸν πολὺν τοῦτον πόνον τῆς διδασκαλίας κούφως ἂν ἠνέγκαμεν, εἰ ἐμάθομεν πλέον τι γινόμενον 10 ἐκ τῆς παραινέσεως τῆς ἡμετέρας εἰς ὠφέλειαν τὴν ὑμετέραν. Νυνὶ δὲ ὅταν θεασώμεθα, ὅτι μετὰ τὰς τοσαύτας ἡμῶν παραινέσεις, μετὰ τὰς τοσαύτας νουθεσίας καὶ ἐπιπλήξεις (οὐδὲ γὰρ ἐπαυσάμεθα συνεχῶς ὑμᾶς ὑπομιμνήσκοντες τοῦ φοβεροῦ δικαστηρίου καὶ τῶν εὐθυνῶν τῶν ἀπαραιτήτων, καὶ τοῦ πυρὸς ἐκείνου τοῦ ἀσβέ- 15 στου, καὶ τοῦ σκώληκος τοῦ ἀτελευτήτου), τινὲς τῶν ταῦτα ἀκουόντων (οὐδὲ γὰρ κατὰ πάντων ἐκφέρω τὴν ψῆφον, μὴ γένοιτο), πάντων τούτων ἐπιλαθόμενοι, πάλιν ἐπὶ τὴν σατανικὴν θεωρίαν τῆς ἱπποδρομίας ἑαυτοὺς ἐκδεδώκασι, ποίᾳ λοιπὸν προσδοκίᾳ τῶν αὐτῶν ἁψόμεθα πόνων καὶ τὴν διδασκαλίαν αὐτοῖς ταύτην τὴν 20 πνευματικὴν παραθήσομεν, ὁρῶντες μηδὲν πλέον αὐτοὺς ἐντεῦθεν

ΣΤΟΝ ΦΤΩΧΟ ΛΑΖΑΡΟ

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΠΗΓΑΝ ΣΤΙΣ ΙΠΠΟΔΡΟΜΙΕΣ ΚΑΙ ΣΤΟ ΡΗΤΟ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

«Μπῆτε διὰ τῆς στενῆς πύλης, διότι εἶναι πλατειὰ ἡ πύλη καὶ εὐρύχωρη ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὴν ἀπώλεια, καὶ πολλοὶ εἶναι ἐκεῖνοι ποὺ μπαίνουν ἀπ' αὐτήν»· καὶ πρὸς τὸ τέλος στὸν πλούσιο καὶ στὸν Λάζαρο.

1. Θέλω πάλι ν' ἀρχίσω τὴ συνηθισμένη διδασκαλία καὶ νὰ σᾶς παραθέσω τὸ πνευματικὸ τραπέζι· διστάζω ὅμως καὶ τὸ ἀποφεύγω, ἐπειδὴ βλέπω ὅτι τίποτε δὲν σᾶς ὠφελεῖ ἡ συνεχὴς διδασκαλία· διότι καὶ ὁ γεωργός, ὅταν μὲ ἁπλοχεριὰ ἐμπιστεύεται τοὺς σπόρους μέσα στοὺς κόλπους τῆς γῆς καὶ δὲν βλέπη ἡ βλάστησις νὰ εἶναι ἀντάξια τῶν κόπων του, δὲν ἐπιχειρεῖ μὲ τὴν ἴδια προθυμία τὴν καλλιέργεια· διότι ἡ ἐλπίδα τῆς καρποφορίας μειώνει πάντα τὸ βάρος τῶν κόπων. Μὲ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἐγὼ θὰ ἄντεχα εὔκολα τὸν μεγάλο αὐτὸ κόπο τῆς διδασκαλίας, ἐὰν μάθαινα ὅτι ἔγινε ἀπὸ τὴ συμβουλή μου κάτι καλύτερο γιὰ τὴν ὠφέλειά σας. Τώρα ὅμως ὅταν βλέπω, ὅτι μετὰ ἀπὸ τὶς τόσες προτροπές μου, μετὰ ἀπὸ τὶς τόσες νουθεσίες καὶ ἐπιπλήξεις (διότι δὲν ἔπαυσα νὰ σᾶς ὑπενθυμίζω διαρκῶς τὸ φοβερὸ δικαστήριο, τὶς ἀναπόφευκτες εὐθύνες, τὸ ἄσβεστο ἐκεῖνο πῦρ καὶ τὸ αἰώνιο σκουλήκι), μερικοὶ ἀπ' αὐτοὺς ποὺ τὰ ἀκοῦν (οὔτε βέβαια τοὺς καταδικάζω ὅλους, μὴ γένοιτο), ἀφοῦ τὰ ξέχασαν ὅλα αὐτά, πάλι ξεχύθηκαν νὰ παρακολουθήσουν τὸ σατανικὸ θέαμα τῆς ἱπποδρομίας, μὲ ποιά λοιπὸν ἐλπίδα νὰ καταπιαστῶ μὲ τοὺς ἴδιους κόπους καὶ νὰ τοὺς παραθέσω αὐτὴν τὴν πνευματικὴ διδασκαλία, ἀφοῦ βλέπω ὅτι τίποτε ἐπὶ πλέον δὲν ὠφε-

καρπουμένους, ἀλλ᾽ ἁπλῶς συνηθείᾳ τινὶ κατακολουθοῦντας, καὶ κροτοῦντας μὲν τὰ παρ᾽ ἡμῶν λεγόμενα, καὶ δεικνύντας ἡμῖν ὡς μεθ᾽ ἡδονῆς δέχονται τοὺς ἡμετέρους λόγους, καὶ μετὰ ταῦτα πάλιν ἐπὶ τὸν ἱππόδρομον τρέχοντας, καὶ μείζονας τοὺς κρότους ἐπὶ τοὺς 5 ἡνιόχους ἐπιδεικνυμένους καὶ ἀκάθεκτον τὴν μανίαν, καὶ μετὰ πολλοῦ τοῦ τόνου συντρέχοντας, καὶ πρὸς ἀλλήλους πολλάκις διαπληκτιζομένους καὶ λέγοντας, ὅτι ὁ μὲν τῶν ἵππων οὐ καλῶς ἔδραμεν, ὁ δὲ ὑποσκελισθεὶς κατέπεσεν, καὶ ὁ μὲν τούτῳ τῷ ἡνιόχῳ ἑαυτὸν προσνέμει, ὁ δὲ τῷ ἑτέρῳ· καὶ οὐδαμοῦ ἔννοια οὐδὲ ὑπόμνησις 10 τῶν ἡμετέρων λόγων, οὐδὲ τῶν πνευματικῶν καὶ φρικτῶν μυστηρίων τῶν ἐνταῦθα τελουμένων, ἀλλὰ καθάπερ αἰχμάλωτοι γενόμενοι ὑπὸ τῶν τοῦ διαβόλου παγίδων, ἐκεῖ διημερεύουσι, τῇ σατανικῇ θεωρίᾳ ἑαυτοὺς ἐκδεδωκότες, καὶ εἰς αἰσχύνην προκείμενοι καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τοῖς τὰ ἡμέτερα διασύρειν βουλομέ- 15 νοις.

Τίς ἂν οὖν, κἂν σφόδρα ᾖ λίθινος ᾖ καὶ ἀναίσθητος, ταῦτα ἀναλγήτως ἐνεγκεῖν δυνήσεται, μήτι γε ἡμεῖς, οἱ πατρικὴν φιλοστροφίαν περὶ πάντας ὑμᾶς ἐπιδείκνυσθαι σπουδάζοντες; Οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ λυποῦν ἡμᾶς, ὅτι ἀνόνητον τὸν ἡμέτερον ἐπι- 20 δείκνυσθε κάματον, ἀλλὰ πολλῷ πλέον ἡμῶν καθάπτεται, ὅταν ἐννοήσωμεν ὅτι βαρυτέραν ἑαυτοῖς οἱ ταῦτα ποιοῦντες ἐργάζονται τὴν κατάκρισιν. Ἡμεῖς γὰρ τῶν πόνων τὴν ἀμοιβὴν ἀναμένομεν παρὰ τοῦ Δεσπότου· τὸ γὰρ ἡμέτερον ἅπαν πεποιήκαμεν, καὶ τὸ ἀργύριον κατεβάλομεν, καὶ τὸ τάλαντον τὸ ἐμπιστευθὲν ἡμῖν διε- 25 νείμαμεν, καὶ οὐδὲν τῶν εἰς ἡμᾶς ἡκόντων παραλελοίπαμεν· οἱ δὲ τὰ ἀργύρια δεξάμενοι ταῦτα τὰ πνευματικά, ποίαν ἕξουσιν, εἰπέ μοι, ἀπολογίαν, ποίαν δὲ συγγνώμην, ὅταν μὴ μόνον αὐτὰ ἀπαιτῶνται, ἀλλὰ καὶ τὴν τούτων ἐργασίαν; ποίοις ὀφθαλμοῖς ὄψονται τὸν κριτήν; πῶς οἴσουσι τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν, τὰ κο- 30 λαστήρια τὰ ἀφόρητα; Μὴ γὰρ εἰς ἄγνοιαν ἔχουσι καταφυγεῖν; Καθ᾽ ἑκάστην ἡμέραν ἐνηχοῦμεν, παραινοῦμεν, προτρεπόμεθα, δεικνύομεν τῆς ἀπάτης τὸν ὄλεθρον, τῆς βλάβης τὸ μέγεθος, τῆς σατανικῆς πανηγύρεως τὸν δόλον, καὶ οὐδὲ οὕτω καθικέσθαι ἠδυνήθημεν. Καὶ τί λέγω τὴν ἡμέραν ἐκείνην τὴν φοβεράν; Τέως τὰ ἐνταῦθα γυμνάσωμεν.

Πῶς, εἰπέ μοι, οἱ τῆς σατανικῆς ἐκείνης μετασχόντες θεω-

λοῦνται ἐδῶ, ἀλλ' ἁπλῶς ἀπὸ κάποια συνήθεια παρακολουθοῦν· ἐπικροτοῦν βέβαια αὐτὰ ποὺ λέγω καὶ δείχνουν ὅτι μὲ εὐχαρίστησι δέχονται τὰ λόγια μου, μετὰ ὅμως ἀπὸ αὐτὰ πάλι τρέχουν στὸν ἱππόδρομο καὶ θορυβοῦν περισσότερο γιὰ τοὺς ἡνιόχους, ἐκδηλώνοντας μὲ ἀσυγκράτητη μανία καὶ μὲ μεγάλη τὴν ἔντασι τῆς φωνῆς τους τὸν φανατισμό τους καὶ διαπληκτίζονται μεταξύ τους πολλὲς φορὲς λέγοντας, ὅτι ὁ ἕνας ἀπὸ τοὺς ἵππους δὲν ἔτρεξε καλά, καὶ ἄλλος πεδικλώθηκε καὶ ἔπεσε· καὶ ὁ ἕνας παίρνει τὸ μέρος τοῦ ἑνὸς ἡνιόχου, ὁ ἄλλος τοῦ ἄλλου, καὶ κανεὶς δὲν σκέφτεται οὔτε θυμᾶται τὰ λόγια μου, οὔτε τὰ πνευματικὰ καὶ φρικτὰ μυστήρια ποὺ τελοῦνται ἐδῶ, ἀλλά, σὰν νὰ ἔχουν αἰχμαλωτισθῆ ἀπὸ τὶς παγίδες τοῦ διαβόλου, περνοῦν ἐκεῖ τὴν ἡμέρα τους, παραδομένοι στὸ σατανικὸ θέαμα καὶ ἐκτιθέμενοι καὶ στοὺς Ἰουδαίους καὶ στοὺς Ἕλληνες καὶ σὲ ὅλους ἐκείνους ποὺ θέλουν νὰ διασύρουν τὰ δικά μας.

Ποιός λοιπὸν θὰ μποροῦσε, κι' ἂν ἀκόμη ἦταν ὑπερβολικὰ σκληρὸς ἢ καὶ ἀναίσθητος, νὰ τὰ ὑποφέρη αὐτὰ χωρὶς πόνο; Ἀσφαλῶς οὔτε καὶ ἐγὼ ποὺ φροντίζω νὰ δείξω τὴν πατρική μου στοργὴ σ' ὅλους σας. Διότι δὲν εἶναι μόνο αὐτὸ ποὺ μὲ λυπεῖ, τὸ ὅτι δείχνετε ἀνώφελο τὸν δικό μου κόπο, ἀλλὰ πολὺ περισσότερο μὲ πληγώνει ὅταν σκέπτωμαι, ὅτι αὐτοὶ ποὺ τὰ κάνουν αὐτά, κάνουν βαρύτερη τὴν καταδίκη τους. Διότι ἐγὼ περιμένω τὴν ἀμοιβὴ τῶν κόπων μου ἀπὸ τὸν Κύριο· καθόσον ἐκτέλεσα ὅλο τὸ καθῆκον μου καὶ κατέβαλα τὸ ἀργύριο, καὶ τὸ τάλαντο ποὺ μοῦ ἐμπιστεύθηκε τὸ μοίρασα, καὶ τίποτε ἀπὸ ὅσα ἐξαρτῶντα ἀπὸ μένα δὲν παρέλειψα· ἐνῶ αὐτοὶ ποὺ δέχθηκαν αὐτὰ τὰ πνευματικὰ ἀργύρια, ποιά ἀπολογία θὰ ἔχουν, πές μου, καὶ ποιά συγγνώμη, ὅταν δὲν θὰ τοὺς ζητήσουν μόνο αὐτά, ἀλλὰ καὶ τὸ κέρδος ἀπὸ αὐτά; Μὲ ποιά μάτια θὰ δοῦν τὸν κριτή; πῶς θ' ἀντέξουν τὴ φοβερὴ ἐκείνη ἡμέρα, τὰ ἀφόρητα βασανιστήρια; Μήπως μποροῦν νὰ καταφύγουν στὴν ἄγνοια; Κάθε ἡμέρα φωνάζω, συμβουλεύω, προτρέπω, δείχνω τὴν καταστροφὴ στὴν ὁποία ὁδηγεῖ ἡ πλάνη, τὸ μέγεθος τῆς βλάβης, τὸν δόλο ποὺ ὑποκρύπτει ἡ σατανικὴ πανήγυρις, καὶ οὔτε ἔτσι μπόρεσα νὰ τὸ ἐπιτύχω. Καὶ γιατί λέγω τὴν ἡμέρα ἐκείνη τὴ φοβερή; Πρῶτα ἂς ἐξετάσουμε τὰ ἐδῶ.

Πές μου, πῶς αὐτοὶ ποὺ πῆραν μέρος στὸ σατανικὸ αὐτὸ θέαμα θὰ μπορέσουν νὰ παρουσιασθοῦν ἐδῶ μὲ θάρρος, ἀφοῦ ἡ συνεί-

ρίας δυνήσονται μετὰ παρρησίας ἐνταῦθα παραγενέσθαι, τὸ συνειδὸς ἔχοντες κατεξανιστάμενον καὶ καταβοῶν μεγάλα; Ἢ οὐκ ἀκούουσιν οὗτοι τοῦ μακαρίου Παύλου λέγοντος τοῦ διδασκάλου τῆς οἰκουμένης, «τίς κοινωνία φωτὶ πρὸς σκότος, ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;». Πόσης γὰρ οὐκ ἂν εἴη καταγνώσεως ἄξιον, ὅταν ὁ πιστὸς καὶ τῶν ἐνταῦθα τελουμένων καὶ εὐχῶν καὶ φρικτῶν μυστηρίων καὶ πνευματικῆς διδασκαλίας ἀπολαύων, μετὰ τὴν ἐνταῦθα τελετὴν ἀπελθὼν καθέζηται εἰς τὴν σατανικὴν ἐκείνην θεωρίαν μετὰ τοῦ ἀπίστου, μετὰ τοῦ ἐν τῷ σκότει τῆς ἀσεβείας πλανωμένου, ὁ τῷ φωτὶ τοῦ τῆς δικαιοσύνης ἡλίου καταυγασθείς; Πῶς, εἰπέ μοι, λοιπὸν ἐπιστομίσαι δυνησόμεθα ἢ Ἕλληνας ἢ Ἰουδαίους; πῶς δὲ ἀναγαγεῖν αὐτοὺς ἰσχύσομεν καὶ πείσομεν μετατάξασθαι εἰς τὴν εὐσέβειαν, ὅταν ὁρῶσι τοὺς μεθ' ἡμῶν τεταγμένους εἰς τὰ ὀλέθρια ἐκεῖνα καὶ πάσης λύμης γέμοντα θέατρα συμφυρομένους αὐτοῖς;

Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, μετὰ τὸ παραγενέσθαι ἐνταῦθα καὶ ἐκκαθᾶραι τὸν λογισμὸν καὶ τὴν διάνοιαν εἰς νῆψιν ἀγαγεῖν καὶ κατάνυξιν, πάλιν ἀπελθὼν ἐκεῖ καταρρυπαίνεις ἑαυτόν; Ἢ οὐκ ἀκούεις σοφοῦ τινος λέγοντος, «εἷς οἰκοδομῶν καὶ εἷς καθαιρῶν τί ὠφέλησαν πλέον ἢ κόπους;». Ὃ δὴ καὶ νῦν γίνεται. Ὅταν γὰρ τὰ ἐνταῦθα ὑφ' ἡμῶν οἰκοδομηθέντα διὰ τῆς συνεχοῦς διδασκαλίας καὶ τῆς παραινέσεως ταύτης τῆς πνευματικῆς, ἀπελθὼν ἀθρόον ἐκεῖ πάντα καθέλῃς καὶ εἰς ἔδαφος, ὡς εἰπεῖν, καταγάγῃς, ποῖον ὄφελος πάλιν ἡμᾶς ἄνωθεν τὰ τῆς οἰκοδομῆς ἐπιδείκνυσθαι, καὶ πάλιν ὑμᾶς τὰ τῆς καθαιρέσεως; πόσης τοῦτο ἀνοίας οὐκ ἂν εἴη καὶ παραπληξίας; Εἰπὲ γάρ μοι, εἰ ἐθεάσω ἐν ταῖς αἰσθηταῖς ταύταις οἰκοδομαῖς ταῖς διὰ τῶν λίθων γινομέναις τοῦτό τινα ποιοῦντα, οὐχὶ ὡς μεμηνότι αὐτῶν προσέξεις καὶ εἰκῇ καὶ μάτην κοπτομένῳ, καὶ εἰς οὐδὲν δέον πάντα τὰ αὐτοῦ καταναλίσκοντι; Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπὶ τῆς οἰκοδομῆς ταύτης τῆς πνευματικῆς λογίζου, καὶ τὴν αὐτὴν ἔκφερε ψῆφον. Ἰδοὺ γάρ· ἡμεῖς μέν, ἐπειδὴ εἰς τοῦτο ἐτάχθημεν παρὰ τῆς τοῦ Θεοῦ χάριτος, καθ' ἑκάστην ἡμέραν τὴν οἰκοδομὴν ταύτην τὴν πνευματικὴν εἰς ὕψος ἐγείρομεν καὶ πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν ὑμᾶς ἐνάγειν σπουδάζομεν· τινὲς

1. Β' Κορ. 6,14.
2. Σοφ. Σειρὰχ 34,23.

δησίς τους ἐπαναστατεῖ ἐναντίον τους καὶ κραυγάζει δυνατά; Ἢ δὲν ἀκοῦν αὐτοὶ τὸν μακάριο Παῦλο, τὸν διδάσκαλο τῆς οἰκουμένης ποὺ λέγει, «ποιά ἐπικοινωνία μπορεῖ νὰ ἔχη τὸ φῶς μὲ τὸ σκοτάδι, ἢ ποιό μερίδιο μπορεῖ νὰ ἔχη ὁ πιστὸς μὲ τὸν ἄπιστο»[1]; Διότι πόσης κατηγορίας δὲν θὰ εἶναι ἄξιο, ὅταν ὁ πιστὸς ἀπολαμβάνη καὶ αὐτὰ ποὺ τελοῦνται ἐδῶ καὶ τὶς προσευχὲς καὶ τὰ φρικτὰ μυστήρια καὶ τὴν πνευματικὴ διδασκαλία, καὶ μετὰ τὴν ἐδῶ τελετὴ φεύγει καὶ πηγαίνει καὶ κάθεται στὸ σατανικὸ ἐκεῖνο θέαμα μαζὶ μὲ τὸν ἄπιστο, μαζὶ μ' αὐτὸν ποὺ πλανᾶται στὸ σκοτάδι τῆς ἀσέβειας, αὐτὸς ποὺ φωτίσθηκε ἀπὸ τὸ φῶς τοῦ ἡλίου τῆς δικαιοσύνης; Πές μου, πῶς λοιπὸν θὰ μπορέσουμε νὰ κλείσουμε τὸ στόμα τῶν Ἑλλήνων ἢ τῶν Ἰουδαίων; Καὶ πῶς θὰ μπορέσουμε νὰ τοὺς ἀνεβάσουμε ψηλὰ καὶ νὰ τοὺς πείσουμε νὰ μεταταγοῦν στὴν εὐσέβεια, ὅταν βλέπουν, αὐτοὺς ποὺ ἔχουν παραταχθῆ μαζί μας, νὰ ἀναμειγνύωνται μέσα σ' ἐκεῖνα τὰ ὀλέθρια καὶ γεμᾶτα ἀπὸ κάθε καταστροφὴ θέατρα μαζὶ μ' αὐτούς;

Πές μου δηλαδή, γιὰ ποιό λόγο, ἀφοῦ ἔρθης ἐδῶ καὶ καθαρίσης τὴν σκέψι σου καὶ ὁδηγήσης τὴ διάνοιά σου στὴν ἐγρήγορσι καὶ τὴν κατάνυξι, πάλι καταρρυπαίνεις τὸν ἑαυτό σου, γυρίζοντας ἐκεῖ; Ἢ δὲν ἀκοῦς κάποιον σοφὸ ποὺ λέγει, «ὅταν ὁ ἕνας οἰκοδομῆ, καὶ ὁ ἄλλος γκρεμίζη, ποιό τότε τὸ ἐπὶ πλέον ὄφελος, παρὰ κόποι;»[2]. Αὐτὸ λοιπὸν καὶ τώρα γίνεται. Διότι, ὅταν αὐτὰ ποὺ ἐγὼ χτίζω ἐδῶ μὲ τὴ συνεχῆ διδασκαλία καὶ μὲ τὴν προτροπὴ αὐτὴ τὴν πνευματική, φεύγοντας ἐσὺ ἀπὸ ἐδῶ καὶ πηγαίνοντας ἐκεῖ τὰ γκρεμίσης ὅλα μέσα σὲ μιὰ στιγμὴ καὶ τὰ διασκορπίσης, ὅπως θὰ λέγαμε, στὸ ἔδαφος, ποιό τὸ ὄφελος νὰ σᾶς δείχνω πάλι ἐγὼ ἀπὸ τὴν ἀρχή, πῶς νὰ οἰκοδομῆσθε, καὶ σεῖς πάλι νὰ τὰ γκρεμίζετε; Πόση ἀνοησία καὶ πόσος παραλογισμὸς δὲν θὰ εἶναι αὐτό; Διότι πές μου, ἐὰν ἔβλεπες κάποιον νὰ τὸ κάνη αὐτὸ σ' αὐτὲς τὶς οἰκοδομὲς τὶς αἰσθητές, ποὺ εἶναι φτειαγμένες μὲ πέτρες, δὲν θὰ τὸν θεωρήσης μανιακό, καὶ ὅτι μάταια καὶ ἄδικα κοπιάζει, καὶ ὅτι σὲ τίποτε σωστὸ δὲν ξοδεύει ὅλα τὰ δικά του; Μὲ τὸν ἴδιο λοιπὸν τρόπο νὰ σκέπτεσαι και γ' αὐτὴν τὴν πνευματικὴ οἰκοδομὴ καὶ τὴν ἴδια κρίσι βγάλε. Διότι νά· ἐγώ, ἐπειδὴ τάχθηκα σ' αὐτὸ τὸ ἔργο ἀπὸ τὴ χάρι τοῦ Θεοῦ, κάθε ἡμέρα ἀνεβάζω πιὸ ψηλὰ αὐτὴν τὴν πνευματικὴ οἰκοδομὴ καὶ φροντίζω να σᾶς ὁδηγήσω στὴ διδασκαλία τῆς ἀρετῆς·

δὲ τῶν ἐνταῦθα συντρεχόντων τὴν μετὰ πολλοῦ πόνου αὐξηθεῖσαν οἰκοδομὴν ἐν μιᾷ ῥοπῇ μονονουχὶ ταῖς οἰκείαις χερσὶ διὰ τῆς ἀφάτου ταύτης ῥᾳθυμίας εἰς ἔδαφος κατάγουσιν, ἡμῖν μὲν πολλὴν τὴν ἀθυμίαν ἐντεῦθεν τίκτοντες, ἑαυτοῖς δὲ μέγιστον τὸν ὄλεθρον καὶ 5 *τὴν ζημίαν ἀφόρητον.*

β΄. Τάχα σφοδροτέραν τὴν ἐπιτίμησιν ἐποιησάμεθα· ὅσον μὲν πρὸς τὴν ἡμετέραν φιλοστοργίαν σφοδροτέραν, ὅσον δὲ πρὸς τὸ μέγεθος τοῦ πλημμελήματος οὐδὲ τὴν ἀξίαν. Ἀλλ' ὅμως, ἐπειδὴ δεῖ καὶ τοῖς πεπτωκόσι χεῖρα ὀρέγειν καὶ περὶ τοὺς τοσοῦτον ἐρρᾳθυ- 10 *μηκότας τὴν πατρικὴν εὔνοιαν ἐπιδείξασθαι, οὐδὲ οὕτως ἀπαγορεύομεν αὐτοῖς τὴν σωτηρίαν· μόνον ἐὰν βουληθῶσι μηκέτι τοῖς αὐτοῖς πάλιν περιπεσεῖν, ἀλλὰ μέχρι τούτου στῆσαι τὰ τῆς ῥᾳθυμίας, καὶ ἀπαγορεῦσαι τὴν ἐπὶ τὰς ἱπποδρομίας ἄνοδον καὶ πᾶσαν τὴν τοιαύτην σατανικὴν θεωρίαν. Δεσπότην γὰρ ἔχομεν φιλάνθρω-* 15 *πον καὶ ἥμερον καὶ κηδεμονικόν, ὅς, ἐπειδὴ οἶδε τὴν ἀσθένειαν τῆς φύσεως τῆς ἡμετέρας, ἐπειδὰν ἁμαρτήματί τινι περιπέσωμεν ῥᾳθυμίᾳ ὑποσκελισθέντες, ἓν μόνον ἐπιζητεῖ παρ' ἡμῶν, μὴ ἀπογνῶναι, ἀλλὰ ἀποστῆναι τοῦ πλημμελήματος καὶ πρὸς τὴν ἐξομολόγησιν ἐπαιχθῆναι. Κἂν τοῦτο ποιήσωμεν, ταχεῖαν ἡμῖν τὴν συγχώρησιν* 20 *ἐπαγγέλλεται, αὐτὸς γάρ ἐστιν ὁ λέγων· μὴ «ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει;».*

Ταῦτα τοίνυν εἰδότες, μὴ καταφρονῶμεν τοῦ οὕτω φιλανθρώπου Δεσπότου, ἀλλὰ περιγενώμεθα τῆς συνηθείας τῆς ἐπιβλαβοῦς, καὶ μὴ τὴν πλατεῖαν πύλην καὶ εὐρύχωρον ὁδὸν βαδίζωμεν· 25 *καθάπερ σήμερον ἠκούσατε τοῦ κοινοῦ πάντων Δεσπότου παραινοῦντος ἐν τῷ Εὐαγγελίῳ καὶ λέγοντος· «εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοὶ εἰσὶν οἱ εἰσερχόμενοι δι' αὐτῆς». Ἀκούσας πλατεῖαν πύλην καὶ εὐρύχωρον ὁδόν, μὴ τοῖς προοιμίοις ἀπα-* 30 *τηθῇς, μηδὲ ὅτι πολλοὶ εἰσέρχονται δι' αὐτῆς, τοῦτο ἴδῃς, ἀλλ' ἐννόει ὅτι εἰς στενὸν καταστρέφει τέλος. Κἀκεῖνο δὲ συνετῶς λογίζου, ὅτι οὐ περὶ αἰσθητῆς πύλης ἐστὶν ὁ λόγος, οὐδὲ περὶ ὁδοῦ ἁπλῶς ἀλλὰ καὶ πάσης τῆς ζωῆς τῆς ἡμετέρας, καὶ περὶ ἀρετῆς καὶ κακίας ἐστὶν ἡ παραίνεσις. Διά τοι τοῦτο καὶ ἀρχόμενος, οὕτω*

3. Ἱερ. 8,4.
4. Ματθ. 7,13.

μερικοὶ ὅμως ἀπὸ αὐτοὺς ποὺ βοηθοῦν ἐδῶ σ' αὐτὴν τὴν οἰκοδομή, ποὺ μὲ πολὺ κόπο ἔχει αὐξηθῆ, μέσα σὲ μιὰ στιγμή, μόνοι τους, μὲ τὰ δικά τους χέρια, τὴν γκρεμίζουν στὸ ἔδαφος, ἐξ αἰτίας τῆς φοβερῆς ἀδιαφορίας τους, καὶ σ' ἐμένα βέβαια προκαλοῦν μεγάλη λύπη ἀπὸ αὐτό, ἐνῶ στοὺς ἑαυτούς τους πάρα πολλὴ μεγάλη καταστροφὴ καὶ ἀνυπόφορη ζημιά.

2. Ἴσως ἔκανα πιὸ σφοδρὴ τὴν ἐπίπληξι· ἀκριβῶς τόσο σφοδρότερη, ὅση εἶναι ἡ δική μου στοργικὴ ἀγάπη, ὡς πρὸς τὸ μέγεθος ὅμως τοῦ πλημμελήματος, ὄχι ὅσο ἔπρεπε. Ἀλλ' ὅμως, ἐπειδὴ πρέπει ν' ἁπλώσω χέρι βοήθειας καὶ πρὸς αὐτοὺς ποὺ ἔχουν πέσει καὶ νὰ δείξω τὴν πατρική μου ἀγάπη καὶ σ' αὐτοὺς ποὺ ἔδειξαν τόση ἀδιαφορία, οὔτε γι' αὐτὸ τοὺς ἀποκλείω τὴ σωτηρία· μόνο ἐὰν θελήσουν ποτὲ νὰ μὴν ξαναπέσουν στὰ ἴδια, ἀλλὰ μέχρις ἐδῶ νὰ σταματήσουν τὰ τῆς ἀδιαφορίας τους καὶ ν' ἀπαγορεύσουν στοὺς ἑαυτούς τους νὰ πᾶνε στὶς ἱπποδρομίες καὶ σὲ κάθε τέτοιο σατανικὸ θέαμα. Διότι ἔχουμε Κύριο φιλάνθρωπο καὶ ἥμερο καὶ προνοητικό, ὁ ὁποῖος, ἐπειδὴ γνωρίζει τὴν ἀδυναμία τῆς φύσεώς μας, ὅταν πέσουμε σὲ κάποιο ἁμάρτημα ὑποσκελισμένοι ἀπὸ τὴ ραθυμία μας, ἕνα μόνο ζητάει ἀπὸ μᾶς, νὰ μὴν ἀπογοητευθοῦμε, ἀλλὰ νὰ ἐγκαταλείψουμε τὸ πλημμέλημα καὶ νὰ τρέξουμε στὴν ἐξομολόγησι. Κι' ἂν αὐτὸ τὸ κάνουμε, μᾶς ὑπόσχεται ἀμέσως τὴ συγχώρησι· διότι αὐτὸς εἶναι ποὺ λέγει· «μήπως αὐτὸς ποὺ πέφτει δὲν σηκώνεται, ἢ αὐτὸς ποὺ χάνει τὸν δρόμο του δὲν ἐπιστρέφει;»[3].

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς μὴν περιφρονοῦμε τὸν τόσο φιλάνθρωπο Κύριό μας, ἀλλὰ ἂς νικήσουμε τὴν ἐπιβλαβῆ συνήθειά μας κι' ἂς μὴ βαδίζουμε τὴν πλατειὰ πύλη καὶ τὸν εὐρύχωρο δρόμο· ὅπως ἀκριβῶς ἀκούσατε σήμερα νὰ προτρέπη στὸ Εὐαγγέλιο ὁ κοινὸς Κύριος ὅλων μας καὶ νὰ λέγη· «μπῆτε διὰ τῆς στενῆς πύλης, διότι εἶναι πλατειὰ ἡ πύλη καὶ εὐρύχωρη ἡ ὁδὸς ποὺ ὁδηγεῖ στὴν καταστροφή, καὶ πολλοὶ εἶναι ἐκεῖνοι ποὺ μπαίνουν ἀπ' αὐτήν»[4]. Ἐπειδὴ ἄκουσες, «πλατειὰ πύλη καὶ εὐρύχωρη» μὴ ξεγελαστῆς ἀπὸ τὴν εἰσαγωγή, οὔτε αὐτὸ νὰ δῆς, ὅτι μπαίνουν ἀπὸ αὐτήν, ἀλλὰ σκέψου ὅτι σὲ καταστρέφει σὲ στενὸ τέλος. Κι' ἐκεῖνο νὰ σκέφτεσαι μὲ σύνεσι, ὅτι δὲν γίνεται λόγος γιὰ πραγματικὴ πύλη, οὔτε ἁπλῶς γιὰ κάποιον δρόμο, ἀλλὰ γιὰ ὅλη τὴ ζωή μας, καὶ ἡ συμβουλὴ εἶναι καὶ γιὰ τὴν ἀρετὴ καὶ γιὰ τὴν κακία. Γι' αὐτὸ βέβαια καὶ ἀρχίζο-

ἤρξατο λέγων, «εἰσέλθετε διὰ τῆς στενῆς πύλης», τὴν τῆς ἀρετῆς πύλην οὕτω καλῶν.

Εἶτα εἰπών, ὅτι «εἰσέλθετε διὰ τῆς στενῆς πύλης», διδάσκει ἡμᾶς λοιπὸν τὴν αἰτίαν, δι' ἣν τοῦτο παραινεῖ. Εἰ γὰρ καὶ στενή, 5 φησίν, αὕτη καὶ πολὺν ἔχει τὸν κάματον ἐν τῇ εἰσόδῳ, ἀλλ' ἐὰν μικρὸν κάμητε, εἰς πολὺ πλάτος ἐκβήσεσθε καὶ εὐρυχωρίαν πολλήν, τὴν ἄνεσιν δυναμένην ὑμῖν παρασχεῖν. Μὴ τοίνυν ὅτι στενή ἐστι, φησίν, ἴδητε, μηδὲ τὰ προοίμια ὑμᾶς θορυβείτω, μηδὲ τὸ στενὸν τῆς εἰσόδου ὀκνηροὺς ἀπεργαζέσθω· ἡ γὰρ πλατεῖα αὕτη πύλη καὶ 10 ἡ εὐρύχωρος ὁδὸς εἰς ἀπώλειαν καταστρέφει. Διὸ καὶ πολλοὶ τῇ ἀρχῇ καὶ τοῖς προοιμίοις ἀπατώμενοι καὶ οὐδὲν τῶν μελλόντων προορώμενοι, εἰς τὴν ἀπώλειαν ἑαυτοὺς ἐκδιδόασι. Διὰ τοῦτό φησιν, ὅτι· «πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς.

15 Καὶ καλῶς αὐτὴν «πλατεῖαν πύλην» ἐκάλεσε καὶ «εὐρύχωρον ὁδὸν» τὴν ἐπὶ τὴν ἀπώλειαν ἀπάγουσαν. Οἱ γὰρ ἐπὶ τὰς ἱπποδρομίας ἀναβαίνειν σπεύδοντες καὶ τὰς ἄλλας τὰς σατανικὰς θεωρίας, καὶ τῆς σωφροσύνης ἀμελοῦντες, καὶ τῆς ἀρετῆς οὐδένα λόγον ποιούμενοι, καὶ ἀσελγαίνειν βουλόμενοι, καὶ οἱ τῇ τρυφῇ καὶ τῇ 20 γαστριμαργίᾳ ἑαυτοὺς ἐκδιδόντες, καὶ περὶ τὴν τῶν χρημάτων μανίαν καὶ λύτταν καθ' ἑκάστην ἡμέραν δαπανώμενοι, καὶ πρὸς τὰ τοῦ παρόντος βίου πράγματα κεχηνότες, διὰ τῆς πλατείας πύλης βαδίζουσι καὶ εὐρυχώρου ὁδοῦ· ἀλλ' ἐπειδὰν ἐπὶ πολὺ προέλθωσι καὶ πολλὰ τῶν ἁμαρτημάτων ἑαυτοῖς τὰ φορτία συνάξωσι, κατα-25 δαπανώμενοι, ἐλθόντες εἰς τὸ τῆς ὁδοῦ τέλος, οὐκέτι περαιτέρω προελθεῖν δύνανται, τῆς στενότητος τῆς ὁδοῦ πιεζούσης αὐτούς, διὰ τὸ μὴ δύνασθαι τῷ ὄγκῳ τῶν ἁμαρτημάτων βαρυνομένους ταύτην διελθεῖν· διὸ ἀνάγκη εἰς αὐτὸν τῆς ἀπωλείας τὸν κρημνὸν αὐτοὺς καταστρέψαι. Ποῖον οὖν ὄφελος, εἰπέ μοι, πρὸς ὀλίγον τὴν 30 εὐρύχωρον βαδίσαντας, ἐν διηνεκεῖ ἀπωλείᾳ γενέσθαι, καὶ ὄναρ, ὡς εἰπεῖν, τρυφήσαντας, ἐν ἀληθείᾳ κολάζεσθαι;

Ὅπερ γάρ ἐστι μιᾶς νυκτὸς ὄναρ, τοῦτο ἅπας ὁ παρὼν βίος πρὸς τὴν διαδεξομένην ἡμᾶς κόλασιν καὶ τιμωρίαν. Μὴ γάρ, ἵνα ἁπλῶς ἀναγινώσκωμεν, ταῦτα γέγραπται; Διὰ τοῦτο ἡ τοῦ Πνεύ-

ντας, ἔτσι ἄρχισε νὰ λέγῃ· «μπῆτε ἀπὸ τὴ στενὴ πύλη», ὀνομάζοντας ἔτσι τὴν πύλη τῆς ἀρετῆς.

Ἔπειτα, λέγοντας, «μπῆτε ἀπὸ τὴ στενὴ πύλη», μᾶς διδάσκει τότε τὴν αἰτία, γιὰ τὴν ὁποία τὸ συμβουλεύει αὐτό. Διότι, ἂν καὶ εἶναι στενὴ αὐτή, λέγει, κι' ἔχει πολὺ κόπο κατὰ τὴν εἴσοδο, ἐὰν ὅμως κουρασθῆτε λίγο, θὰ βγῆτε σὲ μεγάλο πλάτος καὶ σὲ εὐρυχωρία πολλή, ποὺ μπορεῖ νὰ σᾶς προσφέρῃ τὴν ἄνεσι. Μὴ λοιπὸν δῆτε ὅτι εἶναι στενή, λέγει, οὔτε νὰ σᾶς θορυβῆ ἡ ἀρχή, οὔτε νὰ σᾶς κάνῃ διστακτικοὺς τὸ στενὸ τῆς εἰσόδου· διότι ἡ πλατειὰ αὐτὴ πύλη καὶ ἡ εὐρύχωρη ὁδὸς σὲ ὁδηγεῖ στὴν καταστροφή. Γι' αὐτὸ καὶ πολλοὶ ξεγελασμένοι ἀπὸ τὴν ἀρχὴ καὶ τὰ προοίμια καὶ ἐπειδὴ δὲν προβλέπουν τίποτε ἀπὸ ὅσα ἀνήκουν στὸ μέλλον, παραδίνονται στὴν καταστροφή. Γι' αὐτὸ λέγει, ὅτι «εἶναι πλατειὰ ἡ πύλη καὶ εὐρύχωρος ὁ δρόμος ποὺ ὁδηγεῖ στὴν καταστροφὴ καὶ πολλοὶ εἶναι εἶναι ἐκεῖνοι ποὺ μπαίνουν ἀπ' αὐτήν».

Καὶ σωστὰ τὴν ὠνόμασε «πλατειὰ πύλη καὶ εὐρύχωρο δρόμο», αὐτὸν ποὺ ὁδηγεῖ στὴν καταστροφή. Διότι ἐκεῖνοι ποὺ βιάζονται νὰ πᾶνε στὶς ἱπποδρομίες καὶ στὰ ἄλλα τὰ σατανικὰ θεάματα καὶ ἀδιαφοροῦν γιὰ τὴ σωφροσύνη καὶ δὲν κάνουν κανέναν λόγο γιὰ τὴν ἀρετὴ καὶ θέλουν νὰ ἀσελγοῦν, καὶ ἐκεῖνοι ποὺ παραδίνονται στὴν ἀσωτία καὶ στὴ λαιμαργία καὶ δαπανοῦν τὸν καιρό τους κάθε ἡμέρα στὴ μανία καὶ στὴ λύσσα τῶν χρημάτων, θαυμάζοντας τὰ πράγματα αὐτῆς τῆς ζωῆς, βαδίζουν μέσα ἀπὸ τὴν πλατειὰ πύλη καὶ τὸν εὐρύχωρο δρόμο· ὅταν ὅμως προχωρήσουν ἀρκετὰ καὶ συγκεντρώσουν ἐπάνω τους μεγάλα φορτία ἀπὸ ἁμαρτίες, καθὼς ἀσωτεύουν, ὅταν φθάσουν στὸ τέλος τοῦ δρόμου, δὲν μποροῦν νὰ προχωρήσουν περισσότερο, διότι τοὺς πιέζει ἡ στενότης τοῦ δρόμου, ἐπειδὴ δὲν μποροῦν καταπιεζόμενοι ἀπὸ τὸν ὄγκο τῶν ἁμαρτημάτων νὰ τὸν περάσουν· γι' αὐτὸ εἶναι ἀναγκασμένοι νὰ καταλήξουν σ' ἐκεῖνον τὸν γκρεμὸ τῆς καταστροφῆς. Πές μου, ποιό λοιπὸν εἶναι τὸ ὄφελος, ἀφοῦ βάδισαν γιὰ λίγο στὸν εὐρύχωρο δρόμο, νὰ καταλήξουν κατόπιν στὴν παντοτινὴ καταστροφὴ καί, ἀφοῦ σὰν σὲ ὄνειρο καλοπέρασαν, νὰ τιμωροῦνται πραγματικά;

Διότι ὅ,τι εἶναι τὸ ὄνειρο μιᾶς νύχτας, αὐτὸς εἶναι ὅλος ὁ παρὼν βίος μπροστὰ στὴ κόλασι καὶ τὴν τιμωρία ποὺ μᾶς περιμένει. Μήπως δηλαδὴ αὐτὰ ἔχουν γραφῆ ἁπλῶς γιὰ νὰ τὰ διαβάζουμε; Γι'

ματος χάρις γραφῇ τοὺς τοῦ Κυρίου λόγους παραδοθῆναι πεποίηκεν, ἵνα προφυλακτικὰ τῶν παθῶν τῶν ἡμετέρων φάρμακα ἐντεῦθεν λαμβάνοντες, τὴν ἐπηρτημένην κόλασιν διαφυγεῖν δυνηθῶμεν. Διὰ τοῦτο καὶ τότε κατάλληλα τοῖς τραύμασιν αὐτῶν τὰ φάρμακα
5 *ἐπιτιθεὶς ὁ Δεσπότης ἡμῶν Χριστὸς ἔλεγε παραινῶν· «εἰσέλθετε διὰ τῆς στενῆς πύλης». Στενὴν δὲ αὐτὴν ἐκάλει, οὐκ ἐπειδὴ τῇ φύσει στενὴ τυγχάνει, ἀλλ' ἐπειδὴ ἡ γνώμη ἡ ἡμετέρα πρὸς ῥᾳθυμίαν μᾶλλον ῥέπουσα, στενὴν αὐτὴν εἶναι νομίζει. Οὐδὲ γὰρ ἵνα ἀποστρέψῃ ἡμᾶς, διὰ τοῦτο στενὴν αὐτὴν ὠνόμασεν, ἀλλ' ἵνα τὸ πλά-*
10 *τος τῆς ἑτέρας φυγόντες καὶ ἐκ τοῦ τέλους ἑκάστην καταμαθόντες, οὕτω ταύτην μᾶλλον ἑλώμεθα.*

γ'. Ἀλλ' ἵνα πᾶσιν ὁ λόγος εὐσύνοπτος γένηται, φέρε, εἰ δοκεῖ, παραγάγωμεν εἰς μέσον τοὺς διὰ τῆς πλατείας πύλης εἰσελθόντας καὶ διὰ τῆς εὐρυχώρου βαδίσαντας, καὶ ἴδωμεν οἷον αὐτοὺς ἐδέξα-
15 *το τέλος, καὶ τοὺς διὰ τῆς στενῆς πύλης εἰσελθόντας καὶ τεθλιμμένης ὁδοῦ, καὶ καταμάθωμεν καὶ τούτους οἷα ἐδέξαντο τὰ ἀγαθά. Ἕνα τοίνυν τῶν διὰ ταύτης τῆς πύλης εἰσελθόντων τῆς πλατείας, καὶ ἕνα τῶν διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ βαδισάντων εἰς μέσον ὑμῖν προθέντες, δείξωμεν τῶν παρὰ τοῦ Κυρίου εἰρημένων*
20 *τὴν ἀλήθειαν, αὐτῇ πάλιν τῇ τοῦ Κυρίου παραβολῇ χρησάμενοι. Τίς οὖν ἐστιν ὁ διὰ τῆς πλατείας πύλης εἰσελθών, καὶ τὴν εὐρύχωρον ὁδὸν βαδίσας; Πρότερον γὰρ προσήκει δεῖξαι τίς οὗτός ἐστι, καὶ πόσον μῆκος ὥδευσεν ὁδοῦ τῇ πλατείᾳ βαδίζων, καὶ τότε φανερὸν ὑμῖν ποιῆσαι, εἰς οἷον κατέστρεψε τέλος. Καὶ οἶδα μὲν ὅτι*
25 *συνετοὶ ὄντες ἤδη συνήκατε τὸ μέλλον ῥηθήσεσθαι· ἀλλ' ὅμως, καὶ ἡμᾶς ἀναγκαῖον εἰπεῖν.*

Ἀναμνήσθητέ μοι τοῦ πλουσίου ἐκείνου, τοῦ καθ' ἑκάστην ἡμέραν τὴν πορφύραν καὶ τὰ βύσσινα ἐνδιδυσκομένου, καὶ λαμπρῶς ἑστιωμένου, καὶ παρασίτους καὶ κόλακας τρέφοντος, καὶ πο-
30 *λὺν τὸν ἄκρατον ἐγχεομένου, καὶ γαστριζομένου καθ' ἑκάστην ἡμέραν, καὶ τῇ τρυφῇ τῇ πολλῇ ἑαυτὸν ἐκδεδωκότος, καὶ διὰ τῆς πλατείας πύλης εἰσελθόντος, καὶ ἐν ἡδονῇ καὶ εὐθυμίᾳ βιωτικῇ διηνεκῶς τυγχάνοντος. Πάντα γὰρ αὐτῷ ὥσπερ ἐκ πηγῶν ἐπέρρει, θε-*

αὐτὸ ἡ χάρις τοῦ Πνεύματος ἔκανε νὰ παραδοθοῦν γραπτὰ σ' ἐμᾶς τὰ λόγια τοῦ Κυρίου, ὥστε, παίρνοντας προφυλακτικὰ φάρμακα ἀπὸ ἐδῶ γιὰ τὰ πάθη μας, νὰ μπορέσουμε νὰ ξεφύγουμε τὴν ἑτοιμασμένη τιμωρία. Γι' αὐτὸ καὶ τότε ὁ Χριστός, ὁ Κύριός μας, ἀφοῦ τοποθέτησε κατάλληλα τὰ φάρμακα ἐπάνω στὰ τραύματά τους, ἔλεγε συμβουλεύοντας· «μπῆτε ἀπὸ τὴ στενὴ πύλη». Καὶ τὴν ὠνόμαζε αὐτὴν στενή, ὄχι ἐπειδὴ ἀπὸ τὴ φύσι της εἶναι στενή, ἀλλ' ἐπειδὴ ἡ δική μας ἡ γνώμη, ποὺ ρέπει περισσότερο πρὸς τὴν ραθυμία, νομίζει ὅτι εἶναι στενή. Διότι δὲν τὴν ὠνόμασε στενὴ γιὰ νὰ μᾶς γυρίση πίσω, ἀλλὰ γιὰ νὰ ἀποφύγουμε τὸ πλάτος τῆς ἄλλης καὶ νὰ γνωρίσουμε καλὰ τὴν κάθε μιὰ ἀπὸ τὸ τέλος της, κι' ἔτσι νὰ προτιμήσουμε μᾶλλον αὐτήν.

3. Ἀλλὰ γιὰ νὰ γίνη σὲ ὅλους κατανοητὸς ὁ λόγος, ἐμπρός, ἐὰν θέλης, νὰ σᾶς παρουσιάσω ἐκείνους ποὺ μπῆκαν ἀπὸ τὴν πλατειὰ πύλη καὶ βάδισαν μέσω τῆς εὐρύχωρης ὁδοῦ, καὶ ἃς δοῦμε ποιό τέλος τοὺς περίμενε, καὶ αὐτοὺς ποὺ μπῆκαν ἀπὸ τὴ στενὴ πύλη καὶ τὸν θλιμμένο δρόμο, καὶ ἃς μάθουμε καλὰ ποιά ἀγαθὰ δέχθηκαν. Ἀφοῦ λοιπὸν τοποθετήσουμε μπροστά μας ἕναν ἀπὸ ἐκείνους ποὺ μπῆκαν ἀπὸ τὴν πλατειὰ πύλη καὶ ἕναν ἀπὸ αὐτοὺς ποὺ βάδισαν τὸν στενὸ καὶ θλιμμένο δρόμο, ἃς δείξουμε τὴν ἀλήθεια τῶν λόγων τοῦ Κυρίου, χρησιμοποιώντας πάλι τὴν ἴδια παραβολὴ τοῦ Κυρίου. Ποιός λοιπὸν εἶναι ἐκεῖνος ποὺ μπῆκε ἀπὸ τὴν πλατειὰ πύλη καὶ βάδισε στὸν εὐρύχωρο δρόμο; Πρῶτα βέβαια πρέπει νὰ δείξω ποιός εἶναι αὐτός, καὶ πόσο μῆκος τοῦ δρόμου βάδισε, βαδίζοντας στὸν εὐρύχωρο δρόμο, καὶ τότε θὰ σᾶς φανερώσω σὲ ποιό τέλος κατέληξε. Καὶ γνωρίζω ὅτι, ἐπειδὴ εἶστε συνετοί, ἤδη ἀντιληφθήκατε αὐτὸ ποὺ πρόκειται νὰ λεχθῆ· ἀλλ' ὅμως εἶναι ἀνάγκη καὶ ἐγὼ νὰ τὸ πῶ.

Θυμηθῆτε, σᾶς παρακαλῶ, τὸν πλούσιο ἐκεῖνον, ποὺ κάθε ἡμέρα φοροῦσε τὴν πορφύρα καὶ τὰ κατασκευασμένα ἀπὸ βύσσο ἐνδύματα, ποὺ ἔτρωγε λαμπρὰ καὶ ἔτρεφε παρασίτους καὶ κόλακες, γεμίζοντας μὲ καθαρὸ καὶ πολὺ κρασὶ τὸ ποτήρι του· παραχόρταινε κάθε ἡμέρα, παραδομένος στὴν μεγάλη τρυφή, εἶχε μπῆ ἀπὸ τὴν πλατειὰ πύλη καὶ διαρκῶς ζοῦσε μέσα στὴν ἡδονὴ καὶ τὴν εὐθυμία τὴν κοσμική. Διότι ὅλα γι' αὐτὸν ἔτρεχαν σὰν ἀπὸ πηγές, ἐξυπηρέ-

ραπεία πολλή, τρυφὴ ἄφατος, σώματος ὑγεία, χρημάτων περιουσία, τιμὴ παρὰ τῶν πολλῶν, αἱ παρὰ τῶν κολάκων εὐφημίαι, καὶ οὐδὲν ἦν αὐτῷ τέως τὸ λυποῦν. Καὶ τὸ δὴ μεῖζον, ὅτι ἐν τοσαύτῃ κραιπάλῃ καὶ ἀδηφαγίᾳ διημερεύων, οὐ μόνον ὑγείας ἀπήλαυσε 5 σωματικῆς καὶ ἀδείας πάσης, ἀλλὰ καὶ τὸν πένητα Λάζαρον ἐπὶ τοῦ πυλῶνος κατακείμενον καὶ ἡλκωμένον καὶ ὑπὸ τῶν κυνῶν κυκλούμενον καὶ διαλειχόμενον καὶ λιμῷ τηκόμενον ἀνηλεῶς παρέτρεχεν, οὐδὲ ψιχίων αὐτῷ μεταδιδούς.

Καὶ ὁ μὲν διὰ τῆς πύλης τῆς πλατείας εἰσελθών, τὴν εὐρύχω- 10 ρον ὁδὸν ἐβάδιζε, τὴν τῆς τρυφῆς, τὴν τῆς ἀκολασίας, τὴν τοῦ γέλωτος, τὴν τῆς ἀνέσεως, τὴν τῆς γαστριμαργίας, τὴν τῆς μέθης, τῆς τῶν χρημάτων περιβολῆς, τῆς ἐν τῇ ἐσθῆτι βλακείας. Καὶ μέχρι πολλοῦ πάντα τὸν χρόνον τῆς παρούσης ζωῆς τὴν εὐρύχωρον ὁδὸν ἐβάδισεν, οὐδενὸς λυπηροῦ πεῖραν λαβών, ἀλλὰ πάντοτε ἐξ οὐρίας 15 φερόμενος, καὶ ἅτε δὴ ἀεὶ δι' εὐρυχώρου βαδίζων ὁδοῦ, μετὰ πολλῆς τῆς ἀδείας διέτρεχεν. Οὐδαμοῦ σκόπελοι, οὐδαμοῦ κρημνοί, οὐδαμοῦ ὕφαλοι σπιλάδες, οὐδαμοῦ ναυάγιον, οὐδαμοῦ ἀνώμαλος μεταβολή, ἀλλὰ διηνεκῶς στερεὰν καὶ ἰσόπεδον ὁδεύων, οὕτω τὸν παρόντα βίον διέδραμε, καθ' ἑκάστην τὴν ἡμέραν ὑπὸ τῶν κυμά- 20 των τῆς κακίας καταποντιζόμενος, καὶ οὐ λαμβάνων αἴσθησιν· καθ' ἑκάστην ἡμέραν σπαραττόμενος ὑπὸ τῶν ἀτόπων ἐπιθυμιῶν, καὶ μᾶλλον ἡδόμενος· διηνεκῶς πολιορκούμενος ὑπὸ ἀσελγείας, ὑπὸ γαστριμαργίας, ὑπὸ τῆς τῶν χρημάτων μανίας, καὶ οὐδεμίαν τῶν δεινῶν λαμβάνων τὴν αἴσθησιν, οὐδὲ προϊδεῖν δυνάμενος τῆς 25 ὁδοῦ τὸ τέλος, ἀλλὰ τὸ παρὸν ἡδὺ μόνον καρπούμενος, οὐδεμίαν ἔννοιαν ἐλάμβανε τῆς διηνεκοῦς ὀδύνης, ἀλλὰ ἀπατώμενος, ὡς εἰπεῖν, ἐβάδιζε τὴν εὐρύχωρον ὁδόν, εἰς αὐτὸν τὸν κρημνὸν ἐπειγόμενος, ὑπὸ τῆς πολλῆς μέθης συνιδεῖν οὐκ ἔχων.

Ἡ γὰρ ἐν πᾶσι τοῖς βιωτικοῖς εὐημερία καταβαπτίσασα αὐτοῦ 30 τὸν λογισμὸν ἐτύφλωσε τὸ ὄμμα τῆς διανοίας, καὶ καθάπερ πεπηρωμένος λοιπὸν τὰς ὄψεις, οὕτως ἐβάδιζεν, οὐκ εἰδὼς ποῦ φέρεται· τάχα δὲ οὐδὲ ἔννοιαν ἐλάμβανε τῆς ἀνθρωπίνης φύσεως, ὁρῶν ἑαυτὸν οὐδεμίαν δυσκολίαν ὑπομένοντα. Οὐδὲ γὰρ ἐτρύφα μόνον,

τησις μεγάλη, ἀπόλαυσις ἀπερίγρπτη, ὑγεία σώματος, χρηματικὴ περιουσία, τιμὴ ἀπὸ τοὺς πολλούς, οἱ ἔπαινοι τῶν κολάκων, καὶ τίποτε δὲν ὑπῆρχε τότε νὰ τοῦ προξενῇ λύπη. Καὶ τὸ μεγαλύτερο βέβαια, ὅτι, ἂν καὶ περνοῦσε την ἡμέρα του μέσα σὲ τόση μέθη καὶ πολυφαγία, ὄχι μόνο σωματικὴ ὑγεία ἀπήλαυσε καὶ κάθε ἄνεσι, ἀλλὰ καὶ τὸν φτωχὸ Λάζαρο, ποὺ ἦταν ξαπλωμένος μπροστὰ στὴν πύλη καὶ πληγιασμένος καὶ τὸν περικύκλωναν τὰ σκυλιὰ καὶ τὸν ἔγλυφαν κι' ἔλειωνε ἀπὸ τὴν πεῖνα, τὸν προσπερνοῦσε ἄσπλαχνα καὶ δὲν τοῦ ἔδινε οὔτε ψίχουλα.

Καὶ ἐκεῖνος, ἀφοῦ μπῆκε ἀπὸ τὴν πλατειὰ πύλη, βάδιζε στὸν εὐρύχωρο δρόμο, τὸν δρόμο τῆς ἀσωτίας, τὸν δρόμο τῆς ἀκολασίας, τὸν δρόμο τοῦ γέλιου, τὸν δρόμο τῆς ἀνέσεως, τὸν δρόμο τῆς γαστριμαργίας, τὸν δρόμο τῆς μέθης, τὸν δρόμο τῆς πλούσιας ἐνδυμασίας, τὸν δρόμο τῆς βλακείας τῶν ἐνδυμάτων. Καὶ γιὰ πολὺ καιρό, ὅλο τὸν χρόνο αὐτῆς τῆς ζωῆς βάδιζε στὸν εὐρύχωρο δρόμο, χωρὶς νὰ γευθῇ καμμιὰ λύπη, ἀλλὰ πάντα τὸν ὡδηγοῦσαν εὐνοϊκοὶ ἄνεμοι καὶ βαδίζοντας ἔτσι στὸν εὐρύχωρο δρόμο, περνοῦσε τὴ ζωή του μὲ μεγάλη ἄνεσι. Πουθενὰ σκόπελοι, πουθενὰ γκρεμοί, πουθενὰ κρυμμένοι ὕφαλοι, πουθενὰ ναυάγιο, πουθενὰ ἀνώμαλη μεταβολή, ἀλλὰ βαδίζοντας διαρκῶς σὲ στερεὸ καὶ ἴσιο δρόμο, ἔτσι πέρασε αὐτὴ τὴ ζωή, καταποντιζόμενος κάθε ἡμέρα ἀπὸ τὰ κύματα τῆς κακίας, χωρὶς νὰ τὸ καταλαβαίνῃ· κάθε ἡμέρα τὸν κατακομμάτιαζαν οἱ παράλογες ἐπιθυμίες καὶ περισσότερο εὐχαριστιόταν· διαρκῶς ἦταν πολιορκημένος ἀπὸ τὴν ἀσέλγεια, τὴ γαστριμαργία, τὴ μανία τῶν χρημάτων, καὶ ἐπειδὴ δὲν γνώρισε τίποτε ἀπὸ τὰ δεινά, δὲν μπόρεσε νὰ προβλέψῃ οὔτε τὸ τέλος τοῦ δρόμου, ἀλλὰ ἀπολάμβανε μόνο τὸ εὐχάριστο παρόν, μὴ σκεπτόμενος καθόλου τὴν παντοτινὴ ὀδύνη, ἀλλὰ ξεγελασμένος, ὅπως θὰ λέγαμε, βάδιζε τὸν εὐρύχωρο δρόμο καὶ βιαζόταν νὰ φθάσῃ στὸν γκρεμό, ἐπειδὴ δὲν ἦταν σὲ θέσι νὰ καταλάβῃ τί τοῦ γινόταν ἀπὸ τὸ πολὺ μεθύσι.

Ἡ εὐημερία δηλαδὴ σὲ ὅλα τὰ βιωτικὰ τοῦ ἔπνιξε τὸ λογικό, τοῦ τύφλωσε τὸ μάτι τῆς διανοίας, καὶ ἀκριβῶς σὰν μὲ κλειστὰ μάτια, ἔτσι βάδιζε, χωρὶς νὰ γνωρίζῃ ποῦ ὁδηγεῖται· καὶ ἴσως οὔτε σκεπτόταν τὴν ἀνθρώπινη φύσι, ἐπειδὴ ἔβλεπε τὸν ἑαυτό του νὰ μὴν ὑπομένῃ καμμιὰ δυσκολία· διότι δὲν ζοῦσε μόνο μέσα στὴν τρυφή, ἀλλὰ καὶ στὸν πλοῦτο· καὶ ὄχι μόνο ζοῦσε μέσα στὸν πλοῦ-

ἀλλὰ καὶ ἐπλούτει· οὐδὲ ἐπλούτει μόνον, ἀλλὰ καὶ ὑγείας σώματος ἀπήλαυεν· οὐδὲ ὑγείας σώματος ἀπήλαυε μόνον, ἀλλὰ καὶ θεραπείας, καὶ οὐ θεραπείας μόνον πολλῆς, ἀλλὰ καὶ ἐπιρρέοντα ὥσπερ ἐκ πηγῶν αὐτῷ πάντα ὁρῶν, ἐν ἡδονῇ διῆγε διηνεκεῖ. Εἴδετε, ἀγα-
5 πητοί, τὸν διὰ τῆς πλατείας πύλης εἰσελθόντα καὶ τὴν εὐρύχωρον ὁδὸν δι' ὅλου βαδίσαντα, ὅσης ἀνέσεως ἀπήλαυεν;

Ἀλλὰ μηδεὶς τῶν ταῦτα ἀκουόντων πρὸ τοῦ τέλους μακαρίσαι αὐτὸν ἀνάσχηται, ἀλλὰ ἀναμεινάτω τῶν πραγμάτων τὸ τέλος, καὶ τότε οἴσει τὴν ψῆφον. Εἰ δοκεῖ τοίνυν, καὶ τὸν διὰ τῆς στενῆς
10 πύλης εἰσελθόντα καὶ τὴν τεθλιμμένην ὁδὸν ὁδεύσαντα παραγάγωμεν εἰς μέσον, καὶ οὕτω τὸ τέλος ἀμφοτέρων θεασάμενοι, τὴν προσήκουσαν περὶ ἑκάστου ψῆφον οἴσομεν. Τίνα δὲ ἄλλον ἔχομεν νῦν παραγαγεῖν, ἢ τὸν Λάζαρον, τὸν ἐπὶ τοῦ πυλῶνος τοῦ πλουσίου κατακείμενον καὶ ὑπὸ τῶν ἑλκῶν ἐκείνων πολιορκούμενον καὶ
15 ὁρῶντα τὰς γλώσσας τῶν κυνῶν ψαυούσας αὐτοῦ τῶν τραυμάτων καὶ μηδὲ ἀπελάσαι τούτους ἰσχύοντα; Καθάπερ γὰρ ἐκεῖνος διὰ τῆς πλατείας εἰσελθών, τὴν εὐρύχωρον ἐβάδιζεν, οὕτω δὴ καὶ ὁ μακάριος οὗτος (μακάριον γὰρ αὐτὸν ἤδη καλῶ διὰ τῆς στενῆς εἰσελθεῖν ἑλόμενον) εἰσῆλθε διὰ τῆς στενῆς πύλης τῆς ἀπεναντίας ἐκείνης
20 πάντα ἐχούσης. Καθάπερ ἐκεῖνος διηνεκῶς ἐτρύφα, οὕτω καὶ οὗτος λιμῷ παλαίων διετέλει. Καὶ ἐκεῖνος μὲν μετὰ τῆς τρυφῆς καὶ ὑγείας σώματος ἀπήλαυε καὶ χρημάτων περιουσίας, καὶ ἐν γαστριμαργίᾳ καὶ μέθῃ διημερεύων κατεδαπανᾶτο· οὗτος δὲ μετὰ τοῦ λιμοῦ καὶ ἐσχάτῃ πενίᾳ περιβεβλημένος καὶ νόσῳ διηνεκεῖ καὶ ἕλκε-
25 σιν ἀφορήτοις, οὐδὲ τῆς ἀναγκαίας ηὐπόρει τροφῆς, ἀλλὰ τῶν ψιχίων ἐπεθύμει τῶν ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου, καὶ οὐδὲ τούτων ἠξίωτο.

Εἶδες πῶς διὰ τῆς στενῆς πύλης οὗτος εἰσελθών, τὴν τεθλιμμένην ὁδὸν διηνεκῶς ἐβάδιζεν; εἶδες πῶς ἐκεῖνος διὰ τῆς πλατείας
30 πύλης καὶ τῆς εὐρυχώρου ὁδοῦ ἐπορεύετο; Ἀλλ' ἴδωμεν λοιπὸν ἑκατέρων τὸ τέλος, καὶ πῶς μὲν ἐκεῖνος εἰς στενὸν κατέστρεψε τέλος, πῶς δὲ οὗτος εἰς πλατὺ καὶ πολλῆς ἀνέσεως γέμον· ἵνα ταῦτα μαθόντες ἀκριβῶς, μὴ τὴν εὐρύχωρον ἐκ παντὸς τρόπου διώκωμεν ὁδόν, μηδὲ διὰ τῆς πλατείας πύλης εἰσέρχεσθαι σπουδάζωμεν,

το, ἀλλ' ἀπολάμβανε καὶ ὑγεία σωματική· καὶ ὄχι μόνο εἶχε σωματικὴ ὑγεία, ἀλλὰ καὶ περιποίησι· καὶ ὄχι μόνο μεγάλη περιποίησι, ἀλλὰ καὶ ἐπειδὴ ἔβλεπε ὅτι ὅλα τρέχουν σὰν ἀπὸ πηγὲς γιὰ χάρι του, ζοῦσε διαρκῶς μέσα στὴν ἡδονή. Εἴδατε, ἀγαπητοί, αὐτὸν ποὺ μπῆκε ἀπὸ τὴν πλατειὰ πύλη καὶ βάδισε τὸν εὐρύχωρο δρόμο ἀπὸ τὴν μιὰ ἄκρη ἕως τὴν ἄλλη, πόση ἄνεσι ἀπήλαυσε;

Ὅμως κανεὶς ἀπὸ ὅσους τὰ ἀκοῦν αὐτὰ ἂς μὴν βιαστῆ νὰ τὸν μακαρίση πρὶν ἀπὸ τὸ τέλος, ἀλλὰ ἂς περιμένη τὴν ἔκβασι τῶν πραγμάτων καὶ τότε ἂς κρίνη. Ἐὰν λοιπὸν θέλης νὰ φέρουμε ἐνώπιόν μας κι' αὐτὸν ποὺ μπῆκε ἀπὸ τὴ στενὴ πύλη καὶ βάδισε τὴν θλιμμένη ὁδό, κι' ἔτσι, ἀφοῦ δοῦμε τὸ τέλος καὶ τῶν δύο, νὰ βγάλουμε γιὰ τὸν καθένα τὴν ἀπόφασι ποὺ ἁρμόζει. Καὶ ποιόν ἄλλον ἔχουμε νὰ ἀναφέρουμε τώρα, παρὰ τὸν Λάζαρο, αὐτὸν ποὺ ἦταν ξαπλωμένος στὴν ἐξώπορτα τοῦ πλουσίου, καὶ ἦταν πολιορκημένος ἀπὸ τὶς πληγὲς ἐκεῖνες κι' ἔβλεπε τὶς γλῶσσες τῶν σκυλιῶν νὰ τοῦ γλύφουν τὰ τραύματα καὶ δὲν μποροῦσε οὔτε νὰ τὰ διώξη; Διότι, ὅπως ἐκεῖνος ποὺ μπῆκε ἀπὸ τὴν πλατειὰ πύλη βάδιζε στὸν εὐρύχωρο δρόμο, ἔτσι λοιπὸν καὶ ὁ μακάριος αὐτὸς (διότι ἤδη τὸν ἀποκαλῶ μακάριο, ἐπειδὴ προτίμησε νὰ εἰσέλθη διὰ τῆς στενῆς πύλης), μπῆκε ἀπὸ τὴ στενὴ πύλη, ποὺ τὰ εἶχε ὅλα ἀντίθετα ἀπὸ ἐκείνην. Ὅπως ἐκεῖνος διαρκῶς διασκέδαζε, ἔτσι κι' αὐτὸς ζοῦσε παλεύοντας διαρκῶς μὲ τὴν πεῖνα. Καὶ ὁ πλούσιος βέβαια μαζὶ μὲ τὴν καλοπέρασι ἀπολάμβανε καὶ σωματικὴ ὑγεία καὶ χρηματικὴ περιουσία καὶ ἐπιδιδόταν ὅλη τὴν ἡμέρα στὴ γαστριμαργία καὶ στὴ μέθη· ἐνῶ αὐτὸς μαζὶ μὲ τὴν πεῖνα καὶ τὴν χειρότερη φτώχεια, ἦταν περιτριγυρισμένος καὶ μὲ ἀθεράπευτη ἀρρώστια καὶ ἀφόρητες πληγές, καὶ δὲν μποροῦσε νὰ ἔχη οὔτε τὴν ἀπαραίτητη τροφή, ἀλλ' ἐπιθυμοῦσε τὰ ψίχουλα ποὺ ἔπεφταν ἀπὸ τὸ τραπέζι τοῦ πλουσίου καὶ οὔτε αὐτὰ ἀξιωνόταν.

Εἶδες πῶς αὐτὸς μπῆκε διὰ τῆς στενῆς πύλης καὶ βάδιζε διαρκῶς τὴν θλιμμένη ὁδό; Εἶδες πῶς ἐκεῖνος βάδιζε τὴν πλατειὰ πύλη καὶ τὸν εὐρύχωρο δρόμο; Ἀλλὰ ἂς δοῦμε στὴ συνέχεια τὸ τέλος τοῦ καθενὸς καὶ πῶς ἐκεῖνος κατέληξε σὲ τέλος στενό, καὶ πῶς αὐτὸς σὲ πλατὺ καὶ γεμᾶτο μὲ μεγάλη ἄνεσι· ὥστε, μαθαίνοντάς τα καλά, νὰ μὴν ἐπιδώκουμε μὲ κάθε τρόπο τὸν εὐρύχωρο δρόμο, οὔτε νὰ προσπαθοῦμε νὰ μπαίνουμε ἀπὸ τὴν πλατειὰ πύλη, ἀλλὰ νὰ ἐπιδιώ-

ἀλλὰ τὴν στενὴν πύλην μεταδιώκωμεν καὶ τὴν τεθλιμμένην ὁδὸν βαδίζωμεν, ἵνα εἰς χρηστὸν καὶ ἀνέσεως γέμον τέλος καταντῆσαι δυνηθῶμεν.

Ἐπειδὴ γὰρ τὸ τέλος τῆς ἑκάστου ζωῆς ἔφθασεν, ὅρα τί φησι
5 περὶ τοῦ τὴν τεθλιμμένην ὁδεύοντος πρότερον. «Ἐγένετο δέ», φησίν, «ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ». Τάχα οἱ ἄγγελοι ἀπῆγον αὐτὸν προηγούμενοι καὶ δορυφοροῦντες καὶ εἰς τὸ τῆς ἀνέσεως χωρίον μετὰ τὰς πολλὰς ἐκείνας θλίψεις καὶ τὴν στενὴν ὁδοιπορίαν ἀπο-
10 καθιστῶντες. Εἶδες ὅσον τῆς στενῆς πύλης καὶ τῆς τεθλιμμένης ὁδοῦ τὸ πλάτος ἐν τῷ τέλει φαίνεται; Ὅρα λοιπὸν καὶ τῆς εὐρυχώρου ὁδοῦ τὰ ὀλέθρια τέλη. «Ἀπέθανε», φησί, «καὶ ὁ πλούσιος, καὶ ἐτάφη». Οὐδεὶς ὁ προηγούμενος, οὐδεὶς ὁ δορυφορῶν, οὐδεὶς ὁ ὁδηγῶν, καθάπερ τὸν Λάζαρον. Ἐπειδὴ γὰρ ἐν τῇ εὐρυχώρῳ ὁδῷ
15 τούτων ἁπάντων ἀπήλαυε καὶ πολλοὺς ἔσχε τοὺς δορυφοροῦντας, τοὺς θεραπεύοντας, τοὺς κόλακας λέγω, τοὺς παρασίτους, ἡνίκα πρὸς τὸ τέλος ἔφθασε, γυμνὸς καὶ ἔρημος ἁπάντων γέγονε μετὰ τὰς πολλὰς ἐκείνας ἀνέσεις, μᾶλλον δὲ μετὰ τὴν βραχεῖαν ἐκείνην ἄνεσιν καὶ εὐημερίαν. Ἅπας γὰρ ὁ παρὼν βίος βραχύς, τῷ μέλλοντι
20 αἰῶνι συγκρινόμενος. Μετὰ τὴν βραχεῖαν τοίνυν ἄνεσιν, ἧς ἀπήλαυσε τὴν εὐρύχωρον ὁδὸν βαδίζων, τὸ τῆς στενοχωρίας καὶ τῆς θλίψεως χωρίον αὐτὸν ἐδέξατο.

Καὶ ἐκεῖνος μὲν ἐν τοῖς κόλποις τοῦ πατριάρχου ἐπανεπαύετο, τῶν πόνων καὶ τῆς πολλῆς ταλαιπωρίας τὰς ἀμοιβὰς ἀπολαμ-
25 βάνων, καὶ μετὰ τὸν λιμὸν καὶ τὰ ἕλκη καὶ τὴν ἐν τῷ πυλῶνι κατάκλισιν, τῆς ἀπορρήτου ἐκείνης ἀνέσεως καὶ οὐδὲ λόγῳ ἑρμηνευθῆναι δυναμένης μετεῖχεν· οὗτος δὲ μετὰ τὴν τρυφὴν καὶ ἄνεσιν καὶ γαστριμαργίαν τὴν πολλὴν καὶ τὴν μέθην εἰς τὴν ἀπαραίτητον κόλασιν ἐκείνην καταντήσας ἀπετηγανίζετο. Καὶ ἵνα ἑκάτερος αὐτῶν
30 διὰ τῶν πραγμάτων μάθῃ, ὁ μὲν τῆς στενῆς ὁδοῦ τὸ κέρδος, ὁ δὲ τῆς εὐρυχώρου τὴν ζημίαν καὶ τὸν ὄλεθρον, ἀπὸ πολλοῦ τοῦ διαστήματος ἀλλήλους ὁρῶσιν. Ἄκουε δὲ πῶς· «καὶ ἐν τῷ ᾅδῃ», φησίν, «ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ».

5. Λουκᾶ 16,22.
6. Λουκᾶ 16,23.

κουμε τὴν στενὴ πύλη καὶ νὰ βαδίζουμε τὸν δρόμο ποὺ εἶναι γεμᾶτος μὲ θλίψεις, γιὰ νὰ μπορέσουμε νὰ φθάσουμε σὲ καλὸ τέλος γεμᾶτο ἄνεσι.

Ὅταν λοιπὸν ἔφθασε τὸ τέλος τῆς ζωῆς τοῦ καθενός, πρόσεχε τί λέγει γι' αὐτὸν ποὺ βάδιζε προηγουμένως τὸν θλιμμένο δρόμο. «Συνέβηκε», λέγει, «νὰ πεθάνη ὁ φτωχὸς καὶ νὰ μεταφερθῆ ἀπὸ τοὺς ἀγγέλους στὴν ἀγκαλιὰ τοῦ Ἀβραάμ»[5]. Ἀμέσως οἱ ἄγγελοι τὸν πῆραν, πετώντας μπροστὰ καὶ τὸν ὑπηρετοῦσαν ὡς σωματοφύλακες, καὶ τὸν ἀποκατέστησαν στὸν τόπο τῆς ἀνέσεως, μετὰ ἀπὸ τὶς πολλὲς ἐκεῖνες θλίψεις καὶ τὴν στενὴ ὁδοιπορία. Εἶδες πόσο φαίνεται στὸ τέλος τὸ πλάτος τῆς στενῆς πύλης καὶ τῆς θλιμμένης ὁδοῦ; Πρόσεχε τώρα καὶ τῆς εὐρύχωρης ὁδοῦ τὰ ὀλέθρια τέλη. «Πέθανε», λέγει, «καὶ ὁ πλούσιος καὶ τάφηκε». Κανεὶς δὲν πήγαινε μπροστά, κανεὶς δὲν τὸν παραστεκόταν, κανεὶς δὲν τὸν ὡδηγοῦσε, ὅπως τὸν Λάζαρο. Ἐπειδὴ δηλαδὴ στὸν εὐρύχωρο δρόμο ὅλα αὐτὰ τὰ ἀπήλαυσε καὶ εἶχε πολλοὺς φύλακες καὶ ὑπηρέτες, τοὺς κόλακες ἐννοῶ καὶ τοὺς παρασίτους, ὅταν ἔφθασε στὸ τέλος, ἔμεινε γυμνὸς κι' ἔρημος ἀπὸ ὅλους, ὕστερα ἀπὸ τὶς πολλὲς ἐκεῖνες ἀνέσεις, ἢ καλύτερα μετὰ ἀπὸ τὴ σύντομη ἐκείνη ἄνεσι καὶ εὐημερία. Διότι ὅλη ἡ παροῦσα ζωὴ εἶναι σύντομη, ἂν συγκριθῆ μὲ τὸν μέλλοντα αἰῶνα. Μετὰ τὴ σύντομη αὐτὴ ἄνεσι, τὴν ὁποία ἀπήλαυσε βαδίζοντας τὸν εὐρύχωρο δρόμο, τὸν δέχθηκε ὁ τόπος τῆς στενοχώριας καὶ τῆς θλίψεως.

Καὶ ἐκεῖνος ἐπαναπαυόταν στοὺς κόλπους τοῦ πατριάρχη, ἀπολαμβάνοντας τὶς ἀμοιβὲς τῶν κόπων καὶ τῆς πολλῆς ταλαιπωρίας, καὶ μετὰ ἀπὸ τὴν πεῖνα καὶ τὶς πληγὲς καὶ τὸ πλάγιασμα στὴν ἐξώπορτα, ἔγινε μέτοχος ἐκείνης τῆς ἀπόρρητης ἀνέσεως, ποὺ δὲν μπορεῖ ὁ λόγος νὰ τὴν ἑρμηνεύση, ἐνῶ αὐτὸς μετὰ τὴν εὐτυχία καὶ τὴν ἄνεσι καὶ τὴ γαστριμαργία τὴν πολλὴ καὶ τὴ μέθη, κατατηγανιζόταν, ἀφοῦ ἔφθασε στὴν ἀναπόφευκτη ἐκείνη κόλασι. Καὶ γιὰ νὰ μάθη καθένας ἀπὸ αὐτοὺς μέσω τῶν ἔργων, ὁ ἕνας τὸ κέρδος τῆς στενῆς ὁδοῦ, καὶ ὁ ἄλλος τὴ ζημιὰ τῆς εὐρύχωρης καὶ τὸν ὄλεθρο, βλέπουν ἀπὸ μεγάλη ἀπόστασι ὁ ἕνας τὸν ἄλλο. Καὶ ἄκουγε πῶς· «καὶ στὸν ἄδη», λέγει, «ἀφοῦ σήκωσε τὰ μάτια του, ἐκεῖ ποὺ βασανιζόταν, βλέπει τὸν Ἀβραὰμ ἀπὸ μακριὰ καὶ τὸν Λάζαρο στὴν ἀγκαλιά του»[6].

Ἐμοὶ δὲ δοκεῖ, ὅτι θεασάμενος τὴν ἀθρόαν οὕτω τῶν πραγμάτων μεταβολὴν καὶ τὸν μὲν ἐν τῷ πυλῶνι ἐρριμμένον καὶ ταῖς γλώσσαις τῶν κυνῶν προκείμενον, τοσαύτης ἀπολαύοντα τῆς παρρησίας καὶ τοῖς κόλποις τοῦ πατριάρχου ἐνδιαιτώμενον, ἑαυτὸν δὲ 5 τοσαύτῃ αἰσχύνῃ περιβεβλημένον, καὶ μετὰ ταύτης καὶ ὑπὸ τοῦ πυρὸς ἀποτηγανιζόμενον, πλείονα τῆς ὀδύνης τὴν αἴσθησιν ἐλάμβανεν. Ὁρῶν τοιγαροῦν εἰς τὸ ἐναντίον τὰ πράγματα μεταστάντα καὶ αὐτὸν μέν, ὡς εἰπεῖν, ἐν ὀνείρῳ καὶ σκιᾷ τρυφήσαντα, καὶ νῦν τὴν ἀφόρητον κόλασιν ὑπομένοντα καὶ μετὰ τὴν εὐρύχωρον ὁδὸν καὶ 10 τὴν πλατεῖαν πύλην εἰς οὕτω στενὸν καταστρέψαντα τέλος, ἐπ' ἐκείνου δὲ τὰ ἐναντία συμβεβηκότα καὶ διὰ τὴν ἐνταῦθα ὑπομονὴν τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν αὐτὸν ἀπολαύοντα, καὶ ἐν ἀμηχανίᾳ γεγονὼς καὶ τῇ πείρᾳ μαθὼν τὴν ἀπάτην, ἣν ὑπέμεινε δι' ὅλου τὴν εὐρύχωρον ὁδὸν ἑλόμενος, ἱκετηρίαν τίθησι πρὸς τὸν πα- 15 τριάρχην καὶ ἐλεεινὰ φθέγγεται ῥήματα καὶ δακρύων γέμοντα. Καὶ ὁ πρὸ τούτου μηδὲ ἐπιστρεφόμενος, μηδὲ ἰδεῖν ἀνεχόμενος τὸν Λάζαρον, τὸν πένητα, τὸν ἐν τῷ πυλῶνι ἐρριμμένον, ἀλλὰ καὶ βδελυττόμενος αὐτόν, ὡς εἰπεῖν, διὰ τὴν τῶν ἑλκῶν δυσωδίαν καὶ τὴν οἰκείαν βλακείαν, ἐν ᾗ διηνεκῶς τρυφῶν διῆγε, νῦν ἱκετεύει τὸν πα- 20 τριάρχην καί φησι· «πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ». Ἱκανὰ τὰ ῥήματα εἰς οἶκτον ἀφελκύσασθαι· ἀλλ' ὅμως οὐδὲ οὕτως ὤνησέ τι πλέον· ἄκαιρος γὰρ ἡ ἐξομολόγησις καὶ ἡ παράκλησις οὐκ ἐν 25 καιρῷ τῷ δέοντι γινομένη.

Πέμψον, φησί, τὸν Λάζαρον, ἐκεῖνον, τὸν πένητα, ὃν πρὸ τούτου ἐβδελυττόμην, ᾧ τῶν ψιχίων οὐ μετεδίδουν· ἐκείνου δέομαι νῦν, καὶ τὸν δάκτυλον ἐκεῖνον ἐπιζητῶ, ὃν οἱ κύνες ἔλειχον. Εἶδες πῶς συνέστειλεν αὐτὸν ἡ τιμωρία; εἶδες πῶς εἰς στενὸν τέλος κα- 30 τήντησεν ἡ εὐρύχωρος ὁδός; Καὶ οὐ ποιεῖται πρὸς τὸν Λάζαρον τὴν ἱκετηρίαν, ἀλλὰ πρὸς τὸν πατριάρχην. Εἰκότως· οὐδὲ γὰρ ἀντιβλέψαι ἐτόλμα τῷ πένητι. Ἐνενόει γάρ, οἶμαι, τὴν οἰκείαν ἀπανθρωπίαν καὶ τὸ ἀνηλεὲς λογιζόμενος, ὅπερ εἰς αὐτὸν ἐπεδείξατο, ὑπώπτευεν αὐτὸν ἴσως μηδὲ ἀποκρίσεως ἀξιοῦν. Διά τι τοῦτο οὐδὲ

7. Λουκᾶ 16,24.

Ἐγὼ νομίζω ὅτι, ὅταν εἶδε τὴν τόσο ξαφνικὴ μεταβολὴ τῶν πραγμάτων, καὶ αὐτὸν ποὺ ἦταν παραπεταγμένος στὴν ἐξώπορτα καὶ ξαπλωμένος μπροστὰ στὶς γλῶσσες τῶν σκυλιῶν, ν' ἀπολαμβάνη τόση παρρησία καὶ νὰ ζῆ στὴν ἀγκαλιὰ τοῦ πατριάρχη, καὶ τὸν ἑαυτό του περιτριγυρισμένο ἀπὸ τόση ντροπὴ καὶ μαζὶ μ' αὐτὴν νὰ κατατηγανίζεται ἀπὸ τὴ φωτιά, τότε ἔνοιωθε μεγαλύτερο τὸν πόνο. Ἐπειδὴ λοιπὸν ἔβλεπε τὰ πράγματα ἀλλαγμένα πρὸς τὸ ἀντίθετο καὶ τὸν ἑαυτό του, ποὺ εὐτύχησε, ὅπως θὰ λέγαμε, σὰν σὲ ὄνειρο καὶ σκιά, τώρα νὰ ὑποφέρη τὴν ἀφόρητη κόλασι, καὶ μετὰ τὸν εὐρύχωρο δρόμο καὶ τὴν πλατειὰ πύλη κατήντησε σὲ τόσο στενὸ τέλος, ἐνῶ στὸν ἄλλον εἶδε νὰ συμβαίνουν τὰ ἀντίθετα, νὰ ἀπολαμβάνη δηλαδὴ τὰ ἀνέκφραστα ἐκεῖνα ἀγαθά, χάρις στὴν ἐδῶ ὑπομονή του, βρισκόμενος σὲ ἀμηχανία καὶ μαθαίνοντας ἀπὸ τὴν πεῖρα τὴν ἀπάτη, τὴν ὁποία διαρκῶς ὑπέμενε, ἀφοῦ προτίμησε τὸν εὐρύχωρο δρόμο, κάνει παράκλησι στὸν πατριάρχη καὶ λέγει λόγια ἀξιολύπητα καὶ δάκρυα γεμᾶτα. Καὶ αὐτὸς ποὺ πρὶν ἀπὸ αὐτὸ δὲν ἔστρεφε πίσω, οὔτε ἀνεχόταν νὰ δῆ τὸν Λάζαρο, τὸν φτωχό, τὸν παραπεταμένο στὴν ἐξώπορτα, ἀλλὰ καὶ ἐπειδὴ τὸν σιχαινόταν, ὅπως θὰ λέγαμε, ἐξ αἰτίας τῆς δυσοσμίας τῶν πληγῶν καὶ τῆς δικῆς του βλακείας, μέσα στὴν ὁποία διαρκῶς ζοῦσε εὐτυχισμένος, τώρα ἱκετεύει τὸν πατριάρχη καὶ λέγει· «πάτερ Ἀβραάμ, ἐλέησέ με, καὶ στεῖλε τὸν Λάζαρο, ὥστε, ἀφοῦ βουτήξη τὴν ἄκρη τοῦ δακτύλου του στὸ νερό, νὰ μοῦ δροσίση τὴ γλῶσσα, διότι ὑποφέρω μέσα σ' αὐτὴν τὴν φλόγα»[7]. Εἶναι ἱκανὰ τὰ λόγια αὐτὰ νὰ προσελκύσουν τὸν οἶκτο· ἀλλ' ὅμως οὔτε ἔτσι δὲν ὠφέλησαν σὲ τίποτε· διότι ἡ ἐξομολόγησις ἦταν παράκαιρη καὶ ἡ παράκλησις δὲν ἔγινε στὸν κατάλληλο χρόνο.

Στεῖλε, λέγει, ἐκεῖνον τὸν Λάζαρο, τὸν φτωχό, αὐτὸν ποὺ προηγουμένως τὸν σιχαινόμουν, στὸν ὁποῖο δὲν ἔδινα τὰ ψίχουλα· ἐκεῖνον τώρα χρειάζομαι, καὶ ἐκεῖνο τὸ δάχτυλο ἐπιζητῶ, ποὺ τὸ ἔγλυφαν τὰ σκυλιά. Εἶδες πῶς τὸν συμμάζεψε ἡ τιμωρία; εἶδες πῶς κατέληξε σὲ στενὸ τέλος ὁ εὐρύχωρος δρόμος; Καὶ δὲν ἀπευθύνει στὸν Λάζαρο τὴν παράκλησι, ἀλλὰ στὸν πατριάρχη. Καὶ σωστά· διότι δὲν τολμοῦσε ν' ἀντικρύση τὸν φτωχό. Καθόσον ἀντιλήφθηκε, νομίζω, τὴ δική του ἀπανθρωπιὰ καὶ ἀναλογιζόμενος τὴν ἀσπλαχνιὰ ποὺ ἔδειξε σ' αὐτόν, ὑποπτευόταν ἴσως, ὅτι οὔτε θὰ τοῦ

πρὸς αὐτὸν ποιεῖται τὴν παράκλησιν, ἀλλὰ τὸν πατριάρχην ἱκετεύει. Ἀλλ' ὅμως οὐδὲ οὕτως ἐκέρδανέ τι πλέον. Τοσοῦτον κακόν ἐστιν ἡ ἀκαιρία, καὶ τὸ τὸν δεδομένον ἡμῖν τῆς ζωῆς καιρὸν παρὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας εἰς τὴν τῆς ἡμετέρας σωτηρίας ὑπόθε-
5 *σιν προδιδόναι. Ποῖον γὰρ ἀδάμαντα οὐκ ἂν κατέκαμψε ταῦτα τὰ ῥήματα καὶ εἰς οἶκτον καὶ συμπάθειαν ἤγαγεν;*

Ἀλλ' ὅμως οὐδὲ οὕτως ὁ πατριάρχης ἐπινεύει τῇ αἰτήσει, ἀλλ' ἀποκρίσεως μὲν αὐτὸν ἀξιοῖ, διδάσκει δὲ αὐτὸν ὅτι αὐτὸς ἑαυτῷ αἴτιος τούτων ἐγένετο τῶν κακῶν. Φησὶ γὰρ πρὸς αὐτὸν ὁ
10 *πατριάρχης· «τέκνον, μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὁ μὲν παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ὑμῶν καὶ ἡμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσι». Φοβερὰ τὰ*
15 *εἰρημένα καὶ ἱκανὰ καθικέσθαι τῶν νοῦν ἐχόντων. Ἵνα γὰρ διδάξῃ αὐτόν, ὅτι αὐτὸς μὲν τὴν οἰκείαν εὐσπλαχνίαν περὶ αὐτὸν ἐπιδείκνυσι καὶ εἰς οἶκτον ἐπικάμπτεται, ὁρῶν αὐτοῦ τῆς κολάσεως τὴν ἐπίτασιν, οὐδὲν δὲ πλέον αὐτῷ εἰς παραμυθίαν ἐνεγκεῖν δύναται, μονονουχὶ ἀπολογούμενος αὐτῷ, φησίν, ὅτι ἐβουλόμην χεῖρά σοι*
20 *ὀρέξαι καὶ ἐπικουφίσαι σου τὰς ἀλγηδόνας καὶ τῶν τιμωριῶν ὑποτέμνεσθαι τὸ σφοδρόν, ἀλλὰ προλαβὼν αὐτὸς ταύτης ἀπεστέρησας ἑαυτὸν τῆς παραμυθίας· διὰ τοῦτό φησι· «τέκνον, μνήσθητι».*

Ὅρα τοῦ πατριάρχου τὴν ἀγαθότητα· «τέκνον» αὐτὸν καλεῖ. Ἀλλὰ τοῦτο μὲν τὴν ἡμερότητα τὴν αὐτοῦ ἐμφῆναι δύναται, οὐδε-
25 *μίαν δὲ αὐτῷ βοήθειαν παρέχει διὰ τὸ ὑφ' ἑαυτοῦ αὐτὸν προδίδοσθαι. «Τέκνον», φησί, «μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου»· εἰς ἔννοιαν ἐλθὲ τῶν παρελθόντων, μὴ ἐπιλάθῃ πόσης τρυφῆς ἀπήλαυσας, πόσης ἀνέσεως, πόσης φαντασίας, πῶς ἐν γαστριμαργίᾳ καὶ μέθῃ πάντα τὸν βίον διετέλεσας, ἐν ἐκείνοις νομί-*
30 *ζων εἶναι πάντα τὸν αἰῶνα καὶ ἐκεῖνα ὁριζόμενος εἶναι τὰ ἀγαθά. Ἀπὸ τῆς ψήφου τῆς αὐτοῦ τὴν ἀπόκρισιν πρὸς αὐτὸν ἐποιήσατο. Οὐδὲν γὰρ ἐκεῖνος ὑψηλὸν φανταζόμενος, οὐδὲ τὰ μέλλοντα αὐτὸν διαδέχεσθαι κακὰ πρὸ τῶν ὀφθαλμῶν ἔχων, ἐκεῖνα ἀγαθὰ εἶναι ἐνόμιζε.*

ἀπαντοῦσε. Γι' αὐτὸ ἀκριβῶς δὲν ἀπευθύνει σ' αὐτὸν τὴν παράκλησι, ἀλλ' ἱκετεύει τὸν πατριάρχη. 'Αλλ' ὅμως οὔτε κι' ἔτσι κέρδισε κάτι παραπάνω. Εἶναι τόσο μεγάλο κακὸ ἡ ἀκαταλληλότητα τοῦ καιροῦ καὶ τὸ νὰ προδώσουμε τὸν χρόνο τῆς ζωῆς μας, ποὺ μᾶς τὸν ἔδωσε ἡ φιλανθρωπία τοῦ Θεοῦ γιὰ τὴν ὑπόθεσι τῆς σωτηρίας μας. Διότι ποιό διαμάντι δὲν θὰ μαλάκωναν αὐτὰ τὰ λόγια καὶ δὲν θὰ προκαλοῦσαν τὸν οἶκτο καὶ τὴ συμπάθεια;

'Αλλ' ὅμως, οὔτε ἔτσι ὁ πατριάρχης δέχεται τὴν αἴτησι, ἀλλὰ τοῦ ἀξιώνει μιὰ ἀπάντησι καὶ τὸν διδάσκει ὅτι ὁ ἴδιος μόνος του ἔγινε αἰτία αὐτῶν τῶν κακῶν. Διότι τοῦ λέγει ὁ πατριάρχης. «Παιδί μου, θυμήσου ὅτι ἀπήλαυσες ἐσὺ τὰ ἀγαθά σου στὴν ζωή σου, καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά· τώρα ἐκεῖνος παρηγορεῖται, ἐνῶ ἐσὺ ὑποφέρεις. Καὶ ἐπὶ πλέον ἀνάμεσα σ' ἐσᾶς καὶ σ' ἐμᾶς εἶναι στηριγμένο μεγάλο χάσμα, γιὰ νὰ μὴν μποροῦν νὰ περνοῦν ὅσοι θέλουν ἀπὸ ἐδῶ πρὸς ἐσᾶς, οὔτε οἱ ἐκεῖ νὰ περνοῦν σ' ἐμᾶς». Εἶναι φοβερὰ αὐτὰ τὰ λόγια καὶ ἱκανὰ νὰ συγκινήσουν ὅσους ἔχουν μυαλό. Διότι γιὰ νὰ τὸν διδάξῃ, ὅτι αὐτὸς δείχνει πρὸς αὐτὸν τὴν ἀνάλογη εὐσπλαχνία, καὶ τὸν πιάνει λύπη, καθὼς βλέπει νὰ ἐπιτείνεται ἡ τιμωρία του, δὲν μπορεῖ ὅμως νὰ κάνῃ τίποτε περισσότερο γιὰ νὰ τὸν παρηγορήσῃ, ἀπολογούμενος κατὰ κάποιο τρόπο τοῦ λέγει· '"Ηθελα νὰ σοῦ ἁπλώσω τὸ χέρι καὶ νὰ σοῦ ἀνακουφίσω τοὺς πόνους καὶ νὰ σοῦ μειώσω τὸ βάρος τῶν τιμωριῶν, ἀλλὰ πρόλαβες ἐσὺ ὁ ἴδιος καὶ στέρησες τὸν ἑαυτό σου ἀπὸ τὴν παρηγοριά'. Γι' αὐτὸ λέγει· «παιδί μου, θυμήσου».

Πρόσεχε τὴν ἀγαθότητα τοῦ πατριάρχη. Τὸν ὀνομάζει «παιδί» του. 'Αλλὰ αὐτὸ μπορεῖ νὰ φανερώσῃ τὴν δική του ἡμερότητα, δὲν τοῦ προσφέρει ὅμως καμμιὰ βοήθεια, ἐπειδὴ μόνος του πρόδωσε τὸν ἑαυτό του. «Παιδί μου», λέγει, «θυμήσου ὅτι ἀπήλαυσες ἐσὺ τὰ ἀγαθά σου στὴν ζωή σου»· σκέψου τὰ περασμένα, μὴ ξεχνᾶς πόση εὐτυχία ἀπήλαυσες, πόση ἄνεσι, πόση ἐπίδειξι, πῶς μέσα στὴν πολυφαγία καὶ τὴ μέθη πέρασες ὅλη τὴ ζωή σου, πιστεύοντας ὅτι πάντοτε θὰ τὰ ἔχῃς ὅλα αὐτά, καὶ νόμιζες ὅτι ἐκεῖνα εἶναι τὰ ἀγαθά. Σύμφωνα μὲ τὴ δική του κρίσι τοῦ ἔδωσε τὴν ἀπάντησι. Διότι τίποτε λαμπρὸ δὲν φανταζόταν ἐκεῖνος, οὔτε ἔβλεπε τὰ κακὰ ποὺ ἐπρόκειτο νὰ τὸν διαδεχθοῦν, ἐκεῖνα ποὺ εἶχε τότε, πίστευε ὅτι ἦταν τὰ ἀγαθά.

ε'. Τοῦτο γὰρ καὶ νῦν ἔθος λέγειν τοῖς πολλοῖς τοῖς περὶ τρυφὴν καὶ τὴν ἀδηφαγίαν ἐπτοημένοις, ὅτι 'Πολλὰ ἀγαθὰ ἐσχήκαμεν', ὅταν βούλωνται ἀνάξαι τῆς πολλῆς τρυφῆς τὴν ἐπίτασιν. Μὴ κάλει ταῦτα ἁπλῶς ἀγαθά, ἄνθρωπε, ἐννοῶν ὅτι ταῦτα μὲν ἐδόθη παρὰ τοῦ 5 Δεσπότου, ἵνα τῆς συμμετρίας ἀπολαύοντες, τὴν σύστασιν ἔχωμεν τῆς ζωῆς καὶ τὴν ἀσθένειαν διακρατῶμεν τοῦ σώματος· ἕτερα δέ ἐστι τὰ ὄντως ἀγαθά. Οὐδὲν γὰρ τούτων ἀγαθόν, οὐ τρυφή, οὐ πλοῦτος, οὐκ ἐσθῆτος πολυτέλεια, ἀλλ' ὄνομα μόνον ἔχει. Τί δὲ λέγω ὄνομα μόνον ἔχει; ταῦτα μὲν οὖν πολλάκις καὶ ὀλέθρου ἡμῖν 10 αἴτια γίνεται, ἐπειδὰν μὴ δεόντως αὐτοῖς χρησώμεθα.

Ὁ γὰρ πλοῦτος τότε ἂν γένοιτο ἀγαθὸς τῷ κεκτημένῳ, ὅταν μὴ εἰς τρυφὴν μόνον αὐτὸν ἀναλίσκῃ, μηδὲ εἰς μέθην καὶ τὰς ἐπιβλαβεῖς ἡδονάς, ἀλλ' ὅταν τῆς τρυφῆς συμμέτρως ἀπολαύων, τὰ λοιπὰ εἰς τὰς τῶν πενήτων διανέμῃ γαστέρας, τότε ἀγαθὸν ὁ πλοῦ-15 τος. Εἰ δὲ μέλλοι τις τρυφῇ ἑαυτὸν ἐκδιδόναι καὶ τῇ ἄλλῃ ἀσωτίᾳ, οὐ μόνον οὐδὲν αὐτὸν ὀνίνησιν, ἀλλὰ καὶ εἰς βαθὺν κρημνὸν κατάγει· ὃ δὴ καὶ ὁ πλούσιος οὗτος πέπονθε. Διό φησιν αὐτῷ ὁ πατριάρχης· «τέκνον, μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου». Ἐκεῖνα ἃ ἐνόμιζες εἶναι ὄντως ἀγαθά, ταῦτα ἀπέλαβες, καὶ 20 Λάζαρος ὁμοίως τὰ κακά, οὐκ ἐπειδὴ Λάζαρος αὐτὰ κακὰ ἐνόμιζε, μὴ γένοιτο· ἀλλ' ἀπὸ τῆς ψήφου τοῦ πλουσίου καὶ τοῦτο ἐπήγαγεν.

Ἐκεῖνος γὰρ ταύτην παρ' ἑαυτῷ κυρώσας τὴν ψῆφον, τὸν μὲν πλοῦτον καὶ τὴν τρυφὴν καὶ τὴν ἀκολασίαν καὶ τὴν ἄλλην βλακείαν ἀγαθὰ ἐνόμιζε, τὴν δὲ πενίαν καὶ τὸν λιμὸν καὶ τὴν χαλεπὴν 25 ἀρρωστίαν κακὰ ὑπώπτευεν. Ὡς οὖν αὐτὸν ὑπελάμβανες καὶ τὴν ἐψευσμένην κρίσιν ἐκείνην εἶχες, μνήσθητι ὅτι κατὰ τὴν σὴν ψῆφον καὶ σὺ τὰ ἀγαθὰ ἐκεῖνα ἀπέλαβες, τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδεύσας ὁδόν, καὶ Λάζαρος ὁμοίως τὰ κακὰ κατὰ τὸν σὸν λόγον, τὴν στενὴν πύλην καὶ τεθλιμμένην βαδίσας ὁδόν. Ἐπεὶ οὖν σὺ μὲν 30 τὰ προοίμια μόνον εἶδες τῆς ὁδοῦ, οὗτος δὲ καὶ πρὸς τὸ τέλος ἑώρα, οὐδὲν ἀπὸ τοῦ προοιμίου τῆς ὁδοῦ γινόμενος ὀκνηρότερος,

5. Αὐτὸ ἀκριβῶς καὶ τώρα συνηθίζουν νὰ λένε πολλοὶ ποὺ εἶναι κυριευμένοι ἀπὸ τὴν ἀσωτία καὶ τὴ λαιμαργία, 'Πολλὰ ἀγαθὰ ἀποκτήσαμε', ὅταν θέλουν νὰ περιορίσουν τὸν μέγεθος τῆς πολλῆς ἀσωτίας. Μὴν τὰ ἀποκαλῆς, ἁπλῶς ἀγαθά, ἄνθρωπε, σκεπτόμενος, ὅτι αὐτὰ δόθηκαν ἀπὸ τὸν Κύριο γιὰ νὰ τὰ ἀπολαμβάνουμε μὲ μέτρο, νὰ τὰ ἔχομε γιὰ τὴ συντήρισι τῆς ζωῆς καὶ νὰ συγκρατοῦμε τὴν ἀδυναμία τοῦ σώματος· ἄλλα εἶναι τὰ πραγματικὰ ἀγαθά. Διότι κανένα ἀπὸ αὐτὰ δὲν εἶναι ἀγαθό, οὔτε ἡ ἀσωτία, οὔτε ὁ πλοῦτος, οὔτε ἡ πολυτέλεια τῆς ἐνδυμασίας, ἀλλ' ἔχουν μόνο τὸ ὄνομα. Καὶ γιατί λέγω ὅτι ἔχουν μόνο τὸ ὄνομα; Αὐτὰ πολλὲς φορὲς γίνονται καὶ αἰτία τῆς καταστροφῆς μας, ὅταν δὲν τὰ χρησιμοποιήσουμε ὅπως πρέπει.

Πράγματι ὁ πλοῦτος τότε θὰ γινόταν καλὸς σ' αὐτὸν ποὺ τὸν ἔχει ἀποκτήσει, ὅταν δὲν τὸν ξοδεύη μόνο γιὰ τὴν καλοπέρασι, οὔτε στὴ μέθη καὶ τὶς ἐπιβλαβεῖς ἡδονές, ἀλλ' ὅταν ἀπολαμβάνη μὲ μέτρο τὴν τρυφὴ καὶ τὰ ὑπόλοιπα τὰ μοιράζει γιὰ νὰ χορτάσουν οἱ φτωχοί· τότε ὁ πλοῦτος εἶναι ἀγαθό. Ἐὰν ὅμως φθάση κάποιος νὰ παραδώση τὸν ἑαυτό του στὴν τρυφὴ καὶ στὴν ἄλλη ἀσωτία, ὄχι μόνο δὲν τὸν ὠφελεῖ καθόλου, ἀλλὰ καὶ τὸν ρίχνει κάτω σὲ βαθὺ γκρεμό. Αὐτὸ λοιπὸν εἶχε πάθει καὶ αὐτὸς ὁ πλούσιος. Γι' αὐτὸ τοῦ λέγει ὁ πατριάρχης· «παιδί μου, θυμήσου ὅτι ἐσὺ ἀπήλαυσες τὰ ἀγαθά σου στὴ ζωή σου». Ἐκεῖνα ποὺ θεωροῦσες πραγματικὰ ἀγαθά, αὐτὰ τὰ ἀπήλαυσες, καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά, ὄχι ἐπειδὴ ὁ Λάζαρος τὰ θεωροῦσε αὐτὰ κακά, μὴ γένοιτο· ἀλλὰ ἀπὸ τὴν γνώμη τοῦ πλουσίου κι' αὐτὸ τὸ συμπέρανε.

Ἐκεῖνος δηλαδὴ αὐτὴ τὴν γνώμη εἶχε ριζώσει μέσα του, καὶ πίστευε ὅτι ἀγαθὰ εἶναι ὁ πλοῦτος, ἡ ἀπόλαυσις, ἡ ἀκολασία καὶ ἡ ἄλλη βλακεία, ἐνῶ τὴ φτώχεια καὶ τὴν πεῖνα καὶ τὴ φοβερὴ ἀρρώστια τὰ θεωροῦσε κακά. Ὅπως λοιπὸν θεωροῦσες αὐτὸν καὶ εἶχες ἐκείνη τὴ λανθασμένη γνώμη, σκέψου ὅτι, σύμφωνα μὲ τὴ δική σου κρίσι, ἀπήλαυσες κι' ἐσὺ τὰ ἀγαθὰ ἐκεῖνα, ὅταν περνοῦσες τὸν πλατὺ καὶ εὐρύχωρο δρόμο, καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά, σύμφωνα μὲ τὴ δική σου λογική, ἀφοῦ βάδισε τὴ στενὴ πύλη καὶ τὸν θλιμμένο δρόμο. Ἐπειδὴ λοιπὸν ἐσὺ εἶδες μόνο τὶς ἀρχὲς τοῦ δρόμου, ἐνῶ αὐτὸς ἔβλεπε καὶ πρὸς τὸ τέρμα, χωρὶς νὰ γίνεται καθόλου πιὸ διστακτικὸς ἀπὸ τὴν ἀρχὴ τοῦ δρόμου, γι' αὐτὸ τώρα ἐδῶ παρηγορεῖ-

διὰ τοῦτο νῦν ἐνταῦθα παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι, καὶ ἀπεναντίας ἀλλήλοις τὸ τέλος κατήντησεν.

Εἴδετε δι' αὐτῶν τῶν πραγμάτων τῆς εὐρυχώρου καὶ πλατείας ὁδοῦ τὸ τέλος, ἐμάθετε τῆς στενῆς πύλης καὶ τῆς τεθλιμμένης 5 ὁδοῦ ὅπως χρηστὸν τὸ πέρας ἐδέξατο τὸν ταύτην ἑλόμενον· ἀκούσατε δὴ καὶ τὸ φοβερώτερον· «καὶ ἐπὶ πᾶσι», φησί, «τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν ἐκεῖ μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσι». Μὴ ἁπλῶς παραδράμωμεν, ἀγαπητοί, τὸ λεχθέν, ἀλλ' ἐννοή- 10 σωμεν τῶν λεχθέντων τὴν ἀκρίβειαν, καὶ ὅσης ἀπολαύει τῆς τιμῆς καὶ τῆς προεδρίας ὁ παρὰ τὸν πυλῶνα ἐρριμμένος, ὁ εὐκαταφρόνητος, ὁ πένης, ὁ τῷ λιμῷ διηνεκῶς παλαίων, ὁ τοῖς ἕλκεσι πολιορκούμενος, ὁ τοῖς κυσὶ προκείμενος.

Ἡδέως γὰρ ταῦτα στρέφω συνεχῶς, ἵνα μηδεὶς τῶν ἐν πενίᾳ 15 ἢ τῶν ἐν νόσοις ὄντων καὶ λιμῷ καταφρονήσῃ, ἑαυτὸν ταλανίζων, ἀλλὰ μεθ' ὑπομονῆς καὶ εὐχαριστίας ἅπαντα φέρων, ἤδη ταῖς χρησταῖς ἐλπίσι τρέφηται, τὰς ἀπορρήτους ἐκείνας ἀναμένων ἀμοιβὰς καὶ τῶν πόνων τὰς ἀντιδόσεις. «Καὶ ἐπὶ πᾶσι τούτους». Τί ἐστιν, «ἐπὶ πᾶσι τούτοις»; Εἰπών, ὅτι σὺ μὲν ἅπαντα ἐν τῷ παρόν- 20 τι βίῳ ἀπέλαβες, ἅπερ ἡγοῦ εἶναι ἀγαθά, καὶ ὅτι οὗτος ἀπέλαβεν ἅπερ σὺ ἐνόμιζες εἶναι κακά, τοῦτο προσέθηκε, διδάσκων αὐτόν, ὅτι καὶ ἀκόλουθον ἕκαστον τέλος ἐδέξατο ἐπὶ πᾶσι τοῖς ῥηθεῖσι· σὲ μὲν μετὰ τὸ τῶν ἀγαθῶν ὧν ἐνόμιζες ἀπολαύειν, ἡ θλῖψις καὶ ἡ στενοχωρία καὶ τὸ πῦρ τὸ ἄσβεστον, τοῦτον δὲ μετὰ τὸ προσπαλαῖ- 25 σαι ἐν διηνεκεῖ τῇ ζωῇ οἷς ἐνόμιζες αὐτὸς εἶναι κακοῖς, ἡ ἄνεσις καὶ ἡ τῶν ἀγαθῶν ἀπόλαυσις καὶ ἡ μετὰ τῶν ἁγίων λῆξις ἐδέξατο. Ἐπειδὴ τοίνυν τὸ τέλος ἀκόλουθον ἕκαστος εὗρε, καὶ σὲ μὲν ἡ πλατεῖα πύλη καὶ ἡ εὐρύχωρος ὁδὸς εἰς ταύτην τὴν στενοχωρίαν καταντῆσαι πεποίηκε, τοῦτον δὲ ἡ στενὴ καὶ τεθλιμμένη εἰς ταύτην 30 ἤγαγε τὴν ἄνεσιν, «καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται».

Ὅρα τὸν πένητα, τὸν ἡλκωμένον (πάλιν γὰρ ταῦτα λέγω),

ται, κι' ἐσὺ ὑποφέρεις, καὶ ἔφθασε τὸ τέλος ἀντίθετα στὸν καθένα σας.

Εἴδατε μέσα ἀπὸ τὰ ἴδια τὰ πράγματα τὸ τέλος τῆς εὐρύχωρης καὶ πλατειᾶς ὁδοῦ καὶ μάθατε ὅτι τῆς στενῆς πύλης καὶ θλιμμένης ὁδοῦ τὸ καλὸ τέρμα ὑποδέχθηκε αὐτὸν ποὺ τὴν προτίμησε· ἀκοῦστε τώρα καὶ τὸ φοβερώτερο· «καὶ ἐκτὸς ἀπ' αὐτά», λέγει, «βάραθρο μεγάλο εἶναι στηριγμένο ἀνάμεσα σ' ἐμᾶς καὶ σ' ἐσᾶς, ὥστε νὰ μὴν μποροῦν νὰ περάσουν ὅσοι θέλουν ἀπὸ ἐδῶ ἐκεῖ, οὔτε ὅσοι εἶναι ἐκεῖ νὰ περνοῦν σ' ἐμᾶς». Ἂς μὴ προσπεράσουμε, ἁπλῶς, ἀγαπητοί, αὐτὸ ποὺ εἶπε, ἀλλὰ ἂς κατανοήσουμε τὴ σημασία αὐτῶν ποὺ λέχθηκαν καὶ πόση τιμὴ καὶ ἐπίσημη θέσι ἀπολαμβάνει ἐκεῖνος ποὺ ἦταν παραπεταμένος στὴν ἐξώπορτα, ὁ περιφρονημένος, ὁ φτωχός, ἐκεῖνος ποὺ συνεχῶς πάλευε μὲ τὴν πεῖνα, ὁ πολιορκημένος ἀπὸ τὶς πληγές, ἐκεῖνος ποὺ ἦταν ξαπλωμένος μπροστὰ στὰ σκυλιά.

Μ' εὐχαρίστησι αὐτὰ διαρκῶς τὰ ἐπαναλαμβάνω, γιὰ νὰ μὴν ἀπογοητευθῆ κανένας φτωχὸς ἢ ἄρρωστος ἢ πεινασμένος καὶ ταλανίση τὸν ἑαυτό του, ἀλλ' ὅλα νὰ τὰ ὑποφέρη μὲ ὑπομονὴ καὶ εὐχαριστία, καὶ νὰ τρέφεται ἤδη ἀπὸ τώρα μὲ τὶς καλὲς ἐλπίδες, περιμένοντας ἐκεῖνες τὶς ἀνέκφραστες ἀμοιβὲς καὶ τὶς ἀνταποδόσεις τῶν κόπων του. «Καὶ ἐκτὸς ἀπ' αὐτά». Τί σημαίνει τὸ «ἐκτὸς ἀπὸ αὐτά»; Ἀφοῦ εἶπε ὅτι ἐσὺ τὰ ἀπήλαυσες ὅλα σ' αὐτὴ τὴ ζωή, αὐτὰ ἀκριβῶς ποὺ πίστευες ὅτι εἶναι ἀγαθά, καὶ ὅτι αὐτὸς ἀπήλαυσε αὐτὰ ποὺ ἐσὺ θεωροῦσες ὅτι εἶναι κακά, τὸ πρόσθεσε αὐτό, γιὰ νὰ τὸν διδάξη, ὅτι ἐκτὸς ἀπο αὐτὰ ποὺ λέχθηκαν, τὸν καθένα τὸν περίμενε κάποιο ἀντάξιο τέλος· ἐσένα μετὰ τὰ ἀγαθὰ ποὺ πίστευες ὅτι ἀπολαμβάνεις, ἡ θλῖψις καὶ ἡ στενοχώρια καὶ ἡ ἄσβεστη φωτιά, ἐνῶ αὐτὸν μετὰ τὸν ἀγῶνα ποὺ ἔκανε σ' ὅλο τὸ διάστημα τῆς ζωῆς του, ἐναντίον ἐκείνων ποὺ ἐσὺ θεωροῦσες ὅτι εἶναι κακά, τὸν δέχθηκε ἡ ἄνεσις καὶ ἡ ἀπόλαυσις τῶν ἀγαθῶν καὶ ἡ ἀνάπαυσις μαζὶ μὲ τοὺς ἁγίους. Ἐπειδὴ λοιπὸν ὁ καθένας βρῆκε τὸ ἀντίστοιχο τέλος καὶ ἐσένα σὲ κατήντησε σ' αὐτὴ τὴ στενοχώρια ἡ πλατειὰ πύλη καὶ ἡ εὐρύχωρη ὁδός, ἐνῶ αὐτὸν ἡ στενὴ καὶ θλιμμένη τὸν ὡδήγησε σ' αὐτὴν τὴν ἄνεσι, «καὶ ἐκτὸς ἀπ' αὐτὰ ἀνάμεσα σ' ἐμᾶς καὶ σ' ἐσᾶς εἶναι στηριγμένο μεγάλο βάραθρο».

Κοίτα τὸν φτωχό, τὸν πληγιασμένο (διότι πάλι τὰ ἴδια λέγω),

τῷ πατριάρχῃ συναριθμούμενον καὶ τῷ χορῷ τῶν δικαίων κατειλεγμένον. «Μεταξὺ γὰρ ἡμῶν καὶ ὑμῶν», φησίν. Εἶδες οἵα λῆξις διεδέξατο τὸν μεθ' ὑπομονῆς καὶ εὐχαριστίας τὴν χαλεπὴν ἐκείνην ἀρρωστίαν καὶ τὸν λιμὸν ἐνέγκαντα; «Μεταξὺ γὰρ ἡμῶν καὶ 5 ὑμῶν», φησί, «χάσμα μέγα ἐστήρικται». Πολύ, φησίν, ἐστὶ τὸ διεῖργον, καὶ οὐχ ἁπλῶς χάσμα, ἀλλὰ μέγα. Καὶ γὰρ ἀληθῶς πολὺ τὸ μέσον τῆς ἀρετῆς καὶ τῆς κακίας καὶ πολλὴ ἡ διαφορά· ἡ μὲν γάρ ἐστι πλατεῖα καὶ εὐρύχωρος, ἡ δὲ στενὴ καὶ τεθλιμμένη· ἡ μὲν τρυφὴ πλατεῖα καὶ εὐρύχωρος, ἡ δὲ πενία καὶ ἡ ἔνδεια στενὴ καὶ 10 τεθλιμμένη.

Ὥσπερ οὖν ἐνταῦθα ἐναντίαι εἰσὶν αἱ ὁδοί, καὶ ὁ μὲν τὴν παρθενίαν ἑλόμενος τὴν στενὴν ὁδεύει καὶ τεθλιμμένην, καὶ ὁ τὴν σωφροσύνην μεταδιώκων, καὶ ὁ τὴν ἀκτημοσύνην ἀσπαζόμενος, καὶ ὁ τῆς κενοδοξίας ὑπερορῶν, ὁ δὲ τὴν πλατεῖαν ὁδεύειν σπεύ-15 δων καὶ τὴν εὐρύχωρον, μέθῃ καὶ τρυφῇ καὶ χρημάτων μανίᾳ καὶ ἀκολασίᾳ καὶ ταῖς ἐπιβλαβέσι θεωρίαις ἑαυτὸν ἐκδίδωσι, καὶ πολλὴ ἑκατέρων ἐστὶν ἡ διαφορά· οὕτω δὴ καὶ ἐν τῷ τῆς κολάσεως καιρῷ καὶ τῆς ἀνταποδόσεως, τῶν ἀμοιβῶν πολὺ τὸ μέσον ἔστιν εὑρεῖν. «Χάσμα», γάρ φησι, «μέγα ἐστήρικται μεταξὺ ἡμῶν», του-20 τέστι, τῶν δικαίων, τῶν ἐναρέτων, τῶν τὴν λῆξιν ἐκείνην λαχόντων· «καὶ ὑμῶν», τουτέστι, τῶν ἐν πονηρίᾳ καὶ κακίᾳ καταδαπανηθέντων. Καὶ τοσοῦτόν ἐστι μέγα τὸ χάσμα, «ὥστε μήτε ἐντεῦθεν ἑστῶτά τινα πρὸς ὑμᾶς διαβῆναι δύνασθαι, μήτε ἐκεῖθεν πρὸς ἡμᾶς διαπεράσαι». Εἶδες χάσματος μέγεθος; εἶδες ἀπόκρισιν γεέννης 25 βαρυτέραν;

Ἆρα ἐν προοιμίοις ἀκούσαντες τὴν εὐημερίαν τοῦ πλουσίου καὶ τὴν πολλὴν θεραπείαν ἣν εἶχε παρὰ πάντων δορυφορούμενος καὶ καθ' ἑκάστην ἡμέραν τῇ τρυφῇ προσηλωμένος, οὐκ ἐνομίζετε μακαριστὸν εἶναι; καὶ πάλιν ὁρῶντες τὸν πένητα ἐπὶ τοῦ πυλῶνος 30 ἐρριμμένον καὶ τοῖς χαλεποῖς ἕλκεσιν ἐκείνοις ἐκδεδομένον, οὐκ ἐταλανίζετε αὐτοῦ τὴν ζωήν; Ἀλλ' ἰδοὺ νῦν ἀπὸ τοῦ τέλους τῶν πραγμάτων τὰ ἐναντία ὁρῶμεν γινόμενα, καὶ τὸν μὲν ἐν τηγάνοις

νὰ συναριθμῆται μαζὶ μὲ τὸν πατριάρχη καὶ νὰ συγκαταλέγεται στὸ χορὸ τῶν δικαίων. «Ἀνάμεσα σ' ἐσᾶς καὶ σ' ἐμᾶς», λέγει. Εἶδες ποιό τέλος περίμενε αὐτὸν ποὺ μὲ ὑπομονὴ καὶ εὐχαριστία ὑπέμεινε τὴ φοβερὴ ἐκείνη ἀρρώστια καὶ τὴν πεῖνα; Διότι λέγει, «ἀνάμεσα σ' ἐμᾶς καὶ σ' ἐσᾶς εἶναι στηριγμένο μεγάλο βάραθρο». Εἶναι πολύ, λέγει, αὐτὸ ποὺ μᾶς χωρίζει, καὶ ὄχι ἁπλῶς βάραθρο, ἀλλὰ μεγάλο. Καὶ πράγματι, εἶναι μεγάλη ἡ ἀπόστασις ἀνάμεσα στὴν ἀρετὴ καὶ στὴν κακία καὶ πολλὴ ἡ διαφορά· διότι ἡ μία εἶναι πλατειὰ καὶ εὐρύχωρη καὶ ἡ ἄλλη στενὴ καὶ θλιμμένη· ἡ ἀπόλαυσις πλατειὰ καὶ εὐρύχωρη, ἐνῶ ἡ φτώχεια καὶ ἡ στέρησις στενὴ καὶ θλιμμένη.

Ὅπως ἀκριβῶς ἐδῶ λοιπὸν εἶναι ἀντίθετοι οἱ δρόμοι, καὶ ἐκεῖνος ποὺ προτιμᾶ τὴν παρθενία βαδίζει τὴ στενὴ καὶ θλιμμένη ὁδό, καθὼς καὶ αὐτὸς ποὺ ἐπιδιώκει τὴ σωφροσύνη, καὶ αὐτὸς ποὺ ἀσπάζεται τὴν ἀκτημοσύνη, καὶ αὐτὸς ποὺ περιφρονεῖ τὴ μάταια δόξα, ἐνῶ ἐκεῖνος ποὺ μὲ προθυμία βαδίζει τὴν πλατειὰ καὶ εὐρύχωρη ὁδὸ ἐπιδίδεται στὴ μέθη καὶ τὴν ἀπόλαυσι, στὴ μανία τῶν χρημάτων, στὴν ἀκολασία καὶ στὰ βλαβερὰ θεάματα, κι' ἔτσι εἶναι μεγάλη ἡ διαφορὰ ἀνάμεσα στοὺς δυὸ δρόμους· ἔτσι λοιπὸν καὶ κατὰ τὸν καιρὸ τῆς τιμωρίας καὶ τῆς ἀνταποδόσεως θὰ βροῦμε ὅτι εἶναι μεγάλη ἡ διαφορὰ ἀνάμεσα στὶς ἀμοιβές. Διότι λέγει, «χάσμα μεγάλο εἶναι στηριγμένο ἀνάμεσα σ' ἐμᾶς», δηλαδὴ ἀνάμεσα στοὺς δικαίους, τοὺς ἐναρέτους, ποὺ ἔχουν φθάσει σ' ἐκεῖνο τὸ τέλος· καὶ σ' ἐσᾶς, δηλαδή, ποὺ δαπανηθήκατε στὴν πονηρία καὶ τὴν κακία. Καὶ εἶναι τόσο μεγάλο τὸ βάραθρο, ὥστε οὔτε κανεὶς ἀπὸ αὐτοὺς ποὺ εἶναι ἐδῶ, νὰ μὴν μπορῆ νὰ ἔρθη πρὸς ἐσᾶς, οὔτε ἀπὸ ἐκεῖ κανεὶς νὰ περάση σ' ἐμᾶς. Εἶδες πόσο μεγάλο εἶναι τὸ βάραθρο; εἶδες ἀπάντησι βαρύτερη τῆς κολάσεως;

Ἆραγε ὅταν ἀκούσατε στὴν ἀρχὴ τὴν εὐημερία τοῦ πλουσίου καὶ τὴν πολλὴ περιποίησι ποὺ εἶχε, καθὼς ὅλοι τὸν φρουροῦσαν καὶ κάθε ἡμέρα ἦταν προσηλωμένος στὴν ἀπόλαυσι, δὲν τὸν θεωρούσατε καλότυχο; Καὶ πάλι ὅταν βλέπατε τὸν φτωχὸ παραπεταμένο στὴν ἐξώπορτα καὶ παραδομένο σ' ἐκεῖνες τὶς φοβερὲς πληγές, δὲν ταλανίζατε τὴ ζωή του; Ἀλλὰ νά, τώρα ἀπὸ τὸ τέλος τῶν πραγμάτων βλέπουμε νὰ γίνωνται τὰ ἀντίθετα· τὸν πλούσιο νὰ τηγανίζεται μετὰ ἀπὸ ἐκείνη τὴ εὐτυχία καὶ τὴ μέθη, ἐνῶ τὸν φτωχὸ νὰ εἶναι

μετὰ τὴν τρυφὴν ἐκείνην καὶ τὴν μέθην, τὸν δὲ ἐν τοῖς κόλποις τοῦ πατριάρχου μετὰ τὴν πενίαν ἐκείνην τὴν ἐσχάτην καὶ τὸν λιμόν.

Ἀλλ' ἵνα μὴ εἰς πολὺ μῆκος ἐκτείνωμεν τὸν λόγον, ἀρκεῖ μέχρι τούτου συστεῖλαι τὴν διδασκαλίαν καὶ παρακαλέσαι τὴν ὑμετέραν ἀγάπην, μὴ τὴν πλατεῖαν μεταδιώκειν πύλην, μηδὲ τὴν εὐρύχωρον ὁδόν, μηδὲ τὴν ἄνεσιν ἐκ παντὸς τρόπου ζητεῖν, ἀλλὰ τὸ τέλος ἑκατέρας ἐννοοῦντας, ταύτην μὲν φεύγειν, λογιζομένους τὰ καταλειφότα τὸν πλούσιον τοῦτον, τὴν δὲ στενὴν πύλην μεταδιώκειν καὶ τὴν τεθλιμμένην ὁδόν, ἵνα εἰς τὸ τῆς ἀνέσεως χωρίον μετὰ τὴν ἐνθάδε θλῖψιν καταντῆσαι δυνηθῶμεν.

Φεύγετε τοίνυν, παρακαλῶ, τὰς σατανικὰς θεωρίας καὶ τὴν ἐπιβλαβῆ τῶν ἱπποδρομιῶν θέαν. Διὰ γὰρ τοὺς ὑποσυρέντας καὶ πρὸς τὴν εὐρύχωρον ὁδὸν βαδίσαντας ταῦτα εἰπεῖν προήχθημεν, ἵνα μαθόντες, ἐκείνην μὲν καταλίπωσι, τὴν δὲ τεθλιμμένην ὁδεύσαντες, τὴν τῆς ἀρετῆς λέγω, τῶν κόλπων τοῦ πατριάρχου ὁμοίως τῷ Λαζάρῳ ἀξιωθῶσι, καὶ τῆς γεέννης τοῦ πυρὸς κοινῇ πάντες ἐλευθερωθέντες, τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν», ἀπολαύσωμεν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

στοὺς κόλπους τοῦ πατριάρχη, μετὰ ἀπὸ ἐκείνη τὴ φοβερώτατη φτώχεια καὶ τὴν πεῖνα.

Ἀλλὰ γιὰ νὰ μὴν ἐκτείνουμε σὲ μεγάλο μάκρος τὸν λόγο, εἶναι ἀρκετὸ μέχρις ἐδῶ νὰ περιορίσω τὴ διδασκαλία καὶ νὰ παρακαλέσω τὴν ἀγάπη σας, νὰ μὴν ἐπιδιώκετε τὴν πλατειὰ πύλη, οὔτε τὸν εὐρύχωρο δρόμο, οὔτε μὲ κάθε τρόπο νὰ ζητᾶτε τὴν ἄνεσι, ἀλλά, λαμβάνοντας ὑπ' ὄψιν σας τὸ τέλος τοῦ κάθε δρόμου, τὸν ἕνα νὰ τὸν ἀποφεύγουμε, ἀναλογιζόμενοι τὰ βάσανα ποὺ βρῆκαν αὐτὸν τὸν πλούσιο, καὶ νὰ ἐπιδιώκουμε τὴ στενὴ πύλη καὶ τὴν θλιμμένη ὁδό, γιὰ νὰ μπορέσουμε νὰ καταλήξουμε στὸν τόπο τῆς ἀνέσεως μετὰ τὴν ἐδῶ θλῖψι.

Νὰ ἀποφεύγετε λοιπόν, σᾶς παρακαλῶ, τὰ σατανικὰ θεάματα καὶ τὸ βλαβερὸ θέαμα τῶν ἱπποδρομιῶν. Διότι αὐτὰ παρακινήθηκα νὰ τὰ πῶ γι' αὐτοὺς ποὺ παρασύρθηκαν καὶ βάδισαν τὸν εὐρύχωρο δρόμο, ὥστε, ἀφοῦ μάθουν, ἐκεῖνον νὰ τὸν ἐγκαταλείψουν, καὶ νὰ βαδίσουν τὸν θλιμμένο δρόμο, τὸν δρόμο τῆς ἀρετῆς λέγω, γιὰ νὰ ἀξιωθοῦν τοὺς κόλπους τοῦ πατριάρχη σὰν τὸν Λάζαρο, καὶ ἀφοῦ ἐλευθερωθοῦμε ὅλοι μας ἀπὸ τὴ φωτιὰ τῆς γέεννας, ν' ἀπολαύσουμε τὰ ἀπερίγραπτα ἐκεῖνα ἀγαθά, τὰ ὁποῖα μάτι δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ τὰ ἐπιτύχουμε, μὲ τὴν χάρι καὶ τὴν φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα, ἀνήκει ἡ δόξα, ἡ δύναμις, καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸν στίχο καὶ τὴ σελίδα ποὺ εὑρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα ἁπλῶς στὴ σελίδα ποὺ εὑρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

I

K

Λ

Ρ

Σ

Φωτοστιχειοθεσία: ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ
Άρμενοπούλου 30 – Τηλ. 200 621 – Θεσσαλονίκη 546 35 Τ.Θ. 400 90

Βιβλιοδεσία; ΑΦΟΙ ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανᾶ 17 – τηλ. 839 414 – Θεσσαλονίκη

Κεντρική Πώληση: ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΤΟ ΒΥΖΑΝΤΙΟΝ Ε. ΜΕΡΕΤΑΚΗ
Άρμενοπούλου 30 – τηλ. 200 621 – Θεσσαλονίκη 546 35 Τ.Θ. 400 90

ΠΕΡΙΕΧΟΜΕΝΑ